Digitized by Google

LI ~~XLVI~~
C. 41
40 40

BIBLIOTECA NAZ.
Vittorio Emanuele III
LI
C
40
NAPOLI

Ll
C
40

Digitized by Google

Digitized by Google

LI
C
42

Digitized by Google

JOANNIS XIPHILINI

Græco-Latina Epitome

UITARUM

POMPEIJ MAGNI, & CÆSARUM,
vſque ad ALEXADRVM MAMMÆÆ
Filium, à DIONE NICÆO
deſcriptarum.

MEDIOLANI, MDCXXXX.

In Officina Minutiana.

BIBLIOTECA NAZIONALE VITTORIO EMANUELE III
NAPOLI

Digitized by Google

Digitized by Google

ΕΠΙΤΟΜΗ ΤΗΣ ΔΙΩνος τοῦ Νικαέως Ῥωμαϊκῆς ἱστορίας, ἣν συνέτεμεν Ἰωάννης ὁ Ξιφιλῖνος, περιέχουσα μοναρχίας Καισάρων εἰκοσιπέντε, ἀπὸ Πομπηίου Μάγνου μέχρις Ἀλεξάνδρου τοῦ Μαμμαίας.

ΚΝΑΙΟΣ ΓΟΜΠΗΙΟΣ ὁ ἐπικαλούμενος Μάγνος.

ΚΛΗΡΟΥΜΕΝΩΝ δὴ τῶν ὑπάτων, Ορτήσιος τὸν πρὸς Κρῆτας ἔλαχε πόλεμον· ἀλλ' ἐκεῖνος ὑπό τε τῆς ἐν τῷ ἄστει φιλοχωρίας καὶ ὑπὸ τῶν δικαστηρίων, ἐν οἷς πλεῖστον τῶν κατ' αὐτὸν ἀνθρώπων μετά γε τὸν Κικέρωνα ἠδυνήθη, τῷ τε συνάρχοντι τῆς στρατείας ἐθελοντὴς ἐξέστη, καὶ αὐτὸς κατὰ χώραν ἔμεινεν. ὁ δὲ δὴ Μέτελλος ἐστείλατό τε εἰς Κρήτην, καὶ τὴν νῆσον ἅπασαν ἐχειρώσατο. μετὰ τοῦτο, καί τοι πρὸς τοῦ Γομπηίου τοῦ Μάγνου ἤδη τῆς θαλάσσης ξυμπάσης ἄρχοντος, καὶ τῆς ἠπείρου ὅσον ἡμερῶν ἀπὸ θαλάσσης τριῶν ἐμποδιζόμενός τε καὶ κωλυόμενος, ὡς αὐτῷ προσηκουσῶν καὶ τῶν νήσων, ἀλλ' ὅμως καὶ ἄκοντος Πομπηίου τῷ Κρητικῷ πολέμῳ τέλος ὁ Μέτελλος ἐπιθεὶς, θρίαμβόν τε ἀπ' αὐτοῦ κατήγαγε, καὶ Κρητικὸς ἐπεκλήθη. Λούκουλλος δὲ Λούκιος κατὰ τοὺς καιροὺς τούτους, τοὺς τῆς Ἀσίας δυνάστας Μιθριδάτην τε καὶ Τιγράνην τὸν Ἀρμένιον πολέμῳ νικήσας, καὶ φυγομαχεῖν ἀναγκάκας, τὰ Τιγρανόκερτα ἐπο-

A

B

λιόρκει· καὶ αὐτὸν οἱ βάρβαροι τῇ τε τοξείᾳ καὶ τῇ νάφθᾳ
κατὰ τῶν μηχανῶν χεομένῃ δεινῶς ἐκάκωσαν. ἀσφαλτῶδες δὲ
τὸ φάρμακον τοῦτο, καὶ διάπυρον οὕτως, ὥσθ' ὅσοις ἂν προσ-
μίξῃ, πάντως αὐτὰ κατακαίειν· οὐδ' ἀποσβέννυται ὑπ'
2 οὐδενὸς ὑγροῦ ῥᾳδίως. ἐκ τούτου δὲ ὁ Τιγράνης ἀναθαρρή-
A σας, τοσαύτῃ χειρὶ στρατοῦ ἤλασεν, ὥστε καὶ τῶν Ῥωμαίων τῶν
ἐκεῖσε παρόντων καταγελάσαι. λέγεται δ' οὖν εἰπεῖν, εἰ μὲν πο-
λεμήσοντες ἥκοιεν, ὀλίγοι· εἰ δὲ πρεσβεύσοντες, πολλοὶ παρ-
εῖεν. οὐ μέντοι καὶ ἐπὶ πολὺ ἥσθη, ἀλλ' εὐθὺς ἐξέμαθεν ὅσον
ἥ τε ἀρετὴ καὶ ἡ τέχνη παντὸς ὁμίλου κρατεῖ. φυγόντος γὰρ αὐτοῦ,
τὴν τιάραν τό, τε ἀνάδημα τὸ περὶ αὐτὴν εὑρόντες οἱ στρα-
τιῶται, τῷ Λουκούλλῳ ἔδοσαν. δείσας γὰρ μὴ γνωσθεὶς ἀπ' αὐ-
τῶν ἁλῷ, περιεσπάσατο αὐτὰ καὶ ἀπέρριψεν. ἑλὼν δὲ τὰ Τι-
B γρανόκερτα μετὰ τοῦτο, τὰ μὲν ἄλλα διήρπασε, τὰς δὲ γυναῖκας
ἀνυβρίστους ἐφύλαξεν· ὅπερ αὐτοῦ καὶ τοὺς ἄνδρας τοὺς ἐκεί-
νων τοὺς μετὰ Τιγράνου φεύγοντας προσεποίησε. τῷ δὲ Πακό-
ρῳ τῷ Παρθυαίων βασιλεῖ, μαθὼν αὐτὸν τῷ Τιγράνῃ μέλ-
λειν βοηθήσειν, διὰ γραμμάτων ὑπείλησε· καὶ ὃς οὔτε Ῥωμαίοις
φίλος ἐγένετο, καὶ τῷ Ἀρμενίῳ βοήθειαν οὐκ ἀπέστειλεν. ὁ δὲ
Λούκουλλος καὶ τὴν Νίσιβιν ἐχειρώσατο, τοῦ Τιγράνου ταύ-
την οὖσαν. ἀλλ' ὅμως καίτοι στρατηγικώτατος ἀνδρῶν ὁ Λού-
κουλλος γενόμενος, καὶ πρῶτος Ῥωμαίων τὸν Ταῦρον διαβὰς
ἐπὶ πολέμῳ, καὶ δύο βασιλέων μεγίστων κρατήσας, τῆς τε Α-
C σίας ἐπὶ μήκιστον προελθὼν, ἀπειθείαν ὕστερον πρὸς πάντα
τοῖς στρατιώταις ἐχρήσατο· καὶ τέλος ἐγκατέλιπον αὐτόν. πολ-
λά τε γὰρ σφίσι προσέταττε, καὶ δυσπρόσοδος ἀκριβής τε ἐν ταῖς
τῶν ἔργων ἀπαιτήσεσι, καὶ ἀπαραίτητος ἐν ταῖς τιμωρίαις ὤν,
οὐκ ἠπίστατο οὔτε λόγοις ἐπιεικέσι προσαγαγέσθαι, οὔτε χρη-
μάτων δόσει προσεταιρίσασθαι. τεκμήριον δέ· καὶ γὰρ τοὺς
αὐτοὺς τούτους στρατιώτας ὁ Πομπήϊος λαβὼν, οὐδ' ὁπωστιοῦν
στασιάζοντας ἔσχεν. τοσοῦτον ἀνὴρ ἀνδρὸς διαφέρει. Εν τούτῳ

τῷ χρόνῳ καὶ ὁ πειρατικὸς πόλεμος ἐπολεμήθη Ῥωμαίοις, οὐ-
δενὸς ἔλαττον καταπλήξας αὐτούς· τὸ γὰρ καταποντιστῶν φῦλον D
ἐπιπολάσαν ἐν τῇ θαλάσσῃ, καὶ διὰ τὴν ἐν τοῖς πολέμοις
τῶν Ῥωμαίων ἀσχολίαν, ἀδείας ἐπειλημμένον, καὶ ὑπερφυῶς
αὐξηθὲν νεῶν καὶ στόλων, καὶ ὅπλων μυρίων, οὐ τὴν θάλασσαν μό-
νον, ἀλλ' ἤδη καὶ τὴν ἤπειρον, ἀποβαῖνον ἐς αὐτὴν, τὰς κώμας
καταφλέγον, καὶ πόλεις διαρπάζον, πεπλήρωκε. καὶ τέλος ἄ-
πλουν ἐμπόροις τὴν θάλασσαν ἐργασάμενοι, ἐξαίσιον ταῖς πό-
λεσι καὶ μάλιστα τῇ Ῥώμῃ λιμὸν ἐμπεποιήκει. καὶ ἐς αὐτὰ γὰρ
τὰ Ὄστια ἐσέπλεον, καὶ τάς τε ναῦς ἔκαιον, καὶ πάνθ' ἥρπα- 3
ζον. κατὰ τούτων οὖν οἱ Ῥωμαῖοι στόλον ἐξέπεμψαν, ναύαρ- A
χον ἑλόμενοι τὸν Πομπήϊον, καὶ στρατηγὸν αὐτοκράτορα, πα-
ρὰ γνώμην τῆς συγκλήτου, πειθὸν ἔπειτ' ἄρξοντα καταστή-
σαντες. μαθόντες γὰρ οἱ πολλοὶ τὴν τῶν βουλευτῶν γνώμην,
τοῖς ταῦτα εἰσηγησαμένοις δεινῶς ὠργισμένων, ἐπὶ τοὺς συγ-
καθημένους ἐφώρμησαν. καὶ εἴγε μὴ ἐκκεχωρήκεσαν, πάν-
τως ἂν αὐτοὺς διεφθάρκεσαν, τοῦ Γομπηΐου παραιτήσει μὲν
τῆς ἀρχῆς ἐπὶ πλάσῳ κεχρημένου, σπουδαρχίᾳ δὲ οὐδένα
λανθανούσῃ περικειμένου. ὅτε καὶ Ῥώσκιος τὴν τοῦ δήμου
σπουδὴν βλέπων, φθέγξασθαι μὲν οὐδὲν ἐτόλμησε, τὴν δὲ
δὴ χεῖρα ἀνατείνων, δύο ἄνδρας ἐκέλευε σφᾶς ἑλέσθαι, ὅ- B
πως ἔν γε τούτῳ τῆς δυναστείας τι τῆς Γομπηΐου περιτέμοι-
το. ταῦτ' οὖν αὐτοῦ χειρονομοῦντος, ὁ ὅμιλος μέγα καὶ ἀπει-
λητικὸν ἀνέκραγεν, ὥστε κόρακά τινα ὑπερπετόμενον σφῶν
ἐκπλαγῆναι, καὶ πεσεῖν ὥσπερ ἐμβρόντητον. Κάτλου δέ τινος
τῶν ἀρίστων ἀνδρῶν εἰρηκότος πρὸς τὸν δῆμον, ἐὰν ἐπὶ ταῦ-
τα ἐκπεμφθεὶς ἀφῇ, οἷα ἔν τε ἀγῶσι πολλοῖς καὶ τούτοις θα-
λαττίοις φιλεῖ γίνεσθαι, τίνα εἶτ' αὐτοῦ πρὸς τὰ ἀναγκαιότε-
ρα εὑρήσετε; ὁ ὅμιλος σύμπας, ὥσπερ ἀπὸ συγκειμένου τινὸς,
ἀνεβόησεν εἰπὼν, Σέ. καὶ οὕτω Πομπήϊος τὴν ἡγεμονίαν τῆς θαλάτ- C
της, τῶν τε νήσων καὶ τῆς ἠπείρου ἐς τετρακοσίους σταδίους ἀπὸ τῆς

θαλάσσης αὐτῷ εἰλήφει· ὑποστρατήγους τε πέντε καὶ δέκα, καὶ
τὰς ναῦς ἁπάσας. καὶ ταῦτα καὶ ἡ γερουσία καὶ ἄκουσα ἐπε-
κύρωσεν. ἑλὼν δὲ τοὺς πειρατὰς, τά τε ἄλλα αὐτῶν ἐπεμελήσα-
το, καὶ ὅπως μὴ δ' αὖθις ποτὲ εἰς ἀνάγκην πονηρῶν ἔργων ὑπὸ
πενίας ἀφίκωνται· καὶ χώρας σφίσιν, ὅσοις ἐρήμοις ἑώρα, καὶ
πόλεις ὅσαι ἐποίκων ἐδέοντο, ἐδίδου· καὶ ἄλλαι τε ἐκ τούτων
συνῳκίσθησαν, καὶ ἡ Πομπηΐου πόλις ἐπικληθεῖσα. ἔστι δὲ ἐν
D τῇ Κιλικίᾳ τῇ παραθαλασσίῳ· καὶ ἐπεπόρθητο ὑπὸ τοῦ Τι-
γράνου, Σόλοι πρότερον ὠνομασμένη. καλὰ μὲν οὖν ταῦτα
καὶ φιλάνθρωπα τοῦ Πομπηΐου. μετὰ δὲ ταῦτα τὴν τοῦ Λουκούλ-
λου διεδέξατο στρατηγίαν, τῶν μὲν δυνατῶν ἐναντίων αὐτῷ
καὶ πρὸς τοῦτο, τοῦ δὲ δήμου σπουδάσαντος· καὶ Καίσαρος αὐτῷ
καὶ Κικέρωνος συναραμένων καὶ συνειπόντων· τοῦ μὲν, ὅτι τὸν
ὄχλον ἐξ ἀρχῆς ὑφεῖρπε καὶ ἐθεράπευε· τοῦ δὲ, ὅτι ἐπημφοτέρι-
4 ζε τὰ πολλὰ, καὶ ποτὲ μὲν τῷ δήμῳ, ποτὲ δὲ τῇ γερουσίᾳ προσε-
A τίθετο. τήν τε γὰρ πολιτείαν ἀντηξίου, καὶ ἐνεδείκνυτο καὶ τῷ
πλήθει καὶ τοῖς δυνατοῖς, ὅτι ὁποτέροις ἂν σφῶν προσθῆται,
πάντως αὐτοὺς ἐπαυξήσει· καὶ διὰ τοῦτο καὶ αὐτόμολος ὠνομά-
ζετο. ὁ δ' οὖν Πομπήϊος εἰς τὴν Ἀσίαν στρατεύσας, τὸν Μι-
θριδάτην νυκτομαχίᾳ ἐνίκησε. νυκτὸς γὰρ ἀσελήνου ἐπιθέμε-
νος αὐτῷ φυγομαχεῖν εἰωθότι, ἔν τινι χωρίῳ κοίλῳ μεταξὺ γη-
λόφων ὄντι τὸ στράτευμα ἐπὶ τὰ μετέωρα ἀνεβίβασε· καὶ
πρῶτον μὲν οἱ σαλπικταὶ πάντες ἅμα τὸ πολεμικὸν ἀπὸ συν-
θήματος ἐβόησαν, ἔπειτα δὲ οἵ τε στρατιῶται, καὶ ὁ λοιπὸς ὄ-
χλος ἅπας ἐπηλάλαξε· καὶ οἱ μὲν τὰ δόρατα πρὸς τὰς ἀ-
σπίδας, οἱ δὲ καὶ λίθους πρὸς τὰ χαλκᾶ σκεύη προσέκρου-
B σαν· καὶ σφῶν τὴν ἠχὴν τὰ ὄρη ἔγκοιλα ὄντα καὶ ὑπεδέξατο
καὶ ἀνταπέδωκε φρικωδεστάτην, ὥστε τοὺς βαρβάρους δεινῶς
ἐκπλαγῆναι. καὶ πρῶτον μὲν οἱ Ῥωμαῖοι ἠκόντιζον καὶ ἐτό-
ξευον ἐς αὐτούς· ἐπεὶ δὲ ἐξανηλώσαντες τὴν πόῤῥωθεν ἀλ-
κὴν, ἐπέδραμον σφίσιν, ἐφοβοῦντο μὲν τὰ περιέσχατα, καὶ ἐξήρ-

καὶ πρὸς θάνατον αὐτοῖς μία πληγή, ἅτε καὶ ψιλοῖς οὖσι τοῖς
πλείοσι. συνεπιέζετο δὲ τὰ μέσα πάντων ὑπ' αὐτὰ ὑπὸ
τοῦ πέριξ δέους χωρούντων. οὐδ' εἶχον οἱ βάρβαροι οὔτε ἑαυ-
τοῖς ἐπαρκέσαι, οὔτε ἐς τοὺς πολεμίους τολμῆσαι. Μιθριδάτης
δὲ σὺν ὀλίγοις φυγὼν ἐς τὴν Κολχίδα ἀπεστράπετο, καὶ ἐκεῖ- C
θεν πρὸς τὴν Μαιώτιν καὶ πρὸς τὸν Βόσπορον ἀφίκετο· κἀν-
ταῦθα τὸν Μαχάρην τὸν παῖδα τὰ Ῥωμαίων ἑλόμενον δο-
λοφονήσας, ἦρχε τῆς χώρας. Πομπήϊος δὲ καθ' ὃ ἐνενικήκει
χωρίον, πόλιν κτίσας, τοῖς τε τραυματίαις καὶ τοῖς ἀφηλικε-
στέροις τῶν στρατιωτῶν συνῴκισεν ἐν αὐτῇ· καὶ εἰσὶ νῦν Νικοπο-
λῖται ὠνομασμένοι, καὶ εἰς τὸν Καππαδοκικὸν νόμον συντε-
λοῦντες. μετὰ δὲ ταῦτα διαβὰς τὸν Ἀράξην ποταμόν, τήν τε
πόλιν τὰ Ἀρτάξατα παρέλαβε, δόντος αὐτῷ τοῦ Τιγράνου· καὶ
τοῦτον αὐτὸν προσχωρήσαντά οἱ, ἐπεὶ καὶ ἐς τὸ στρατόπεδον ὡς
εἰσιὼν ἔφιππος ἤλαυνε, τοῦ μὲν ἵππου, ῥαβδοῦχον στείλας, κα- D
ταβιβάσαι πεποίηκεν· εἰσελθόντα δὲ αὐτοποδίᾳ, καὶ τό, τε διάδη-
μα ἀπορρίψαντα, καὶ εἰς τὴν γῆν πεσόντα, προσκυνοῦντά
τε αὐτὸν ἰδών, ἠλέησε· καὶ ἀναπηδήσας ἐξανέστησέ τε αὐτόν, καὶ
ταινιώσας τῷ διαδήματι, εἴς τε τὴν πλησίον ἕδραν ἐκάθισε,
καὶ παρεμυθήσατο, εἰπὼν ἄλλα τε, καὶ ὅτι οὐ τὴν Ἀρμενίων
βασιλείαν ἀπολωλεκώς, ἀλλὰ καὶ τὴν Ῥωμαίων φιλίαν
προσειληφὼς εἴη. καὶ αὐτὸς ἔν τε τῇ χώρᾳ τῇ Ταναΐτιδι, καὶ
πρὸς τῷ ποταμῷ τῷ Κύρνῳ, τριχῇ νείμας τὸν στρατόν, παρε-
χείμασε, καὶ τοὺς Ἀλβανοὺς ἐνταῦθα καταφρονήσαντας αὐτοῦ 5
μάχῃ ἐνίκησε, καὶ πλείστους αὐτῶν ἐν τῷ πολέμῳ ἀπέκτεινε. τὰ A
ὅμοια δὲ καὶ περὶ τοὺς ὑπὸ τὸν Καύκασον Ἴβηρας διεπρά-
ξατο. τῷ δὲ Φραάτῃ τῷ βασιλεῖ τῶν Πάρθων φιλικὰ πρότε-
ρον γράψαντι, ὑπερηφανώτερον προσηνέχθη, καὶ δέος παρέσχεν
ὡς καὶ αὐτῷ πολεμήσων. ὡς δ' ἐκεῖνος πρέσβεις τε αὖθις
πρὸς αὐτὸν ἐπέστειλε, καὶ πολλὰ μὲν ἐκείνου κατηγόρησε, πολλὰ
δὲ καὶ ἐς τοὺς Ῥωμαίους ὑπεμίμνησεν, ᾐδέσθη καὶ καταπλαγεὶς

οὐκοῦν οὔτε τῷ Τιγράνῃ ἐπεκούρησεν ὑπὸ τῶν Πάρθων πο-
B λεμουμένῳ, οὔτε πρὸς τὸν Φραάτην πολέμιόν τι ἔτ᾽ ἐπρά-
ξατο. διαιτητὰς μέντοι ἔπεμψεν ἄνδρας τρεῖς τῆς πρὸς ἀλ-
λήλους διαφορᾶς τῷ τε Φραάτῃ καὶ τῷ Τιγράνῃ· οἷς ἐκεῖνοι
καὶ προσηκάμενοι, πάντα τὰ πρὸς ἀλλήλους ἐγκλήματα διε-
λύσαντο. ὑποστρέψας δὲ ἐξ Ἀρμενίας, καὶ τοῖς βασιλεῦσι καὶ
τοῖς δυνάσταις τοῖς προσιοῦσιν αὐτῷ διαιτήσας καὶ χρηματί-
σας, καὶ τοῖς μὲν τὰς βασιλείας βεβαιώσας, τοῖς δὲ τὰς δυνα-
στείας ἐπαυξήσας, τῶν δὲ καὶ τὰς ὑπεροχὰς κολούσας καὶ τα-
πεινώσας, τήν τε κοίλην Συρίαν καὶ τὴν Φοινίκην ἄρτι γε
βασιλέων ἀπηλλαγμένας, καὶ ὑπό τε τῶν Ἀραβίων καὶ ὑπὸ
τοῦ Τιγράνου κεκακωμένας, συνεστήσατο. ἐτόλμησε μὲν γὰρ ὁ
C Ἀντίοχος ἀπαιτῆσαι αὐτάς, οὐκ ἀπέλαβε δέ, ἀλλ᾽ ἔς τε τὴν ἀρχὴν
μίαν συνετάχθησαν, καὶ νόμους ἔλαβον, ὥστε τὸν τῶν Ῥω-
μαίων τρόπον πολιτεύεσθαι. ἐν δὲ τούτῳ, καὶ τὸ Μιθριδάτου
σῶμα φονευθέντος ὑπὸ Φαρνάκου τοῦ υἱέος αὐτοῦ, πεμφθὲν
αὐτῷ θεασάμενος, αὐτὸ μὲν ἐν τοῖς πατρῴοις ἠρίοις ταφῆναι
ἐκέλευσε· τοὺς δὲ Ἀρραβίους ἀκονιτὶ χειρωσάμενος, ἐπὶ τὴν
Συρίαν τὴν Παλαιστίνην, ὡς καὶ τὴν Φοινίκην κακώσαντας,
ὥρμησεν. ἦρχον δὲ αὐτῶν Ὑρκανός τε καὶ Ἀριστόβουλος ἀδελ-
φοί, καὶ ἐτύγχανον ὑπὲρ τῆς τοῦ σφετέρου θεοῦ, (ὅς τίς ποτε οὗτός
ἐστιν) ἱερωσύνης διαφερόμενοι. οὕτω γὰρ τὴν βασιλείαν σφῶν
D ὠνόμαζον. τοὺς μὲν οὖν ἄλλους ῥᾷον προσεποιήσατο. τὸν μὲν
οὖν Ὑρκανὸν οὐδενὸς λόγου ἀξιώσας, τὸν δὲ Ἀριστόβουλον δή-
σας, ἐπειδὴ μήτε τὰ χρήματα μήτε τὸ φρούριον παρεδίδου,
καίτοι προσιὼν αὐτῷ καὶ ὑποσχόμενος ταῦτα, τὰ Ἱεροσόλυμα
πολιορκῶν πράγματα ἔσχε. καὶ εἴγε μὴ ἐν ταῖς τοῦ Κρόνου ἡ-
μέραις ἄπρακτοι παντελῶς ἦσαν οἱ Ἰουδαῖοι, οὐκ ἂν εἷλεν
αὐτά· νῦν δὲ ἐν τῷ διακένῳ τούτῳ καιρῷ παρέδωκαν τοῖς
6 Ῥωμαίοις τὸ τεῖχος διασεῖσαι. ὁπότε γὰρ ἐκ περιτροπῆς ἐπέλ-
A θοιεν αἱ ἡμέραι, προσέβαλλον αὐτῷ ἐντονώτατα. καὶ οὕτως

ἑάλωσάν τε ἐν τῇ τοῦ Κρόνου ἡμέρᾳ μηδ' ἀμυνόμενοι, καὶ πάντα τὰ χρήματα διηρπάσθη· ἥ τε βασιλεία τῷ Ὑρκανῷ παρεδόθη, καὶ ὁ Ἀριστόβουλος ἀνηνέχθη. ἡ δὲ ἐπίκλησις αὕτη τοῖς Ἰουδαίοις οὐκ οἶδα μὲν ὅθεν ἤρξατο γενέσθαι· φέρει δὲ καὶ ἐπὶ τοὺς ἄλλους ἀνθρώπους, ὅσοι τὰ νόμιμα αὐτῶν, καίπερ ἀλλοεθνεῖς ὄντες, ζηλοῦσι. καὶ ἔστι καὶ παρὰ τοῖς Ῥωμαίοις τὸ γένος τοῦτο κολουθὲν πολλάκις, αὐξηθὲν δὲ ἐπὶ πλεῖστον, ὥστε καὶ ἐς παρρησίαν τῆς νομίσεως ἐκνικῆσαι. κεχωρίδαται δὲ ἀπὸ τῶν λοιπῶν ἀνθρώπων ἔς τε τὰ ἄλλα τὰ πε- B
ρὶ τὴν δίαιταν πάνθ', ὡς εἰπεῖν, καὶ μάλισθ' ὅτι τῶν μὲν ἄλλων θεῶν οὐδένα τιμῶσιν, ἕνα δέ τινα ἰσχυρῶς σέβουσιν. οὐδ' ἄγαλμα οὐδὲν ἐπ' αὐτοῖς ποτὲ τοῖς Ἱεροσολύμοις ἔσχον. ἄρρητον δὲ δὴ καὶ ἀειδῆ αὐτὸν νομίζοντες εἶναι, περισσότατα ἀνθρώπων θρησκεύουσι· τῷ αὐτῷ νεών τε μέγιστον καὶ περικαλλέστατον, πλὴν καθ' ὅσον ἀχανής τε καὶ ἀνώροφος ἦν, ἐξεποίησαν. καὶ τὴν ἡμέραν αὐτὴν τοῦ Κρόνου καλουμένην ἀνέθεσαν· καὶ ἄλλα τε ἐν αὐτῇ ἰδιώτατα πολλὰ ποιοῦσι, καὶ ἔργου οὐδενὸς σπου- C
δαίου προσάπτονται. καὶ τὰ μὲν κατ' ἐκεῖνον, τίς τέ ἐστι καὶ ὅθεν οὕτως ἐτιμήθη, ὅπως τε περὶ αὐτὸν ἐπτόηνται, πολλοῖς τε εἴρηται, καὶ οὐδὲν τῇδε τῇ ἱστορίᾳ προσήκει. τὸ δὲ δὴ ἐς τοὺς ἀστέρας τοὺς ἑπτὰ τοὺς πλανήτας ὠνομασμένους, τὰς ἡμέρας ἀνακεῖσθαι, κατέστη μὲν ὑπ' Αἰγυπτίων, πάρεστι δὲ καὶ ἐπὶ πάντας ἀνθρώπους, οὐ πάλαι ποτὲ, ὡς λόγῳ εἰπεῖν, ἀρξάμενον. οἱ γοῦν ἀρχαῖοι Ἕλληνες οὐδαμῇ αὐτὸ, ὅσα γε ἐμὲ εἰδέναι, ἠπίσταντο. ἀλλ' ἐπειδὴ καὶ πάνυ νῦν τοῖς τε ἄλλοις ἅπασι, D
καὶ αὐτοῖς τοῖς Ῥωμαίοις ἐπιχωριάζει, καὶ ἤδη καὶ τοῦτο σφίσι πάτριον τρόπον τινά ἐστι, βραχύ τι περὶ αὐτοῦ διαλεχθῆναι βούλομαι, πῶς τε καὶ τίνα τρόπον οὕτω τέτακται. ἤκουσα δύο λόγους, ἄλλως μὲν οὐ χαλεποὺς γνωσθῆναι, θεωρίας δέ τινος ἐχομένους· εἰ γάρ τις τὴν ἁρμονίαν τὴν διὰ τεσσάρων καλουμένην, ἥπερ τι καὶ τὸ κῦρος τῆς μουσικῆς συνέχειν πεπίστευται,

καὶ ἐπὶ τοὺς ἀστέρας τούτους, ὑφ᾽ ὧν ὁ πᾶς τοῦ οὐρανοῦ κόσμος
7 διείληπται, κατὰ τὴν τάξιν καθ᾽ ἣν ἕκαστος αὐτῶν περιπορεύε-
A ται ἐπαγάγοι· καὶ ἀρξάμενος ἀπὸ τῆς ἔξω περιφορᾶς τῆς τῷ
Κρόνῳ δεδομένης, ἔπειτα διαλιπὼν δύο τὰς ἐχομένας, τὸν
τῆς τετάρτης δεσπότην ὀνομάσειε· καὶ μετ᾽ αὐτὸν, δύο αὖ ἑ-
τέρας ὑπερβὰς, ἐπὶ τὴν ἑβδόμην ἀφίκοιτο· κἂν τῷ αὐτῷ τού-
τῳ τρόπῳ αὐτάς τε ἐπιὼν, καὶ τοὺς ἐφόρους σφῶν θεοὺς ἀνακυ-
κλῶν ἐπιλέγοι ταῖς ἡμέραις, εὑρήσει πάσας αὐτὰς μουσικῶς
πως τῇ τοῦ οὐρανοῦ διακοσμήσει προσηκούσας. εἷς μὲν δὴ οὗτος
λέγεται λόγος. ἕτερος δ᾽, τὰς ὥρας τῆς ἡμέρας καὶ τῆς νυκτὸς
ἀπὸ τῆς πρώτης ἀρξάμενος ἀριθμεῖν· καὶ ἐκείνην μὲν τῷ
Κρόνῳ διδοὺς, τὴν δ᾽ ἔπειτα τῷ Διῒ, τὴν τρίτην Ἄρει, τετάρ-
B την Ἡλίῳ, πέμπτην Ἀφροδίτῃ, ἕκτην Ἑρμῇ, καὶ ἑβδόμην
Σελήνῃ, κατὰ τὴν τάξιν τῶν κύκλων καθ᾽ ἣν οἱ Αἰγύπτιοι αὐ-
τὴν νομίζουσι· καὶ τοῦτο καὶ αὖθις ποιήσας, πάσας οὕτω τὰς
τέσσαρας καὶ εἴκοσιν ὥρας περιελθὼν, εὑρήσεις τὴν πρώτην
τῆς ἐπιούσης ἡμέρας ὥραν ἐς τὸν Ἥλιον ἀφικνουμένην. καὶ
τοῦτο καὶ ἐπ᾽ ἐκείνων τῶν τεσσάρων καὶ εἴκοσιν ὡρῶν κατὰ τὸν αὐ-
τὸν τοῖς πρόσθεν λόγον πράξας, τῇ Σελήνῃ τὴν πρώτην τῆς
τρίτης ἡμέρας ὥραν ἀναθήσεις. κἂν οὕτω καὶ διὰ τῶν λοιπῶν πο-
ρεύῃ, τὸν προσήκοντα ἑαυτῇ θεὸν ἑκάστη ἡμέρα λήψεται. ταῦτα
μὲν οὖν οὕτω παραδέδοται. τῶν μέντοι Πομπηΐῳ πεπραγμέ-
C νων τὰ μὲν ἄλλα, καίπερ μεγάλα ὄντα, καὶ μηδενὶ τῶν πρόσθεν
Ῥωμαίων πραχθέντα, καὶ τῇ τύχῃ καὶ τοῖς συστρατευσαμένοις
αὐτῷ ἀναθείη ἄν τις. τὸ δὲ μέγιστον καὶ κάλλιστον πάντων, ὅτι δυ-
νηθεὶς ἂν ῥᾳδίως τήν τε Ἰταλίαν κατασχεῖν, καὶ μοναρχῆσαι
τῆς Ῥώμης διὰ τὴν ὑπερβολὴν ἰσχύος, οὐκ ἠβουλήθη· ἀλλ᾽ εὐθὺς
ἐπειδὴ τάχιστα ἐς τὸ Βρεντήσιον ἐπεραιώθη, τὰς δυνά-
μεις πάσας αὐτεπάγγελτος, μήτε τοῦ δήμου μήτε τῆς βουλῆς
ψηφισαμένης τι περὶ αὐτῶν, ἀφῆκεν. ἐν δὲ τῇ ἐπινικίῳ πομ-
πείᾳ, τρόπαια μὲν πολλὰ καθ᾽ ἕκαστον τῶν ἔργων καὶ τὸ βρα-

χύτα τινὰ ἔπεμψεν, ἓν δὲ μέγα παντελῶς κεκοσμημένον, καὶ γρα- D
φὴν ἔχον, ὅτι τῆς οἰκουμένης ἐστί. Κατὰ τοῦτον τὸν χρόνον καὶ
Καῖσαρ Ἰούλιος καὶ Κάτων Μάρκος αὐξεῖν ἤρχοντο· Καῖσαρ
μὲν, δημοκόλαξ ὑπάρχων καὶ τῷ Πομπηΐῳ σπουδάζων, οὐχ
ὅτι καὶ ἐφίλει τοῦτον, ἀλλ' ὅτι λεληθότως καθῄρει, προσκορῆ
καθιστῶν τῷ πλήθει ταῖς ὑπερβολαῖς τῶν τιμῶν· Κάτων δὲ, τῷ
Πομπηΐῳ τὰ πολλὰ ἀντιπίπτων. ἕνα μὲν γὰρ ἀνθρώπων οὐδένα
ἐθαύμαζε, τὸ δὲ δὴ κοινὸν ὑπερηγάπα· καὶ πᾶν μὲν τὸ ὑπὲρ τοὺς
ἄλλους πεφυκὸς, ὑποψίᾳ δυναστείας ἐμίσει, πᾶν δὲ τὸ δημοτι- 8
κὸν, ἐλέῳ τῆς ἀσθενείας ἐφίλει· καὶ τὴν ὑπὲρ τοῦ δικαίου παρ- A
ρησίαν καὶ μετὰ κινδύνων ἐποιεῖτο. πολλῶν δὲ τῶν ἱστορουμένων
παραλελειμμένων (διὰ τὸ λίαν ἀπηρτῆσθαι καὶ ἔκφυλα εἶναι) τῶν
νῦν καιρῶν, ἄλλως τε καὶ τὸ μηδὲν ἢ καινὸν εἰς ἀκοὴν ἢ χρή-
σιμον ἔχειν εἰς συγγραφὴν) τοῦτ' εἰρήσθω, ὅτι τῆς τε περὶ Κατι-
λίναν συνωμοσίας, τῆς ἐπ' ὀλέθρῳ τῆς πολιτείας ἐπὶ τῆς Κι-
κέρωνος ὑπατείας, ὑπ' αὐτοῦ τοῦ Κικέρωνος ἐλεγχθείσης, καὶ τῶν
ἑαλωκότων τιμωρηθέντων, Αὖλόν τινα Φούλβιον ἄνδρα βου-
λευτὴν αὐτὸς ὁ πατὴρ ἀπέσφαξε. Καίσαρι δὲ τῆς Λυσιτανίας B
ἄρχοντι, καὶ ἀεί τι πρᾶξαι λαμπρὸν γλιχομένῳ, ἵππος τις δι-
φυὰς ἐν ταῖς τῶν προσθίων ποδῶν ὁπλαῖς ἔχων ἐγεννήθη· καὶ
ἐκεῖνον μὲν γαυρούμενος ἔφερεν, ἄλλον δὲ ἀναβάτην οὐδένα
ἀνεδέχετο, ὥστε καὶ ἐκ τούτου μικρὸν οὐδὲν αὐτὸν προσδοκᾶν.
ὑπατευκὼς δὲ μετὰ τὴν τῆς Λυσιτανίας ἀρχὴν, καὶ νόμους δη-
μοτικοὺς εἰσηγούμενος, τοὺς μὲν ἄλλους τῇ δεινότητι καὶ τῇ δυνά-
μει τοῦ λόγου κατέπληττε, καὶ σιγᾶν ἠνάγκαζε· Κάτων δ' αὐτῷ
μόνος ἀντέλεγε. καὶ ἐμήνισε μὲν ἐπὶ τούτοις ὁ Καῖσαρ ἐς τὸ δε-
σμωτήριον αὐτὸν ἐξ αὐτοῦ τοῦ συνεδρίου ἐξελκύσας ἐμβαλεῖν·
ἐπεὶ δὲ ἐκεῖνος ἑτοιμότατα ἑαυτὸν ἀπάγεσθαι ἐπέδωκε, καὶ τῶν C
ἄλλων οὐκ ὀλίγοι ἐφέποντο, καί τις αὐτῶν Μάρκος Πετρώνιος
ἐπιτιμηθεὶς ὑπ' αὐτοῦ ὅτι μηδέπω διαφειμένης τῆς βουλῆς
ἀπαλλάττοιτο, ἔφη, Ὅτι μετὰ Κάτωνος ἐν τῷ οἰκήματι μᾶλλον, ἢ

μετ' ἐμοῦ ἐνταῦθα εἶναι βούλομαι, κατηδέσθη, καὶ ἀφῆκε τὸν
Κάτωνα. Κικέρωνος δὲ αὐτῷ πολλὰ λοιδορησαμένου, οὐδὲν
μὲν ἀντεῖπε, περιττός τε ὢν καὶ οὐ πάνυ ἥττων θυμοῦ· διὰ δὲ τοῦ
Κλωδίου κατασκευάσας αὐτὸν, ἀπήλλαξε τῆς Ῥώμης· ὡς
καὶ τὴν οὐσίαν αὐτοῦ δημευθῆναι, καὶ τὴν οἰκίαν κατασκα-
φῆναι, ἀπὸ γ' τῶν ψν' σταδίων τῆς Ῥώμης εἰρχθῆναι. καὶ γὰρ
D τοῦτο Καίσαρι ἦν, προσποιεῖσθαι μὲν ὑπεροράν ὑπὸ μεγα-
λοφροσύνης τῶν λυπούντων αὐτὸν, δι' ἄλλων δέ τινων ἀεὶ
τοὺς ἐχθροὺς τιννύσθαι ἀνυπόπτως. Κικέρωνα δὲ φυγόντα εἰς
Μακεδονίαν Φιλίσκος τις ἐξ Ἀθηνῶν αὐτῷ γενόμενος γνώ-
ριμος, φιλοσόφοις λόγοις παρεμυθήσατο. κατῆλθε μέντοι
οὐκ εἰς μακρὰν εἰς τὴν πατρίδα διὰ τῆς Πομπηΐου σπουδῆς.
9 Καίσαρα δὲ πενταετῆ τῆς Γαλατίας ἀρχὴν εἰληχότα, μέγαν
A ἦραν αἱ τῇδε πράξεις. προεῖχον μὲν γὰρ οἱ βάρβαροι τῷ
τε πλήθει καὶ τοῖς μεγέθεσιν, οἱ δὲ δὴ Ῥωμαῖοι τῇ τε ἐμπειρίᾳ
καὶ ταῖς ὁπλίσεσι· καί πως καὶ πρὸς τὸν θυμὸν τῶν Κελ-
τῶν, τήν τε ἄκριτον καὶ προπετῆ αὐτῶν ὁρμὴν, ἀντίρροπον
τὸ τοῦ Καίσαρος φρόνημα εὑρίσκετο. τοσαύτας μέντοι μάχας
αὐτοὺς νενικήκει, καὶ τοσοῦτον πλῆθος αὐτῶν διεφθάρκει, ὡς
τοὺς Ῥωμαίους μαθόντας ταῦτα, καὶ ὅτι ἔθνη τοσαῦτα ὧν οὐ-
δὲ τὰ ὀνόματα πρότερον ἠκρίβουν, ἡρήκει, πεντεκαίδεκα ἐπ'
B αὐτοῖς ἡμέρας θῦσαι· ὅπερ οὔπω πρότερον ἐγεγόνει. κατὰ δὲ
τὸν καιρὸν τοῦτον Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς, ἐπα-
ναστάντων αὐτῷ τῶν Αἰγυπτίων, διὰ τὸ βιαίως μᾶλλον ἢ νομί-
μως ἄρχειν σφῶν, ἀπέδρασεν εἰς τὴν Ῥώμην· καὶ τοὺς δυνα-
τοὺς ἐθεράπευε χρημάτων δόσει, ἵνα κάθοδος αὐτῷ παρὰ τῶν
Ῥωμαίων γένοιτο εἰς τὴν ἰδίαν ἀρχήν. ἔπεμψαν δὲ καὶ Αἰγύ-
πτιοι πρέσβεις ἑκατὸν εἰς τὴν Ῥώμην κατηγορήσοντας αὐτοῦ,
οὓς ἐκεῖνος ἅπαντας ἠδυνήθη φαρμάκοις δολοφονῆσαι. καὶ
ἐπειδὴ καὶ τῷ δήμῳ τῶν Ῥωμαίων παράδεινον ἔδοξεν εἶναι τὸ
γεγονὸς, καὶ Δίων ὁ τῆς πρεσβείας ἐξάρχων δῆλος ἦν

κατηγορήσων αὐτοῦ, κἀκεῖνον ἐδολοφόνησε. καὶ οὐδεμίαν C
ἐπὶ τούτοις δίκην δέδωκε· τά τε γὰρ ἄλλα ὁ Πομπήϊος καὶ τῇ
οἰκίᾳ αὐτὸν ὑπεδέδεκτο, καὶ συνῄρετο. τοσοῦτον τότε ἡ δωρο-
δοκία ἴσχυεν ἐν τῇ Ῥώμῃ. καὶ ἡ Κύπρος ἡ νῆσος τῆς Πτολε-
μαίου ἀρχῆς οὖσα, τότε πρῶτον ὑπὸ τὴν Ῥωμαϊκὴν ἐγένετο
δυναστείαν. ἐν ταῖς αὐταῖς ἡμέραις ὁ Πομπήϊος τὸ θέα-
τρον ᾧ καὶ νῦν λαμπρυνόμεθα, καθιέρωσε. καὶ λέοντές τε ἐν
αὐτῷ πεντακόσιοι ἐν πέντε ἡμέραις ἀνηλώθησαν, καὶ ἐλέφαν-
τες ὀκτωκαίδεκα πρὸς ὁπλίτας ἐμαχέσαντο. καὶ αὐτῶν οἱ
μὲν παραχρῆμα ἀπέθανον, οἱ δὲ οὐ πολλῷ ὕστερον. ἠλεήθη-
σαν γάρ τινες ὑπὸ τοῦ δήμου παρὰ τὴν Πομπηΐου γνώμην D
ἐπειδὴ τραυματισθέντες τῆς μάχης ἐπαύσαντο, καὶ περιιόν-
τες τὰς προβοσκίδας εἰς τὸν οὐρανὸν ἀνέτειναν, καὶ θρηνώδη
βοὴν ἀφῆκαν. λέγεται δὲ περὶ αὐτῶν, ὅτι πρός τε τῆς φωνῆς
τῆς πατρῴας ἐπαΐειν, καὶ τῶν ἐν τῷ οὐρανῷ γινομένων συνί-
ασιν· ὥστε καὶ ἐν ταῖς νουμηνίαις, πρὶν ἐς ὄψιν τοῖς ἀνθρώ-
ποις τὴν σελήνην ἐλθεῖν, πρὸς τὸ ὕδωρ φανερὸν ἀφικνεῖ-
σθαι, κἀνταῦθα καθαρμόν τινα σφῶν ποιεῖσθαι. ἤκουσα δὲ καὶ
ἐκεῖνο, ὅτι τὸ θέατρον τοῦτο οὐχ ὁ Πομπήϊος ἐποίησεν, ἀλλὰ Δη-
μήτριος ἀπελεύθερος αὐτοῦ, ἐκ τῶν χρημάτων ὧν συστρατευό- 10
μενος αὐτῷ ἐπεπόριστο. τὴν μέντοι ἐπωνυμίαν τοῦ ἔργου ἑαυ- A
τῷ ἀνέθηκεν ὁ Πομπήϊος, ἵνα μὴ κακῶς ἀκούῃ ὅτι ἐξελεύ-
θερος αὐτοῦ τοσαῦτα ἠργυρολόγησεν ὥστε καὶ εἰς τηλικοῦτον
ἀνάλωμα ἐξικέσθαι. Καῖσαρ δὲ τόν τε Ῥῆνον πρῶτος Ῥω-
μαίων διέβη καὶ ἐς Βρεττανίαν μετὰ ταῦτα, τοῦ τε Πομπηΐου
καὶ τοῦ Κράσσου ὑπατευόντων, ἐπεραιώθη. ἡ δὲ χώρα αὕτη
ἀπέχει μὲν τῆς ἠπείρου τῆς Κελτικῆς κατὰ τοὺς λεγομένους Μο-
ρίνους, σταδίους πεντήκοντα καὶ τετρακοσίους τὸ συντομώτατον.
παρήκει δὲ παρά τε τὴν λοιπὴν Γαλατίαν, καὶ παρὰ τὴν
Ἰβηρίαν ὀλίγου πᾶσαν, ἐς τὸ πέλαγος ἀνατείνουσα. καὶ τοῖς
μὲν πάνυ παλαιοῖς καὶ Ἑλλήνων καὶ Ῥωμαίων, οὐδ' ὅτι B

τεῖν ἐγιγνώσκετο· τοῖς δὲ ἔπειτα ἐς ἀμφισβήτησιν, εἴτε ἤπειρος
εἴτε νῆσος εἴη, ἀφίκετο. καὶ πολλοῖς ἐφ' ἑκάτερον, εἰδόσι μὲν οὐ-
δέν, ἅτε μήτ' αὐτόπταις μήτ' αὐτηκόοις τῶν ἐπιχωρίων γενο-
μένοις, τεκμαιρομένοις δὲ ὡς ἕκαστοι σχολῆς ἢ φιλολογίας εἶχον,
συγγέγραπται. προϊόντος δὲ δὴ τοῦ χρόνου, πρότερόν τε ἐπ' Α-
γρικολάου ἀντιστρατήγου, καὶ νῦν ἐπὶ Σεβήρου αὐτοκράτορος, νῆ-
σος οὖσα σαφῶς ἐλήλεγκται. εἰς ταύτην ὁ Καῖσαρ περαιωθείς,
C οὐχ ὅσα ἤθελε πράξας, ὁμήρους τε παρ' αὐτῶν ὀλιγωτέρους
ὧν ἤτησεν εἰληφώς, ἐπανῆκεν εἰς τὴν Γαλατίαν, νεωτερίζειν
τοὺς Γαλάτας ἀκηκοώς. καὶ τούτῳ ὁ Τίβερις, εἴτ' οὖν ὄμ-
βρων ἄνω που ὑπὲρ τὴν πόλιν ἐξαισίων γενομένων, εἴτε καὶ σφο-
δροῦ πνεύματος ἐκ τῆς θαλάσσης τὴν ἐκροὴν αὐτοῦ ἀνακό-
ψαντος, ἐν τοῖς τοῦ ἄστεος πεδίοις αἰφνίδιον ἐπελάγισε, καὶ οἰ-
κίας πολλὰς κατέβαλε, καὶ ἀνθρώπους διώλεσε. Καῖσαρ δὲ καὶ
δεύτερον εἰς τὴν Βρεττανίαν περαιωθείς, ἐνίκησε τοὺς βαρβά-
ρους πολέμῳ· καὶ φόρον αὐτοῖς τάξας καὶ ὁμήρους λαβών, ἀ-
πῆρεν εἰς Γαλατίαν καὶ τοῖς ἐκείνῃ πολέμοις. ὥσπερ δὲ Καῖ-
D σαρ τὴν Γαλατίαν, οὕτω καὶ Κράσσος καὶ Πομπήϊος, ὁ μὲν
τὴν Συρίαν, ὁ δὲ τὴν Ἰβηρίαν λαχόντες, μᾶλλον δὲ βίᾳ λα-
βόντες, Πομπήϊος μὲν τοὺς στρατηγοὺς εἰς τὴν Ἰβηρίαν ἀφείς,
ἐν τῇ Ῥώμῃ καθῆστο, καὶ τὴν πόλιν ἐδημαγώγει· Κράσσος δὲ
ἐπὶ Πάρθους ἐστράτευσεν, ἐπιθυμίᾳ τοῦ ὅτι μάλιστα χρηματί-
σασθαι· καίτοι σημείων αὐτῷ κατὰ τὸ Ζεῦγμα τὸ περὶ τὸν Εὐφρά-
την (οὕτω γὰρ τὸ χωρίον ἐκεῖνο ἀπὸ τῆς Ἀλεξάνδρου διαβάσεως
κέκληται) οὐκ αἰσίων γεγενημένων. ὁ γὰρ ἀετὸς ὠνομασμένος· ἔστι
δὲ ναΐσκος μικρός, καὶ ἐν αὐτῷ ἀετὸς χρυσοῦς ἐνίδρυται, κα-
11 θίσταταί τε ἐν πᾶσι τοῖς ἐκ τοῦ καταλόγου στρατοπέδοις, καὶ αὐ-
A τὸν εἷς ἀνὴρ ἐπὶ δόρατος μακροῦ ἐς ὀξὺ τὸν σύρακα ἀπη-
γμένου, ὥστε καὶ ἐς τὸ δάπεδον καταπήγνυσθαι, φέρει. τούτων
οὖν τῶν ἀετῶν εἷς οὐκ ἠθέλησε τὸν Εὐφράτην αὐτῷ τότε συνδια-
βῆναι, ἀλλ' ἐν τῇ γῇ ἐνέσχετο ὥσπερ ἐμπεφυκώς, πρὶν δὴ πολλοὶ

περιστάντες αὐτὸν ἀνέσπασαν· καὶ ὁ μὲν καὶ ἄκων ἐπηκολούθησεν· ἡ δὲ γέφυρα, πρὶν πάντας αὐτοὺς διελθεῖν, διελύθη. ἐφ' ᾧ καὶ ἀθυμούντων τῶν στρατιωτῶν, παραμυθούμενος αὐτοὺς ὁ Κράσσος, Θαρσεῖτε, εἶπεν, ὦ ἄνδρες· ἐγὼ γὰρ ὑμῖν αὐτὸς ἐπομνὺς λέγω ὅτι οὐδεὶς ὑμῶν ἐντεῦθεν ἐπανήξει. διὰ γὰρ Ἀρμε- B
νίας τὴν ἐπάνοδον ποιήσασθαι ἔγνωκα. πρὸς οὖν τὸ, Οὐδεὶς ὑμῶν ἐντεῦθεν ἐπανήξει, ἐς ἀθυμίαν πλείω κατέπεσον. Πάρθοι δὲ πάλαι μὲν ὑπὸ τὴν Περσικὴν βασιλείαν ὄντες, ἐν μέρει χώρας βραχεῖ ᾤκουν, καὶ δυναστείαν ὑπερόριον οὐκ ἐκέκτηντο· ἐπεὶ δὲ ἥ τε τῶν Περσῶν ἀρχὴ κατελύθη, καὶ τὰ τῶν Μακεδόνων ἤκμασεν, οἵ τε τοῦ Ἀλεξάνδρου διάδοχοι στασιάσαντες πρὸς ἀλλήλους, ἀπανθεῖν ἤρξαντο καὶ μαραίνεσθαι, ἔς τε τὸ μέσον τότε πρῶτον ὑπ' Ἀρσάκου τινὸς ἀφίκοντο, ἀφ' οὗ περ οἱ ἔπειτα βασιλεύσαντες αὐτῶν, Ἀρσακίδαι ἐπωνομάσθησαν· καὶ εὐτυχήσαντες, τὴν Ἀσίαν σατραπείαις κατέσχον. εἰσὶ μὲν C
γὰρ ἱπποτοξόται πάντες, καὶ ὁ οὐρανὸς ἥ τε χώρα αὐτοῖς συναίρεται πρὸς ἀμφότερα. ὁ μὲν γὰρ, ξηρότατος ὢν, εὐτονωτάτας αὐτοῖς τὰς ὀξείας παρέχεται· ἡ δὲ πεδιάς ἐστι καὶ ἱππήλατος σύμπασα. τοῖς γοῦν Ῥωμαίοις ἀντίπαλοί εἰσι. πρὸς οὖν τούτους καὶ Ὀρώδην τὸν βασιλέα σφῶν ὁ Κράσσος ἐστράτευσε· καὶ αὐτὸς, καὶ ὁ υἱὸς αὐτοῦ Κράσσος, καὶ τὸ Ῥωμαϊκὸν σχεδὸν σύμπαν στράτευμα διεφθάρη. καὶ αὐτοῦ χρυσὸν ἐς τὸ στόμα οἱ Πάρθοι ἐνέτηξαν ἐπισκώπτοντες. οὕτω γὰρ δὴ πολυχρήματός τε καὶ φιλοχρήματος ἦν, ὡς καὶ οἰκτείρειν ὡς πένητας τοὺς μὴ δυνα- D
μένους στρατόπεδον ἐκ καταλόγου οἴκοθεν τρέφειν. Πάρθοι δὲ μέχρι τῆς Ἀντιοχείας αὐτῆς ἐλάσαντες, καὶ τὰ ἐν ποσὶ πάντα χειρούμενοι, ὑπὸ Κασσίου Λογγίνου ἀνεκόπησάν τε καὶ ὀπίσω ἐχώρησαν. καὶ τὰ μὲν Κράσσου πρὸς Πάρθους οὕτως ἠτυχήθη, καὶ ἡ τῆς συμφορᾶς μνήμη διὰ τὸ μέγεθος ἐξήρησε τῷ αἰῶνι. μετὰ δὲ ταῦτα πόλεμοι κατέλαβον ἐμφύλιοι μέγιστοι τοὺς Ῥωμαίους, Πομπηΐου καὶ Καίσαρος συμπεσόντων ἀλλήλοις. καὶ

12 προφάσεις μὲν λέγονται πολλαὶ τοῦ πολέμου· ἡ δὲ ἀληθεστάτη αἰτία ἡ φιλοπρωτία ἦν καὶ ἡ φιλαρχία. Πομπήιος μὲν γὰρ, καίτοι τὸ πρῶτον αὐτὸς αὐξήσας τὸν Καίσαρα, φθονεῖν ἤρξατο ἀτυχοῦντί τε καὶ λαμπρυνομένῳ· καὶ λάθρα πρότερον κολούειν αὐτοῦ τὴν ὑπεροχὴν σπεύδων, εἶτα καὶ φανερῶς ἐπολέμησε. Καῖσαρ δὲ μὴ φέρων ἐλαττωθῆναι, καὶ μέγιστος πάντων γενέσθαι σπουδάζων, τὴν Γαλατίαν ἀφεὶς, ἤλαυνεν εἰς τὴν Ῥώμην, ὡς ἀπαρασκεύοις ἔτι ληψόμενος τὸν Πομπήιον. αὐτὸς μὲν γὰρ παρασκευῆς ἕνεκα τῆς εἰς πόλεμον, καὶ γυμνασίας τῶν στρατοπέδων τοσοῦτον χρόνον ἐν τοῖς Γαλατικοῖς πολέμοις ἐξησκημένων, καὶ τοσαύταις νίκαις γεγαυρωμένων, ὑπό τε τῆς αὐτοῦ δωρεᾶς καὶ ὑποσχέσεων εὖ μάλα συγκεκροτημένων, ἑτοιμότατος ἦν. ὅθεν ὁ Πομπήιος ἐξέλιπε τὴν Ῥώμην, καὶ μετὰ τοῦτο τὴν Ἰταλίαν, τὴν σύγκλητον ἔχων ὀλίγου δεῖν σύμπασαν καὶ τὰ χρήματα. τὸν γὰρ ὑπομείναντα ἐν τῇ Ῥώμῃ, ἐν ἴσῳ, εἰ καὶ μετὰ τοῦ Καίσαρος μὴ ἦν, πολέμιον ἐψηφίσατο. καὶ εἰς τὸ Δυρράχιον ἀποπλεύσας, συμμάχους τε προσεκαλεῖτο, καὶ τὸ στράτευμα ἤσκει. πολλὰ μὲν οὖν καὶ παρὰ πολλῶν ἀρίστων τε καὶ δυνατῶν ἀνδρῶν ἐν τοῖς καιροῖς ἐκείνοις καὶ ἐπράχθη καὶ ἐρρήθη· διὰ δὲ τὸ τὴν ἐξουσίαν καὶ τὸ κῦρος σχεδὸν ἁπάντων εἰς Καίσαρα ἀνήκειν καὶ Πομπήιον, τούτων ἡ ἐπιτομὴ μνημονεύει καὶ μόνων. Καῖσαρ δὲ ὑπὸ Λεπίδου τοῦ ἐν τῇ πολιαρχίᾳ ὕστερον γενομένου δικτάτωρ ἀναγορευθεὶς, καὶ δεξάμενος τὴν ἀρχὴν, ταύτην μὲν ἐκεῖνος αὖθις ἀπέθετο, εἰ καὶ τὰ ἔργα αὐτῆς πάντα ἐποίει, ὥσπερ δὴ καὶ Πομπήιος, πράττοντες κατ' ἐξουσίαν ὅπως καὶ βούλοιντο, ἅτε καὶ τὰ στρατεύματα διὰ χειρὸς ἔχοντες. χρημάτων δὲ σπανίζων, τά τε ἀναθήματα τά τε ἄλλα καὶ τὰ ἐν τῷ Καπιτωλίῳ πάντα ἀφείλετο· ἐπεὶ δὲ αὐτοῦ τῇ τύχῃ θύοντος, ὁ ταῦρος πρὶν καὶ τρωθῆναι, ἔξω τῆς πόλεως ἐξεχώρησε, καὶ πρὸς λίμνην ἐλθὼν, διενήξατο αὐτήν· καὶ

οἱ μάντεις μένοντι μὲν αὐτῷ οἴκοι, ὄλεθρον, περαιωθέντι δὲ τὴν θάλασσαν, καὶ σωτηρίαν καὶ νίκην ἔσεσθαι ἔφασαν, οὕτω δὴ ἐξεστράτευσε κατὰ τοῦ Πομπηίου. ἀφορμηθέντος δὲ αὐτοῦ, οἱ παῖδες οἱ ἐν τῇ πόλει ὄντες δίχα τε ἐσμήνθησαν αὐτοκέλευστοι, καὶ οἱ μὲν Πομπηιανοὺς σφᾶς, οἱ δὲ Καισαρείους ὀνομάσαντες, ἐμαχέσαντο τρόπον τινὰ ἄνευ ὅπλων ἀλλήλοις· καὶ ἐπεκράτησαν ὅσοι τῇ τοῦ Καίσαρος προσωνυμίᾳ ἐχρῶντο. Καῖσαρ δὲ λαθὼν τὸν Βίβουλον, ᾧ ἡ θάλασσα φρουρεῖσθαι προσετέτακτο, ἐπεραιώθη, καὶ τὴν Ἀπολλωνίαν, ἄλλά τε τὴν ἐκεῖ χωρίαν ἐκλειφθέντα ὑπὸ τῶν Πομπηίου φρουρῶν, παρεστήσατο. 13 A
ἡ δὲ αὕτη ἐν καλῷ μὲν τῆς γῆς, ἐν καλῷ δὲ τῆς θαλάττης ποταμῶν τε ἄριστα κεῖται· ὅτι μάλιστα διὰ πάντων ἐθαύμασα, πῦρ πολὺ πρὸς τῷ Αὔῳ ποταμῷ ἀναδίδοται, καὶ οὔτε ἐπὶ πλεῖον τῆς πέριξ γῆς ἐπεξέρχεται, οὔτ᾽ αὐτὴν ἐκείνην ἐν ᾗ διαιτᾶται, ἔκπυρον ἢ καὶ κραυροτέραν ποιεῖ, ἀλλὰ καὶ πόας, καὶ δένδρα καὶ πάνυ πλησίον θάλλοντα ἔχει· πρός τε τὰς ἐπιχύσεις τῶν ὄμβρων ἐπαύξει, καὶ ἐς ὕψος ἐξαίρεται. Καῖσαρ δέ, βραδύνοντος τοῦ Ἀντωνίου, ᾧ τοὺς ὑπομείναντας ἐν τῷ Βρεντεσίῳ κομίσαι ἐπετέτακτο, βουληθεὶς αὐτὸς καὶ μόνος γε εἰς τὴν Ἰταλίαν πλεῦσαι, ἐπέβη μὲν ἀκατίου τινός, ὥς τις ἄλλος, λέγων ὑπὸ τοῦ Καίσαρος πεπέμφθαι· καὶ τὸν κυβερνήτην αὐτοῦ, καίπερ πνεύματος ὄντος, ἐξεβιάσατο ἀναχθῆναι· ὡς μέντοι γε ἀπὸ τῆς γῆς ἐγένοντο, καὶ ὅ,τε ἄνεμος ἰσχυρῶς κατέσπερχε, καὶ ὁ κλύδων δεινῶς σφᾶς ἐξετάραττεν, ὥστε τὸν κυβερνήτην καὶ ἄκοντος αὐτοῦ ἐπανιέναι ἐπιχειρῆσαι, ἐξέφηνεν ἑαυτόν, καθάπερ ἐκ τούτου καὶ τὸν χειμῶνα παύσων, καὶ ἔφη, Θάρσει· Καίσαρα γὰρ ἄγεις. τοιοῦτον μὲν δὴ φρόνημα καὶ τοιαύτην ἐλπίδα ἤτοι τὴν ἄλλως ἢ ἐκ μαντείας τινὸς εἶχεν, ὥστε καὶ παρὰ τὰ φαινόμενα πίστιν τῆς σωτηρίας ἐχέγγυον ποιεῖσθαι. οὐ μέντοι καὶ ἐπεραιώθη. Πομπήιος δὲ ῥαδίως αὐτὸν ἐλπίσας, πρὶν καὶ τοὺς ἄλλους τοὺς μετὰ Ἀντωνίου ὄντας προσλαβεῖν, κατεργάσασθαι, σπουδῇ B C

πρὸς τὴν Ἀπολλωνίαν μετὰ τῆς δυνάμεως ἤλασε· καὶ τὸν Ἄ-
ψον ποταμὸν, παρ' ὃν Καῖσαρ ἐστρατοπέδευε, διαβῆναι ἐπεχεί-
ρησεν. ὡς δὲ ἡ γέφυρα βάρος λαβοῦσα διηρέθη, καί τινες τῶν
προδιαβεβηκότων μονωθέντες ἀπώλοντο, ἐπέσχεν, ἀθυμήσας
D ὅτι πρῶτον τῶν τοῦ πολέμου ἔργων ἁπτόμενος ἐπταίκει· κἀν
τούτῳ καὶ τοῦ Ἀντωνίου ἐπελθόντος, φοβηθεὶς ἀπεχώρησε πρὸς
τὸ Δυρράχιον. ἕως μὲν γὰρ ὁ Βίβουλος ἔζη, οὐδ' ἀπάραι ἐκεῖνος
ἐκ τοῦ Βρεντησίου ἐτόλμησεν· ἐπεὶ δὲ αὐτός τι ἐκκαμὼν ὑπὸ τῆς
ταλαιπωρίας, ἐτελεύτησε, καὶ τὴν ναυαρχίαν ὁ Λίβων διεδέ-
ξατο, κατεφρόνησεν αὐτοῦ, καὶ ἀνήχθη. τὸ δὲ Δυρράχιόν ἐστιν ἡ
Ἐπίδαμνος ἡ τῶν Κερκυραίων· τινὲς δὲ οὕτω μετονομασθῆναι
τὴν Ἐπίδαμνον ὑπὸ τῶν Ῥωμαίων πρὸς τὴν τῆς ῥαχίας
δυσχέρειαν ἔφασαν, ὅτι ἡ τῆς Ἐπιδάμνου πρόρρησις ζημιώδη
14 δήλωσιν ἐν τῇ τῶν Λατίνων γλώσσῃ ἔχουσα, δυσοιώνιστος σφί-
A σιν ἐς τὸ περαιοῦσθαι ἐς αὐτὴν, ἔδοξεν εἶναι. πρὸς οὖν τοῦτο τὸ
Δυρράχιον ὁ Πομπήϊος καταφυγὼν, στρατόπεδόν τε ἔξω τῆς
πόλεως ἐποιήσατο, καὶ τάφρους βαθείας σταυρώματά τε ἰσχυ-
ρὰ περιεβάλετο. πολλαὶ μὲν μάχαι αὐτῶν, βραδεῖαι δ' ὅμως
ἐγένοντο. αὐτοῦ δὲ δὴ τοῦ Δυρραχίου ὁ Καῖσαρ μεταξὺ τῶν τε
ἑλῶν καὶ τῆς θαλάσσης, νυκτὸς ὡς καὶ προδοθησομένου πει-
ράσας, εἴσω μὲν τῶν στενῶν παρῆλθε· προσπεσόντων δέ οἱ ἐν-
ταῦθα πολλῶν μὲν κατὰ πρόσωπον, πολλῶν δὲ καὶ κατόπιν, οἳ
πλοίοις περικομισθέντες ἐξαίφνης αὐτῷ ἐπέθεντο, συχνοὺς ἀ-
πέβαλε, καὶ ὀλίγου καὶ αὐτὸς ἐφθάρη. διὸ καὶ ἄρας ἐξαίφνης νυ-
B κτὸς, ἐς Θεσσαλίαν ὥρμησε. Πομπήϊος δὲ, ὡς καὶ διαπεπολε-
μηκὼς, τὸ μὲν τοῦ αὐτοκράτορος ὄνομα ἔλαβεν, οὐ μέντοι καὶ ἐμε-
γαληγόρει τι. ἐπὶ δὲ δὴ τὸν Καίσαρα μετὰ τοῦτο ὁρμήσας, ἐς τὴν
Θεσσαλίαν ἀφίκετο, κἀνταῦθα συνέβαλον τὰ στρατεύματα·
Πομπήϊος μὲν οὐδενὸς ἀνθρώπων δεύτερος, Καῖσαρ δὲ καὶ πρῶ-
τος πάντων εἶναι ἐπιθυμῶν· ἀμφότεροι δὲ ἀξιοστρατηγότατοι καὶ
ἀξιονικώτατοι ὄντες, καὶ πάντων ἄριστοι τὰ πολέμια. Πομπήϊος

μὲν τῇ τε.

μὲν τῇ τε Ἀφρικῇ καὶ τῷ Σερτωρίῳ, τῷ τε Μιθριδάτῃ καὶ τῷ
Τιγράνῃ, καὶ τοῖς κατὰ θάλασσαν στρατηγήμασι σεμνυνόμενος·
Καῖσαρ δὲ, τῇ τε Γαλατίᾳ καὶ τῇ Ἰβηρίᾳ, τῷ τε Ῥήνῳ καὶ τῇ Βρε-
ττανίᾳ γαυρούμενος. συνορώντων δὲ τῶν ταγμάτων μετὰ τὴν C
ἐκείνων φιλαρχίαν, καὶ τῶν ὁμοφύλων ἀλλήλοις συμπεπτωκό-
των, ἐλεεινὸν ἦν τὸ γιγνόμενον. ἐγνώριζόν τε γὰρ ἅμα τοὺς ἀντιπά-
λους, καὶ ἐπιτρώσκοντες ἀνεκάλουν, καὶ ἐφόνευον· τῶν πατρίδων
ἐμέμνηντο, καὶ ἐσκύλευον· καὶ πολλοὶ πολλὰ καὶ οἴκαδε δι' αὐ-
τῶν τῶν σφαγέων ἐνετέλλοντο. προεῖχον δὲ οἱ Πομπηΐειοι τῇ τε
ἱππείᾳ καὶ τῇ τοξείᾳ, καὶ διὰ τοῦτο πόρρωθέν τε ἐγκυκλούμενοί τι-
νας, προσβολαῖς αἰφνιδίοις ἐχρῶντο, καὶ συνταράξαντες αὐ-
τοὺς ἐξανεχώρουν· εἶτ' αὖθις καὶ μάλ' αὖθις ἐπετίθεντο σφίσι,
τοτὲ μὲν ἐνταῦθα, τοτὲ δὲ ἐκεῖσε μεθιστάμενοι. οἱ οὖν Καισάρειοι D
ταῦτά τε ἐφυλάσσοντο, καὶ τὰς τάξεις σφῶν ἐξελίσσοντες, ἀντι-
πρόσωποί τε ἀεὶ τοῖς προσβάλλουσιν ἐγίγνοντο, καὶ ὁμόσε αὐτοῖς
χωροῦντες, τῶν τε ἀνδρῶν καὶ τῶν ἵππων ἀντελαμβάνοντο, προ-
θύμως ἀγωνιζόμενοι. καὶ γὰρ πεζοὶ τοῖς ἱππεῦσιν αὐτῶν κοῦφοι
ἐπ' αὐτὸ τοῦτο συνετετάχατο. καὶ ταῦτα οὐ καθ' ἕνα, ὥσπερ εἶ-
πον, ἀλλὰ πολλαχῇ ἅμα σποράδην ἐγίγνετο. ὥστε τῶν μὲν πόρ-
ρωθεν μαχομένων, τῶν δὲ συσταδὸν ἀγωνιζομένων· καὶ τῶν μὲν
παιόντων τινὰς, τῶν δὲ παιομένων· φευγόντων ἑτέρων, διω-
κόντων ἄλλων, πολλὰς μὲν πεζομαχίας, πολλὰς δὲ ἱππομαχίας 15
ὁρᾶσθαι. κἀν τούτῳ καὶ παράδοξα συχνὰ συνέβαινε. καὶ γὰρ A
τρέψας τις τινὰ, ἐτρέπετο· καὶ ἄλλος ἐκκλίνας τινὰ, ἀντεπετίθε-
το αὐτῷ· πλήξας τις ἕτερον, αὐτὸς ἐπιτρώσκετο· καὶ πεσὼν κάτω
ἄλλος, τὸν ἑστηκότα ἀπέκτεινε. καὶ πολλοὶ μὲν καὶ ἄτρωτοι ἔθνη-
σκον, πολλοὶ δὲ καὶ ἡμιθνῆτες ἐφόνευον· καὶ οἱ μὲν ἔχαιρον καὶ ἐ-
παιώνιζον, οἱ δὲ ἐλυποῦντο καὶ ὠλοφύροντο, ὥστε βοῆς καὶ στε-
ναγμῶν πάντα πληρωθῆναι. τέλος δὲ ἰσορρόπως αὐτῶν ἐπὶ
μακρότατον ἀγωνισαμένων, ὁ Πομπήϊος, ἅτε καὶ Ἀσιανὸν καὶ
ἀγύμναστον τὸ πλεῖον τοῦ στρατοῦ ἔχων, ἡττήθη· ὥσπερ που καὶ B

τὸ δαιμόνιον αὐτῷ προεσήμαινε· κεραυνοί τε γὰρ ἐς τὸ στρατόπε-
δον αὐτοῦ ἐνέπεσον, καὶ τὰ στρατιωτικὰ σημεῖα μέλισσαι περιέ-
σχον. ὁ μέντοι Καῖσαρ τοῖς ἑαλωκόσι τῶν ἱππέων καὶ βουλευτῶν
φιλανθρώπως ἐχρήσατο· καὶ τὰ γράμματα τὰ ἐν τοῖς Πομ-
πηΐου κιβωτίοις εὑρεθέντα, ὅσα τινῶν τήν τε πρὸς ἐκεῖνον εὔ-
νοιαν καὶ τὴν πρὸς αὐτὸν δύσνοιαν ἤλεγχεν, οὔτ' ἀνέγνω, οὔτ'
ἐξεγράψατο, ἀλλ' εὐθὺς κατέφλεξεν, ὅπως μηδὲν ἀπ' αὐτῶν
δεινὸν ἀναγκασθῇ δρᾶσαι. ἀμέλει καὶ ἀπὸ τούτου τοὺς πολλοὺς
C ἀνηρτήσατο. Πομπήϊος δὲ πολλῷ τοῦ Καίσαρος περιοχεῖν ἐλπί-
ζων, οὐδὲν τῶν συμφερόντων προεΐδετο. οὔκουν οὐδὲ τὸ στρα-
τόπεδον ἐν ἐπιτηδείῳ ἐποιήσατο, οὐδ' ἀναφυγὴν οὐδεμίαν
ἐνθυμηθέντι οἱ παρεσκεύασε· πταῖσαί τι δυνηθεὶς ἂν τὰ πράγμα-
τα, κἀκ τούτου ἀμαχεὶ κρατῆσαι, ὅμως, εἴτε ἐθελοντὴς, ὡς καὶ
πάντως νικήσων, εἴτε καὶ ὑπὸ τῶν συνόντων ἐκβιασθεὶς, συνέ-
βαλε. καὶ διὰ τοῦτ' ἐπειδὴ τάχιστα ἐνικήθη, δεινῶς ἐξεπλάγη·
καὶ οὔτε τι βούλευμα καίριον, οὔτ' ἐλπίδα βεβαίαν ἐς τὸ ἀνα-
κινδυνεῦσαι ἔσχεν. οὐ γὰρ θέλουσιν οἱ λογισμοὶ τοῖς φόβοις συν-
D εἶναι, ἀλλ' ἂν μὲν προκατάσχωσί τινα, καὶ μάλα γενναίως
αὐτοὺς ἀπωθοῦνται· ἂν δ' ὑστερήσωσιν, ἡττῶνται. διὰ τοῦτό τε, τὸ
ἔρυμα εὐθὺς ἐξέλιπε, καὶ εἰς Αἴγυπτον ἀπῆρε· κἀκεῖ ἐπιβου-
λευθεὶς ἀνῃρέθη. Αἰγύπτιοι δὲ μετὰ τὴν ἀνοσίαν ταύτην πρᾶ-
ξιν, τὸ μὲν πρῶτον τῇ Κλεοπάτρᾳ δουλεύειν, ὅπερ ἥκιστα ἐ-
βούλοντο, παρεδόθησαν· ἔπειτα δὲ ἐς τὸ τῶν Ῥωμαίων ὑπήκοον
ἐνεγράφησαν. καλὸν γὰρ τῶν ἐναγῶν ἔργων τὰ ἐπίχειρα καὶ τῷ
τῆς ἱστορίας λόγῳ δῆλον καὶ παρ' αὐτὰ τὰ ἔργα ἐπάγειν.

ΚΑΙΟΣ ΙΟΥΛΙΟΣ
Καῖσαρ.

ΠΟΜΠΗΙΟΣ μὲν δὴ, κράτιστος Ῥω- 16 A
μαίων νομισθεὶς, (ὥστε καὶ Ἀγαμέμνων
ἐπικαλεῖσθαι, ἅτε καὶ χιλίων ἄρξας νεῶν)
ἐν αὐτῇ τῇ ὀγδόῃ ἡμέρᾳ ἐν ᾗ ποτε τά τε τοῦ
Μιθριδάτου καὶ τὰ τῶν καταποντιστῶν
ἐπινίκια ἤγαγεν, ἐσφάγη. καὶ τὸ θαυμαστὸν, ὅτι ἐς πάντας
τοὺς πολίτας τοὺς Κασσίους ἐκ χρησμοῦ τινος ὑποπτεύων,
πρὸς μὲν ἀνδρὸς Κασσίου οὐδενὸς ἐπεβουλεύθη· παρὰ δὲ
δὴ τῷ ὄρει τῷ τὴν ἐπίκλησιν ταύτην ἔχοντι καὶ ἀπέθανε,
καὶ ἐτάφη. Καίσαρι δὲ οὕτως ἐν τύχῃ πάντα προυχώ- B
ρει, ὥστε καὶ τὸν Ἑλλήσποντον ἐν πορθμείῳ τινὶ περαιού-
μενος, ἐνέτυχε μὲν τῷ Πομπηίου ναυτικῷ, οὐ μόνον δὲ οὐ-
δὲν δεινὸν ἔπαθεν, ἀλλὰ καὶ προσκαταπλήξας σφᾶς προσ-
εποιήσατο. ἀπιὼν δὲ εἰς Αἴγυπτον, καὶ τὴν Πομπηίου κε-
φαλὴν προσενεχθεῖσαν αὐτῷ θεασάμενος, καὶ ἐδάκρυσε
καὶ κατωλοφύρατο. ἐπὶ μέντοι τῇ προσποιήσει ταύτῃ γέ-
λωτα ὤφλισκανε. τῆς γὰρ δυναστείας δεινῶς ἀπ' ἀρχῆς ἐφιέ-
μενος, καὶ ἐκεῖνον ὡς ἀνταγωνιστὴν καὶ ὡς ἀντίπαλον ἀεί πο- C
τε μισήσας, καὶ ἐς τὴν Αἴγυπτον οὐ δι' ἄλλο τι ἐπειχθεὶς ἢ ἵ-
να αὐτὸν, εἰ περιείη, κατεργάσηται, ποθεῖν τε αὐτὸν ἐπλάτ-
τετο, καὶ ἀγανακτεῖν τῷ ὀλέθρῳ αὐτοῦ ἐσκήπτετο. διὰ δὲ τοῦ
Καλουΐνου τοῦ ὑποστρατήγου τὰς Ἀθήνας ἑλὼν, ἐθελουσίως
αὐτῷ μετὰ τὸν θάνατον τοῦ Πομπηίου προσχωρησάσας, ἀ-
θώους ἀφῆκε, τοσοῦτον μόνον εἰπὼν, ὅτι πολλὰ ἁμαρτάνοντες
ὑπὸ τῶν νεκρῶν σώζοιντο. τὸν δὲ δακτύλιον τοῦ Πομπηίου

ἐς τὴν Ῥώμην ἀφελόμενος ἔπεμψεν, ἵνα πιστώσηται αὐτοῦ τὴν
ἀναίρεσιν. ἐνεγέγλυπτο δὲ ἐν αὐτῇ τρόπαια τρία, ὥσπερ καὶ ἐν
τῇ τοῦ Σύλλου. αὐτὸς δὲ ἐνεχρόνιζε τῇ Αἰγύπτῳ διὰ τοὺς Κλεο-
D πάτρας ἔρωτας. ἦν γὰρ ἐρωτικώτατος, καὶ πλείσταις καὶ ἄλλαις
ὅσαις που περιετύχοι, συνεγίνετο. Κλεοπάτρα δὲ καὶ περικαλλε-
στάτη γυναικῶν ἐγένετο, καὶ τότε ἐν τῇ τῆς ὥρας ἀκμῇ πολὺ διέπρε-
17 πε, τό, τε φθέγμα ἀστειότατον εἶχε. καὶ προσομιλῆσαι παντί τῳ
A διὰ χαρίτων ἠπίστατο, διαφερομένη δὲ πρὸς τὸν ἀδελφὸν τη-
νικαῦτα, τὸ μὲν πρῶτον διὰ τῶν φίλων παρὰ τῷ Καίσαρι ἐ-
δικάζετο, ἔπειτα προδίδοσθαι ὑπὸ τῶν φίλων εἰποῦσα, αὐτὴ
δι' ἑαυτῆς ἠξίωσεν ἀγωνίσασθαι. ὁ δὲ δὴ Καῖσαρ, ἰδών τε αὐ-
τὴν, καί τι φθεγξαμένης ἀκούσας, οὕτως εὐθὺς ἐδουλώθη,
ὥστε αὐτίκα τὸν Πτολεμαῖον μεταπέμψασθαι, καὶ συνδικεῖν
ταύτῃ μᾶλλον ἢ δικάζειν ἀμφοῖν. ὁ οὖν παῖς διά τε τοῦτο, καὶ ὅτι
τὴν ἀδελφὴν αἰφνιδίως εἶδεν ἔνδον οὖσαν, ὀργῆς τε ἐπληρώ-
θη, καὶ ἐκπηδήσας ἐς τὸ πλῆθος ἐβόα λέγων προδίδοσθαι. τότε
B μὲν οὖν ὁ Καῖσαρ μόλις ἠδυνήθη τόν τε Αἰγυπτίων θόρυβον
καταστεῖλαι, καὶ αὐτοὺς διαλλάξαι. ὕστερον δὲ μεγάλως ἐκινδύνευ-
σε, τοὺς στρατιώτας οὐκ ἔχων, ἅτε μηδὲν αὐτῶν δεόμενος, ἄλλοις
δὲ ἄλλῃ τῆς Συρίας διαφεικὼς, τοῦ στρατηγοῦ τῶν Αἰγυπτίων
Ἀχιλλᾶ ἐπαναστάντος αὐτῷ· καί ποτε αὐτοῦ εἰς τὴν Φάρον ἀ-
ποβάντος, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ φονεύσαντος, ἰδόντες
τοῦτο οἱ ἐν τῇ ἠπείρῳ Αἰγύπτιοι, κατά τε τὰς γεφύρας ἐπιβοή-
θησαν αὐτοῖς, καὶ συχνοὺς τῶν Ῥωμαίων ἀποκλείσαντες, τοὺς λοι-
C ποὺς ἐς τὰς ναῦς ἐσήραξαν. ἄλλοι τε οὖν πολλοὶ ἐς τὴν θάλασ-
σαν ἐξέπεσον, καὶ ὁ Καῖσαρ κἂν διεφθάρη κακῶς, ὑπό τε τῶν
ἱματίων βαρυνόμενος, καὶ ὑπὸ τῶν Αἰγυπτίων βαλλόμενος,
(ἁλουργῶν γὰρ αὐτῶν ὄντων κατεστοχάζοντο) εἰ μὴ καὶ ἐκεῖνα ἀπέρ-
ριφε, καὶ μετὰ τοῦτο διανεύσας πη ἐς ἀκάτιον ἐσβεβήκει. καὶ ὁ μὲν
οὕτως ἐσώθη, μηδὲν τῶν γραμμάτων βρέξας, ἃ πολλὰ ἐν τῇ
ἀριστερᾷ χειρὶ ἔχων ἀνήξατο. τὴν δὲ δὴ ἐσθῆτα αὐτοῦ οἱ Αἰγύ-

πολῖται λαβόντες, πρὸς τὸ τρόπαιον ὃ ἔστησαν, ἀνεκρέμασαν. τῶν
δὲ στρατιωτῶν μετὰ ταῦτα παραγιγνομένων τῷ Καίσαρι, τήν
τε Αἴγυπτον ἐχειρώσατο, καὶ τῇ Κλεοπάτρᾳ ἧς περ ἕνεκα ἐπο-
λέμησεν, ἐχαρίσατο. ἀπὸ δὲ τῆς Αἰγύπτου ἐπὶ τὸν Φαρνάκην D
τὸν Μιθριδάτου παῖδα χωρήσας, τὸν Πόντον περιποιούμενον
ἑαυτῷ, αὐθημερὸν προσβαλὼν, ἐνίκησε· κἀντεῦθεν ἐπὶ τὴν
Ἰταλίαν ἤλασε. γέγονε δὲ ὁ ἀνὴρ οὗτος χρηματοποιὸς μάλιστα,
δύο εἶναι λέγων τὰ τὰς δυναστείας παρασκευάζοντα, καὶ φυλάσ-
σοντα, καὶ ἐπαύξοντα, στρατιώτας καὶ χρήματα. καὶ ταῦτα δι' ἀλ-
λήλων συνεστηκέναι· τῇ τε γὰρ τροφῇ τὰ στρατεύματα συνέχε-
σθαι, καὶ ἐκείνην ἐκ τῶν ὅπλων συλλέγεσθαι. καὶ ταῦτα μὲν οὕτω
καὶ ἔλεγε καὶ ἐφρόνει. καθημένου δὲ αὐτοῦ ἐν τῇ Ῥώμῃ, ἄρ αὖτις
ἐκ Καμπανίας οἱ στρατιῶται, (ἐκεῖ γὰρ ὡς καὶ ἐς τὴν Ἀφρικὴν 18
προπλευσούμενοι ἦσαν) ἐπῄεσαν τῇ Ῥώμῃ μηδὲν φειδόμενοι. A
ὁ οὖν Καῖσαρ ὡς τάχιστα τῆς προσόδου αὐτῶν ᾔσθετο, ἠθέλη-
σε μὲν τὸ δορυφορικὸν ἐπ' αὐτοὺς ἀντιπέμψαι· φοβηθεὶς δὲ μὴ
καὶ ἐκεῖνοι συστασιάσωσιν αὐτοῖς, ἡσύχασεν. ἐς δὲ τὸ προάστειον
ἐλθοῦσιν αὐτοῖς προσέπεμψε, καὶ ἐπύθετο τί βουλόμενοι καὶ τίνος
χρῄζοντες ἥκοιεν. ἀποκριναμένων δὲ σφῶν, ὅτι αὐτῷ ἐκείνῳ ἐ-
ροῦσιν, ἐπέτρεψεν αὐτοῖς ἄνευ τῶν ὅπλων, πλὴν τῶν ξιφῶν,
(ταῦτα γὰρ οὐδ' ἂν ὑπέμειναν καταθέσθαι) εἰσελθεῖν εἰς τὸ ἄ-
στυ. δεινῶς δὲ αὐτῶν ἐγκειμένων ἀφεθῆναι τῆς στρατείας, ἅτε
πολλὰ πεπονηκότων καὶ μὴ τετυχηκότων ὧν ἤλπισαν, (οὐχ ὅτι καὶ B
ἰδιωτεῦσαι ἐβούλοντο, ἀλλ' ὅτι καταπλήξειν τε τὸν Καίσαρα, καὶ
πᾶν ὁποιοῦν καταπράξειν ἐνόμιζον) ἐκεῖνος παρὰ τὴν ἁπάν-
των δόξαν, ὀρθῶς αὐτοὺς ἔφη λέγειν, καὶ πάντας αὐτοὺς παρα-
χρῆμα, ὡς μηδὲν δῆθεν αὐτῶν δεόμενος, ἀφῆκε. καὶ τὰ γέρα
ἐνδεῆ δοὺς, ὑπέσχετο τὰ τοῖς τὸν τεταγμένον χρόνον ἐστρατευ-
μένοις διδόμενα. καταπλαγέντες δὲ μετεβάλοντο, καὶ συστρα-
τεύσειν ἀπροφασίστως ὑπέσχοντο. τοῦ δὲ μηδὲν αὐτῶν δεῖσθαι λέ- C
γοντος, καὶ σοφιζομένου τοιαῦτά τινα, (πάνυ γὰρ αὐτῶν ἐχρῄζεν)

ἰσχυρῶς ἐδέοντο, συγγνώμην αἰτοῦντές τινες ἐφ' οἷς ἐθορύβησαν. συγγνοὺς δὲ μόλις αὐτοῖς, καὶ τοὺς θρασεῖς ἀπολέξας, τοῖς λοιποῖς ἐχρήσατο· τοὺς μέντοι πάνυ θορυβώδεις, ἄλλους κατ' ἄλλην πρόφασιν ἐν τοῖς πολέμοις ἀνήλισκε, τούς τε ἐναντίους δι' αὐτῶν κατεργαζόμενος. μετὰ δὲ ταῦτα τῇ συνήθει χρησάμενος ὀξύτητι, δι' ἧς τὰ πολλὰ κατώρθου, χειμῶνος εἰς τὴν Ἀφρικὴν ἐπεραιώθη. ἐκβαίνοντι δὲ αὐτῷ τῆς νεὼς συντυχία τοιάδε ἐγένετο· ἐπει-
D δὴ γὰρ ἅμα τῷ τῆς γῆς ἐπιβῆναι προσέπταισε, καὶ αὐτὸν πεσόντα ἐπὶ στόμα οἱ στρατιῶται ἰδόντες, ἠθύμησαν, καὶ δυσανασχετήσαντες ἐθορύβησαν, οὐ διηπορήθη, ἀλλ' ἐκτείνας τὴν χεῖρα, τήν τε γῆν, ὡς ἑκὼν δὴ πεσὼν, περιέλαβε καὶ κατεφίλησε, καὶ ἀναβοήσας εἶπεν, Ἔχω σε Ἀφρική. εἶχον δὲ αὐτὴν τότε Κάτων καὶ Σκιπίων, καὶ τὸν Ἰόβαν τὸν Λίβυν ἔχοντες σύμμαχον. προεῖχε δὲ ὁ μὲν Κάτων συνέσει τε καὶ δικαιοσύνῃ, ὁ δὲ Σκιπίων γένει καὶ ἀ-
19 ξιώματι, καὶ διὰ τοῦτο καὶ τοῦ στρατοπέδου ἦρχε, παραχωρήσαν-
A τος Κάτωνος. Καῖσαρ δὲ χρόνῳ καὶ τοῦτον νικήσας, καὶ τὸν μὲν Ἰόβαν οὕτω κατέπληξεν, ὥστε ἀπογνόντα τὴν σωτηρίαν, τῷ Πετρείῳ τῷ ὑποστρατήγῳ τοῦ Σκιπίωνος, μηδὲ αὐτῷ ἐλπίζοντι τυχεῖν ἀδείας, μονομαχῆσαι καὶ συναποθανεῖν. Σαλούστιον δέ τινα συνόντα αὐτῷ, καὶ ταυτὶ τὰ πράγματα συγγραψάμενον, ἄρχειν τῆς Ἀφρικῆς ἔταξε, τῷ τε μὲν λόγῳ, τῷ μέντοι ἔργῳ ἄγειν αὐτὴν καὶ φέρειν. ἀμέλει καὶ ἐδωροδόκησε πολλὰ καὶ ἥρπασε. καὶ πολλὰ καὶ πικρὰ περὶ τῶν ἐκκαρπουμένων τινὰς εἰπὼν, οὐκ ἐ-
B μιμήσατο τῷ ἔργῳ τοὺς λόγους· ὅθεν εἰ καὶ τὰ μάλιστα κατηγορηθεὶς ἀφείθη ὑπὸ τοῦ Καίσαρος, ἀλλ' αὐτός γε ἑαυτὸν, καὶ πάνυ τῇ συγγραφῇ ἐσιώπησε. μετὰ δὲ τὴν νίκην ταύτην, ἄλλα τε πολλὰ τῷ Καίσαρι οἱ Ῥωμαῖοι, κολακεύοντές τε αὐτὸν καὶ φοβούμενοι, καθάπερ που καὶ πρότερον ἐψηφίσαντο, καὶ ἐπὶ εἰκόνα αὐτὸν τῆς οἰκουμένης χαλκοῦν ἐπιβιβάσαι, γραφὴν ἔχοντα, ὅτι ἡμίθεός ἐστι. θριάμβους δὲ κατήγαγεν ἐπὶ τέσσαρσιν ἐφεξῆς ἡμέραις, τόν τε Γαλατῶν, καὶ τὸν Αἰγύπτου, τόν τε Φαρνάκου,

καὶ τὸ τοῦ Ἰόβου, καὶ τὴν Ἀρσινόην τὴν τῆς Αἰγύπτου βασίλισσαν ἐν ταῖς αἰχμαλώτοις παραγαγών, πρὸς μὲν τῶν ἄλλων ἐπὶ τοῖς μεγέθεσι καὶ πλήθεσι τῶν πράξεων ἐθαυμάζετο, πρὸς δὲ τῶν C στρατιωτῶν ἐπωθάζετο. τόν τε γὰρ τῆς Κλεοπάτρας αὐτοῦ ἔρωτα ἔσκωπτον, καὶ τὴν παρὰ τοῦ Νικομήδους τοῦ Βιθυνίας βασιλεύσαντι διατριβήν, ὅτι μειράκιόν ποτε παρ' αὐτῷ ἐγεγόνει, διεκερτόμησαν· ὥστε καὶ εἰπεῖν, Καῖσαρ μὲν Γαλάτας ἐδουλώσατο, Καίσαρα δὲ Νικομήδης. τέλος δὲ ἐφ' ἅπασιν αὐτοῖς ἀθρόοι ἀναβοήσαντες, εἶπον ὅτι, Ἂν μὲν καλῶς ποιήσῃς, κολασθήσῃ· ἂν δὲ κακῶς, βασιλεύσεις. ἔτι δὲ αὐτοῖς ἐβούλετο δηλοῦν ὅτι ἂν μὲν ἀποδώσῃ τῷ δήμῳ αὐτονομίαν (ὅπερ που δίκαιον ἐνόμιζον εἶναι) κριθήσεται ἐφ' οἷς ἔξω τῶν νόμων εἰργάσατο, καὶ δίκην ὑφέξει· ἂν δὲ τῇ δυναστείᾳ ἐμμένῃ (ὅπερ που ἀδικοῦντος ἔργον ἦν) μοναρχήσει. ἐπὶ μὲν οὖν τῇ Κλεοπάτρᾳ οὐκ D ἐδυσχέραινε, πρὸς δὲ τὰς περὶ τοῦ Νικομήδους διαβολὰς ἐδυσκόλαινε, καὶ κατομνύων, γέλωτα προσωφλίσκανε. τῇ δὲ τελευταίᾳ τῶν νικητηρίων ἡμέρᾳ, ἐπειδὴ ἐκ τοῦ δήμου ἐγένετο, ἔς τε τὴν αὐτοῦ ἀγορὰν εἰσῆλθε βλαύτας ὑποδεδημένος, καὶ ἄνθεσι παντοδαποῖς ἐστεφανωμένος· καὶ ἐκεῖθεν οἴκαδε, παντὸς μὲν ὡς εἰπεῖν τοῦ δήμου παραπέμποντος αὐτόν, πολλῶν δὲ ἐλεφάντων λαμπάδας φερόντων, ἐκομίσθη. εἶτα πολλοὺς καὶ παντοδαποὺς ἀγῶνας ἔθηκε. θέατρόν τι κυνηγετικὸν ἰκριώσας 20
ὃ καὶ ἀμφιθέατρον, ἐκ τοῦ πέριξ πανταχόθεν ἕδρας ἄνευ σκη- A
νῆς ἔχειν, προσερρήθη. περὶ μὲν δὴ τῶν ἄλλων ζώων μακρὸν ἂν εἴη διεξιέναι λεπτομερῶς. περὶ δὲ δὴ τῆς καμηλοπαρδάλιδος ὠνομασμένης ἐρῶ, ὅτι τότε πρῶτον ἐς τὴν Ῥώμην εἰσήχθη. τὸ γὰρ ζῶον ἔστι, τὰ μὲν ἄλλα κάμηλός ἐστι, πλὴν καθόσον οὐκ ἐκ τοῦ ἴσου τῶν κώλων ἔχει· τὰ μὲν γὰρ ὀπίσθια αὐτοῦ χθαμαλώτερά ἐστιν, ἀρχόμενον δὲ ἀπὸ τῶν γλουτῶν, ὑψοῦται κατὰ βραχύ, ὥστε ἀναβαίνοντί που ἐοικέναι· καὶ μετεωρισθὲν ἐπὶ πλεῖον, τὸ μὲν ἀνάστημα ἐπὶ τῶν ἐμπροσθίων σκελῶν, τὸν δὲ αὐχένα

B εἰς ὕψος αὖ ἴδιον ἀνατείνει. τὴν δὲ δὴ χρόαν κατέστικται ὥσ-
περ πάρδαλις, καὶ διὰ τοῦτο καὶ τὸ ὄνομα ἐπίκοινον ἀμφοτέρων
φέρει. ἐν δὲ τοῖς ἀγῶσι τούτοις ἄλλοι τε πρὸς ἀλλήλους, καί τι-
νες ἀπ' ἐλεφάντων τεσσαράκοντα ἐμαχέσαντο. καὶ τέλος ναυ-
μαχίαν οὐκ ἐν τῇ θαλάσσῃ, ἀλλ' ἐν τῇ ἠπείρῳ ἐποίησε. χωρίον
γάρ τι ἐν τῷ Ἀρείῳ πεδίῳ κοιλάνας, ὕδωρ τε ἐς αὐτὸ ἀνῆκε, καὶ
ναῦς ἐσήγαγεν. ἐμάχοντό τε οἵ τε αἰχμάλωτοι καὶ οἱ θάνατον ὠ-
φληκότες. τήν τε ἱππασίαν τὴν Τροίαν καλουμένην οἱ παῖ-
δες οἱ εὐπατρίδαι κατὰ τὸ ἀρχαῖον ἐποιήσαντο, καὶ ἐφ' ἁρμάτων
C οἱ νεανίσκοι οἱ ὁμότιμοι αὐτοῖς ἡμιλλήσαντο. ἔσχε μὲν οὖν καὶ
ἐπὶ τῷ πλήθει τῶν φονευομένων αἰτίαν, ὅτι μήτε διακορὴς αἵ-
ματος ἐγεγόνει· πολὺ δὲ δὴ μείζω, ὅτι ἀμύθητα χρήματα ἐς
πάντα ἐκεῖνα ἀνάλωσεν· ὡς καὶ καθ' ἕκαστον ἐπιβοᾶσθαι καὶ
ὅτι ἀδίκως αὐτὰ συνελέξατο, καὶ ὅτι ἐς τοιαῦτα αὐτοῖς κατε-
χρήσατο. τεκμήριον δὲ τῆς πολυτελείας. ἵνα γὰρ μηδένα τῶν θεω-
μένων ὁ ἥλιος λυπήσῃ, παραπετάσματα ὑπὲρ αὐτῶν σηρικὰ
ὑπερεπέτασε. τοῦτο δὲ τὸ ὕφασμα χλιδῆς βαρβάρου ἔργον ἐστί,
καὶ παρ' ἐκείνων καὶ πρὸς ἡμᾶς ἐς τρυφὴν τῶν πάνυ γυναι-
D κῶν περιττὴν ἐσπεφοίτηκεν. ἐπὶ τούτοις οἱ στρατιῶται ἐθορύβη-
σαν, καὶ οὐ πρότερόν γε ἐπαύσαντο ταραττόμενοι πρὶν τὸν Καί-
σαρα ἄφνω τε αὐτοῖς ἐπελθεῖν, καὶ κρατήσαντά τινα αὐτοχειρίᾳ
πρὸς τιμωρίαν παραδοῦναι. ἐνομοθέτησε δὲ ἄλλα τε πολλά,
καὶ τὰς ἡμέρας τῶν ἐτῶν οὐ πάντῃ ὁμολογούσας σφίσι, (πρὸς
γὰρ τὰς τῆς σελήνης περιόδους ἔτι καὶ τότε τοὺς μῆνας ἦγον) κα-
τεστήσατο ἐς τὸν νῦν τρόπον, ἑπτὰ ταῖς ἑξήκοντα ἡμέραις ἐμβα-
λών, ὅσαι περ ἐς τὴν ἀπαρτιλογίαν παρέφερον. τοῦτο δὲ ἐκ τῆς
21 ἐν Ἀλεξανδρείᾳ διατριβῆς ἔλαβε· πλὴν καθ' ὅσον ἐκεῖνοι
A μὲν τριακονθημέρους τοὺς μῆνας λογίζονται, ἔπειτα ἐπὶ παν-
τὶ τῷ ἔτει τὰς πέντε ἡμέρας ἐπάγουσιν. ὁ δὲ δὴ Καῖσαρ ἐς μῆ-
νας ταύτας τε καὶ τὰς ἑτέρας δύο ἃς ἀφ' ἑνὸς μηνὸς ἀφεῖλεν,
ἐνήρμοσε· τὴν μέντοι μίαν τὴν ἐκ τῶν τεταρτημορίων συμπλη-

ρουμένην διὰ πάντα καὶ αὐτὸς ἐπῶν εἰσήγαγεν, ὥστε μηδὲν ἔτι τὰς ὥρας αὐτῶν πλὴν ἐλαχίστου παραλλάττειν. ἐν γοῦν χιλίοις καὶ τετρακοσίοις καὶ ἑξήκοντα καὶ ἑνὶ ἔτει μιᾶς ἄλλης ἡμέρας ἐμβολίμου δέον). τῶν δὲ Πομπηΐου παίδων στρατιὰν ἐν τῇ Ἰβηρίᾳ μεγάλην συστησαμένων, ἐπολέμησεν αὐτοῖς. καὶ μεγάλης μάχης γενομένης αὐτοῖς, καὶ ἰσορρόπων ὄντων B
τῶν στρατευμάτων ἐπιπολύ, ὡς καὶ αὐτοὺς τοὺς ἡγεμόνας ὑπὲρ τῶν ὅλων ἀγωνιάσαντας καταβῆναί τε ἀπὸ τῶν ἵππων, καὶ τοῦ κινδύνου τοῖς στρατιώταις συμμετασχεῖν, ὁ Βαγόνας ἔξωθέν που τῶν συνεστηκότων ὤν, ἐπὶ τὸ τοῦ Πομπηΐου στρατόπεδον ὥρμησε. καὶ ὁ Λαβιηνὸς ὡς τοῦτο εἶδε, τὴν τάξιν ἐξέλιπε καὶ πρὸς ἐκεῖνον ἐτράπετο· φεύγειν γὰρ αὐτὸν οἱ Πομπηΐειοι νομίσαντες ἠθύμησαν· καὶ ἔμαθον μέν που τὸ ἀληθὲς ὕστερον, οὐ μέντοι καὶ ἀναλαβεῖν αὐτοὺς ἔτ' ἠδυνήθησαν. ταύτην τὴν νίκην ἐξαί- C
ρετον ἀνείλετο, καίτοι καὶ ἄλλα μέγιστα καταπράξειν ἠπίσας. βλαστὸς γάρ τις ἐκ φοίνικος ἐν τῷ τῆς μάχης χωρίῳ εὐθὺς ἐπὶ τῇ νίκῃ ἐξέφυ. τοῦτο δὲ ἄρα οὐκ ἐς ἐκεῖνον ἐσήμαινεν, ἀλλ' ἐς τὸν τῆς ἀδελφῆς αὐτοῦ παῖδα τὸν Ὀκταούιον. συνεστρατεύετο γάρ, καὶ ἐκ τῶν πόνων αὐτοῦ τῶν τε κινδύνων ἐκλάμψειν ἔμελλεν· εἶχε μὲν οὖν ὅσα ἠβούλετο, καὶ ἀκόντων τῶν αὐτοῦ πολιτῶν δηλονότι, ὅμως ἐψηφίσθη αὐτῷ τήν τε βασιλικὴν στολὴν ἐν ταῖς πανηγύρεσιν ἐνδιδύσκεσθαι, καὶ τῷ στεφάνῳ τῷ δαφνίνῳ διὰ παντὸς κοσμεῖσθαι. καὶ πρόφασιν μὲν ἐποιεῖτο τοῦτο, ὅτι ἀναφαλαντίας ἦν. ἐκέχρητο μέντοι καὶ τῇ ἐσθῆτι χαυνοτέρᾳ, καὶ τῇ ὑποδέσει, ἐνίοτε καὶ ὑψηλῇ καὶ ἐρυθροχρόῳ. τὸ δ' οὖν χαῦνον τοῦ D
σχήματος αὐτοῦ ὁ Σύλλας ὑποπτεύσας, ὥστε καὶ ἀποκτεῖναι αὐτὸν ἐθελῆσαι· τοῖς τε ἐξαιτησαμένοις εἰπεῖν, ὅτι ἐγὼ μὲν χαριοῦμαι τοῦτον ὑμῖν, ὑμεῖς μέντοι καὶ πάνυ τοῦτον τὸν κακῶς ζωννύμενον φυλάττεσθε. ὁ δὲ Κικέρων οὐ συνενόησεν, ἀλλὰ καὶ σφαλεὶς ἔφη, ὅτι οὐκ ἄν ποτε προσεδόκησε τὸν κακῶς ζωννύμενον Πομπηΐου κρατήσειν. ἐψηφίσθη δὲ αὐτῷ δημοσίᾳ καὶ τὸ τοῦ αὐτοκρά-

22 τρος ὄνομα, οὐχ ὥσπερ τοῖς τινα μάχην μεγάλην νικήσασιν,
A οὐδ' ὥσπερ τοῖς αὐτοτελῆ τινα ἐξουσίαν λαβοῦσιν, ἀλλὰ καθάπαξ τοῦτο δὴ τὸ καὶ νῦν τοῖς τὸ κράτος ἀεὶ ἔχουσι διδόμενον, καὶ πρῶτος αὐτοκράτωρ τότ' ἀνηγορεύθη· ὥστε καὶ ἀπὸ τούτου τοὺς αὐτοκράτορας τῶν Ῥωμαίων δεῖ ἀριθμεῖν. εἰκόνα δὲ αὐτοῦ ἐλεφάντινον ποιήσαντες, παρὰ τὴν τοῦ Βρούτου τοῦ παλαιοῦ ἔστησαν, τοῦ τοὺς τυράννους ἐκβαλόντος. ὅθεν καὶ θαυμάσειέ τις τὴν συντυχίαν· ἔμελλε γὰρ παρὰ τοῦ Βρούτου τοῦ Μάρκου, ὃς ἀπόγονος ἐκείνου ἦν, ἐπιβουλευθεὶς ἀναιρεθῆναι. πολ-
B λὰ δ' ἦν παρὰ τὰ πάτρια ποιῶν, ὑπάτους καθίστη πλείους τοῦ ἔτους ἑκάστου, ὥστε καὶ εἰς τὴν τελευταίαν τοῦ ἐνιαυτοῦ ἡμέραν ἀποθανόντος τοῦ καθεστηκότος ὑπάτου, Κανίνιόν τινα ἕτερον ἀντ' αὐτοῦ ὕπατον καταστῆναι. ὅπερ καὶ ὁ Κικέρων διασκώπτων, τοσαύτῃ ἔφη τὸν ὕπατον καὶ ἀνδρίᾳ καὶ φροντίδι ἐν τῇ ἀρχῇ κεχρῆσθαι, ὥστε μηδὲ τὸ βραχύτατον ἐν αὐτῇ κεκοιμῆσθαι. τὴν δὲ Καρχηδόνα, τήν τε Κόρινθον, πόλεις ἀρχαίας καὶ λαμπρὰς, ἐπισήμους, ὑπὸ Ῥωμαίων ἀπολωλυίας, αὐτὸς ἀνέστησε, καὶ ἀπῴκισε. καὶ αἱ μὲν ὥσπερ ἅμα πρότερον καθῃρέθησαν, οὕτω καὶ τότε ἅ-
C μα ἀνεβιώσκοντο, καὶ ἔμελλον καὶ αὖθις ἀνθήσειν. βουλομένου δὲ αὐτοῦ καὶ παρασκευαζομένου στρατεύειν ἐπὶ τοὺς Πάρθους, οἱ περὶ τὸν Βροῦτον τὸν Μάρκον, καὶ τὸν Κάσσιον τὸν Γάϊον, ἐπιβουλεύσαντες αὐτῷ, καὶ ἀπέκτειναν, ὡς μὲν ὁ συγγραφεὺς λέγει, δι' ἀλιτηριώδη τινὰ οἶστρον (τοὺς Καίσαρας δεδιὼς πού, καθάπερ εἰκὸς συγκλητικὸν ὄντα καὶ οὐ τῶν ἀφανῶν, οὐδὲ ἱστορίαν ἀφανῆ συντιθέντα) ὡς δὲ τὸ ἀληθὲς ἔχει, καὶ ὁ Πλούταρχος ἐν τοῖς παραλλήλοις διδάσκει, διὰ φρονήματος ἀξίωμα φιλελεύθερον, καὶ προαιρέσεως εὐγένειαν ἥκιστα ἐθελόδουλον. τοιοῦτοι γὰρ οἱ περὶ Βροῦτον. ὅμως ὁ συγγραφεὺς τὴν μοναρχίαν τῆς δημοκρατίας ὑπερτιθεὶς, τοιούτοις κέχρηται πρὸς ἀπόδειξιν λογι-
D σμοῖς. πόλιν γάρ φησι τηλικαύτην τὸ μέγεθος, καὶ τοῦ τε καλλίστου τοῦ τε πλείστου τῆς ἐμφανοῦς οἰκουμένης ἄρχουσαν, καὶ πολλὰ

μὲν ἀνθρώπων ἤδη καὶ διάφορα κεκτημένων, πολλοὺς δὲ καὶ
μεγάλους πλούτους ἐχουσῶν, ταῖς τε πράξεσι καὶ ταῖς τύχαις
παντοδαπαῖς καὶ ἰδίᾳ καὶ δημοσίᾳ χρωμένων, ἀδύνατον
μὲν ἐν δημοκρατίᾳ σωφρονῆσαι, καὶ ῥᾷον ἕνα τινὰ χρηστὸν ἢ
πολλοὺς εὑρεῖν, καὶ πλείω καὶ μείζω τὰ διαχρῆ ἀπὸ πολλῶν 22
κακῶν, ἢ ἀφ' ἑνὸς ἀνάγκη συμβαίνειν. αἰτιώτατοι δὲ ἐγένετο A
τῆς ἀναιρέσεως τοῦ Καίσαρος τοὺς κόλακας λέγω, οἵ τινες ταῖς
τε καινότησι καὶ ταῖς ὑπερβολαῖς τῶν τιμῶν ἐξάραντες αὐτὸν
καὶ φυσήσαντες, ἔπειτα ἐπ' αὐταῖς ἐκείναις καὶ ἐμέμφοντο
καὶ διέβαλλον. τόν τε γὰρ μῆνα ἐν ᾧ ἐγεγέννητο, Ἰούλιον μετωνό-
μασαν· καὶ τέλος καὶ θεὸν αὐτὸν ἐπὶ πᾶσι τοῖς ἄλλοις χειροτο-
νήσαντες, Δία τε αὐτὸν ἄντικρυς Ἰούλιον προσηγόρευσαν, καὶ
ναὸν αὐτῷ ἐπιδρύσασθαι, καὶ ἱερέα τοῦτον τὸν Ἀντώνιον ὥσπερ τι-
νὰ Διάλιον, ἀπέδειξαν· τά τε δόγματα τὰ περὶ τούτων γιγνό-
μενα ἐς στήλας ἀργυρᾶς χρυσοῖς γράμμασιν ἐνέγραψαν, ἐπει-
δὴ ἑώρων χαίροντα τοῖς ψηφιζομένοις, καὶ πλὴν ὀλίγων πάντα B
δεχόμενον. οἱ μὲν γὰρ ὑπερκολακεύοντες, οἱ δὲ καὶ διασκώπτον-
τες, ἔς τε τὸ ἐπίφθονον καὶ νεμεσητὸν προαγαγεῖν αὐτὸν βουλόμε-
νοι, τοῦτ' ἐποίησαν, ἵνα θᾶσσον ἀπόληται· ὃ καὶ ἐγένετο. βασιλέα
γοῦν αὐτὸν προσαγορευσάντων τινῶν, τὸ μὲν ὄνομα παρῃτή-
σατο· τοὺς δὲ δημάρχους, ὅτι παρρησίᾳ χρησάμενοι τούτους τ' αἰ-
ζήτησαν καὶ ὑπὸ δίκην ἀγαγεῖν ἠβουλήθησαν, τό, τε διάδημα τὸ
τῷ ἀνδριάντι αὐτοῦ περιτεθὲν ἐκεῖθεν ἀνέσπασαν, τῆς τε δημαρ-
χίας ἀπήλασεν ὀργισθείς, κἀκ τοῦ συνεδρίου ἀπήλειψεν· ὑπο-
πτεύεσθαι οὖν ἐφίεσθαι μὲν τοῦ ὀνόματος, βούλεσθαι δὲ ἐκβια-
σθῆναί πως λαβεῖν αὐτό. καὶ δεινῶς ἐμισήθη. ἐπέγραψαν γοῦν C
τινες τῇ τοῦ παλαιοῦ Βρούτου εἰκόνι, Εἴθε ἔζης. καὶ τῷ Μάρ-
κου τοῦ Βρούτου βήματι (ἐστρατήγει γάρ, καὶ βῆμα τὸ τοιοῦ-
τον ὀνομάζεται ἐφ' οὗ τις ἱζόμενος δικάζει) Καθεύδεις ὦ
Βροῦτε, καὶ Βροῦτος οὐκ εἶ. ἡμεῖς δὲ Βρούτου χρῄζομεν. μά-
λιστα δὲ διεμισήθη ὡς ὑπερήφανος, ὅτι τῆς βουλῆς συμπάσης

προσιούσης αὐτῷ ποτὲ καὶ ἀσπαζομένης αὐτὸν, καθήμενος σφᾶς προσεδέξατο. ἔλεγον μὲν γὰρ ἀπολογούμενοί τινες ὑπὲρ αὐτοῦ μετὰ ταῦτα, ὅτι τῆς κοιλίας ἀκρατὴς ὑπὸ διαρροίας ἐγεγόνει,
D καὶ διὰ τοῦτο ἵνα μὴ ἐξοιδήσῃ, κατέμεινεν. οὐ μέντοι καὶ πείθειν τοὺς πολλοὺς ἐδυνάσατο, διὰ τὸ μετ' οὐ πολὺ ἐξεγερθέντα αὐτὸν αὐτοποδίᾳ οἴκαδε κομισθῆναι. περὶ μέντοι τῆς ἀναιρέσεως σημεῖα αὐτῷ οὐκ ὀλίγα ὑπ' ἀσθενῆ ἐγένετο. τά τε γὰρ ὅπλα τὰ Ἄρεια παρ' αὐτῷ τότε, ὡς καὶ ἅτε ἀρχιερεῖ κατά τι πάτριον κείμενα, ψόφον τῆς νυκτὸς πολὺν ἐποίησε, καὶ αἱ θύραι τοῦ δωματίου ἐν ᾧ ἐκάθευδεν, αὐτόμαται ἀνεῴχθησαν. αὐτὸς δὲ τοσοῦτον ἐθάρσει ὥστε καὶ πρὸς μάντιν τινὰ τὴν ἡμέραν ἐκείνην φυλάσσεσθαί ποτε προαγορεύσαντα, εἰπεῖν ἐπισκώπτων,
24 Ποῦ δῆτά σου τὰ μαντεύματα; ἢ οὐχ ὁρᾷς ὅτι τε ἡ ἡμέρα
A ἣν ἐδεδίεις πάρεστι, καὶ ἐγὼ ζῶ; καὶ ἐκεῖνος, Ναὶ πάρεστιν, ἔφη, οὐδέπω δὲ παρελήλυθεν. ἐν δὲ τῷ συνεδρίῳ περιστάντες αὐτὸν καθήμενοι οἱ τὴν ἐπιβουλὴν ἐξαρτύσαντες, πολλαχόθεν ἅμα προσπεσόντες, ἐξαίφνης κατέτρωσαν. λέγεται δὲ ὅτι πρὸς τὸν Βροῦτον ἰσχυρῶς πατάξαντα ἔφη, Καὶ σὺ τέκνον; μετὰ δὲ τὸν θάνατον τοῦ Καίσαρος, τοῦ μὲν Λεπίδου μετὰ τῶν στρατιωτῶν τὴν ἀγορὰν κατειληφότος, πρόσχημα μὲν, τιμωρῆσαι τῷ Καίσαρι, τὸ δ' ἀληθὲς, νεωτέρων πραγμάτων καὶ δυναστείας ἐπιθυμίᾳ. τῶν δὲ περὶ τὸν Βροῦτον καὶ Κάσσιον εἰς τὸ Καπι-
B τώλιον ἀναβάντων, καὶ μεγάλου κινδύνου τῇ Ῥώμῃ ἐπηρτημένου, ὁ Κικέρων δημηγορήσας, εἰς ὁμόνοιαν ἅπαντας ἤγαγε· καὶ τοῦ Ἀντωνίου περὶ τὰς διαλλαγὰς ταύτας σπουδάσαντος, οὐχ ὅτι καὶ εἰρήνης ἐπεθύμει, ἀλλ' ὅτι τότε ἰδιώτης ὢν, καὶ δυναστείας ἐπιθυμῶν, οὐκ ἠθέλησεν ἄλλον τινὰ πρότερον ἐκ τῆς τότε συστάσεως αὐτὴν προσλαβεῖν. οὐ μὴν ἀλλὰ συνιόντων αὐτῶν, καὶ Βρούτου μὲν πρὸς τὸν Λέπιδον (καὶ γὰρ ἐν γένει αὐτῷ ἦν) Κασσίου δὲ πρὸς τὸν Ἀντώνιον ἀπελθόντος, καὶ συνδειπνούντων αὐτῶν, ἄλλα τε ὥσπερ εἰκὸς ἐν τῷ τοιούτῳ πολλὰ ἐλέγετο,

καὶ ἐπήρετο τὸν Κάσσιον ὁ Ἀντώνιος, ἆρά τι καὶ νῦν ξιφίδιον C ὑπὸ μάλης ἔχεις; καὶ ὅς, Καὶ μάλα, ἔφη, μέγα, ἄν γε καὶ σὺ τυραννῆσαι ἐπιθυμήσῃς. μετὰ δὲ ταῦτα ἀναγνωσθείσης δημοσίας τῆς τοῦ Καίσαρος διαθήκης, ἐν ᾗ τῷ πλήθει ἀνὰ ἑβδομήκοντα ἑκάστῳ δραχμὰς δοθῆναι ἐκεκελεύκει· ἔπειτα δὲ καὶ τοῦ νεκροῦ ἐς τὴν ἀγορὰν προτεθέντος, καὶ λόγου ἐπ' αὐτῷ τοῦ Ἀντωνίου εἰπόντος, οὕτως ὁ δῆμος ἐθορύβησεν, ὥστε τὸν μὲν Καίσαρα ἐν τῇ ἀγορᾷ καῦσαι καὶ θάψαι, βωμόν τε ἱδρῦσαι, καὶ θύειν ὡς θεῷ τῷ Καίσαρι ἐπιχειρῆσαι· κατὰ δὲ τῶν φονέων αὐτοῦ ἐμμανῶς χωρῆσαι, καί τινα καὶ τῶν δημάρχων Ἑλούϊον Κίνναν (πλανηθέντας διὰ Κίνναν ἕτερον συμμετεσχόντα τῆς ἐπιθέσεως) D διαφθεῖραι· μήτε τῆς ὁρμῆς λῆξαι πρὶν τοὺς ὑπάτους τόν τε βωμὸν ἀνατρέψαι, καί τινας τῶν θρασυτέρων κατὰ τοῦ Καπιτωλίου πετρῶν ὦσαι· νόμον τε θεῖναι, καὶ ἀρὰς ποιήσασθαι, μηδένα αὖθις δικτάτωρα γενέσθαι, ὥσπερ ἐν τοῖς ὀνόμασι τῆς τῶν ἔργων δεινότητος οὔσης, ἀλλ' οὐκ ἐκ τῶν ὅπλων, καὶ ἐκ τῶν ἑκάστου τρόπων καὶ τῶν γιγνομένων αὐτῶν, καὶ τὰς τῆς ἐξουσίας ἐν ᾗ ποτ' ἂν τύχῃ δρώμενα, προσρήσεις διαβαλόντων. ἐν δὲ τῷ 25 θορύβῳ ἐκείνῳ καὶ τοιόνδε τι οὐκ ἀπάξιον μνήμης συνηνέχθη. A Γάϊος γάρ τις Κάσκας δημαρχῶν καὶ ἰδὼν ὅτι Κίννας ἐκ τῆς ὁμωνυμίας ἀπώλετο, ἐφοβήθη μὴ καὶ αὐτὸς ἀποθάνῃ, ὅτι πλύσιος Σερουίλιος Κάσκας ἔκ τε τῶν δημάρχων, καὶ ἐκ τῶν σφαγέων ἦν· καὶ γράμματα ἐξέθηκε, τήν τε κοινωνίαν σφῶν ἐκ τῆς μιᾶς προσηγορίας, καὶ τὴν διαφορὰν τῆς γνώμης δηλῶν. Ἀντώνιος δὲ τὰ διοικηθέντα ὑπὸ τοῦ Καίσαρος ἐξετάσαι ἐπιτραπείς, ἐπειδὴ τάχιστα ἐγκρατὴς τῶν γραμμάτων αὐτοῦ ἐγένετο, πολλὰ μὲν ἀπήλειψε, πολλὰ δὲ ἀντενέγραψε· κἀκ τούτου B συχνὰ μὲν ἥρπασε, συχνὰ δὲ καὶ παρ' ἰδιωτῶν, τῶν τε δήμων καὶ τῶν βασιλέων ἠργυρολόγησε, τοῖς μὲν χώραν, τοῖς δὲ ἐλευθερίαν, ἄλλοις πολιτείαν, ἄλλοις ἀτέλειαν πωλῶν. τοῦ τε Ὀκταουΐου ἅτε μειρακίου καὶ πραγμάτων ἀπείρου καταφρονήσας, αὐτὸς

ὡς καὶ κληρονόμος οὐ μόνον τῆς οὐσίας, ἀλλὰ καὶ τῆς δυνα-
στείας τῆς τοῦ Καίσαρος ὤν, πάντα διεχείριζεν. ἐπειδή τε ὁ Λέ-
πιδος ἰσχὺν μεγάλην εἶχεν, τὴν τε θυγατέρα τῷ υἱεῖ αὐτοῦ
συνῴκισε, καὶ ἀρχιερέα αὐτὸν ἀποδειχθῆναι παρεσκεύασεν, ἵνα
C μηδὲν ὧν ἔπραττε πολυπραγμονοίη. ὁπόθεν δὲ ἐφεξῆς περὶ
τῶν αὐτοκρατόρων διαληπτέον, εἰς τοσαῦτα μερίζοντας τὴν
συγγραφὴν τμήματα ὅσοι εἰσὶ καὶ οἱ μετὰ Ἰούλιον Καίσαρα
ἐν τῇ Ῥώμῃ ἄρξαντες αὐτοκράτορες.

ΟΚΤΑΟΥΙΟΣ ΚΑΙΣΑΡ
Αὔγουστος.

D Ο ΔΕ δὴ Γάϊος Ὀκταούϊος Καιπίας· οὕτω γὰρ
ὁ τῆς Ἀττίας τῆς τοῦ Καίσαρος ἀδελφῆς υἱὸς ὠ-
νομάζετο· ἦν μὲν γὰρ ἐξ Οὐελίτρων τῶν Οὐ-
ολούσκων, ὀρφανὸς δὲ ὑπὸ τοῦ Ὀκταουΐου τοῦ
πατρὸς καταλειφθεὶς παρά τε τῇ μητρὶ καὶ
παρὰ τῷ ἀδελφῷ αὐτῆς Λευκίῳ Φιλίππῳ· αὐξηθεὶς δὲ συν-
διέτριβε τῷ Καίσαρι· ἄπαις τε γὰρ ἐκεῖνος ὤν, καὶ μεγάλας ἐπ'
αὐτῷ ἐλπίδας ἔχων, ἠγάπα τε καὶ περιεῖπεν αὐτόν, ὡς καὶ τοῦ
25 ὀνόματος, καὶ τῆς ἐξουσίας, τῆς τε μοναρχίας διάδοχον καταλεί-
A ψων· ἄλλως τε, ὅτι καὶ ἡ Ἀττία διϊσχυρίζετο ἐκ τοῦ Ἀπόλλωνος
αὐτὸν κεκυηκέναι, ὅτι καταδαρθεῖσά ποτε ἐν ναῷ αὐτοῦ, δρά-
κοντί τινι μίγνυσθαι ἐνόμισε, καὶ διὰ τοῦτο τῷ ἱκνουμένῳ χρόνῳ ἔτεκε. πρίν
τε ἐς τὸ φῶς ἐξιέναι, ἔδοξεν ὄναρ τὰ σπλάγχνα ἑαυτῆς ἐς τὸν
οὐρανὸν ἀναφέρεσθαι, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἐπεκτείνεσθαι· τῇ τε
αὐτῇ νυκτὶ καὶ ὁ Ὀκταούϊος ἐκ τοῦ αἰδοίου αὐτῆς τὸν ἥλιον ἀνα-
τέλλειν ἐνόμισεν. ἄρτι τε ὁ παῖς ἐγεγέννητο, καὶ Νιγίδιος Φίγουλος
βουλευτὴς παραχρῆμα αὐτῷ καὶ τὴν αὐταρχίαν ἐμαντεύσατο.

ἄριστα γὰρ τῶν καθ' ἑαυτὸν τήν τε τοῦ πόλου διακόσμησιν καὶ B
τὰς τῶν ἀστέρων διαφορὰς, ὅσα τε καθ' ἑαυτοὺς γιγνόμενοι, καὶ
ὅσα συμμιγνύντες ἀλλήλοις ἔν τε ταῖς ὁμιλίαις καὶ ἐν ταῖς
διαστάσεσιν ἀποτελοῦσι, διέγνω· καὶ κατὰ τοῦτο τὴν αἰτίαν, ὥς τι-
νας ἀπορρήτους διατριβὰς ποιούμενος, ἔσχεν. ὥστ' οὖν τότε τὸν
Ὀκταουΐον βραδύτερον εἰς τὸ συνέδριον διὰ τὸν τοῦ παιδὸς
τόκον (ἔτυχε γὰρ βουλὴ οὖσα) ἀπαντήσαντα, ἀνεβόησεν, ὅτι δε-
σπότην ἡμῖν γεγέννηκας. καὶ αὐτὸν ἐκταραχθέντα ἐπὶ τούτῳ, καὶ διαφθεῖραι τὸ παιδίον ἐθελήσαντα ἐπέσχεν, εἰπὼν
ὅτι ἀδυνατόν ἐστι τοιοῦτόν τι αὐτὸ παθεῖν. τρεφομένου δὲ ἐν C
ἀγρῷ αὐτοῦ, ἀετὸς ἐκ τῶν χειρῶν αὐτοῦ ἐξαρπάσας ἄρτον, ἐ-
μετεωρίσθη, καὶ μετὰ τοῦτο καταπτάμενος, ἀπέδωκεν αὐτόν. παι-
δίσκου τε αὐτοῦ ὄντος, καὶ τὴν διατριβὴν ἐν τῇ Ῥώμῃ ποιου-
μένου, ἔδοξέ ποτε ὁ Κικέρων ὄναρ ἁλύσει τε αὐτὸν χρυσῇ
ἐς τὸ Καπιτώλιον ἐκ τοῦ οὐρανοῦ καθιμῆσθαι, καὶ μάστιγα
παρὰ τοῦ Διὸς εἰληφέναι. καὶ (οὐ γὰρ ἠπίστατο ὅστις ἦν) περιέ-
τυχέ τε αὐτῷ τῆς ὑστεραίας ἐν αὐτῷ τῷ Καπιτωλίῳ, καὶ γνω-
ρίσας αὐτὸν, διηγήσατο τοῖς παροῦσι τὴν ὄψιν. ὅ, τι Κάτλος
οὐδ' αὐτός που ἑωρακὼς τὸν Ὀκταουΐον, ἐνόμισε τοὺς παῖδας
ἐν τοῖς ὕπνοις τοὺς εὐγενεῖς πάντας ἐν τῷ Καπιτωλίῳ πρόσο- D
δον πρὸς τὸν Δία πεποιῆσθαι, καὶ ἐν αὐτῇ τὸν θεὸν εἰκόνα τι-
νὰ τῆς Ῥώμης ἐς τὸν ἐκείνου κόλπον ἐμβεβληκέναι. ἐκπλαγεὶς
δὲ ἐπὶ τούτῳ, ἀνῆλθεν εἰς τὸ Καπιτώλιον προσευξόμενος τῷ
θεῷ καὶ ἐκεῖ τὸν Ὀκταουΐον ἰδὼν ἄλλως ἀναβεβηκότα, τό, τε
εἶδος αὐτοῦ πρὸς τὸ ἐνύπνιον προσήρμοσε, καὶ τὴν ἀλήθειαν
τῆς ὄψεως ἐβεβαιώσατο. μειρακιωθέντος δὲ μετὰ τοῦτο αὐτοῦ, καὶ
ἐς τοὺς ἐφήβους ἐσιόντος, τήν τε ἐσθῆτα τὴν ἀνδρικὴν ἐνδυθέν-
τος, ὁ χιτὼν περιερράγη τε ἑκατέρωθεν ἀπὸ τῶν ἐπωμίδων, καὶ
μέχρι τῶν ποδῶν κατερρύη. τοῦτο αὐτὸ μὲν καθ' ἑαυτὸ οὐχ ὅ-
πως τεκμήριόν τινα, ὡς καὶ ἀγαθόν τι προσημαίνειν, ἔφερεν; 27
ἀλλὰ καὶ ἠνίασε τοὺς παρόντας, ὅτι ἐν τῇ πρώτῃ τοῦ ἀνδρικοῦ A

χιτῶνος ἔνδυσιν συνεβεβήκει. ἐπελθὸν δὲ τῷ Ὀκταουίῳ εἰπεῖν, ὅτι τὸ ἀξίωμα τὸ βουλευτικὸν πᾶν ὑπὸ τοὺς πόδας μου ἥξει, ἔκβασιν πρὸς τὸ λεχθὲν ἔλαβεν. ἐξ οὖν τούτων ὁ Καῖσαρ μέγα ἐπ' αὐτῷ ἐλπίσας, ἔς τε τοὺς εὐπατρίδας αὐτὸν ἐσήγαγε, καὶ ἐπὶ τὴν ἀρχὴν ἤσκει· καὶ παιδεύεσθαι ὅσα προσήκει τῷ μέλλοντι καλῶς καὶ κατ' ἀξίαν τηλικούτου κράτους διοικήσειν, ὑπάρχειν, ἀκριβῶς ἐξεπαίδευσε. λόγοις τε γὰρ ῥητορικοῖς οὐχ ὅτι τῇ Λατίνων, ἀλλὰ καὶ τῇδε τῇ γλώσσῃ ἠσκεῖτο. καὶ ἐν ταῖς στρα-
B τείαις ἐρρωμένως ἐξεπονεῖτο, τά τε πολιτικὰ καὶ τὰ ἀρχικὰ ἰσχυρῶς ἐδιδάσκετο. οὗτος οὖν ὁ Ὀκταούιος ἔτυχε μὲν τότε ὅτε ὁ Καῖσαρ ἐσφάγη, ἐν τῇ Ἀπολλωνίᾳ τῇ πρὸς τῷ Ἰονίῳ κόλπῳ, ἐπὶ παιδείᾳ. κατὰ γὰρ τὴν στρατείαν αὐτοῦ τὴν ἐπὶ τοὺς Πάρθους ἐκεῖσε προεπέμπετο· πυθόμενος δὲ τὸ συμβεβηκὸς, καὶ ὅτι κληρονόμος πρὸς τοῦ Καίσαρος καταλέλειπτο, οὐκ ἔτ' ἀναβολὰς ἐποιήσατο, ἀλλὰ τό, τε ὄνομα τοῦ Καίσαρος παραχρῆμα ἀνέλαβε, καὶ τοῦ κλήρου αὐτοῦ διεδέξατο, τῶν τε πραγμάτων εἴχετο. οὕτω μὲν ὁ πρότερον Ὀκταούϊος, τότε δὲ ἤδη Καῖσαρ, μετὰ δὲ τοῦτο Αὔγουστος ἐπικληθεὶς, ἥψατο τῶν πραγμάτων, καὶ
C αὐτὰ καὶ κατέπραξέ τε καὶ εἰργάσατο, παντὸς μὲν ἀνδρὸς νεανικώτερον, παντὸς δὲ γέροντος φρονιμώτερον. πρῶτον μὲν γὰρ ὡς ἐπὶ μόνῃ τῇ τοῦ κλήρου διαδοχῇ, καὶ ἰδιωτικῶς καὶ μετ' ὀλίγων ἄνευ ὄγκου τινὸς ἐς τὴν πόλιν ἐσῆλθε· τόν τε Ἀντώνιον ἐθεράπευε, καί τι καὶ προπηλακιζόμενος ὑπ' ἐκείνου καὶ ἀδικούμενος, καὶ τὸ πλῆθος προσεποιήσατο. καὶ ἐπειδή ποτε αὐτὸν ὁ Ἀντώνιος ἐν τῷ δικαστηρίῳ ἀπὸ μετεώρου, καθάπερ ἐπὶ τοῦ πατρὸς εἰώθει ποιεῖν, ἐντυχεῖν τι ἐθελήσαντα οὐ προσεδέξατο, ἀλλὰ καὶ κατέσπασε καὶ ἐξήλασε διὰ τῶν ῥαβδούχων,
D δεινῶς ἅπαντες ἠγανάκτησαν, καὶ οὐχ ἥκιστα, ὅτι ὁ Καῖσαρ οὐδὲ ἐς τὴν ἀγορὰν ἔτι πρός τε τὸ ἐκείνου ἐπίφθονον, καὶ πρὸς τὸ τοῦ πλήθους ἐπαγωγὸν, ἐφοίτησε. φοβηθεὶς οὖν ὁ Ἀντώνιος καὶ ἠθέλησε καταλλαγῆναι τῷ Καίσαρι, καὶ καταλλαχθεὶς, αὖθις ἐξ

ὑποψίας

ὑποψίας τινὸς διηνέχθη πρὸς αὐτόν. ἐν δὲ τούτῳ καὶ τῷ Πομ-
πηΐῳ τῷ Σέξτῳ τῷ τοῦ μεγάλου Πομπηΐου νεωτέρῳ υἱῷ, δύνα-
μίν τε πολλὴν ἔχοντι, καὶ Γάϊον Ἀσίνιον Πολλίωνα κατὰ τὴν Βαι- 28
τικὴν μάχῃ νενικηκότι, καὶ πόλεις τὰς μὲν ἑκούσας, τὰς δὲ ἀκού- A
σας προσειληφότι, ἥ τε ἄδεια ἐβεβαιώθη· καὶ τὰ χρήματα ὅσα
ἐν τῷ ἀργυρείῳ καὶ χρυσίῳ τὸ δημόσιον ἐκ τῆς πατρῴας αὐτοῦ
οὐσίας εἰλήφει, ἀποδοθῆναι ἐγνώκασι. τῶν γὰρ χωρίων αὐτοῦ
τὰ πλείω Ἀντώνιος ἔχων, οὐδεμίαν αὐτῶν ἀπόδοσιν ἐποιήσα-
το. ἔπεισε δὲ αὐτὸν ἐς ὁμολογίαν ἐλθεῖν ἐπὶ τῷ τὰ πατρῷα κο-
μίσασθαι ὁ Λέπιδος, τῆς ὁμόρου Ἰβηρίας τὴν ἀρχὴν ἔχων.
Καίσαρος δὲ καὶ Ἀντωνίου πάντα ἐπ' ἀλλήλοις πραττόντων,
ἐκ τούτου καὶ τἆλλα τὰ ἐν τῇ πόλει πάντα ἐθορυβεῖτο καὶ συνε-
κέχυτο, καὶ ἀκρισία πολλὴ ἦν. εἰρήνην ἔτι καὶ ἐπολέμουν ἤ-
δη· τό, τε τῆς ἐλευθερίας σχῆμα ἐφαντάζετο, καὶ τὰ τῆς δυνα-
στείας ἔργα ἐγίνετο. καὶ ἐν μὲν τῷ ἐμφανεῖ ὁ Ἀντώνιος ἅτε καὶ
ὑπατεύων, ἐπλεονέκτει· ἡ δὲ δὴ σπουδὴ τῶν ἀνθρώπων ἐς τὸν Καί- B
σαρα ἐπῄει· τὸ μὲν, διὰ τὸν πατέρα αὐτοῦ, τὸ δὲ, διὰ τὰς ἐλπί-
δας ὧν ὑπισχνεῖτο. μέγιστον τι, ὅτι τῷ Ἀντωνίῳ οὐ μόνον ἀσελγέ-
στερον βιοῦντι, ἀλλὰ καὶ τυραννικώτερον ἄρχοντι, ἐβαρύνοντο.
Κάσσιος δὲ καὶ Βροῦτος ἐν ταῖς ἐπαρχίαις ἦσαν, ἃς ἐλαχέτην
ὁ μὲν ἐν Μακεδονίᾳ, ὁ Βροῦτος· ὁ δὲ, ἐν τῇ Συρίᾳ. ἐντεῦθεν ὁ
Ἀντώνιος τὰς δυνάμεις λαβὼν, ἐπέβη τῆς Γαλατίας, ὡς τὰ
ἐκεῖ βίᾳ προσποιησόμενος· Καῖσαρ δὲ καὶ αὐτὸς στρατιώτας,
τοὺς μὲν ἐκ τῶν ἐκείνου σφετεριζόμενος, τοὺς δὲ καὶ διὰ τὴν πρὸς
τὸν πατέρα τὴν αὐτοῦ εὔνοιαν ἐθέλοντας ἐπαγόμενος ἐπὶ τὸν C
Ἀντώνιον, ὡς εἴ τι δύναιτο κωλύσων αὐτόν. καὶ ἡ βουλὴ τὸν
μὲν, πολέμιον ἐψηφίσατο, τοῦ Κικέρωνος αὐτὴν πείσαντος, μίσει
τοῦ Ἀντωνίου· Καίσαρι δὲ χρήματα καὶ στρατιώτας ἀπέστειλε. καὶ
ἐπειδὴ οὐδὲ ὣς ἦν πρὸς τὸν Ἀντώνιον ἀξιόμαχος, τοὺς ὑπά-
τους ἀμφοτέρους ἐξέπεμψε δύναμιν ἔχοντας ἱκανήν. κατὰ δὲ
τὸν καιρὸν τοῦτον ἄλλα τε οὐκ ὀλίγα σημεῖα ἐγένετο, καὶ λαμπὰς

ἀπ' ἀνίσχοντος ἡλίου πρὸς δυσμὰς διέδραμε· καί τις ἀστὴρ
καινὸς ἐπὶ πολλὰς ἡμέρας ὤφθη, τό, τε φῶς τοῦ ἡλίου ἐλαττοῦ-
σθαί τε καὶ σβέννυσθαι, τοτὲ δὲ ἐν τρισὶ κύκλοις φαντάζεσθαι
D ἐδόκει. καὶ ἕνα γε αὐτῶν στέφανος πυρώδης τις περιέσχε. ταῦ-
τά τε δὴ καὶ λόγια πρὸς κατάλυσιν τῆς δημοκρατίας φέρον-
τα παντοῖα ᾔδετο. ἐπειδὴ δὲ πολλῶν χρημάτων εἰς τὸν πόλεμον
ἐδέοντο, πάντες μὲν τὸ πέμπτον καὶ εἰκοστὸν τῆς ὑπαρχούσης
σφίσιν οὐσίας ἐπέδωκαν, οἱ δὲ δὴ βουλευταὶ καὶ τέσσαρας ὀβο-
λοὺς καθ' ἑκάστην κεραμίδα τῶν ἐν τῇ πόλει οἰκιῶν ὅσας
ἢ αὐτοὶ ἐκέκτηντο, ἢ ἄλλων οὔσας ᾤκουν, καὶ χωρὶς ἕτερα οὐκ
ὀλίγα οἱ πάνυ πλούσιοι συνετέλεσαν. τά τε ὅπλα καὶ τὰ ἄλλα
29 τὰ πρὸς τὴν στρατείαν ἀναγκαῖα συχναὶ μὲν πόλεις, συχνοὶ
A δὲ καὶ ἰδιῶται προῖκα ἐξεποίησαν. τὸ γὰρ δημόσιον ἀχρημα-
τία τότε κατεῖχεν. οἱ μὲν οὖν πολλοὶ ὑπέρ γε τοῦ Καίσαρος, κα-
τά τε τοῦ Ἀντωνίου ἐσπούδαζον. ἔμελε δέ που οὐδετέροις τούτων
τῆς δημοτικῆς ἰσηγορίας καὶ τοῦ καλοῦ, ἀλλὰ καὶ ἀμφότεροι
ὁμοίως τὰ πράγματα ἔφθειρον. πρὸς δὲ δὴ τὴν τύχην, διά-
φορον ἑκάτεροι δόξαν ἐκτήσαντο. οἱ μὲν γὰρ εὖ πράξαντες,
καὶ εὔβουλοι καὶ φιλοπόλιδες ὠνομάσθησαν· οἱ δὲ δὴ πταίσαν-
B τες, πολέμιοι τῆς πατρίδος καὶ ἀλιτήριοι ὠνομάσθησαν. λέ-
ξω δὲ καὶ καθ' ἕκαστον τῶν γενομένων· καὶ γὰρ παίδευσις ἐν τού-
τῳ τὰ μάλιστα εἶναί μοι δοκεῖ, ὅταν τις τὰ ἔργα τοῖς λογισμοῖς
ὑπολέγων, τήν τε ἐκείνων φύσιν ἐλέγχῃ, καὶ τούτοις ἐκ τῆς
ἐκείνων ὁμολογίας τεκμηριοῖ. Ἀντώνιος μὲν γὰρ παραλόγοις
καὶ πολυτρόποις περιέπεσεν τύχαις, τὸν μὲν ἕνα τῶν ὑπάτων Ἵρ-
τιον ἐν τοῖς προτέροις ἀπημαρτήμασι συνέκλεισεν ἅμα τῷ Καί-
σαρι εἰς τὸ χαράκωμα· θάτερον δὲ τὸν Ἰουίβιον ἥκοντα πρὸς
βοήθειαν τοῦ συνυπάτου λοχήσας, κατετραυμάτισεν, ὡς μετ'
ὀλίγον ἀποθανεῖν. ἔπειτα ὑποστρέφων αὖθις ὡς πρὸς τὸν Ἵρ-
τιον καὶ τὸν Καίσαρα, καὶ προσβαλόντος αὐτῷ τοῦ Ἱρτίου ἔκ
τε τοῦ πολέμου καὶ τῆς ὁδοιπορίας καμόντι, βιασθεὶς ἔφυγεν εἰς

τὴν ἰδίαν παρεμβολὴν· καὶ οὐδὲ ταύτην δυνηθεὶς σῶσαι, ἀπέδρασεν ὀλίγος πρὸς τὸν Λέπιδον. ὁ μέντοι ὕπατος τὸ μὲν χαράκωμα εἷλε τοῦ Ἀντωνίου, γενναίως αὐτῷ προσβαλών· μετὰ δὲ τὴν τούτου ἅλωσιν καὶ αὐτὸς διεφθάρη. καὶ ἄλλων μὲν οἱ κίνδυνοι καὶ τὰ ἔργα, τὰ δὲ ἐπὶ τούτοις ἅπαν κράτος, καὶ ἡ ἐκ τῶν κατορθωμάτων εὐφημία τῷ Καίσαρι προσεχώρησε, καίτοι ὕστερον ἐκ τοῦ χαρακώματος ἐξιόντι κατὰ τὰς ἀκμὰς τῶν κινδύνων· ἦν γὰρ κομιδῆ νέος καὶ ὀκτωκαιδεκαέτης ἔτι. ἔσχε δὲ οὕτως· μετὰ τὸ καταλυθῆναι τὸν Ἀντώνιον, ὑποπτεύουσα ἤδη καὶ τὸν Καίσαρα ἡ βουλή, ἔπραττεν ὥστε καὶ αὐτὸν ταπεινῶσαι, καὶ ἰδιωτεῦσαι καταναγκάσαι. γνοὺς δὲ τοῦτο Καῖσαρ, τούς τε στρατιώτας (εἶχε δὲ καὶ τοὺς ἀμφοτέρων τῶν ὑπάτων ἤδη τῶν ἐν τῷ πρὸς Ἀντώνιον πολέμῳ τελευτησάντων) δωρεαῖς καὶ ὑποσχέσεσιν ἑαυτοῦ ἐξηρτήσατο, καὶ πρὸς τὸν Ἀντώνιον καὶ τὸν Λέπιδον ἐπεκηρυκεύσατο λάθρα, εἰς διαλλαγὰς αὐτοὺς προσκαλούμενος. καὶ πέμψας πρὸς τὴν βουλὴν στρατιώτας, ὑπατείαν ᾔτει. τῆς δὲ μὴ διδούσης, εἷς τις τῶν στρατιωτῶν ἥψατο τοῦ ξίφους, καὶ εἶπεν, ὅτι ἂν ὑμεῖς τὴν ὑπατείαν μὴ δῶτε τῷ Καίσαρι, τοῦτο δώσει. καὶ αὐτῷ ὁ Κικέρων ὑπολαβών, Ἂν οὕτως, ἔφη, παρακαλῆτε, λήψεται αὐτήν. 30 καὶ τέλος ὁ Καῖσαρ δυνάμεις λαβὼν, ἐπ' αὐτὴν ὥρμησε τὴν Ῥώμην. ἡ δὲ βουλὴ ἐπειράθη μὲν εἷρξαι αὐτὸν, καὶ φυλάξαι τὴν πόλιν· ἐπεὶ δὲ παρῆν ἤδη, καὶ τὸ δεινὸν ἐπλησίασε, μετεβάλετο, καὶ τελευτῶσα προσεχώρησεν αὐτῷ πᾶσα, καὶ τὴν πόλιν ἐπέτρεψε καὶ μὴ θέλουσα. ὁ δὲ Καῖσαρ ἐπί τε τούτῳ μέγιστον ἐφρόνει, καὶ ὅτι τῇ πρώτῃ τῶν ἀρχαιρεσιῶν ἐς τὸ πεδίον τὸ Ἄρειον εἰσελθὼν, γῦπας ἓξ, καὶ μετὰ ταῦτα δημηγορῶν τι πρὸς τοὺς στρατιώτας, ἄλλους δώδεκα εἶδε. πρός τε γὰρ τὸν Ῥωμύλον καὶ πρὸς τὸ οἰώνισμα τὸ ἐκείνῳ γενόμενον ἀναφέρων, καὶ τὴν μοναρχίαν αὐτοῦ βεβαίως λήψεσθαι προσεδόκησε. τοῖς μέντοι στρατιώταις καὶ χρήματα ἔδωκε, καὶ χάριν καὶ πλείστην καὶ ἀληθεστάτην ἔγνω· αὐτοὶ γὰρ τῆς παρ'

αὐτῶν φρουρᾶς οὐδὲ ἐς τὸ βουλευτήριον ἐσφοιτᾶν ἐτόλμα.
ἐσποιηθεὶς δὲ ἐς τὸ τοῦ Καίσαρος γένος, ἐξ ἐκείνου καὶ Γάϊος
Ἰούλιος Καῖσαρ Ὀκταουϊανὸς ἐπεκλήθη. νενόμισται γὰρ, ἄν τις
ἐσποιηθῇ, τὴν μὲν ἄλλην αὐτὸν πρόσρησιν ἀπὸ τοῦ ποιησαμένου
λαμβάνειν, ἓν δέ τι τῶν προτέρων ὀνομάτων σχηματισθέν πως
τηρεῖν. προσεκτήσατο δὲ καὶ ἑτέραν τὴν τοῦ Αὐγούστου, καὶ αὐ-
τὴν διὰ τοῦτο καὶ οἱ ἔπειτα αὐτοκράτορες ἔθεντο. ἐπεὶ οὖν ὁ
C Καῖσαρ ἐπειδὴ τάχιστα τούς τε στρατιώτας ᾠκειώσατο, καὶ τὴν
βουλὴν ἐδουλώσατο, πρός τε τὴν τοῦ πατρὸς τιμωρίαν ἐτρά-
πετο, καὶ τοὺς σφαγέας μετῆλθε. μετὰ δὲ τοῦτο τοῦ Ἀντωνίου καὶ τοῦ
Λεπίδου σὺν ταῖς δυνάμεσιν ἐπιόντων, συνθήκας πρὸς αὐ-
τοὺς ἐποιήσατο, ἐπεὶ μήτε βιάσασθαι σφᾶς ἐδύνατο, καὶ ἐπήλ-
πισε τόν τε Κάσσιον καὶ τὸν Βροῦτον μέγα ἤδη δυναμένους δι᾽
αὐτῶν κατεργάσασθαι, καὶ μετὰ τοῦτο καὶ ἐκείνοις δι᾽ ἀλλή-
λων χρήσασθαι. συνῆλθον δὲ ἐς τοὺς λόγους οὐ μόνοι, ἀλλὰ
D στρατιώτας ἰσαρίθμους ἔχοντες, ἐν νησιδίῳ τινὶ τοῦ ποταμοῦ τοῦ
περὶ τὴν Βονωνίαν παραρρέοντος· ἀλλήλους τε διηρεύνησαν,
μὴ καὶ ξιφίδιόν τις ὑπὸ μάλης ἔχοι. καὶ εἰς λόγους ἐλθόντες,
τήν τε κατὰ πάντων δυναστείαν κοινὴν ἐποιήσαντο, καὶ κατὰ τῶν
ἐχθρῶν συνώμοσαν. ἰδίᾳ δ᾽ ἔλαβον, Καῖσαρ μὲν τὴν Λιβύην
καὶ τὴν Σικελίαν· τῶν δὲ ὁ μὲν, τὴν Ἰβηρίαν, ὁ δὲ, τὴν Γαλα-
τίαν. μετὰ ταῦτα εἰς τὴν Ῥώμην ἐλθόντες, τοῖς ἐν τοῖς λευκώ-
31 μασι προέθηκαν προγραφὰς τὸν Σύλλειον τρόπον, εἰ μή γε καὶ
A μιαρώτερον. ὁ μὲν γὰρ Σύλλας τοὺς ἐχθροὺς ἠφάνιζε μόνον, τῶν
δὲ φίλων ἐπέφειστο· οἱ δὲ οὐ μόνον τοὺς ἐχθροὺς ἀπώλλυον, ἀλλὰ
καὶ τοὺς φιλτάτους ἀλλήλοις προΐεντο, ὑπὲρ τοῦ τοὺς ἐχθίστους παρ᾽
ἀλλήλων ἀντιλαβεῖν. οὕτως οὐκ ἦν ἐν αὐτοῖς τὸ φιλοῦν βέβαιον,
ἀλλὰ τὸ θυμούμενον ἀκριβέστατον. περὶ δὲ τῆς ἐς τὴν Ῥώμην
αὐτῶν μετὰ τῶν στρατευμάτων ἀφίξεως, τοιάδε τινὰ σφίσιν ἀ-
πήντηκε τέρατα, τήν τε δυναστείαν ὁμοίως αὐτοῖς καὶ τὴν
B καταστροφὴν αἰνιττόμενα. τῷ μὲν γὰρ Λεπίδῳ ὄφις τέ τις ξίφει

ἑκατοντάρχου περιπλακείς, καὶ λύκος ἔς τε τὸ στρατόπεδον καὶ ἐς τὴν σκηνὴν δειπνοποιουμένου αὐτοῦ ἐσελθὼν, καὶ τὴν τράπεζαν καταβαλὼν, τήν τε ἰσχὺν ἅμα καὶ τὴν δυσχέρειαν τὴν ἐπ' αὐτῇ προεσήμαινε. τῷ δ' Ἀντωνίῳ γάλα τε περὶ τὸ τάφρευμα περιερρύη, καὶ συνῳδία τῆς νυκτὸς περιηχήσασα, τάς τε θυμηδίας καὶ τὸν ὄλεθρον τὸν ἀπ' αὐτῶν προέδειξε. τῷ δὲ δὴ Καίσαρι τότε εὐθὺς ἐπὶ ταῖς συνθήκαις ἀετὸς ὑπέρ τε τῆς σκηνῆς αὐτοῦ ἱδρυθεὶς, καὶ δύο κόρακας προσπεσόντας αὐτῷ, τίλλειν τε τῶν πτερῶν πειρωμένους ἀποκτείνας, τὴν νίκην κατ' C
ἀμφοτέρων αὐτῶν ἔδωκε. κἀν τούτῳ οἱ τοῦ Ἀντωνίου στρατιῶται τὴν θυγατέρα τῆς Φουλουΐας τῆς γυναικὸς αὐτοῦ, ἣν ἐκ τοῦ Κλωδίου εἶχε, τῷ Καίσαρι καίτοι ἑτέραν ἐγγεγυημένῳ προσεξένησαν, τοῦ Ἀντωνίου δηλονότι τοῦτο κατασκευάσαντος· καὶ ὃς οὐκ ἀπηρνήσατο. καὶ αὐτῶν ἐν τούτοις ὄντων, αἵ τε σφαγαὶ ἐκεῖναι αἷς ποτε ὁ Σύλλας ἐκ τῶν προγραφῶν ἐκέχρητο, ἐμιμήθησαν, καὶ ἡ πόλις ἅπασα νεκρῶν ἐπληρώθη. τῶν δὲ κτεινομένων αἱ κεφαλαὶ μὲν ἐπὶ τὸ βῆμα αὖθις ἀνετίθεντο, τὰ δὲ λοιπὰ σώματα, τὰ μὲν αὐτοῦ τε ἐρρίπτετο, καὶ ὑπὸ κυνῶν ὀρνίθων τε ἠσθίετο. ἐκ δὲ τῶν πρὸς ἀλλήλους πραγμάτων τό, τε οἰκειωθέν σφίσι καὶ τὸ ἀλλοτριωθὲν ἐν λόγῳ τινὶ τιθέμενοι, οὔτε τὸν ἑαυτοῦ τις αὐ- D
τῶν ἐχθρὸν τιμωρήσασθαι, φίλον ἑτέρου ὄντα ἐδύνατο, μὴ ἀντιδιδοὺς ἄλλον· καὶ ἐκ τῆς τῶν γεγονότων ὀργῆς τῆς τε ἔπειτα ὑποψίας, παρ' οὐδὲν τὴν τοῦ ἐπιεικοῦς σωτηρίαν πρὸς τὴν τοῦ διαφόρου τιμωρίαν ποιούμενοι, ῥᾳδίως σφᾶς ἀντεδίδοσαν. κἀκ τούτου τούς τε φιλτάτους ἀντὶ τῶν ἐχθίστων ἀλλήλοις προέβαλλον, καὶ τοὺς πολεμιωτάτους ἀντὶ τῶν ἑταιροτάτων, τοῦτο μὲν ἴσους πρὸς ἴσους, τοῦτο δὲ ἀνθ' ἑνὸς πλείονας, ἢ καὶ ἀντὶ πλειόνων ἐλάττονας ἠλλάσσοντο· τά τε ἄλλα ἐν ἀγορᾶς τρόπῳ ποιούμενοι, καὶ ὑπερβάλλοντες ὥσπερ ἐν πρατηρίῳ. εἰ μὲν εἷς τις ἑνός τινος ἀντάξιος ὥστ' ἰσομοιρεῖν εὑρίσκετο, ἁπλῆ ἡ ἀντίδο- 32
σις ἐγίγνετο. τινὲς δὲ καὶ ἀντὶ πλειόνων ἀπώλοντο· κατὰ δὲ τῶν A

πλουσίων κοινήν τινα ἔχθραν προὔθεντο, οὐκ ἐξ ἀπεχθείας τι-
νὸς προλαβούσης, ἀλλ' ἐκ τῆς κατεχούσης αὐτοὺς φιλοχρη-
ματίας καὶ ἀπληστίας. τούτων δὲ τῶν κακῶν τὴν μὲν πλείονα
μοῖραν Ἀντώνιος εἶχε καὶ Λέπιδος· ἐδόκει δὲ καὶ ὑπὸ τοῦ
Καίσαρος κατὰ τὴν τῆς δυναστείας κοινωνίαν γίνεσθαι. τῇ τε γὰρ
φύσει οὐκ ὠμὸς ἦν, καὶ ἐν τοῖς τοῦ πατρὸς ἤθεσιν ἐνετέθραπτο.
πρὸς δ' ἔτι νέος ὤν, καὶ ἄρτι εἰς τὰ πράγματα παριών, οὔτ'
B ἄλλως ἀνάγκην μισεῖν τινας σφοδρῶς εἶχε, καὶ φιλεῖσθαι ἤθε-
λεν· ἐξ οὗ γέ τοι τῆς τε πρὸς ἐκείνους συναρχίας ἀπηλλάγη,
καὶ τὸ κράτος μόνος ἔσχεν, οὐδὲν ἔτι τοιοῦτον ἔπραξε. τότε δὲ
καὶ ἔσωσε πλείστους· τεκμήριον δέ· Ταναυσία γυνὴ ἐπιφανὴς τὸν
ἄνδρα Τίτον Οὐίνιον ἐπικηρυχθέντα, τὸ μὲν πρῶτον ἐς κι-
βωτὸν, εἶτα παρὰ ἀπελευθέρῳ τινὶ Φιλοποίμενι κατέκρυψε. μετὰ
δὲ τοῦτο δημοτελῆ ἑορτὴν, ἣν συγγενής τις αὐτῆς ποιήσειν ἔμελ-
λε, τηρήσασα, τόν τε Καίσαρα διὰ τῆς Ὀκταουΐας τῆς ἀδελφῆς
μόνον τῶν θεῶν εἰσελθεῖν διεπράξατο, κἀνταῦθα ἐσπηδήσα-
C σα, τό, τε πραχθὲν ἀγνοοῦντι ἐμήνυσε, καὶ τὴν κιβωτὸν αὐτὴν ἐσ-
κομίσασα, ἐκεῖθεν τὸν ἄνδρα ἐξήγαγεν· ὥστε τὸν Καίσαρα θαυ-
μάσαντα, πάντας μὲν αὐτοὺς ἀφεῖναι (καὶ γὰρ τοῖς συγκρύψασί τι-
να θάνατος προείρητο) τὸν δὲ δὴ Φιλοποίμενα καὶ ἐς τὴν ἱππάδα
καταλέξαι. ὁ μὲν Καῖσαρ τοιοῦτος. καὶ ὁ Λέπιδος ὁμοίως πρός τε
τοὺς συγγενεῖς καὶ πρὸς τοὺς ἄλλους οὐκ ἀπαραίτητος ἦν. ὁ δὲ Ἀν-
τώνιος ὠμῶς τε καὶ ἀνηλεῶς οὐχ ὅτι τοὺς ἐκτεθέντας, ἀλλὰ καὶ τοὺς
ἐπικουρῆσαί τινι αὐτῶν ἐπιχειρήσαντας ἔκτεινε. τάς τε κεφα-
λὰς σφῶν, εἰ καὶ σιτούμενος ἐτύγχανεν, ἐπεσκόπει, καὶ ἐπὶ πλεῖστον
D τῆς τε ἀνοσιωτάτης καὶ οἰκτροτάτης αὐτῶν ὄψεως ἐνεπίμπλατο.
καὶ ἡ Φουλουΐα πολλοὺς καὶ αὐτὴ καὶ κατ' ἔχθραν καὶ διὰ χρή-
ματα, καὶ ἔστιν οὓς οὐδὲ γιγνωσκομένους ὑπὸ τοῦ ἀνδρὸς ἐθανά-
τωσεν. ἑνὸς γοῦν τινος κεφαλὴν ἰδὼν, εἶπεν, ὅτι τοῦτον οὐκ ἠπιστά-
μην. ὡς δ' οὖν καὶ ἡ τοῦ Κικέρωνός ποτε ἐκομίσθη αὐτοῖς, ὁ μὲν Ἀν-
τώνιος πολλὰ καὶ δυσχερῆ ἐξονειδίσας αὐτῇ, ἔπειτ' ἐκέλευσεν

αὐτὴν ἐκφανέστερον τῶν ἄλλων ἐν τῷ βήματι προτεθῆναι,
ἵν' ὅθεν κατ' αὐτοῦ δημηγορῶν ἠκούετο, ἐνταῦθα μετὰ τῆς χει- 33
ρὸς τῆς δεξιᾶς, ὥσπερ ἀπετέτμητο, ὁρῷτο. ἡ δὲ δὴ Φουλουία ἔς A
τε τὰς χεῖρας αὐτὴν, πρὶν ἀποκομισθῆναι, ἐδέξατο, καὶ ἐμπι-
κρανασαμένη οἱ καὶ ἐμπτύσασα, ἐπί τε τὰ γόνατα ἐπέθηκε, καὶ
τὸ στόμα αὐτῆς διανοίξασα, τήν τε γλῶσσαν ἐξείλκυσε, καὶ
ταῖς βελόναις αἷς ἐς τὴν κεφαλὴν ἐχρῆτο, κατεκέντησε, πολ
λὰ ἅμα καὶ μιαρὰ ἐπισκώπτουσα. πολύτροποι μὲν οὖν αἱ
σφαγαὶ, πολυειδεῖς δὲ καὶ σωτηρίαι τισὶν ἐγένοντο. ἐγὼ δὲ
τὰ πολλὰ παρεὶς, τὰ ἀξιομνημόνευτα διηγήσομαι. τοῦτο μὲν
γὰρ, ἐς σπήλαιόν τις τὸν δεσπότην κατακρύψας, εἶτ' ἐπειδὴ B
καθ' ἑτέρου τινὸς μήνυσιν ἀπολεῖσθαι ἔμελλε, τήν τε ἐσθῆτα
πρὸς αὐτὸν ἠλλάξατο, καὶ μετ' αὐτῆς τοῖς ἐπιοῦσιν, ὡς καὶ
αὐτὸς ἐκεῖνος ὢν, προαπήντησε, καὶ ἐσφάγη. καὶ οὕτως οἱ μὲν
ἀπετράποντο, νομίζοντες ὃν ἠβούλοντο πεφονευκέναι· ὁ δὲ ἀ-
πελθόντων αὐτῶν ἑτέρωσε διέφυγεν. ἄλλος τις τὴν σκευὴν ὁ-
μοίως ἅπασαν πρὸς τὸν δεσπότην διαλλάξας, αὐτός τε ἐς φο-
ρεῖον κατάστεγον ἐσῆλθε, καὶ ἐκεῖνον δορυφορεῖν ἐποίησε· κἀκ
τούτου καταληφθέντες, ὁ μὲν οὐδ' ὀφθεὶς ἐφονεύθη, ὁ δὲ, ὡς
τις σκευοφόρος, ἐσώθη. καὶ ταῦτα μὲν ἐκεῖνοι ἐξ εὐεργεσίας τι-
νὸς προϋπαρχούσης σφίσι, τοῖς εὖ ποιήσασιν ἀνταπέδοσαν. στι- C
γματίας δέ τις οὐχ ὅσον οὐ προέδωκε τὸν δεσπότην τὸν στίξαν
τα, ἀλλὰ καὶ προθυμότατα ἔσωσεν. ὡς γοῦν ὑπεκκομίζων
ποι αὐτὸν ἐφωράθη καὶ ἐδιώκετο, ἀπέκτεινέ τινα ἐντυχόντα οἱ
κατὰ τύχην, καὶ τὴν στολὴν αὐτοῦ τῷ δεσπότῃ δοὺς, τὸν μὲν ἐπὶ
πυρὰν ἐπέθηκεν, αὐτὸς δὲ τήν τε ἐσθῆτα καὶ τὸν δακτύλιον τοῦ
δεσπότου λαβὼν, ἀπήντησε τοῖς διώκουσι, καὶ πλασάμενος ὡς καὶ
φεύγοντα αὐτὸν ἀπεκτονὼς, ἐπιστεύθη ἔκ τε τῶν σκύλων καὶ ἐκ
τῶν στιγμάτων. καὶ ἐκεῖνόν τε ἅμα ἔσωσε, καὶ αὐτὸς ἐτιμήθη. ταῦ- D
τα μὲν ἐς οὐδεμίαν ὀνόματος μνήμην ἀνήκει· ὁ σιαῖον δὲ δὴ Γέ
ταν ὁ υἱὸς, ἐκφορὰν δή τινα αὐτοῦ ὡς καὶ τεθνηκότος σκευάσας,

ἐξέσωσε. καὶ Κόϊντον Κικέρωνα τὸν τοῦ Μάρκου τοῦ ῥήτορος ἀδελ-
φὸν ὁ παῖς ἐξέκλεψε, καὶ ὅσον ἐφ' ἑαυτῷ ἔσωσεν. αὐτὸς μὲν γὰρ
καὶ κατέκρυψε τὸν πατέρα, ὥστε μὴ εὑρεθῆναι. στρεβλωθεὶς
34 δὲ ἐπὶ τούτῳ πάσαις βασάνοις, οὐδὲν ἐξελάλησε. μαθὼν δὲ ἐ-
A κεῖνος τὸ γινόμενον, καὶ θαυμάσας τε ἅμα τὸν παῖδα, καὶ ἐλεή-
σας, ἦλθεν ἐθελοντὴς ἐς τὸ ἐμφανές, καὶ αὐτὸς ἑαυτὸν τοῖς σφα-
γεῦσι παρέδωκε. Μάρκος δὲ Τερέντιος Οὐάρρων ὁμώνυμος ὢν
τινὶ τῶν ἐπικεκηρυγμένων, καὶ δείσας μή τι κατὰ τοῦτο, οἷα καὶ ὁ
Κίννας, πάθῃ, ἐξέθηκε γράμμα, αὐτὸ τοῦτο δηλοῦν· (ἐδημάρχει
δέ) καὶ ὁ μὲν διαπεσὼν καὶ γέλωτα ἐπὶ τούτῳ ὤφλισκανε. πλεῖ-
στοι δὲ καὶ τῶν μὴ προγραφέντων, διά τε ἔχθραν καὶ διὰ χρήματα
B προσαπώλοντο. πλεῖστοι δὲ καὶ τῶν ἐπικηρυχθέντων οὐχ ὅτι πε-
ριεγένοντο, ἀλλὰ καὶ κατῆλθον αὖθις. καί τινες αὐτῶν καὶ ἀρχὰς
ἔσχον· ἵνα καὶ ἐκ τούτων τὸ ἀστάθμητόν τις τοῦ βίου τεκμηριώσαι-
το. ἡ δὲ ἀναχώρησις σφίσι πρός τε τὸν Βροῦτον καὶ πρὸς τὸν
Κάσσιον, πρός τε τὸν Σέξτον ἐγίνετο. καὶ οἵ γε πλείους πρὸς τοῦ-
τον κατέφυγον. ναυαρχεῖν γὰρ αἱρεθεὶς, καὶ χρόνον τινὰ ἐν τῇ
θαλάσσῃ δυνηθεὶς, ἐπεὶ καὶ αὐτὸς ἐπεκηρύχθη, τήν τε Σικελίαν
κατέσχε, τῇ τε Ἰταλίᾳ ἐγγύθεν ἐφορμῶν, χρήματά τε διπλά-
σια τοῖς προσσώζουσί τινα τῶν τοῖς φονεῦσι προκειμένων ἐπαγ-
γελλόμενος, καὶ αὐτοῖς ἐκείνοις ὑποδοχὴν καὶ τιμὰς ὑπισχνού-
C μενος, πολλοὺς ἔσωσεν. οἱ μέν τοι τρεῖς ἄνδρες οὐ μόνον τοὺς ἐς
τὰ λευκώματα ἐγγραφέντας ἀπέκτειναν, ἀλλὰ καὶ ὅσους ἀφεῖ-
ναι ἔδοξαν, τρόπον ἕτερον διεχρῶντο, πτωχοὺς ἀντὶ τῶν πλουσίων
ποιοῦντες. ἐνοίκιά τε γὰρ τῶν οἰκιῶν ὧν εἶχον ἀπῄτουν, καὶ τὰς
τῶν κτημάτων αὐτῶν προσόδους ἀφῄρουν, καὶ τὰ πολλὰ τῶν
χρημάτων τοῖς στρατιώταις ἐδίδουν, ἅτε θεραπεύοντες καὶ ἐπὶ
πλέον ἀναρτώμενοι τούτους· ἵνα καὶ πρὸ τῶν ἔργων τοὺς μισθοὺς
ἔχοντες, πάνυ τι προθύμους σφίσι παρέχωνται. διὰ τοῦτο καὶ τὰς
τῶν ἀνῃρημένων οὐσίας εἰς ἀγορὰν προτιθέμενοι, τοὺς μὲν ἄλλους
D τῶν ὠνητῶν ἀπήλαυνον, ἀπειλοῦντες, τοῖς δὲ στρατιώταις αὐ-

τὰς ἐπώλοευ ἐπωνυμίζοντες. ὀργῆς δὲ κατηφείας καὶ πέν-
θους ἐπὶ τούτοις τὴν Ῥώμην κατειληφότος, πεπράχασί τι
καὶ ἄλλο τυραννικὸν ὁμοῦ καὶ γελοῖον. ἐκέλευσαν πᾶσι διὰ προ-
γραφῆς εὐθυμεῖσθαι, θάνατον, ἂν μὴ πειθαρχήσωσιν, ἀπει-
λήσαντες. οὕτω τὰ πράγματα πρός τε τὸ βούλημα καὶ πρὸς
τὸ ἐπιθύμημα τὸ ἑαυτῶν διῆγον, ὥστε χρυσὴν τὴν τοῦ Ἰουλίου
Καίσαρος μοναρχίαν φανῆναι. τελευτῶντες δὲ, λευκώματα
αὖθις ἐξέθεντο, θάνατον μὲν μηδενὶ ἔτι φέροντα, τὰς δὲ οὐσίας 35
τῶν ζώντων ἀποσυλῶντα, τῷ μὲν λόγῳ τὸ δέκατον τῆς οὐσίας A
παρ' ἑκάστου τῶν πολιτῶν εἰσπράττοντες, ἔργῳ δὲ, οὐδὲ τὸ δέ-
κατόν τινι καταλείποντες. τῷ δὲ Καίσαρι ἡρῷον ἐπὶ τῆς ἀγο-
ρᾶς ἐφ' ἧς ἐφλέχθη, δειμάμενοι, ἀπηγόρευσαν οὐδένα τῶν εἰς τοῦ-
το καταφευγόντων μήτε ἀνδρηλατεῖσθαι, μήτε συλᾶσθαι. τὸ δὲ
οἴκημα ἐν ᾧ ἐσφάγη, εἰς ἄφοδον μετεσκεύασαν. πράξαντες
δὲ ταῦτα, Λέπιδος μὲν ἐν τῇ πόλει κατέμεινε· Καῖσαρ δὲ καὶ
Ἀντώνιος ἐπὶ τὸν Βροῦτον καὶ τὸν Κάσσιον ἐξεστράτευσαν. Κάσ-
σιος γὰρ καὶ Βροῦτος, ἐπειδὴ τὰ πράγματα ὑπὸ τῷ Ἀντωνίῳ
τῷ τε Καίσαρι γινόμενα ἔμαθον, ὧν μὲν ἔλαχον ἐπαρχιῶν B
κατεφρόνησαν, τῆς Κρήτης καὶ Βιθυνίας· ὁρμήσαντες δὲ, ὁ μὲν
ἐπὶ τὴν Συρίαν, ὁ δὲ ἐπὶ τὴν Μακεδονίαν, ὅτι τῷ καιρῷ καὶ
τοῖς χρήμασι ταῖς τε δυνάμεσιν ἤκμαζον, οὐ μόνον ταύτας ἀ-
μαχεὶ προσηγάγοντο, ἀλλὰ καὶ τὴν Ἀσίαν τελευτῶντες ἅπα-
σαν παρεστήσαντο, πειθοῖ τε ὅπη παρείκοι, καὶ βίᾳ πρὸς τοὺς ἀν-
τιτείνοντας χρώμενοι. ἦσαν μὲν γὰρ καθ' ἑκάστην ἐπαρχίαν ᾑρη-
μένοι πρότερον ἄρχοντες· ἀλλ' οἱ μὲν πρὸς τὸ ἀξίωμα καὶ τὸ
κλέος τῶν περὶ Βροῦτον εἶκον εὐθὺς, καὶ προσετίθεντο σφίσιν· οἱ
δὲ τὰ τοῦ Ἀντωνίου μᾶλλον καὶ τὰ τοῦ Καίσαρος φρονοῦντες, οὐ C
χαλεπῶς ἐχειροῦντο. ὧν ἦν καὶ Δολοβέλλας ὁ τὸν Τρεβώνιον
ἐν Σμύρνῃ δολοφονήσας, τήν τε κεφαλὴν αὐτοῦ τῇ τοῦ Καίσα-
ρος εἰκόνι προσερείψας, ὅτι τῶν σφαγίων ἦν· καὶ ὁ τοῦ Ἀντωνίου
ἀδελφὸς τῶν ἐν Μακεδονίᾳ δυνάμεων ἡγεῖσθαι παρ' αὐτοῦ

τούτου τιμηθείς. οὕτω γὰρ ἐτεθήπεσαν τοὺς περὶ τὸν Βροῦτον
ἐφ' οἷς ἐποίησαν αἱ πόλεις πᾶσαι, ὥστε καὶ οἱ Ἀθηναῖοι εἰκό-
νας σφίσι χαλκᾶς παρὰ τὴν τοῦ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἐ-
D ψηφίσαντο· ὃ δὲ αὐτοῖς ταχὺ μάλα τὰ πράγματα προσ-
χωρῆσαι πεποίηκε, τοῦτ' ἦν, ὅτι τῆς τῶν τριῶν συναρχόντων ἐν
Ῥώμῃ ὠμότητος καὶ παρανομίας ἐκ διαμέτρου ἀφεστήκεσαν,
καὶ μάλιστα Βροῦτος. ἔς τε τὴν βουλὴν ἀνέφερον τὰ πραττό-
μενα, καὶ αὐτῇ τὰ πράγματα καὶ σφᾶς αὐτοὺς ἀνετίθεσαν·
καὶ αὕτη ἔχαιρέ τε αὐτοῖς, καὶ δόγμασιν ἐβεβαίου τὰ παρ'
αὐτῶν διοικούμενα καὶ γινόμενα, ἕως οὔπω δηλονότι παντελῶς
ἐδεδούλωτο. ἐπεὶ δ' ἐκεῖνοι ταύτην τε δουλωθεῖσαν ἤκουον, καὶ
τὰς παρανόμους ἐν τῇ πόλει σφαγὰς ἐπυνθάνοντο, οὕτω δὴ
τὰς δυνάμεις αὐτῶν συναγαγόντες εἰς ἕν, εἰς τὸν ὕστατον ἐ-
36 κεῖνον τὸν ὑπὲρ τῆς κοινῆς ἐλευθερίας ἀγῶνα ὥρμησαν. ὄντων δ'
A αὐτῶν ἔτι κατὰ τὴν Ἀσίαν, ἔφθησαν οἱ περὶ τὸν Ἀντώνιον τόν τε Γά-
ιον περαιωθέντες, καὶ πρὸς τοῖς Φιλίπποις τῆς Μακεδονίας στρα-
τοπεδεύσαντες. διαβάντες δὲ καὶ ἐκ τῆς Ἀσίας αὐτοὶ ἀντεστρατοπε-
δεύοντο τούτοις. καὶ τὰ μὲν στρατόπεδα, ὡς καὶ ἀτακτότεροι οἱ στρα-
τιῶται καὶ ῥᾴους ἀρχὴν ὦσι, δίχῃ κατέστη. παντὸς δὲ δὴ καὶ τοῦ δια-
μέσου αὐτῶν καὶ τάφρῳ καὶ σταυρώματι περιληφθέντος, εἷς τις ὁ
πᾶς περίβολος ἀμφοτέρων ἐγένετο, καὶ ἐν κοινῷ τὴν ἀπ' αὐτοῦ
ἀσφάλειαν εἶχον. ἀντικειμένων δὲ αὐτῶν ἀλλήλοις, ἐκδρομαὶ
μὲν καὶ ἀντεπέξοδοι παρ' ἀμφοτέρων, ὡς ἔτυχεν, ἐγίνοντο· μά-
B χη δὲ ἐκ παρατάξεως οὐδεμία χρόνον τινὰ συνηνέχθη· τέ-
λος δὲ συνέμιξαν ἀλλήλοις. πρὸ μέντοι τῆς μάχης σημεῖα
τινὰ γεγονότα τό, τε τοῦ πολέμου τέλος καὶ τὴν τῆς δημοκρα-
τίας κατάλυσιν ὑπέφαινον, τοῦ θεοῦ τάχα μεθαρμόττοντος
ἤδη τὴν πολιτείαν εἰς τὴν λυσιτελεστέραν ἁρμονίαν καὶ κρείτ-
τονα, τὴν τῆς μοναρχίας φημί. ὁμοφρονῆσαι μὲν ἐν τῷ καθε-
στῶτι τύπῳ τῆς πολιτείας οὐκέτ' οἷοί τε ἦσαν· (οὐ γάρ ἐστιν ὅπως
δημοκρατία ἄκρατος ἐς τοσοῦτον ἀρχῆς ὄγκον προχωρή-

ἅπαντα. (σωφρονῆσαι δυνάμενα)) πολλοὺς δ' αὖ ἐπὶ πολλοῖς καὶ αὐτοὺς ὁμοίους ἀγῶνας ἀνελόμενοι, πάντως ἄν ποτε ἐδουλώθησαν, ἢ καὶ ἐφθάρησαν. τὰ μὲν οὖν πολλὰ τῶν σημείων τοῖς τερατο- C
λόγοις παρήσω. ἀμείνων δ' ἂν ἦν καὶ ὁ Δίων μὴ πέρα τοῦ δέοντος αὐτὰ τεθηπὼς, ἀλλά τι καὶ τῷ Πολυβίῳ προσεσχηκὼς, ὅστις ἅλωσιν γράψας τῆς Καρχηδόνος, καὶ τῆς Ἑλλάδος δούλωσιν, καὶ πρὸ τούτων τὴν μεγάλην τῶν Ῥωμαίων ἐκείνην ὑπὸ Ἀννίβου καὶ πολυχρόνιον κάκωσιν, οὐδαμοῦ τερατολογῶν φαίνεται, οὐδὲ σημεῖα ταῖς λοιπαῖς πόλεσι περὶ τῶν συμφορῶν γενόμενα διηγούμενος. εἰ μὲν οὐδ' ἂν γίνεσθαι νομίζων, μεμπτῶς· πλήρης γὰρ τῶν τοιούτων ἡ ἱστορία· εἰ δ' ὡς οὐχ ἱστορήσας γε αὐτὰς, συγγνωστῶς. συγγραφὴν γὰρ προσκεχείριστο. ἓν δ' D
οὖν τῶν ἐπὶ Καίσαρος καὶ Ἀντωνίου γινομένων τοῦτο ἐρῶ, τὴν μεταβολὴν οἶμαι τῶν πραγμάτων δηλοῦν. τῶν γὰρ ἐν Ἰταλίᾳ ποταμῶν οἱ μέν τινες παντάπασιν ἐξέλιπον, οἱ δ' ἀνάπαλιν ῥεῖν ἤρξαντο. ἐγένετο δ' ἡ μάχη τοῦτον τὸν τρόπον. πρῶτον μὲν σαλπικτὴς εἷς ἑκατέρωθεν ὑπεσήμαινε, καὶ οὕτως οἱ λοιποὶ ἐπήχησαν, πρῶτοι μὲν οἱ ἐπὶ τὰ στόματα, καὶ τὸ παρασκευαστικὸν ἐν τόπῳ τινὶ κυκλοτερεῖ διὰ σαλπίγγων μελῳδοῦντες, ἔπειτα δὲ καὶ οἱ ἄλλοι οἱ τόν τε θυμὸν τῶν στρατιωτῶν ἐπεγείροντες, καὶ 37
ἐπὶ τὴν σύνοδον αὐτοὺς ἐξοτρύνοντες. καὶ μετὰ τοῦτο σιωπή τε A
ἐξαπίνης πολλὴ ἐγένετο, καὶ σμικρὸν ἐπισχόντες, αὐτοί τε διάτορον ἐξεφώνησαν, καὶ αἱ τάξεις ἑκατέρωθεν συνέβαλον. κἀκ τούτου ἀλαλάξαντες οἱ ὁπλῖται, τάς τε ἀσπίδας τοῖς δόρασιν ἔκρουσαν, καὶ ἐκεῖνα ἐπ' ἀλλήλους ἐξηκόντισαν. καὶ οἱ σφενδονῆται καὶ οἱ τοξόται βέλη καὶ λίθους ἧκαν, καὶ μετὰ ταῦτα τό, τε ἱππικὸν ἀντεξήλασεν, καὶ τὸ θωρακοφόρον συνεπισπώμενον σφίσιν ἐν χερσὶν ἐγένετο. καὶ πολλῷ μὲν ὠθισμῷ, πολλῷ δὲ καὶ ξιφισμῷ ἐχρήσαντο, τὰ μὲν πρῶτα περισκοποῦντες ὅπως τε τρώσωσί τινας, καὶ ὅπως αὐτοὶ μὴ τρωθῶσιν· ἔπειτα δὲ ὡς ἥ τε ὁρμὴ σφῶν ηὐξήθη, καὶ ὁ θυμὸς ἐφλέγμηνεν, ὁμόσε τε B

ἀπερισκέπτως χωροῦντες, καὶ μηδεμίαν ἔτ' ἀσφάλειαν ἑαυ-
τῶν ποιούμενοι. καὶ οὔτε τῶν τραυμάτων αἴσθησιν εἶχον· τὸ γὰρ
ἀλγῆσον ὁ θάνατος προελάμβανεν· οὔτε τοῦ ὀλέθρου σφῶν ὀλο-
φυρμὸν ἐποιοῦντο· ἐς γὰρ τὸ λυπῆσον οὐκ ἐξικνοῦντο. ἔμενον δὲ
κατὰ χώραν ἀκριβῶς ἀμφότεροι, καὶ οὔθ' ὑπαγωγαῖς, οὔτε διώξε-
σιν οὐδέτεροι ἐχρήσαντο, ἀλλ' αὐτοῦ ὥσπερ εἶχον, ἐτίτρωσκον,
ἐτιτρώσκοντο, ἐφόνευον, ἐφονεύοντο μέχρι πόρρω τῆς ἡμέρας. καὶ
C εἴγε Βροῦτος μὲν κατὰ Ἀντώνιον, Κάσσιος δὲ κατὰ Καίσαρα ἀν-
τετέτακτο, ἰσοπαλεῖς ἂν ἐγεγόνεσαν· νῦν δὲ ὅ,τι Βροῦτος τὴν
τοῦ Καίσαρος ἀρρωστίαν ἐξεβιάσατο, καὶ ὁ Ἀντώνιος τὸν Κάσ-
σιον οὐδέν οἱ ὅμοιον τὰ πολέμια ὄντα ἐξενίκησεν. ἐπλεονέκτη-
σαν δὲ καὶ ἠλαττώθησαν ἀλλήλων, ὥστε τό, τε τάφρευμα τὸ τοῦ Και-
σαρος ὑπὸ τοῦ Ἀντωνίου πᾶν, καὶ τὰ ἐν αὐτῷ πάντα ἁλῶναι. ὅ τε
καὶ Καῖσαρ παραδόξως ἐσώθη, τῶν ἰατρῶν τινος πρὸ τῆς
μάχης ὄναρ αὐτῷ εἰπόντος, κελεῦον αὐτῷ ἐκχωρῆσαι τοῦ στρατο-
πέδου· καὶ τῷ τὸν Κάσσιον ἐκ μὲν τῆς μάχης σωθῆναι, τοῦ τε ἐ-
D ρύματος στερηθέντα, ἄλλοσέ ποι διαφυγεῖν· ὑποτοπήσαντα δὲ καὶ
τὸν Βροῦτον ἐσφάχθαι, καί τινας τῶν κεκρατηκότων πρὸς αὐ-
τὸν ἐπιέναι, διαχρήσασθαι ἑαυτόν. ὁ οὖν Βροῦτος μετὰ ταῦτα καὶ
τὸ ἐκείνου στράτευμα παραλαβών, μάχῃ μὲν ἐκ παρατάξεως
οὐ διενοεῖτο αὖθις συνενεχθῆναι, πολλὴν δὲ δὴ ἐλπίδα ἀκιν-
δύνως ἐν τῷ χρόνῳ κατεργάσασθαι σφᾶς ἔχων, θορυβεῖν τε αὐ-
τοὺς ἄλλως καὶ ταράττειν νύκτωρ ἐπιχειρεῖτο. καί ποτε καὶ τὸν ποτα-
μὸν παρατρέψας, πολὺ τοῦ ἐρύματος αὐτῶν κατέκλυσε. καὶ τὰ
μὲν τοῦ Βρούτου ἐν τούτοις ἦν. ὁ δὲ δὴ Καῖσαρ ὅ,τι Ἀντώνιος ἐ-
38 σπάνιζον μὲν καὶ τροφῆς καὶ χρημάτων, ὅθεν οὐδὲ τοῖς στρατιώ-
A ταις τι ἀντὶ τῶν διαρπασθέντων ἔδωκαν· καὶ προσέτι καὶ τὴν
δύναμιν τὴν ναυτικὴν ἡττηθεῖσαν ὑπὸ τῆς τοῦ Βρούτου ἀπέβα-
λον. διὸ καὶ ἐν τοῖς ὅπλοις ἔτι μόνον τὰς ἐλπίδας οὐχ ὅτι τῆς νί-
κης, ἀλλὰ καὶ τῆς σωτηρίας ποιούμενοι, ὥρμηντο διακινδυνεῦ-
σαι. ἠναγκάσθη δὲ καὶ ὁ Βροῦτος μάχῃ κρατῆσαι τὰ ὅλα δια-

τοὺς τῶν στρατιωτῶν αὐτομολήσεις. καὶ αὐτῶν ἀντιπαρατεταγμένων ἤδη, αὐτοὶ δύο ὑπὲρ ἀμφοτέρων ὑπεριπτάμενοι, ἀλλήλοις τε ἐμαχέσαντο, καὶ ἐκείνοις τὸ τέλος τοῦ πολέμου προέφηναν· ἡττήθη γὰρ ὁ κατὰ τὸν Βροῦτον. ἡττηθέντος οὖν καὶ τοῦ Βρούτου, καὶ ἄλλων ἄλλῃ φευγόντων, ἐπεδίωξαν μὲν οἱ κεκρατηκότες, οὔτε δὲ ἀπέκτειναν, οὔτ' εἷλόν τινα, ἀλλὰ προσεδρεύσαντες αὐτοῖς B τὴν νύκτα, ὡς ἑκάστοις, οὐκ εἴασαν αὖθις σφᾶς συστραφῆναι. ὁ οὖν Βροῦτος ἀπογνοὺς μὲν τὴν σωτηρίαν, ἀπαξιώσας δὲ τὴν ἅλωσιν, ἐς τὸν θάνατον αὐτὸς κατέφυγε, καὶ ἀναβοήσας τοῦτο δὴ τὸ Ἡράκλειον, Ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθα ἄλλως, ἐγὼ δέ σε ὡς ἔργον ἤσκουν, σὺ δ' ἄρα ἐδούλευες τύχῃ· παρεκάλεσέ τινα τῶν συνόντων ἵνα αὐτὸν ἀποκτείνῃ. καὶ αὐτοῦ τὸ μὲν ἄλ- C λο σῶμα ταφῆς ὑπὸ τοῦ Ἀντωνίου ἔτυχεν· ἡ δὲ δὴ κεφαλὴ ἐπέμφθη μὲν εἰς τὴν Ῥώμην, χειμῶνι δὲ ἐν τῷ ἀπὸ τοῦ Δυρραχίου διάπλῳ περιπεσοῦσα, εἰς τὴν θάλασσαν ἐρρίφη. τελευτήσαντος δὲ αὐτοῦ, καὶ ἡ γυνὴ Πορκία ἄνθρακα διάπυρον καταπιοῦσα ἀπέθανε. τῶν δὲ συνόντων αὐτῷ ἐπιφανῶν ἀνδρῶν οἱ μὲν πλείους ἑαυτοὺς παραχρῆμα ἀπέκτειναν, ἢ ἁλόντες ἐφθάρησαν, ὥσπερ ὁ Φαβώνιος ὁ τοῦ Κάτωνος ἐραστής· οἱ δὲ λοιποὶ εἰς Σικελίαν πρὸς τὸν Σέξτον κατέφυγον. Καῖσαρ δὲ καὶ Ἀντώνιος, ὁ μὲν εἰς τὴν Ἀσίαν ἐχώρησεν, ἀργυρολογήσων αὐτήν, Καῖσαρ δὲ εἰς τὴν Ῥώμην, τὸν Λέπιδον, ἄν τι παρακινῇ, κω- D λύσων, καὶ τῷ Σέξτῳ προσπολεμήσων. κατὰ δὲ τὴν Ῥώμην ἡ Φουλουία ἡ τοῦ τε Καίσαρος πενθερά, καὶ τοῦ Ἀντωνίου γυνή, τὸν Λέπιδον ὑπὸ νωθείας παρ' οὐδὲν ἦγε, καὶ αὐτὴ τὰ πράγματα διεχείριζεν, ὥστε μήτε τὴν βουλήν, μήτε τὸν δῆμον ἄλλο τι παρὰ τὸ ἐκείνῃ δοκοῦν χρηματίζειν. συνῆν δὲ ταύτῃ καὶ Λούκιος ὁ τοῦ Ἀντωνίου ἀδελφός, ἐπελθόντος δὲ τοῦ Καίσαρος, πρὸς βραχὺ μὲν ἡσύχασαν, ἔπειτα διηνέχθησαν, καὶ τελευτῶντες εἰς πόλεμον ἐμφανῆ κατέστησαν· ὁ γὰρ Καῖσαρ τὴν χαλεπότητα τῆς πενθερᾶς μὴ φέρων, τὴν θυγατέρα αὐτῆς, ὡς καὶ παρθένον

39 ἔτι οὖσαν (ὃ καὶ ὅρκῳ ἐπιστώσατο) ἀπεπέμψατο. γενομένου δὲ
A τούτου, οὐδὲν ἔτι φίλιον ἐποίουν. συνέβη δὲ τοῖς περὶ Φου-
λουΐαν ἐς τὰ μάλιστα τὸ ἐξ ὑπογύου τῶν ἀνθρώπων περὶ τὸν
Καίσαρα μῖσος, ἐξ αἰτίας τοιᾶσδε φυέν. πᾶσαν γὰρ κατ' ἀρχὰς
τὴν Ἰταλίαν (πλὴν εἴ τις τῶν ἐστρατευμένων ἐν δωρεαῖς μέρει
λαβὼν, ἢ καὶ ἐκ τοῦ δημοσίου πριάμενος εἶχε) μετὰ τῆς δου-
λείας καὶ μετὰ τῆς ἄλλης κατασκευῆς τοὺς δεσπότας ὁ Καῖσαρ
ἀφῃρεῖτο, καὶ τοῖς στρατιώταις ἐδίδου. τῶν οὖν ἀποστερουμένων
B τῶν ἰδίων κτημάτων, δεινῶς πρὸς αὐτὸν ἀγανακτούντων, ὡς
εἰκὸς, καὶ σχετλιαζόντων, διηρώτα σφᾶς, πόθεν οὖν τὰ γέρα τοῖς
ἐστρατευμένοις ἀποδώσομεν; ὥσπερ τινὸς αὐτοῖς πολεμεῖν, ἢ καὶ
τοσαῦτά τινα ὑπισχνεῖσθαι κεκελευκότος. τοὺς οὖν ἀδικουμέ-
νους ὑπὸ τοῦ Καίσαρος ὅ,τε Λούκιος καὶ ἡ Φουλουΐα προσεποι-
οῦντό τε καὶ συνίστων. ὅθεν ὁ Καῖσαρ καὶ ἄκων ὑποκατέκλινε
καὶ οὐκέτ' ἀφῃρεῖτό τι. ἡ μὲν οὖν γερουσία διὰ ταῦτα καὶ οἱ
ἄλλοι πράως πως πρὸς αὐτὸν εἶχον· οἱ δὲ στρατιῶται ἐδυσχέ-
C ραινον. καὶ τῶν τε ἑκατοντάρχων καὶ τῶν ἄλλων τῶν θορυβεῖν
αὐτοὺς κωλυόντων συχνοὺς ἀπέκτειναν, αὐτόν τε ἐκεῖνον παρ' ὀ-
λίγον ἦλθον ἀποχρήσασθαι, πᾶσαν πρόφασιν τῆς ὀργῆς
ποιούμενοι· καὶ οὐ πρότερόν γε ἐπαύσαντο χαλεπαίνοντες, πρὶν
τοῖς τε συγγενέσι σφῶν, καὶ τοῖς τῶν ἐν ταῖς μάχαις πεσόντων πα-
τράσι καὶ παισὶ τὴν χώραν ἣν τινες αὐτῶν εἶχον, ἀφεθῆναι.
ἐκ δὲ τούτων τὰ μὲν τῶν στρατιωτῶν ἐπιτηδειότερά οἱ αὖθις ἐ-
γένετο. ὁ δὲ δῆμος κατ' αὐτὸ δὴ τοῦτο πάλιν ἠγανάκτει, καὶ ἐς
τὰς χεῖρας αὐτοῖς ᾔεσαν, καὶ μάχαι σφῶν συνεχεῖς ἐγίγνοντο. διὰ
D ταῦτα οὖν φοβηθεὶς ὁ Καῖσαρ, καταλλαγῆναι τῇ Φουλουΐᾳ
καὶ τῷ Λουκίῳ ἠθέλησεν· ἐπεὶ δὲ πολλοὺς πολλάκις πέμπων οὐδὲν
ἐπέραινεν, (ἡ γὰρ Φουλουΐα τοὺς βουλευτὰς καὶ τοὺς ἱππέας ἔχου-
σα μετ' αὐτῶν ἐβουλεύετο. καί τι ταῦτα θαυμάσειέ τις, ὁπότε καὶ
ξίφος παρεζώννυτο, καὶ συνθήματα τοῖς στρατιώταις ἐδίδου, εἰ δὴ
δημηγόρει τι ἐν αὐτοῖς πολλάκις;) διὰ ταῦτα τοίνυν ὁ Καῖσαρ ἐπὶ

τοῖς ἐστρατευμένοις κατέφυγεν· οὗτοι δὲ ἦσαν οἱ τῆς στρατείας
ἤδη, διὰ τὸ τὸν νενομισμένον χρόνον ἐστρατεῦσθαι, διαφειμένοι· 40
τούτους οὖν πολλοὺς κατὰ τὴν Ἰταλίαν ὑπάρχοντας παρεκάλει A
διαλλακτὰς γενέσθαι σφίσι τῆς πρὸς ἀλλήλους διαφορᾶς, ἢ δι-
καστάς. καὶ δῆτα ἐς τὴν Ῥώμην ἐκεῖσε πλήθει πολλῷ συνελθόν-
τες, ἔς τε τὸ Καπιτώλιον ἀθροισθέντες, τάς τε συνθήκας ἃς
ὅ, τε Ἀντώνιος καὶ ὁ Καῖσαρ ἐπεποίηντο, ἀναγνωσθῆναι σφίσιν ἐ-
κέλευσαν· καὶ τῷ μὲν Καίσαρι παρόντι, τοῖς δὲ ἑτέροις διὰ πρε-
σβείας, καὶ ἐν ῥητῇ τινὶ ἡμέρᾳ, πρὸς τὴν δίκην ἀπαντῆσαι
προσέταξαν· καὶ ὁ μὲν Καῖσαρ ἕτοιμος διαδικασθῆναι ἐγένετο·
οἱ δ' οὐκ ἦλθον φοβηθέντες, ἢ καὶ ἀπαξιώσαντες. διέσκωπτον B
γοῦν σφᾶς, ἄλλά τε καὶ βουλὴν καλλιγὰν ἀπὸ τῆς τῶν στρατιω-
τικῶν ὑποδημάτων χρήσεως ἀποκαλοῦντες. τηνικαῦτα
οὖν, τοῦ μὲν Λουκίου καὶ τῆς Φουλουίας, ὡς καὶ ἀδικούντων, κα-
τεψηφίσαντο· τὰ δὲ τοῦ Καίσαρος ἐπρέσβευσαν. καὶ ἐκ τούτου
δὴ τοῦ πολέμου ψηφισθέντος, χρημάτων ἐς τὸν πόλεμον δεόμε-
νος, τὰ ἀναθήματα ὅσα τε ἐξαργυρωθῆναι ἐδύνατο, τά τε
ἐν τῇ ἄλλῃ Ἰταλίᾳ τὰ ἐν τῇ ἐπικρατείᾳ αὐτῶν οὔσῃ, καὶ τὰ ἐν
αὐτῇ Ῥώμῃ ἀνακείμενα καθεῖλον. ὅτε οὖν Καῖσαρ παρε-
σκευάζετο, καὶ ἡ Φουλουία καὶ ὁ Λούκιος τά τε πρόσφορα ἐ- C
πορίζοντο, καὶ τὰς δυνάμεις συνεκρότουν· καὶ πολλὰ μὲν ἀλ-
λήλους ἐκάκωσαν, ἐνίκησε δ' ὅμως ὁ Καῖσαρ· τὴν τε πόλιν ἐν
ᾗ ὁ Λούκιος ἦν, περιχαρακώσας, ὑπὸ λιμοῦ ἐξεπολιόρκησε·
καὶ αὐτὸς μὲν ἄλλοι τέ τινες ἄδειαν εὕροντο· τῶν δὲ βουλευτῶν
καὶ τῶν ἱππέων οἱ πλείους ἐφθάρησαν. καὶ ἥ τε Φουλουία πρὸς
τὸν ἄνδρα μετὰ τῶν τέκνων ἀπέδρα· ἥ τε Ἰουλία ἡ τῶν Ἀντωνίων
μήτηρ εἰς Σικελίαν πρῶτον πρὸς τὸν Σέξτον ἐλθοῦσα, ἐντί-
μως ὑπ' αὐτοῦ πρὸς τὸν υἱὸν ἀπεστάλη. μετὰ τούτων τῶν τότε πρὸς
τὸν Ἀντώνιον ἐκχωρησάντων καὶ Κλαύδιος Τιβέριος Νέρων D
ἔφυγε. φρουρὰν γάρ τινα ἐν τῇ Καμπανίᾳ εἶχε, καὶ ἐπειδὴ καθυ-
πέρτερα τὰ τοῦ Καίσαρος ἐγένετο, ἀπῆρε σύν τε τῇ γυναικὶ

Λιβία Δρουσίλλη, καὶ σὺν τῷ υἱῷ Τιβερίῳ Κλαυδίῳ Νέρωνι,
ὥστε καὶ τοῦτο ἐν τοῖς παραδοξοτάτοις συμβῆναι. ἥ τε γὰρ Λι-
βία αὕτη ἡ τὸν Καίσαρα τότε φυγοῦσα, μετὰ ταῦτα αὐτῷ ἐγή-
ματο, καὶ ὁ Τιβέριος οὗτος ὁ σὺν τοῖς γονεῦσι τότε ἐκδράς, τὴν
αὐτοκράτορα ἀρχὴν αὐτοῦ διεδέξατο. ταῦτα μὲν ὕστερον ἐγένε-
41 το. Καῖσαρ δέ, ἐπεὶ ὑπό τε τοῦ λιμοῦ φθορὰ ἐν τῷ ἄστει ἐγίνετο
A θαλαττοκρατοῦντος τοῦ Σέξτου, καὶ ὁ Σέξτος καὶ τῆς Ἰταλίας
ἐπείρασε, διαναυμαχῆσαι πρὸς αὐτὸν ἠβουλήθη. καὶ πρὸ τοῦ
μὲν δερμάτινα πλοῖα κατὰ τοὺς ἐν τῷ ὠκεανῷ πλέοντας, ἐκποιῆ-
σαι ἐπεχείρησεν, ἔνδοθεν μὲν ῥάβδοις αὐτὰ κούφαις διαλαμ-
βάνων, ἔξωθεν δὲ βοὸς δέρμα ὠμὸν ἐς ἀσπίδος κυκλοτεροῦς
τρόπον περιτείνων. ὡς δὲ γέλωτά τε ὤφλισκανε, καὶ κινδυνεύ-
σειν, εἰ πειραθείη τούτων, ἐπίστευσε, τῷ ναυτικῷ τῷ κατασκευα-
σθέντι ἐχρήσατο μέν, νικηθεὶς δέ, καταλλαγῆναί οἱ ἐπεθύμη-
B σεν· οὐ μὴν ἔτυχεν αὐτοῦ πρὸς τὰς διαλλαγὰς ὁμογνώμονος. τοῦ
δὲ Καίσαρος περὶ ταῦτα ὄντος, τοῦ τε Ἀντωνίου ἐκ τῆς Ἀσίας εἰς
Αἴγυπτον ἔρωτι τῆς Κλεοπάτρας ἀποχωρήσαντος, ὁ Λαβίηνος
τοῦ μεγάλου Πομπηίου γεγονὼς ἱππάρχης, μᾶλλον δὲ υἱὸς ἐκείνου
ὁ Λαβιῆνος ὢν ὑπῆρχεν, ὁ εἰς τοὺς Πάρθους αὐτομολήσας,
ἔπειτα τοῖς ἐκείνου παισὶ συνεψηφισμένος κατὰ τοῦ Καίσαρος· ὡς
δὲ καὶ ἐκεῖνοι ἐνικήθησαν, εἰς τοὺς Πάρθους καταφυγών, ἀνέ-
πεισε τὸν Ὀρώδην τὸν βασιλέα τῶν Πάρθων ἐπιχειρῆσαι Ῥω-
μαίοις. ἐκεῖνος δὲ τὸν παῖδα αὐτῷ τὸν Πάκορον δούς, μετὰ
C δυνάμεως ἐξαπέστειλε, καὶ ἥ τε Συρία πᾶσα πλὴν τῆς Τύρου,
ὑπ᾽ αὐτῶν ἑάλω, καὶ ἡ Παλαιστίνη ἐχειρώθη· Κιλικίαν τε καὶ τῆς
Ἀσίας τὰς ἠπειρώτιδας πόλεις σχεδὸν ἁπάσας ἠρήκεσαν. Ἀν-
τώνιος δὲ ἐπυνθάνετο μέν που ταῦτα, ὑπὸ δὲ τοῦ ἔρωτος καὶ τῆς
μέθης, οὔτε τῶν συμμάχων τι οὔτε τῶν πολεμίων ἐφρόντισεν.
ὀψὲ δ᾽ οὖν ποτε ἀναγκασθεὶς ἐξαναστῆναι, καὶ ἰδὼν πάντα
προκατειλημμένα, εἶτα κατέλιπεν αὐτούς, πρόφασιν τὸν τοῦ Σέξ-
του πόλεμον ποιησάμενος. διαβαλὼν δὲ ἐς τὴν Ἑλλάδα, κἀν-

ταῦθα

ἐνταῦθα τῇ τε μητρὶ καὶ τῇ γυναικὶ συμμίξας, τόν τε Καίσαρα πολέμιον ἐποιήσατο, καὶ τὴν Σέξτου φιλίαν ἐσπείσατο. καὶ μετὰ τοῦτο ἐς τὴν Ἰταλίαν στρατευθεὶς, καὶ Πουπλίῳ Σερουϊλίῳ δύνα- D
μιν παρὰ τοῦ Καίσαρος ἄγοντι κατ' αὐτοῦ ἐξαίφνης προσπεσὼν, πολλοὺς μὲν ἔφθειρε, πολλοὺς δὲ καὶ παρεστήσατο. συνερρωγότος οὖν τοῦ πολέμου, ἡ Φουλουΐα ἐτελεύτα, καὶ τά τε ὅπλα ἀμφότεροι κατέθεντο, καὶ συνηλλάγησαν, πρόφασιν τὸν θάνατον αὐτῆς πρὸς τὸ παρ' ἀλλήλων δέος, ἅτε καὶ ἀντιπάλους καὶ τὰς δυνάμεις καὶ τὰς ἐλπίδας ἔχοντες, ποιησάμενοι. κἀν τούτῳ Καῖσαρ μὲν Σαρδώ τε καὶ Δαλματίαν, τήν τ' Ἰβηρίαν καὶ τὴν Γαλατίαν· Ἀντώνιος δὲ πάντα τἆλλα τὰ ὑπὲρ τὸν Ἰόνιον, τά τε ἐν τῇ Εὐρώπῃ καὶ τῇ Ἀσίᾳ τοῖς Ῥωμαίοις ὄντα ἀπέλαχε. τὰ γὰρ 42
ἐν τῇ Λιβύῃ ἔθνη ὁ Λέπιδος, καὶ τὴν Σικελίαν ὁ Σέξτος εἶ- A
χεν· ὅς, καίτοι πολεμεῖν αὐτῷ τοῦ τε Ἀντωνίου καὶ τοῦ Καίσαρος παρασκευαζομένων, ἔφθη πολλὰ πρὸς ἑαυτοῦ τε καὶ κατ' ἐκείνων διαπραξάμενος· καὶ τέλος τοὺς τῆς Ῥώμης πάντας ἐκπολεμώσας αὐτοῖς, τοσοῦτον ἴσχυε κατὰ θάλατταν, καὶ μάλιστα Μηνᾶ τινὶ τῶν ἐξελευθέρων αὐτοῦ ὑπουργῷ χρώμενος. οἱ γὰρ ἐν τῇ Ῥώμῃ, ὡς ἥ τε Σαρδὼ εἴχετο, καὶ ἡ παραλία ἐπορθεῖτο, τῆς τε σιτοπομπίας ἐστέρηντο, καὶ ὁ λιμὸς αὐτοὺς δεινῶς ἐλύπει, παρεκάλουν σφᾶς εἰρηνεῦσαι, καὶ πολλὰ ἐπὶ τούτῳ ἐβόων. ὡς δὲ B
οὐδὲν ἐπέραινον, σπουδῇ ἐπ' αὐτοὺς, ὡς καὶ ἀποκτενοῦντες ὥρμησαν. καὶ ὁ μὲν Καῖσαρ, καίτοι τρωθέντων τῶν ἀμφ' αὐτὸν ὄντων, τήν τε ἐσθῆτα περιερρήξατο, καὶ πρὸς ἱκετείαν αὐτῶν ἐτράπετο· ὁ δ' Ἀντώνιος βιαιότερον μὲν αὐτοῖς προσηνέχθη, ἠναγκάσθησαν δ' ὅμως τῷ Σέξτῳ καὶ ἄκοντες ἐπικηρυκεύσασθαι. κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον Λούκιος Κορνήλιος Βάλβος ὑπάτευσεν, ἀνὴρ Γαδειρεύς. ἐμνήσθη δ' αὐτοῦ ἡ ἱστορία, ὅτι καὶ πλούτῳ καὶ μεγαλονοίᾳ τοσοῦτον τοὺς καθ' αὐτὸν ἀνθρώπους ὑπερή- C
ρεικεν, ὥστε καὶ δωρεὰν τοῖς Ῥωμαίοις ἀνὰ πέντε καὶ εἴκοσι δραχμὰς πλεῖστον καταλιπεῖν. καὶ ὁ νόμος ὁ Φαλκίδιος ὠνομα-

σμένος (πλείστην καὶ νῦν ἔτι ἰσχὺν εἰς τὰς τῶν κλήρων διαδο-
χάς, ὥστε ἵνα τὸ τέταρτον τῆς καταλειφθείσης οὐσίας, ἄν γέ τι
βαρύνωνται, λαμβάνοντα, τὸ λοιπὸν ἀφεῖναι, ἔχων) ὑπὸ Που-
πλίου Φαλκιδίου δημαρχοῦντος ἐτέθη. οἱ δὲ περὶ τὸν Καίσαρα καὶ
Ἀντώνιον ἄλλα τε πολλὰ παρηνόμουν, καὶ ἐς τὸ βουλευτήριον
πλείστους ὅσους οὐχ ὅτι ἄλλως ἀναξίους, ἀλλὰ καὶ δούλους ἀνέ-
D γραψαν. Μάξιμον γοῦν τινὰ ταμιεύσειν μέλλοντα ἐγνώρισέ τε
ὁ δεσπότης καὶ ἀπήγαγεν. ἕτερος δέ τις ἐν τοῖς στρατευομένοις φω-
ραθεὶς, κατὰ τοῦ Καπιτωλίου κρημνῶν ἐώσθη, προηλευθερωθεὶς,
ἵνα ἀξίωμα ἡ τιμωρία αὐτοῦ λάβῃ. τῷ δὲ δὴ Σέξτῳ ἐς λό-
γους ἦλθον, καὶ συνθήκας πρὸς αὐτὸν ἐποιήσαντο. γενομένης δὲ
τῆς εἰρήνης αὐτοῖς, τοσοῦτον οἱ παρόντες ὑφ' ἡδονῆς διέκραγον,
ἅτε καὶ τῷ πολέμῳ κακοπαθοῦντες, καὶ τῆς εἰρήνης ἰσχυρῶς ἐπι-
43 θυμοῦντες, ὡς καὶ τὰ ὄρη συνηχῆσαι, κἀκ τούτου καὶ φρίκην σφί-
A σι καὶ ἔκπληξιν μεγάλην ἐγγενέσθαι. οὐκ ἀνέμενον γοῦν οἱ τῷ
Σέξτου τῇ γῇ αὐτῇ προσσχεθῆναι (ἦσαν γὰρ ἐν τοῖς πλοίοις) ἀλλ'
ἐξεπήδων ἐς τὴν θάλασσαν, καὶ οἱ ἕτεροι ἐς αὐτὸν τὸν βυθὸν
ἐπεισέβαινον· κἀν τούτῳ ἠσπάζοντό τε ἀλλήλους ἅμα νηχόμενοι
καὶ περιέβαλλον κολυμβῶντες. μετὰ δὲ ταῦτα, εἱστίων ἀλλή-
λους, πρότερος μὲν ὁ Σέξτος ἐν τῇ νηΐ, ἔπειτα δὲ ὁ Καῖσαρ, ὅ, τε
Ἀντώνιος ἐν τῇ ἠπείρῳ. δυνηθεὶς δὴ αὖ ὁ Σέξτος καὶ ἀμφο-
τέρους ἐν τῷ σκάφει σὺν ὀλίγοις παρόντας, ὥσπερ πού καὶ Μη-
νᾶς αὐτῷ συνεβούλευε, φονεῦσαι, οὐκ ἠθέλησε. πρὸς δὲ τὸν
B Ἀντώνιον, ἐπειδὴ τὴν οἰκίαν αὐτοῦ τὴν πατρῴαν τὴν ἐν ταῖς
Καρίναις κατεῖχε (τόπος δέ τις τῆς Ῥώμης αἱ Καρῖναι) τό-
πον τινὰ ἥδιστον ἀπέσκωψε. ταῖς γὰρ τρόπισι ταῖς τῶν νεῶν τῆς αὐ-
τῆς ὀνομασίας οὔσης, ἐν ταῖς καρίναις αὐτοὺς ἑστιᾶν ἔφη. τήν
τε θυγατέρα Μάρκῳ Μαρκέλλῳ τῷ Καίσαρος ἀδελφιδῷ ἐνηγ-
γύησεν. τότε μὲν οὖν ὁ πόλεμος ἀνεβέβλητο. Ἀντώνιος δὲ ἐς τὴν
Ἑλλάδα ἀπὸ τῆς Ἰταλίας ἐπανελθὼν, ἄλλα τε πολλὰ ἔξω τῶν
πατρίων διεδιῃτήθη, ταῖς τε πόλεσιν ἅμα κακῶν, καὶ τὰς ἐπιθυ-

μίας ἀποπέμπλας, καὶ Διόνυσον αὐτὸν ὀνομάζεσθαι ἠξίου· ἐπει-
δὴ καὶ οἱ Ἀθηναῖοι πρὸς τοῦτο τὴν Ἀθηνᾶν αὐτῷ κατηγγύησαν; C
δέχεσθαί τε τὸν γάμον ἔφη, καὶ προῖκα μυριάδας ἑκατὸν παρ'
αὐτῶν ἐξέπραξεν. αὐτὸς μὲν οὖν περὶ ταῦτα εἶχε· τὸν δὲ δὴ
Οὐεντίδιον τὸν Πούπλιον ἐς τὴν Ἀσίαν προύπεμψε· καὶ ὃς τοῖς
τε Πάρθοις ἐν ὀχυρῷ χωρίῳ ἐστρατοπεδευμένοις, ἐπιθεμένοις
αὐτῷ παρὰ γνώμην τοῦ Λαβιήνου διὰ τὰ πρότερον εὐημερή-
ματα, κατὰ κράτος ἐτρέψατο, καὶ τῆς Συρίας ἐξήλασεν, αὐτόν τε
τὸν Λαβιῆνον ἐχειρώσατο. καὶ ἐπὶ τούτῳ θρίαμβον ἐν τῇ Ῥώ-
μῃ μετὰ ταῦτα καταγαγών, ἄλλά τι τοῖς ἀναλώμασιν ἠμ- D
φριώσατο, καὶ τὸ βασίλειον κατακαυθὲν ἀνοικοδομήσαι, εἰκό-
νας παρὰ τοῦ Καίσαρος ὡς καὶ ἀποδώσων ᾐτήσατο, κατεκό-
σμησε· καὶ αὐτὰς ἀπαιτηθεὶς ὕστερον, οὐκ ἀπέδωκεν, εὐτραπε-
λίᾳ χρησάμενος. ὡς γὰρ οὐκ ἔχων ἱκανοὺς ὑπηρέτας, πέμψον
τινάς, ἔφη, καὶ ἆρον αὐτάς. καὶ οὕτως ἐκεῖνος ὀκνήσας τὴν ἱερο-
συλίαν, ἀνακεῖσθαι σφᾶς εἴασε. ταῦτά τε οὖν ἐγένετο, καὶ ὁ Καῖσαρ
τὴν Λιβίαν ἔγημε, πάλαι αὐτῆς ἐρῶν. ἦν δὲ γυνὴ τοῦ Νέρω-
νος, μεθ' οὗ συνδιέφυγεν, ὥσπερ εἴρηται· καὶ ἐκύει γε ἐξ αὐτοῦ μῆ- 44 A
να ἕκτον. ἐξέδωκε δὲ αὐτὴν αὐτὸς ὁ ἀνήρ, ὥσπερ τις πατήρ· καί
τι καὶ τοιοῦτον ἐν τῇ ἑστιάσει σφῶν συνηνέχθη. παιδίον τι τῶν ψι-
θύρων, οἷα αἱ γυναῖκες γυμνὰ ὡς πλήθει ἀθύρουσαι τρέφου-
σιν, ἰδὸν χωρὶς μὲν τὴν Λιβίαν μετὰ τοῦ Καίσαρος, χωρὶς δὲ
τὸν Νέρωνα μεθ' ἑτέρου τινὸς κατακείμενον, προσῆλθεν αὐτῇ
καὶ ἔφη, Τί ποιεῖς ἐνταῦθα κυρία; ὁ γὰρ ἀνήρ σου, (δείξας αὐ-
τὸν) ἐκεῖ κατάκειται. συνοικοῦσα δὲ ἤδη τῷ Καίσαρι, τίκτει B
Κλαύδιον Δροῦσον Νέρωνα. καὶ αὐτὸν ὁ Καῖσαρ ἀνείλετο, καὶ
τῷ πατρὶ ἔπεμψε· καὶ ἐκεῖνος τελευτῶν οὐ πολλῷ ὕστερον, ἐπί-
τροπον καὶ τούτῳ καὶ τῷ Τιβερίῳ αὐτὸν τὸν Καίσαρα κατέλιπεν.
ὁ δ' οὖν ὅμιλος ἄλλά τε ἐπὶ τούτῳ πολλὰ διεθρύλλει, καὶ τοῖς εὐ-
τυχοῦσι τρίμηνα παιδία γίνεσθαι ἔλεγον, ὥστε καὶ ἐς παροι-
μίαν τοῦτο ἔπος χωρῆσαι. τῷ δὲ Μηνᾷ αὐτομολήσαντι πρὸς αὐτὸν

C ὁ Καῖσαρ οὔτι ἐξέδωκε τῷ Σέξτῳ ἐξαιτηθέντα, καὶ προσέτι καὶ
διὰ τιμῆς ἦγε, καὶ ἐς τὸ τῶν ἱππέων τέλος ἐσέγραψε, δακτυ-
λίοις τε χρυσοῖς ἐκόσμησε. τὸ δὲ δὴ τῶν δακτυλίων τοιόνδε ἐστίν·
οὐδενὶ τῶν πάλαι Ῥωμαίων δακτυλίοις χρυσοῖς, πλὴν τῶν βου-
λευτῶν καὶ τῶν ἱππέων, χρῆσθαι ἐξῆν· καὶ διὰ τοῦτο τοῖς ἐξελευ-
θέροις παρὰ μόνου δίδοται τοῦ τὸ κράτος ἔχοντος. ὁ δὲ δὴ Σέ-
ξτος διά τε τοῦτο, καὶ ὅτι πολλὰ αὐτῷ τῶν ὁμολογηθέντων οὐκ ἐγέ-
νετο, αἰτίας καλοῦντος ἅμα αὐτῷ καὶ τοῦ Καίσαρος παραβάσεων
ἐν ἐνίοις τῶν συνθηκῶν, ἔλυσε τὴν εἰρήνην· καὶ ὁ Καῖσαρ τόν τε
Λέπιδον καὶ τὸν Ἀντώνιον εἰς τὸν κατ᾽ αὐτοῦ πόλεμον μετεπέμ-
D ψατο. οἱ δ᾽ οὐκ εὐθὺς ὑπήκουσαν. ὅθεν ὁ Καῖσαρ μόνος ἐπολέ-
μει τῷ Σέξτῳ, καὶ τήν γε πρώτην κακῶς ἔπραξεν· ἔν τε γὰρ
ναυμαχίαις τισὶ σφαλεὶς ἔτυχε, καὶ ὑπὸ χειμώνων σφοδρῶν τὰ
πολλὰ τῶν πλοίων ἀπέβαλε· τοῦ δὲ Σέξτου τοῖς προτερήμασιν
ἐπηρμένου, καὶ τὴν Ἰταλίαν φέροντός τε καὶ ἄγοντος, υἱόν τε τοῦ Ποσει-
δῶνος ἑαυτὸν ὀνομάζοντος, πλοῖα ὁ Καῖσαρ κατὰ πᾶσαν ὡς
εἰπεῖν τὴν Ἰταλίαν ἐναυπηγεῖτο, καὶ ἐρέτας συνέλεγεν, ὁπλί-
45 τας τε κατελέγετο, καὶ χρήματα ἤθροιζε, καὶ δύο ἐνιαυτοὺς ἔς τε
A τὴν ναυπηγίαν, ἔς τε τὴν τῶν χρημάτων ἄθροισιν, καὶ ἐς τὴν
τῶν ἐρετῶν ἄσκησιν κατηνάλωσεν, αὐτὸς μὲν ἐφορῶν καὶ δια-
πράττων ταῦτά τε καὶ τὰ ἄλλα τὰ ἐν τῇ Ἰταλίᾳ καὶ Γαλατίᾳ,
Μάρκῳ δὲ Οὐϊψανίῳ Ἀγρίππᾳ τὴν τοῦ ναυτικοῦ παρασκευὴν
ἐγχειρίσας. τοὺς γὰρ Γαλάτας αὐτὸν προσπολεμούμενον, ὅτι περ
καὶ τὸν Ῥῆνον δεύτερος δὴ Ῥωμαίων ἐπὶ πολέμῳ διέβη, μετα-
πέμψατο, καὶ τῇ τε δόσει τῶν νικητηρίων ἐτίμησε, καὶ ἐκπονῆσαί
B τι καὶ ἐξασκῆσαι τὸ ναυτικὸν ἐκέλευσε. καὶ ὃς (ὑπάτευε δὲ
μετὰ Λουκίου Γάλλου) τὰ μὲν ἐπινίκια οὐκ ἔπεμψεν, αἰσχρὸν
εἶναι νομίσας, τοῦ Καίσαρος κακῶς πεπραγότος, γαυριᾶσαι,
τὸ δὲ δὴ ναυτικὸν πάνυ προθύμως ἐξειργάσατο. ἀλιμένων δὲ
τῶν ταύτῃ χωρίων ὄντων, ἔργον μεγαλοπρεπὲς ἐξεπόνη-
σεν. ἐν γὰρ τῇ Κύμῃ τῇ Καμπανίδι χωρίον τι μεταξὺ Μισηνοῦ

καὶ Πουτεόλων μηνοειδές ἐστιν. ὄρεσί τε γὰρ μικροῖς καὶ ψιλοῖς
πλὴν βραχέων περιείληπται, καὶ θάλασσαν τριπλῆν κολπώ-
δη ἔχει. ταύτην ὁ Ἀγρίππας συντρήσας, λιμένας ναυλοχω-
τάτους ἀπέδειξεν. ἃ δὲ ἐν τῷ τόπῳ ἐκείνῳ ἀξιαφήγητα ἐθεα- C
σάμην, φράσω· τὰ ὄρη ταῦτα πρὸς τῆς ἔνδον θαλάσσης
ὄντα, πηγάς πυρός τε ἅμα πολλοῦ καὶ ὕδατος συμμιγεῖς ἔχει,
καὶ αὐτὸ μὲν καθ᾽ ἑαυτὸ ἑκάτερον οὐδαμοῦ εὑρίσκεται· οὔτε
γὰρ πῦρ αὐτό, οὔθ᾽ ὕδωρ ψυχρὸν αὐτὸ φαίνεται· ἐκ δὲ δὴ τῆς ὁ-
μιλίας σφῶν τό, τε ὕδωρ θερμαίνεται, καὶ τὸ πῦρ ὑγραίνεται. καὶ
ἐκεῖνο μὲν πρὸς τὴν θάλασσαν διὰ τῶν προπόδων εἰς τὰς
δεξαμενὰς χωρεῖ, τὴν δ᾽ ἀτμίδα αὐτοῦ ἔς τε οἰκήματα με-
τέωρα διὰ σωλήνων ἀνάγουσι, κἀνταῦθα αὐτοὶ πυριῶνται.
ὅσα γὰρ ἂν ἐπὶ πλεῖον ἀπό τε τῆς γῆς καὶ ἀπὸ τοῦ ὕδατος ἀνα- D
δράμῃ, ξηρότερα γίνεται. κατασκευαί τε οὖν περὶ ἀμφότερα
πολυτελεῖς ἤσκηνται, καὶ ἔστιν ἔς τε βίου διαγωγὴν καὶ ἐς
ἄσκησιν ἐπιτήδεια. ταῦτά τε οὖν τὸ ὄρος ἐκεῖνο, καὶ προσέτι
καὶ γῆς φύσιν τοιάνδε παρέχεται. τοῦ πυρὸς τὸ μὲν καίειν οὐκ ἔ-
χοντος (ὑπὸ γὰρ τῆς τοῦ ὕδατος συνουσίας πᾶν τὸ φλογῶδες
αὐτοῦ σβέννυται) διακρίνειν δὲ δὴ καὶ διατήκειν τὰ προστυχόν-
τα οἷα δυναμένου, συμβαίνει τῆς γῆς τὸ μὲν λιπαρὸν ἐκ-
τήκεσθαι ὑπ᾽ αὐτοῦ, τὸ δὲ τραχὺ καὶ ὀστῶδες, ὡς εἰπεῖν, ὑπο- 46
λείπεσθαι. σπεργγώδεις τε οὖν οἱ ὄγκοι ἐξ ἀνάγκης γίνονται, καὶ A
αὐχμῷ μὲν δοθέντες, ἐς κόνιν διαλύονται, ὕδατι δὲ σὺν κονίᾳ
φυραθέντες, συνίστανται καὶ ἐφ᾽ ὅσον γ᾽ ἂν ἐν τῷ ὑγρῷ ὦσι, πή-
γνυνταί τε καὶ πετροῦνται. αἴτιον δὲ, ὅτι τὸ μὲν κραῦρον αὐτῶν,
ὑπὸ μὲν τοῦ πυρὸς ὁμοφυοῦς οἱ ὄντος ἐπιτείνεταί τε καὶ θραύεται,
τῇ δὲ συμμίξει τῆς νοτίδος ἀναψύχεται, κἀκ τούτου εἴσω δια-
παντὸς συμπιληθὲν, ἄλυτον γίνεται. τοιαῦται μὲν αἱ Βαῖαι εἰσί· καὶ
ἐς αὐτὰς τότε ὁ Ἀγρίππας ἐπειδὴ τάχιστα τούς τε εἴσπλους ἐξε- B
ποίησε, τάς τε ναῦς καὶ τοὺς ἐρέτας ἤθροισεν. ἔς τε τὴν Ῥώμην ση-
μεῖα δ᾽ ἄττα συχνὰ ἐξηγγέλθη, καὶ ὅτι δελφῖνες πολλοὶ περὶ τὴν

λαοὶ δὲ τὴν τῆς Ἀφρικῆς πόλιν ἐμαχέσαντό τε ἀλλήλοις, καὶ διεφθάρησαν. καί τι καὶ αὐτοῖς πρὸς τῷ ἄστει αἷμα ἐκ τοῦ οὐρανοῦ ῥυὲν ὄρνιθες διεφόρησαν. τὸ δὲ τῇ Λιβίᾳ συμβὰν καὶ σφόδρα αὐτῇ κατὰ τὴν ἡδονὴν ἐγένετο. λευκὴν γὰρ ὄρνιθα κλώνιον δάφνης ἔγκαρπον φέρουσαν ἀετὸς ἐς τὸν κόλπον αὐτῆς ἐνέβαλε, καὶ (ἐδόκει γὰρ οὐ μικρὸν τὸ σημεῖον εἶναι) τήν τε ὄρνιθα δι' ἐπιμε-
C λείας ἦγε· καὶ τὴν δάφνην ἐφύτευσεν, ὥστε καὶ τοῖς τὰ ἐπινίκια πέμπουσιν ἐπὶ πλεῖστον ἐξαρκέσαι. ἡ μὲν Λιβία ἔσχε ἀπολαῦσαι καὶ τὴν τοῦ Καίσαρος ἰσχὺν, καὶ ἐν πᾶσιν αὐτοῦ κρατήσειν ἔμελλε. καὶ τῷ αὐτῷ τούτῳ χρόνῳ καὶ ὁ Ἀντώνιος ἦλθε μὲν εἰς τὴν Ἰταλίαν αὖθις ἐκ τῆς Συρίας, πρόφασιν ὡς τοῦ Σεξτίου πολέμου διὰ τὰς τοῦ Καίσαρος συμφορὰς μεθέξων· εἰς διαφορὰν δὲ ἐλθὼν τῷ Καίσαρι, καὶ μικροῦ πολεμῆσαι αὐτῷ δεήσας, συνηλλάγη αὖθις διὰ τῆς Ὀκταουίας αὐτοῦ, ἣν ἀδελφὴν τοῦ Καίσαρος οὖσαν ἐγεγαμήκει. ἐπὶ ταῖς προτέραις διαλλαγαῖς Ἀντώνιος μὲν ἐκείνῳ ναῦς ἔδωκεν, αὐτὸς δὲ παρ' ἐκείνου
D στρατιώτας ἀντέλαβεν, ὡς καὶ ἐπὶ τοῖς Πάρθοις χρησόμενος. ταῦτα δὲ πρὸς ἀλλήλους ἐπλάσαντο. οὐ γάρ που καὶ κατ' εὔνοιαν ἐποίουν ταῦτα, ἀλλ' ἐς τὴν χρείαν τῶν παρόντων σφίσι πραγμάτων ὑπεκρίνοντο. ἀμέλει καὶ τὴν Ὀκταουίαν εὐθὺς ἐκ τῆς Κερκύρας ὁ Ἀντώνιος ἐς τὴν Ἰταλίαν ἀπέπεμψε. Καῖσαρ δὲ, ἐπεὶ καὶ τὸ ναυτικὸν παρεσκεύαστο, εἰς τὴν Σικελίαν ἐπεραιώθη, καὶ τῷ Ἀγρίππᾳ ναυμαχεῖν ἐπιτρέψας, αὐτὸς ἐκ τῆς ἠπείρου, τὸν στρατὸν ἔχων, ἔβλεπε τὰ γινόμενα. ὁμοίως δὲ καὶ ὁ Σέξτος Δημοχάρει τινὶ τὰς ναῦς παραδοὺς, ἐκ
47 τῆς γῆς ἐθεᾶτο τὴν μάχην. συμβαλόντων δὲ ἀλλήλοις τοῦ τε
A Ἀγρίππου καὶ τοῦ Δημοχάρους, καὶ τοὺς ἀγῶνας ἐπὶ πολὺν χρόνον ἰσορρόπου γεγενημένου, ὀψέ ποτε καὶ πρὸς νύκτα ἤδη οἱ τοῦ Καίσαρος ἐκράτησαν. ἐγένετο δὲ ἡ μάχη ἐν Μύλαις τῆς Σικελίας, οὐ μέντοι καὶ ἐπεδίωξαί τινα, ὡς μὲν ἐμοὶ δοκεῖ, καὶ τὸ εἰκὸς συμβάλλεται, ὅτι μή τε καταλαβεῖν αὐτοὺς ἐδύναντο διὰ τὸ ἐλαφ-

πάχει τε καὶ ὑπὸ μεγέθους τὰ πλοῖα σφίσιν εἶναι, καὶ ἐς τὴν γῆν βραχεῖ ἔχουσαν, ἅτε ἀπειρονῆσαι, ἐφοβήθησαν ἐξοκεῖλαι· ὡς δέ τινες λέγουσιν, ὁ Ἀγρίππας, ἅτε καὶ ὑπὲρ τοῦ Καίσαρος, οὐχ ὑπὲρ ἑαυτοῦ μαχόμενος, ἐξαρκεῖν οἱ τὸ τρέψαι τοὺς ἀντιπάλους ἡγεῖτο· καὶ γὰρ εἰώθει λέγειν πρὸς τοὺς πάνυ ἑταίρους, ὅτι οἱ πλείους τῶν ἐν ταῖς δυναστείαις ὄντων οὐδένα ἐθέλουσι κρείττω σφῶν εἶναι, ἀλλὰ τὰ μὲν πλείω, ὅσα γε καὶ προῦχον τὴν νίκην ἔχει, αὐτοὶ δι' ἑαυτῶν ποιοῦνται, τὰ δὲ δὴ χείρω καὶ ἀτοπώτερα ἄλλοις προστάττουσι· κἂν ἄρα ποτὲ τῶν ἀμεινόνων τι ἀναγκασθῶσι σφίσιν ἐπιτρέψαι, βαρύνονταί τε καὶ ἄχθονται τῇ εὐδοξίᾳ αὐτῶν· ἰσάζεσθαι μὲν γὰρ σφᾶς καὶ κακῶς πράττειν οὐκ εὔχονται, οὐ μέντοι καὶ παντελῶς τι κατορθώσαντας, τὴν δόξαν αὐτοὺς λαβεῖν αἱροῦνται. δεῖν οὖν παρῄνει τὸν ἄνδρα τὸν σωθησόμενον, τῆς μὲν διὰ χρείας αὐτοὺς καὶ τῶν πραγμάτων ἀπαλλάττειν, τὴν δὲ δὴ κατόρθωσιν σφῶν ἐκείνοις φυλάττειν. ταῦτα μὲν ὁ Ἀγρίππας καὶ ἔλεγε καὶ ἐποίει. ἐν ᾧ δὲ ἡ ναυμαχία ἐγίγνετο, καὶ ὁ Καῖσαρ ὡς τάχιστα τόν τε Σέξτον ἐκ τῆς Μεσσήνης ἀπεληλυθότα, καὶ τὸν πορθμὸν ἔρημον φυλακῆς ὄντα ᾔσθετο, τὸν μὲν καιρὸν τοῦ πολέμου οὐ παρέλιπεν, ἀλλ' εὐθὺς ἐπιβὰς τῶν Ἀντωνείων νεῶν, ἐς τὴν Μεσσήνην ἀφίκετο. οὐ μὴν καὶ ἐν τύχῃ αὐτῷ ἐχρήσατο. ὁ γὰρ Σέξτος σπουδῇ ὑποστρέψας, ταῖς τε ναυσὶν αὐτῷ καὶ τοῖς ὁπλίταις κατὰ γῆν προσώρμησε. καὶ ὁ Καῖσαρ ὡς καὶ προκατειλημμένων αὐτῶν καταφρονήσας, καὶ συμβαλὼν, τοῦ τε ναυτικοῦ τὸ πλέον ἀπέβαλε, καὶ αὐτὸς ὀλίγου προσδιεφθάρη. ἐκείνου τε οὐκ ἠδυνήθη πρὸς τοὺς ἑαυτοῦ τοὺς ἐν τῇ Σικελίᾳ ὄντας διαφυγεῖν, ἀλλ' ἀγαπητῶς ἐς τὴν ἤπειρον ἀπεσώθη. καὶ αὐτὸς μὲν ἐν ἀσφαλεῖ ἦν· ὁρῶν δὲ τὸ στράτευμα ἐν τῇ νήσῳ ἀπειλημμένον, δεινῶς ἤχθετο, καίτοι πρότερον ἀνεθάρρησε, 48 A
πρὶν ἰχθύν τινα ἐκ τῆς θαλάσσης αὐτόματον ἀναθορόντα πρὸς τοὺς πόδας αὐτοῦ προσπεσεῖν, καὶ τοὺς μάντεις αὐτῷ εἰπεῖν ὅτι δουλώσεται αὐτήν. ὁ δὲ Κορνιφίκιος (οὗτος γὰρ ἦρχεν αὐτοῖς τῶν

ἐν Σικελίᾳ στρατοῦ) ἐκινδύνευσε μὲν κατὰ χώραν μένων ὑπὸ λιμοῦ ἐκπολιορκηθῆναι. προχωρήσας δέ, καὶ πανωλεθρίᾳ δὴ κινδυνεύσας, τῶν ἐναντίων ἐπικειμένων καὶ βαλλόντων πόρρωθεν, ἐν δὲ τοῖς ἐπικαίροις τῶν τόπων καὶ ἐπιτηδειοτάτοις σφίσι, διαφθα-
B ρῆναι, ὅμως τοῦ Ἀγρίππου περαιωθέντος εἰς Σικελίαν, καὶ τὰς Μύλας κατειληφότος, καὶ διὰ τοῦτο πρὸς ἐκεῖνον ἐκ τῆς διώξεως ὑποστρέψαντος, παραδόξως ἐσώθη. καὶ τοσοῦτόν γε ὁ Κορνιφίκιος ἐπὶ τῇ τῶν στρατιωτῶν σωτηρίᾳ ἐφρόνει, ὥστε καὶ ἐν τῇ Ῥώμῃ ἐπὶ ἐλέφαντος, ὁσάκις ἔξω τῆς οἰκίας ἐδείπνει, ἀνακομίζεσθαι. τότε μὲν οὕτως ὁ Καῖσαρ ἡττηθείς, τῆς Σικελίας ἐξέπεσε· μετὰ δὲ ταῦτα προσγινομένου αὐτῷ καὶ τοῦ Λεπίδου, περαιωθεὶς εἰς αὐτήν, καὶ συνάψας μάχας οὐδ' ἑαυτοῦ, ἀλλὰ διὰ τοῦ Ἀγρίππου τοῦ Σέξτου κατὰ θάλατταν, κατὰ κράτος ἐνίκησε. καὶ ὁ μὲν Σέξτος, ἀπογνοὺς τῆς Σικελίας, καὶ διαπεφευγὼς εἰς τὴν Ἀσίαν, ὑπὸ τοῦ Ἀντωνίου πέμψαντος ἐπ' αὐτὸν ὡς
C νεώτερα πράσσοντα, ἀνῃρέθη. ὑπὸ μέντοι τοῦ Καίσαρος οὔτε παραχρῆμα, οὔτε μὴν ὕστερον ἐδιώχθη, στασιάσαντος πρὸς τὸν Λέπιδον. ὁ μὲν γὰρ ἐκ τοῦ ἴσου ἅπαντα αὐτῷ διοικεῖν, ὡς καὶ συνάρχων, ἠξίου· ὁ δὲ Καῖσαρ εἰς πάντα αὐτῷ ὡς ὑποστρατήγῳ ἐχρῆτο, καὶ διὰ τοῦτο τότε μὲν κοινολογηθέντος πρὸς τὸν Σέξτον δι' ἀπορρήτων ὑποτοπήσας, οὐκ ἤλεγξεν, ἵνα μὴ ἐκ τοῦ φανεροῦ αὐτὸν πολεμώσηται· συνάψας δὲ θᾶττον ἢ ἐβούλετο, πρίν τε
D φανερῶς νεωτερίσαι τὸν Λέπιδον, μάχῃ τῷ Σέξτῳ, καὶ νικήσας, ὡς εἴρηται, τότε καὶ πρὸς τὸν Λέπιδον φανερῶς διηνέχθη. ὁ μὲν γὰρ τά τε ἄλλα ἀπῄτει ὅσα αὐτῷ κατὰ τὴν προτέραν συνωμοσίαν ἐδέδοτο, καὶ τῆς Σικελίας, ὡς καὶ συγκαταστρεψάμενος αὐτήν, ἀντεποιεῖτο, ἔς τε δίκην τὸν Καίσαρα προυκαλεῖτο· εἶχε δὲ τὰς δυνάμεις ἃς ἐκ τῆς Λιβύης ἐπῆκτο. Καῖσαρ δὲ πρὸς μὲν ταῦτα οὐδὲν ἀντεῖπε, νομίσας δὲ τὰ δίκαια παρὰ τοῖς ὅπλοις, ἅτε καὶ ἰσχυρότερος αὐτοῦ ὤν, ἔχειν, εὐθὺς ἐπ' αὐτὸν μετ' ὀλίγων τινῶν ὥρμησεν ὡς καταπλήξων αὐτόν, οἷα μηδὲν

δρασήριον ἔχοντα. καὶ ἐσῆλθε μὲν εἰρηνικῶς ἐς τὸ στρατόπεδον 49
τοῦ Λεπίδου, καὶ πρὸς τοὺς στρατιώτας εἶπέ τινα· ὡς δ' οὐδὲν A
κατὰ γνώμην αὐτοῖς ἔλεξε, παρωξύνθησαν, καὶ ἐπέθεντο αὐτῷ,
καί τινας τῶν σὺν αὐτῷ ἀπέκτειναν. ἐκεῖνος γὰρ ἐν τάχει βοηθείας
τυχὼν ἐσώθη, καὶ μετὰ τοῦτ' ἐπῆλθεν αὐτοῖς μετὰ παντὸς τοῦ στρατοῦ·
καὶ οἵ τε στρατιῶται τοῦ Λεπίδου προσεχώρησαν αὐτῷ, καὶ ἐκεῖ-
νος ἐν ἐσθῆτι φαιᾷ ἱκέτης αὐτοῦ γέγονε· καὶ ὁ μὲν ἐκ τούτου τῆς
τε ἐξουσίας πάσης παρελύθη, καὶ δίαιταν ἐν τῇ Ἰταλίᾳ ἄνευ
φυλακῆς εἶχεν. Ἀντωνίου δὲ κατὰ τὴν Ἑλλάδα ὄντος, Οὐεντί-
διος ὁ ὑποστράτηγος αὐτοῦ Πάκορον τὸν Ὀρώδου τοῦ Πάρθων B
βασιλέως παῖδα μάχῃ νικήσας, αὐτόν τε ἀπέκτεινεν, ὅμοια
τοῖς μάλιστα τῶν πώποτε βασιλευσάντων ἐπὶ δικαιοσύνῃ καὶ πρᾳ-
ότητι ἀγαπηθέντα, καὶ τοὺς Πάρθους, ὅσοι μὴ ἐν τῇ μάχῃ ἔπεσον,
ἐκ τῆς Συρίας ἀπήλασεν. ὥστε ὁ Οὐεντίδιος ἐφθονήθη μὲν ἐφ'
οἷς κατώρθωσεν ὑπὸ τοῦ Ἀντωνίου, καὶ διὰ τοῦτο τῆς τε στρα-
τηγίας παραχρῆμα ἐπαύθη, καὶ ἐς οὐδὲν ἔτι αὐτῷ ἐκεῖνος ἐ-
χρήσατο. μετὰ θάνατον μέντοι τοῦ Ἀντωνίου τὰ ἐπινίκια τῶν
Πάρθων παρὰ τοῖς Ῥωμαίοις ἤγαγεν. ἐψηφίσατο γὰρ αὐτῷ ἡ βου-
λή, ἅτε καὶ τὴν συμφορὰν τὴν ἐπὶ τοῦ Κράσσου σφίσι γενο- C
μένην ἐν τῇ αὐτῇ ἡμέρᾳ ἑκατέρου τοῦ ἔτους ἀνταποδεδωκό-
τα τοῖς Πάρθοις. καὶ δόξαν ἔκ τε τούτου καὶ ἐκ τοῦ παραλό-
γου ἔσχεν ὁ Οὐεντίδιος· ἐν γὰρ τοῖς τοῦ Πομπηΐου Στράβωνος
πομπεύσας θριάμβοις μετὰ τῶν λοιπῶν αἰχμαλώτων ἀπὸ
τῶν Πάρθων, τότε αὐτὸς ἐθριάμβευσε. Γάϊον δὲ Σώσιον ὁ Ἀν-
τώνιος τῆς τε Συρίας καὶ Κιλικίας ἀπέδειξεν ἄρχοντα· ὃς
ἄλλα τε κατώρθωσε, καὶ τὰ Ἱεροσόλυμα παρεστήσατο. ἑάλω-
σαν γὰρ πρότερον μὲν οἱ ὑπὲρ τοῦ τεμένους τοῦ Θεοῦ ἀμυνόμενοι,
ἔπειτα δὲ καὶ οἱ ἄλλοι ἐν τῇ τοῦ Κρόνου αὖθις ἡμέρᾳ ὠνομα-
σμένῃ. καὶ τοσοῦτόν γε τῆς θρησκείας αὐτοῖς περιῆν, ὥστε τοὺς D
προτέρους τοὺς μετὰ τοῦ ἱεροῦ χειρωθέντας παραιτήσασθαί τε τὸν Σώ-
σιον, ἐπειδὴ ἡμέρα αὖθις ἡ τοῦ Κρόνου ἐνέστη, καὶ ἀνελθόντας ἐς

αὐτὸ, ποιῆσαι τὰ νομιζόμενα. ἐκείνους μὲν οὖν Ἡρώδῃ τινὶ ὁ
Ἀντώνιος ἄρχειν ἐπέτρεψε· τὸν δ' Ἀντίγονον (ὃς αὐτῶν τέως ἦρ-
χεν) ἐμαστίγωσε, σταυρῷ προσδήσας, ὃ μηδεὶς ἄλλος βασιλεὺς
ἐπεπόνθει ὑπὸ Ῥωμαίων. μετὰ ταῦτα ὁ Ἀντώνιος ἐξεστράτευ-
σεν ἐπὶ Πάρθους, καὶ πρὸς τοῖς Φραάτοις γενόμενος, ἐπολιόρ-
κει αὐτά, μηδὲν μὲν αὐτὸς μέγα πράττων, πολλὰ δὲ παρὰ τῶν
50 ἔξω βαρβάρων κακούμενος. προσκαθημένου δ' οὖν καὶ ὣς
A αὐτοῦ τῇ πόλει, ὑποπέμψας τινὰς ὁ Φραάτης, ἔπεισεν αὐτὸν
ἐπικηρυκεύσασθαί οἱ, ὡς καὶ ῥᾷστα τῶν σπονδῶν τευξόμενον.
κἀκ τούτου τοῖς πεμφθεῖσιν ὑπ' αὐτοῦ ἐχρημάτισεν, ἐπί τε χρυ-
σοῦ δίφρου καθήμενος, καὶ τὴν νευρὰν τοῦ τόξου ψάλλων· καὶ κα-
ταδραμὼν αὐτοὺς πολλά, τέλος τὴν εἰρήνην, ἐάν γε παραχρῆμα
ἀποστρατεύσωνται, δώσειν ὑπέσχετο. ἦν δὲ οὗτος ὁ Φραάτης
ἀνθρώπων ἀνοσιώτατος· τούς τε γὰρ ἀδελφοὺς αὐτοῦ καὶ τὸν πατέ-
B ρα Ὀρώδην ἀποκτείνας, τὴν τῶν Πάρθων βασιλείαν εἶχεν. ἀ-
κούσας οὖν τὰ παρ' αὐτοῦ ὁ Ἀντώνιος, καὶ φοβηθεὶς τὴν μεγα-
λαυχίαν αὐτοῦ, ἀπανέστη, καὶ ὑποχωρῶν, ἐγγὺς ἦλθε διαφθαρῆ-
ναι παντὶ στρατῷ· παρὰ δόξαν δ' οὖν ἠδυνήθη διασωθῆναι.
τά τε γὰρ ἄλλα οἱ στρατιῶται αὐτοῦ καρτερικοὶ ἐγένοντο, καὶ ὁπότε
ἐς ἐνέδραν περιπεσόντες, τὴν τῆς χελώνης ἐξαπιναίως συνα-
σπίσαντες ἐποίησαν, καὶ τὰ γόνατα σφῶν τὰ ἀριστερὰ πρὸς τὴν
γῆν ἤρεισαν, νομίσαντες οὖν αὐτοὺς οἱ βάρβαροι ἀπειρηκέναι
τι ὑπὸ τῶν τραυμάτων, καὶ μιᾶς ἐπισκοπῆς εἶναι, τὰ μὲν τόξα
ἀπέρριψαν, καὶ ἀπὸ τῶν ἵππων ἀπεπήδησαν· τοὺς δ' ἀκινά-
κας σπασάμενοι, ἐγγὺς σφίσιν ὡς καὶ ἐπισφάξοντες αὐτοὺς
C προσῆλθον. κἂν τούτῳ ἐξαναστάντες οἱ Ῥωμαῖοι, πᾶσάν τε ἀ-
πὸ παραγγέλσεως τὴν φάλαγγα ἅμα ἀνέπλυξαν, καὶ προσ-
πεσόντες, παμπληθεῖς αὐτῶν, οἷα γυμνοὺς ὡπλισμένοι, ἀπροσ-
δοκήτοις παρεσκευασμένοι, τοξότας ὁπλῖται βαρβάρους Ῥω-
μαῖοι, κατέκοψαν. ἔστι δ' ἡ χελώνη τοιάδε τις· τὰ μὲν σκευοφό-
ρα καὶ οἱ ψιλοί, οἵ τε ἱππεῖς ἐν μέσῳ τετάχαται· τῶν δ' ὁπλιτῶν

οἱ μὲν ταῖς προμήκεσιν ἀσπίσι χρώμενοι, περί τε τὰ ἔσχατα,
ὥσπερ ἐν πλινθίῳ τινὶ, τάσσονται, καὶ τοὺς λοιποὺς περιέχουσιν·
οἱ δ' ἕτεροι οἱ τὰς πλατείας ἀσπίδας ἔχοντες, ἔν τε τῷ μέσῳ
συσπείρονται, καὶ ἐκείνας καὶ ὑπὲρ ἑαυτῶν καὶ ὑπὲρ τῶν ἄλλων D
ὑπεραίρουσιν, ὥς τε μηδ' ἄλλο τι πλὴν τῶν ἀσπίδων ὁρᾶσθαι,
καὶ ἐν σκέπῃ τῶν βελῶν πάντας αὐτοὺς ὑπὸ τῆς πυκνότητος
τῆς συντάξεως γίνεσθαι. οὕτω γάρ τοι δεινῶς ἰσχυρίζεται ὥστε
καὶ βαδίζειν τινὰς ἐπάνω αὐτῆς, καὶ προσέτι καὶ ἵππους καὶ ὀχήματα,
ὁσάκις ἂν ἐν κοίλῳ τινὶ καὶ στενῷ χωρίῳ γίγνωνται, δύνασθαι.
καὶ διὰ τοῦτο καὶ τὴν τῆς χελώνης ἐπίκλησιν πρός τε τὸ ἰσχυρὸν καὶ
πρὸς τὸ εὔσκεπαστον αὐτῆς εἴληφε. χρῶνται δ' αὐτῇ διχῇ· ἢ
γὰρ πρὸς φρούριόν τι προσμίσγοντες προσπορεύονται, καὶ πολλάκις
καὶ ἐπ' αὐτὸ τὸ τεῖχος ἀναβιβάζουσί τινας· ἢ ὑπὸ τοξο- 51
τῶν ποτε περιστοιχισθέντες, συγκύπτουσι πάντες ἅμα (καὶ γὰρ καὶ οἱ A
ἵπποι ὀκλάζειν καὶ κατακλίνεσθαι διδάσκονται) κἂν τούτῳ δόκησιν
σφίσιν ὡς κεκμηκότες παρέχοντες, ἐξεγείρονται, πλασάντων
αὐτῶν ἐξαίφνης, καὶ ἐς ἔκπληξιν σφᾶς καθιστᾶσι. ταῦτα
μὲν οὕτω γίνεται. Ἀντώνιος δὲ τὸν βασιλέα τῶν Ἀρμενίων
δόλῳ καὶ ἀπάτῃ ἑλὼν, ὅτι μὴ συνεμάχησέν οἱ κατὰ τῶν Πάρθων,
ἀργυραῖς ἁλύσεσι περιῆγεν, εἶτα καὶ χρυσαῖς τῇ Κλεοπάτρᾳ
προσῆγε, καὶ τοῦ λοιποῦ τὰ ὅπλα ῥίψας, συνεβίου αὐτῇ, B
τοὺς παῖδας αὐτῆς βασιλέων τε βασιλέας προσαγορεύων, καὶ
χώρας αὐτοῖς οὐχ ὅτι τὴν Ἀρμενίων, καὶ ἃς εἶχεν, ἀλλὰ καὶ τὴν
Ἰνδῶν καὶ τὴν Πάρθων ἀπονέμων. Καῖσαρ δὲ τὸν στρατὸν ἤσκει,
τούς τε Παννονίους χειρούμενος, καὶ τοὺς Δαλμάτας καταδουλούμενος,
καί που καὶ κινδυνεύων ἐν αὐτοῖς τοῖς ἀγῶσι καὶ
πόνοις, καὶ τιτρωσκόμενος. Ἀγρίππας δὲ τὸ ἐν τῇ Ῥώμῃ ὕδωρ
ἐκλεῖπον φθορᾷ τῶν ὀχετῶν, καὶ ἀνεκτήσατο δαπάνῃ οἰκείᾳ, καὶ
ἐπὶ πολλὰ τῆς πόλεως ἐπωχέτευσε. καὶ πρὸς τούτῳ πάντα μὲν τὰ C
οἰκοδομήματα τὰ κοινά, πάσας δὲ τὰς ὁδοὺς, μηδὲν ἐκ τοῦ δημοσίου
λαβὼν, ἐπεσκεύασε· τούς τε ὑπονόμους ἐξεκάθηρε, καὶ ἐς

τὸν Τίβεριν δι' αὐτῆς ὑπέπλευσε· καὶ ἐν τῷ ἱπποδρόμῳ σφαλ-
λομένους τοὺς ἀνθρώπους περὶ τὸν τῶν διαύλων ἀριθμὸν ὁρῶν,
τούς τε δελφῖνας καὶ τὰ ᾠοειδῆ δημιουργήματα κατεστήσατο,
ὅπως δι' αὐτῶν αἱ περίοδοι τῶν περιδρόμων ἀναδεικνύωνται.
καὶ προσέτι καὶ ἔλαιον καὶ ἅλας πᾶσι δέδωκε. τά τε βαλα-
νεῖα προῖκα δι' ἔτους καὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ λοῦε-
σθαι παρέσχε· καὶ τοὺς κουρέας ἐν ταῖς πανηγύρεσιν ἐμισθώσατο
ἵνα μηδεὶς μηδὲν αὐτοῖς ἀναλώσῃ· καὶ τέλος σύμβολά τι-
να ἐς τὸ θέατρον κατὰ κορυφὴν ἔρριψε, τὸ μὲν ἀργύριον, τὸ δὲ
D ἐσθῆτα, τὸ δὲ ἄλλο τι φέροντα· καὶ τὰ ἄλλα πάμπολλα ὤνια
ἐς τὸ μέσον καταθεὶς, διαρπάσαι σφίσιν ἐπέτρεψε. τούς τε ἀ-
στρολόγους καὶ τοὺς γόητας ἐκ τῆς πόλεως ἐξήλασε. καὶ Ἀγρίππας
μὲν ταῦτα ἐν τῷ τῆς ἀγορανομίας αὐτοῦ χρόνῳ ἔπραξε. τοῦ δὲ
Μήδων βασιλέως ἡττηθέντος ὑπὸ τῶν Πάρθων, καὶ ἡ Ἀρμενία
σὺν τῇ Μηδίᾳ τῶν Πάρθων ἐγένετο. μετὰ δέ τινα χρόνον καὶ ὁ
Ἀντώνιος καὶ ὁ Καῖσαρ ἐπολέμησαν ἀλλήλοις, ἐγκλήματα κατ'
ἀλλήλων κατασκευάσαντες, ὁ μὲν, ὅτι καὶ τὰ Ῥωμαίων ὁ Ἀντώ-
νιος τῇ Κλεοπάτρᾳ ἐδίδου καὶ ἐχαρίζετο, καταγεγοητευμένος καὶ
52 δεδουλωμένος αὐτῇ, ὥσπερ ἀνδράποδον, καὶ διὰ τοῦτο οὐδὲ ἀν-
A τικρὺς πρὸς αὐτὸν, ἀλλὰ πρὸς τὴν Κλεοπάτραν δῆθεν τὸν
πόλεμον ἐψηφίσατο· ὁ δὲ Ἀντώνιος ὡς ὑβρισθεὶς ὑπ' αὐτοῦ,
τὰς διαθήκας τὰς ἑαυτοῦ ἔτι ζῶντος ἀνοίξαντός τε καὶ πᾶσιν
ἐκφήναντος, καὶ δι' ἄλλα τινά. οὐ γὰρ ἔμελλον ἀπορήσειν αἰτιῶν
πάλαι πολεμῆσαι διεγνωκότες. ἐγένετο δὲ ἡ πᾶσα τοῦ πολέ-
μου παρασκευὴ πολὺ τῶν πρὶν αὐτῆς μεγίστη· ἔθνη γὰρ τοσάδε
ἑκατέρῳ τόνδε τὸν πόλεμον συνήρατο. Καίσαρι μὲν ἥ τε Ἰτα-
λία καὶ Γαλατία, τό, τε Ἰβηρικὸν καὶ τὸ Ἰλλυρικὸν, καὶ Λίβυες, οἵ τε
B ἐκ τοῦ πρὶν ῥωμαΐζοντες, πλὴν τῶν περὶ τὴν Κυρήνην, καὶ οἱ τοῦ
Βογούου τοῦ τε Βόκχου γεγονότες, Σαρδώ τε καὶ Σικελία, καὶ αἱ ἄλλαι
νῆσοι αἱ ταῖς εἰρημέναις ἠπείροις προσεχεῖς, συνεμάχησαν· τῷ
δ' Ἀντωνίῳ τὰ ἐν τῇ Ἀσίᾳ τῶν Ῥωμαίων ἀκούοντα, καὶ τὰ ἐν τῇ

Θρᾴκη, ἥ τε Ἑλλὰς καὶ ἡ Μακεδονία, καὶ οἱ Αἰγύπτιοι, οἵ τε Κυ-
ρηναῖοι μετὰ τῶν περιχώρων, καὶ οἱ νησιῶται οἱ προσοικοῦντες
σφίσιν, οἵ τε βασιλεῖς καὶ δυνάσται πάντες ὡς εἰπεῖν οἱ τῇ τῶν
Ῥωμαίων ἀρχῇ γειτνιῶντες τῇ ὑπὸ τὸν Ἀντώνιον οὔσῃ, οἱ μὲν
αὐτοί, οἱ δὲ καὶ δι' ἑτέρων. ὁ δὲ Ἀντώνιος πρὸ τοῦ πολέμου ὤμοσε C
πρὸς τοὺς αὑτοῦ στρατιώτας, τήν τε ἀρχὴν ἐντὸς δύο μηνῶν
μετὰ τὴν νίκην ἀφήσειν, καὶ τὸ πᾶν αὐτῆς κράτος τῇ γερουσίᾳ καὶ
τῷ δήμῳ ἀποδώσειν· μόλις τε δῆθεν τινὲς ἔπεισαν ἕκτῳ μηνὶ
τοῦτο ποιῆσαι, ἵνα δὴ κατὰ σχολὴν τὰ πράγματα καταστήσηται.
σημεῖα δὲ πρὸ τοῦ πολέμου ἔδοξε γεγονέναι, ὅ, τε βύας ὁ ἐπὶ
τὸν τῆς Ὁμονοίας ναὸν ἐπιπτάμενος, καὶ ἐπὶ τοὺς ἄλλους ἐπικα-
θήμενος. εἰ μή τι γελοῖος ὁ Δίων τηλικούτων πολέμων καὶ συμ-
φορῶν, βυῶν τε πτήσεις, καὶ πιθήκων εἰς ναοὺς εἰσελεύσεις, καὶ ἄλλ'
ἄττα τοιαῦτα προλέγων τε καὶ προσημαινόμενος, καὶ τὸ τῆς Αἴ- D
τνης πῦρ πλεῖστον ῥυὲν, καὶ πόλεις λυμηνάμενον. τὸ δὲ τοῦ δικεφά-
λου δράκοντος τοῦ ἐν τῇ Τυρσηνίδι φανέντος, καὶ ἐς πέντε καὶ ὀ-
γδοήκοντα πόδας ἐξικνουμένου, πολλά τε κακώσαντος, εἶτα κε-
ραυνωθέντος, εἰ ἀληθές ἐστι, καὶ θαυμαστὸν πάντως ἐστίν. ἐν δὲ τῇ
Ῥώμῃ οἱ παῖδες δίχα γενόμενοι μηδενὸς κελεύσαντος, καὶ οἱ μὲν
Ἀντωνείους, οἱ δὲ Καισαρείους σφᾶς ἐπικαλέσαντες, συνέ-
μιξαν ἀλλήλοις ἐπὶ δύο ἡμέραις, καὶ ἡττήθησαν οἱ τὸ τοῦ Ἀντω-
νίου ὄνομα φέροντες. καὶ τοῦτο τὴν μὲν ἧτταν αὐτοῦ προεσήμηνε·
τὸν δ' ὄλεθρον εἰκών τις αὐτοῦ ἐν τῷ Ἀλβανῷ ἀνακειμένη· λι- 53
θίνη γὰρ οὖσα αἷμα πολὺ ἀνῆκεν. καὶ ἐγένετο ἡ μάχη κατὰ τὸ καλού- A
μενον Ἄκτιον, ἔνθα νῦν ἡ Νικόπολίς ἐστι, παρούσης καὶ τῷ Ἀν-
τωνίῳ καὶ συμπολεμούσης τῆς Κλεοπάτρας, δι' ἣν καὶ μάλιστα
τοῖς τε φίλοις προσκέκρουκε, καὶ κατὰ τὴν μάχην ἐσφάλη. γέ-
γονε δὲ ἡ ναυμαχία τοιαύτη. τὰ μὲν σκάφη τῷ Ἀντωνίῳ πο-
λὺ τῶν ἐναντίων ὑπερέχοντα ἦν· τριήρεις μὲν γὰρ ὀλίγας, τετρή-
ρεις, πεντήρεις τε, καὶ δεκήρεις, καὶ τὰ λοιπὰ τὰ διὰ μέσου πάντα
ἐξεποίησε, καὶ ἐπ' αὐτὰ πύργους τε ὑψηλοὺς ἐπικατεσκεύασε, καὶ

πλῆθος ἀνθρώπων ἐπιβεβίβασι. καὶ διὰ τοῦτο καὶ ὁ ἀγὼν οὐχ ὁ-
B μοιότροπος αὐτοῖς ἐγίγνετο. οἱ μὲν γὰρ τοῦ Καίσαρος, ἅτε καὶ μικρο-
τέρας καὶ ταχυτέρας τὰς ναῦς ἔχοντες, ῥοθίῳ τε ἐχρῶντο, καὶ ἀνέ-
βαλλον πεφραγμένοι πάντῃ, τοῦ μὴ τιτρώσκεσθαι. καὶ εἰ μὲν κα-
τέδυσαί τινα, εἰ δὲ μή, ἀνεκρούοντο πρὶν ἐς χεῖρας ἐλθεῖν. καὶ ἤ-
τοι τοῖς αὐτοῖς αὖθις ἐξαίφνης ἐνέβαλλον, ἢ τοὺς μὲν εἴων, ἐπ'
ἄλλοις δ' ἐτρέποντο. καί τι καὶ τούτοις ὡς διὰ βραχέος ἐργασά-
μενοι, πρὸς ἄλλους, καὶ πάλιν μάλα ἄλλους ἐχώρουν, ὅπως ὡς
μάλιστα ἀπροσδοκήτοις σφισὶ προσφέρωνται. οἷα γὰρ φοβούμενοι
μὲν τὴν ἐκ πολλοῦ αὐτῶν ἀλκήν, φοβούμενοι δὲ καὶ τὴν ἐν χερ-
σὶ μάχην, οὔτε ἐν τῷ πρόσπλῳ, οὔτε ἐν τῇ συμμίξει ἐνεχρόνι-
C ζον, ἀλλ' ὑποδραμόντες αἰφνίδιον, ὥστε τὴν τοξείαν σφῶν
φθῆναι, καὶ τρώσαντές τινα, ἢ καὶ συνταράξαντες μόνον, ὥστε
τὴν κάθεξιν ἐκφυγεῖν, ἀνεχώρουν ἔξω βέλους. οἱ δ' ἕτεροι
τούς τε προσπλέοντας σφίσι, πολλοῖς καὶ πυκνοῖς καὶ λίθοις καὶ το-
ξεύμασιν ἔβαλλον, καὶ ἐς τοὺς προσμιγνύοντας χεῖρας σιδηρᾶς
ἐπερρίπτουν. καὶ εἰ μὲν ἐπιτύχοιεν αὐτῶν, κρείττους ἐγίγνοντο· εἰ
δ' ἁμάρτοιεν, τρωθέντων αὖ σφίσι τῶν σκαφῶν, ἐβαπτίζοντο,
ἢ καὶ περὶ τὸ μὴ παθεῖν τοῦτο ἀποδιατρίβοντες, ἀνεπιθετώτεροι
D ἄλλοις ἴσιν ἐγίγνοντο. δύο τε γὰρ ἢ καὶ τρεῖς ἅμα τῇ αὐτῇ νηὶ
προσπίπτουσαι, αἱ μὲν ἔδρων ὅσα ἐδύναντο, αἱ δὲ ἔπασχον. ἐπο-
νοῦντο δὲ καὶ ἔκαμνον τοῖς μὲν οἵ τε κυβερνῆται καὶ οἱ ἐρέται μάλι-
στα, τοῖς δὲ οἱ ἐπιβάται. καὶ ἐῴκεσαν οἱ μὲν ἱππεῦσι, τοτὲ μὲν ἐπ-
ελαύνουσι, τοτὲ δὲ ἐξαναχωροῦσι, διά τε τοὺς τε ἐπίπλους καὶ τὰς
ἀνακρούσεις ἐπ' αὐτοῖς εἶναι· οἱ δὲ ὁπλίταις. κἀκ τούτου ἐπλεο-
νέκτουν τε ἀλλήλων καὶ ἠλαττοῦντο, οἱ μὲν, ἔς τε τοὺς ταρσοὺς τῶν
34 νεῶν ὑποπίπτοντες, καὶ τὰς κώπας συναράσσοντες, οἱ δὲ ἄνω-
A θεν αὐτοὺς καὶ πέτραις καὶ μηχανήμασι βαπτίζοντες. ἀγχω-
μάλου οὖν ἐπὶ πολὺ τῆς μάχης οὔσης, τέλος τοιόνδε τι ἐγένετο.
ἡ Κλεοπάτρα κατόπιν τῶν μαχομένων ἀποσαλεύουσα, οὐκ ἤ-
νεγκε τὴν πολλὴν καὶ ἄκριτον τοῦ ἀδήλου μέλλησιν, ἀλλ' ἀπο-

κινηθεῖσα ἀπό τε τοῦ γυναικείου καὶ ἀπὸ τοῦ Αἰγυπτίου, τῇ τε
ἐπὶ πολὺ μετεώρῳ ἀγωνίᾳ, καὶ τῇ ἀεὶ ἐφ' ἑκάτερα παραδόξῳ
προσδοκίᾳ, αὐτή τε ἐς φυγὴν ὥρμησε, καὶ τοῖς ἄλλοις τοῖς ὑπη-
κόοις σημεῖον ἦρε. καὶ οὕτω τά τε ἱστία αὐτῶν εὐθὺς ἀραμένων, καὶ
ἐς τὸ πέλαγος φανέντων, ἀνέμου τινὸς φοροῦ κατὰ τύχην συμ-
βάντος, ὁ Ἀντώνιος ἰδὼν, ἐφέπετο σφίσι. γενομένου δὲ τούτου, καὶ B
οἱ λοιποὶ στρατιῶται καὶ ἠθύμησαν καὶ ἐταράχθησαν. καὶ οὕτω λοι-
πὸν τὰ τοῦ Καίσαρος ἐπικρατέστερα πάντη ἐγένετο. τοιαύτη μέν
τις ἡ ναυμαχία αὐτῶν τῇ δευτέρᾳ τοῦ σεπτεμβρίου ἐγένετο. τοῦτο
δὲ οὐκ ἄλλως εἶπον (οὐδὲ γὰρ εἴωθα αὐτὸ ποιεῖν) ἀλλ' ὅτι τότε
πρῶτον ὁ Καῖσαρ τὸ κράτος πᾶν μόνος ἔσχεν, ὥστε καὶ τὴν ἀ-
παρίθμησιν τῶν τῆς μοναρχίας αὐτοῦ ἐτῶν ἀπ' ἐκείνης τῆς ἡμέ-
ρας ἀκριβοῦσθαι. ὁ δὲ Καῖσαρ πόλιν τε ᾠκοδόμησεν ἐν τῷ τό-
πῳ καθ' ὃν ἐνίκησε, Νικόπολιν αὐτὴν ὀνομάσας· τό, τε χωρίον
ἐν ᾧ ἐσκήνωσε, λίθοις τετραπέδοις ἐκρηπίδωσε, καὶ τοῖς ἁλοῦ-
σιν ἐμβόλοις ἐκόσμησεν, ἕδος τι ἐν αὐτῷ τοῦ Ἀπόλλωνος ὑπαί- C
θριον ἱδρυσάμενος. ἐν δὲ τῷ πολέμῳ τούτῳ πολλὰ καὶ μεγάλα ὁ
Ἀγρίππας αὐτῷ συνεβάλετο, πόλεις τε τοῦ Ἀντωνίου τινὰς ἑ-
λὼν, ἐν αἷς ἐκεῖνος τὰς πλείστας εἶχε τοῦ πολέμου παρασκευὰς,
καὶ τοὺς ἀντιταχθέντας αὐτῷ πολλάκις νικήσας. ὁ δ' οὖν Καῖ-
σαρ τοσαύτην εἰς πάντα ἐκείνῳ τε καὶ τῷ Μαικήνᾳ ἐξουσίαν ἐ-
δεδώκει, ὥστε σφᾶς καὶ τὰς ἐπιστολὰς ἃς τῇ τε βουλῇ καὶ τοῖς ἄλλοις
ἔγραφε, προαναγινώσκειν, κἀκ τούτου καὶ μεταγράφειν ὅσα ἐ-
βούλοντο. καὶ διὰ τοῦτο καὶ δακτύλιον ἔλαβον παρ' αὐτοῦ, ἵν' ἐπι-
σφραγίζεσθαι αὐτὰς ἔχωσι. διπλῆν γὰρ δὴ σφραγῖδα, ᾗ μά-
λιστα τότε ἐχρῆτο, ἐπεποίητο, σφίγγα ἐν ἑκατέρᾳ ὁμοίαν ἐντυ- D
πώσας. ὕστερον γὰρ τὴν εἰκόνα τὴν ἑαυτοῦ ἐγγλύψας, ἐκείνῃ τὰ
πάντα ἐσημαίνετο. καὶ αὐτῇ καὶ οἱ μετὰ ταῦτα αὐτοκράτορες,
πλὴν Γάλβου, ἐχρήσαντο. οὗτος γὰρ προγονικῷ τινι σφραγί-
σματι κύνα ἐκ πρώρας νεὼς προκύπτοντα ἔχοντι χρήσασθαι
λέγεται.

55 ΜΟΝΑΡΧΙΑ ΑΥΓΟΥΣΤΟΥ Καίσαρος.

A ΜΕΤΑ δὲ τὴν ναυμαχίαν ὁ Ἀντώνιος φυ-
γὼν μετὰ τῆς Κλεοπάτρας εἰς Αἴγυπτον, ὡς
ὁ Καῖσάρ τε ἐπανῆλθε, καὶ ὑπὸ τῶν φίλων
ὑπό τε τῶν συμμάχων ἐγκατελείφθη, ἔ-
σφαξεν ἑαυτὸν, ἐν τοῖς κόλποις τῆς Κλεο-
πάτρας ἀπέθανε. τοῦ δὲ Καίσαρος ἔχοντος ἤδη Ἀλεξάνδρειαν,
αὐτήν τε τὴν Κλεοπάτραν ἐν φυλακῇ ἀδέσμῳ καὶ ἐν τοῖς βα-
σιλείοις τηροῦντος, ἱκέτευεν αὐτὸν ἐκείνη εἰς ὄψιν αὐτῇ ἐλθεῖν,
ὥς τι πρὸς αὐτὸν βουλομένη διαλεχθῆναι. τοῦ δὲ καταινέσαν-
τος, ἠμελημένως πως κοσμήσασα ἑαυτὴν (καὶ γὰρ ἐν τῷ πενθί-
B μῳ σχήματι δεινῶς ἐνέπρεπεν) ἐκαθέζετο ἐπὶ τῆς κλίνης, πολ-
λὰς μὲν εἰκόνας τοῦ πατρὸς αὐτοῦ, φημὶ δὴ τοῦ Ἰουλίου Καίσα-
ρος, καὶ παντοδαπὰς παραθεμένη, πάσας δὲ τὰς ἐπιστολὰς τὰς
παρ' ἐκείνου πεμφθείσας αὐτῇ ἐς τὸν κόλπον λαβοῦσα. καὶ μετὰ
τοῦτο εἰσελθόντος τοῦ Καίσαρος, ἀνεπήδησέ τε ἠρυθριασμένη, καὶ
ἔφη, Χαῖρε ὦ δέσποτα· σοὶ μὲν γὰρ τοῦτο Θεὸς ἔδωκεν, ἐμὲ δὲ
ἀφείλετο. ἀλλ' ὁρᾷς μέν που καὶ αὐτὸν τὸν πατέρα σου τοῦτον,
οἷος πολλάκις πρὸς ἐμὲ ἐσῆλθεν, ἀκούεις δὲ ὅπως τά τε ἄλλα ἐ-
τίμησέ με, καὶ δὴ καὶ βασιλίδα τῶν Αἰγυπτίων ἐποίησεν· ἵνα δ' οὖν
τι καὶ αὐτοῦ ἐκείνου περὶ ἐμοῦ πύθῃ, λάβε καὶ ἀνάγνωθι τὰ γράμ-
C ματα ἅ μοι αὐτοχειρίᾳ ἐπέστειλε. ταῦτά τε ἔλεγε, καὶ τὰ βλέ-
φαρα ἐς τὸν Καίσαρα ἐπενέκλα, καὶ ἐμμελῶς ἀνωλοφύρετο,
θρυπτικόν τέ τι προσεφθέγγετο, καὶ ἄλλοτε μὲν λέγουσα, Ποῦ μοι
Καῖσαρ ταῦτά σου τὰ γράμματα; ἄλλοτε δὲ, ὅτι, Ἀλλ' ἐν τού-
τοις καὶ σύ μοι ζῇς. εἶτα αὖθις, Εἴθε σοῦ προτεθνήκειν. καὶ μά-
λα αὖθις, Ἀλλὰ καὶ τοῦτον ἔχουσα, σὲ ἔχω. ὁ οὖν Καῖσαρ συνίει
μὲν

μὲν αὐτῆς, οὐ μέντοι καὶ προσεποιεῖτο, ἀλλ' εἰς τὴν γῆν τοὺς ὀφθαλ-
μοὺς ἐρείσας, τοῦτο μόνον εἶπεν, Θάρσει ὦ γύναι, καὶ θυμὸν ἔ-
χε ἀγαθόν· οὐδὲν γὰρ κακὸν πείσῃ. καὶ ὁ μὲν Καῖσαρ ἐπεθύμει
αὐτὴν εἰς τὴν Ῥώμην ἀγαγεῖν, ἵνα θριαμβεύων αἰχμάλω-
τον δείξῃ Ῥωμαίοις τὴν περίπυστον Κλεοπάτραν, ἐλπίδας τε 56
αὐτῇ ἐνίει χρηστὰς, ἐν ἐπιμελείᾳ τε ἐποιεῖτο, καὶ τῆς θεραπείας A
οὐδὲν ἀφῃρεῖτο. ἡ δὲ, ἅτε μὴ ἄκακος οὖσα γυνὴ, ἀλλὰ δραστη-
ρία καὶ συνετὴ, τοῦτό τε ὑπετόπησε, καὶ τὴν ἐσθῆτα τὴν περικαλ-
λεστάτην ἐνδῦσα, καὶ ἑαυτὴν εὐπρεπέστατα ἀθετήσασα, ἀνατε-
θεῖσά τε ἐπὶ τῆς κλίνης, ἀπέθανεν, ἀσπίδος αὐτῇ ἐν ὑδρίᾳ εἰσ-
κομισθείσης· οἱ δὲ, ὅτι βελόνῃ ᾗ τὰς τρίχας ἀνεῖρεν ἰὸν ἐχούσῃ
ὠκύμορον, τὸν βραχίονα κεντήσασα. ἀκούσας δὲ ὁ Καῖσαρ τὴν
τελευτὴν αὐτῆς, ἐξεπλάγη, καὶ τό, τε σῶμα αὐτῆς εἶδε, καὶ φάρ-
μακα αὐτῇ, καὶ ψύλλους, εἴ πως ἀνασφήλειε, προσήνεγκεν. οἱ δὲ B
δὴ Ψύλλοι οὗτοι, ἄνδρες μέν εἰσι (γυνὴ γὰρ οὐ γίνεται ψύλλα) δύ-
νανται δὲ πάντα τε ἰὸν παντὸς ἑρπετοῦ παραχρῆμα, πρὶν θνή-
σκειν τινὰ, ἐκμυζᾶν, καὶ αὐτοὶ μηδὲν ὑπὸ μηδενὸς αὐτῶν δη-
χθέντες βλάπτεσθαι. φύονται δὲ ἐξ ἀλλήλων, καὶ δοκιμάζουσι τὰ
γεννηθέντα ἤτοι μεθ' ὄφεών που εὐθὺς ἐμβληθέντα, ἢ καὶ τῶν σπαρ-
γάνων αὐτῶν ἐπιβληθέντων τισίν. οὔτε γὰρ τῷ παιδίῳ τι λυμαί-
νονται, καὶ ὑπὸ τῆς ἐσθῆτος αὐτοῦ ναρκῶσι. τοῦτο μὲν δὴ τοιοῦ- C
τόν ἐστιν. ὁ δὲ δὴ Καῖσαρ μηδένα τρόπον ἀναβιώσασθαι τὴν
Κλεοπάτραν δυνηθεὶς, ἐκείνην μὲν καὶ ἐθαύμασε καὶ ἠλέησεν,
αὐτὸς δὲ ἰσχυρῶς ἐλυπήθη, ὡς καὶ πάσης τῆς ἐπὶ τῇ νίκῃ δόξης
ἐστερημένος. καὶ τὰ μὲν τοῦ Αντωνίου καὶ τῆς Κλεοπάτρας, τοιαύ-
της ἔτυχε τελευτῆς. Καῖσαρ δὲ τῆς Ἀλεξανδρείας διά τε τὸν οἰ-
κιστὴν αὐτῆς Ἀλέξανδρον, καὶ διὰ τὸν φιλόσοφον Ἄρειον, ᾧ που φι-
λοσοφοῦντι ἐχρῆτο, φεισάμενος (τὸ δὲ ἀληθὲς, ὅτι οὐκ ἠξίωσε τοσού-
τους τε αὐτοὺς ὄντας, καὶ χρησιμωτάτους τοῖς Ῥωμαίοις ἐς πολλὰ D
ἂν γενομένους ἀνήκεστόν τι δρᾶσαι) ἠθέλησε τὸ τοῦ Ἀλεξάνδρου σῶ-
μα ἰδεῖν. καὶ εἶδεν αὐτὸ, καὶ προσήψατο, ὥστε τι καὶ τῆς ῥινὸς, ὥς

φασι, θραυσθῆναι. τὰ δὲ δὴ τῶν Πτολεμαίων, καίτοι τῶν Ἀλε-
ξανδρέων σπουδῇ βουληθέντων αὐτῷ δεῖξαι, οὐκ ἐθεάσατο,
εἰπὼν ὅτι βασιλέα ἀλλ' οὐ νεκροὺς ἰδεῖν ἐπεθύμησε. κἀκ τῆς
αὐτῆς αἰτίας οὐδὲ τῷ Ἄπιδι ἐντυχεῖν ἠθέλησε, λέγων θεοὺς
ἀλλ' οὐχὶ βοῦς προσκυνεῖν εἰθίσθαι. ἐκ δὲ τούτου τήν τε Αἴγυ-
57 πτον ὑποτελῆ ἐποίησε, καὶ τῷ Γάλλῳ τῷ Κορνηλίῳ ἐπέτρεψε. βου-
A λευτῇ γὰρ οὐχ ὅπως ἐγχειρίσαι αὐτὴν ἐτόλμησεν, ἀλλ' οὐδὲ
ἐπιδημεῖν αὐτῇ ἐξουσίαν ἔδωκεν, ἂν μή τινι αὐτὸς ὀνομαστὶ
συγχωρήσῃ. ἐκ δὲ τῶν ληφθέντων χρημάτων οἵ τε στρατιῶται
πάμπολλα ἔλαβον, τό τε σύμπαν, ἥ τε ἀρχὴ ἡ τῶν Ῥωμαίων
ἐπλουτίσθη, καὶ τὰ ἱερὰ αὐτῶν ἐκοσμήθη. Αἴγυπτος μὲν οὕτως
ἐδουλώθη, ὥς που καὶ τὸ δαιμόνιον ἐναργέστατα προυπέδειξεν.
ὗσέ τε γὰρ οὐχ ὅπως ὕδατι ἔνθα μηδὲ ἐψάκασέ ποτε, ἀλλὰ καὶ
B αἵματι· καί τις δράκων ὑπερμεγέθης ἐξαίφνης σφίσιν ὀφθεὶς,
ἀμήχανον ὅσον ἐξεσύριξε. καὶ τούτῳ καὶ ἀστέρες κομῆται ἑω-
ρῶντο, καὶ νεκρῶν εἴδωλα ἐφαντάζοντο, τά τε ἀγάλματα ἐσκυ-
θρώπασε, καὶ ὁ Ἆπις ὀλοφυρτικόν τι ἐμυκήσατο, καὶ ἐδάκρυσε.
Καῖσαρ δὲ εἰς τὴν Ῥώμην ἦλθεν, καὶ πολλῶν αὐτῷ καὶ ὑπέρ-
ογκον (ἃ τί χρή με λέγειν;) παρὰ τῆς βουλῆς ψηφισθέντων, τὰ
νικητήρια λαμπρῶς κατήγαγε· τά τε τῆς Κλεοπάτρας κοσμή-
ματα τοῖς ἱεροῖς ἀνέθηκε· καὶ οὕτως ἡ Κλεοπάτρα καὶ ἡττηθεῖσα
C καὶ ἁλοῦσα, ὅμως ἐδοξάσθη, καὶ αὐτὴ ἐν τῷ Ἀφροδισίῳ χρυ-
σῆ ὁρᾶται. καὶ Καῖσαρ μὲν ἐπὶ τούτοις ἑορτὰς ἦγεν ἐφ' ἡ-
μέρας συχνάς. καὶ ἵππος ποτάμιος καὶ ῥινόκερως τότε πρῶτον
εἰσήχθησαν εἰς τὸ θέατρον. ὁ δὲ ῥινόκερως ἐλέφαντί τι προσέοι-
κε, κέρας δέ τι κατ' αὐτὴν τὴν ῥῖνα προσέχει, καὶ διὰ τοῦτο οὕτω
κέκληται. Κράσσος δὲ Μάρκος ἐν τούτῳ τῷ χρόνῳ διὰ τῆς Ἑλ-
λάδος καὶ Μακεδονίας ἐπὶ τὸν Ἴστρον πεμφθεὶς, Μυσούς τε καὶ Βα-
στέρνας κατεστρέψατο μάχαις συχναῖς, καὶ τόν γε βασιλέα αὐ-
τῶν Δέλδωνα αὐτὸς ὁ Κράσσος ἀπέκτεινε· καὶ μετὰ τοῦτο καὶ τοὺς
D Θρᾶκας ἐχειρώσατο, καὶ Γέτας ἐκάκωσε. καὶ Καίσαρι καὶ

ὑπὲρ τούτων τιμαὶ ἐψηφίζοντο. ταῦτα μὲν ἔν τε τῇ βασιλείᾳ καὶ ἐν τῇ δημοκρατίᾳ, ταῖς τε δυναστείαις, πέντε καὶ εἴκοσι καὶ ἑπτακοσίοις ἔτεσι, καὶ ἔπραξαν οἱ Ῥωμαῖοι καὶ ἔπαθον. ἐκ δὲ τούτου αὖθις μοναρχεῖσθαι ἀκριβῶς ἤρξαντο, καίτοι τοῦ Καίσαρος βουλευσαμένου τά τε ὅπλα καταθέσθαι, καὶ τὰ πράγματα τῇ γερουσίᾳ καὶ τῷ δήμῳ ἐπιτρέψαι. ἐποιήσατο δὲ τὴν διάγνωσιν μετὰ τοῦ Ἀγρίππου καὶ τοῦ Μαικήνου. τούτοις 58
γὰρ πάντα τὰ ἀπόρρητα ἀνεκοίνου. καὶ τοῦ Ἀγρίππου συμβουλεύοντος τὰ δικαιότερα (ἀποθέσθαι γὰρ ἠξίου τὴν δυναστείαν, καὶ ποιῆσαι πάλιν ἰσηγορίαν) τοῦ δὲ Μαικήνου τὰ συμφέροντα (συμφέρειν γὰρ μᾶλλον τῷ μεγέθει τοῦ πολιτεύματος μοναρχίαν βασιλικήν τε καὶ ἔννομον) προσέθετο τῷ Μαικήνᾳ ὁ Καῖσαρ, καὶ τὴν μοναρχίαν ἔτι μᾶλλον ἐβεβαιώσατο. τήν τε τοῦ αὐτοκράτορος ἐπίκλησιν (λέγω δὲ οὐ τὴν ἐπὶ ταῖς νίκαις ἐπίκλησιν κατὰ τὸ ἀρχαῖον διδομένην τισὶν, ἀλλὰ τὴν τὸ κράτος διασημαίνουσαν) ἐπέθετο, ὥσπερ τῷ τε πατρὶ αὐτοῦ τῷ Καίσαρι καὶ τοῖς παισὶ καὶ τοῖς ἐγγόνοις ἐψήφιστο. καὶ μετὰ ταῦτα τιμητεύσας σὺν τῷ Ἀγρίππᾳ, τήν τε βουλὴν ἀνεκάθηρεν, αὐτοὺς μὲν οὐδένα αὐτῶν ἀπαλείψας, προτρεψάμενος δὲ σφᾶς ἐκ τοῦ συνειδότος τοῦ τε γένους καὶ τοῦ βίου δικαστὰς ἑαυτοῖς γενέσθαι. καὶ προσέταξε τοῖς βουλευταῖς μὴ ἐκδημεῖν ἔξω τῆς Ἰταλίας, ἂν μὴ αὐτός τινι κελεύσῃ, ἢ ὡς ἐπιτρέψῃ. καὶ τοῦτο καὶ δεῦρο ἀεὶ φυλάσσεται. πλὴν γὰρ ὅτι ἐς τὴν Σικελίαν καὶ Γαλατίαν τὴν περὶ Νάρβωνα, οὐδαμόσε ἄλλοσε βουλευτῇ ἀποδημῆσαι ἔξεστιν. ἐκεῖσε γὰρ διά τε τὸ σύνεγγυς, καὶ διὰ τὸ ἄοπλον τῶν ἀνθρώπων, δέδοται καὶ ἄνευ παραιτήσεως ἀπιέναι. τῷ δὲ Ἀγρίππᾳ ὁ Καῖσαρ τήν τε ἀδελφιδῆν τὴν ἰδίαν συνῴκισε, καὶ σκηνὴν ὁπότε συστρατεύοιτο, ὁμοίαν τῇ ἑαυτοῦ παρεῖχε, τό, τε σύνθημα παρ' ἀμφοτέρων σφῶν ἐδίδοτο. συνέβη δὲ τοῖς Ῥωμαίοις μετὰ τὸ τέλος τῶν ἐμφυλίων πολέμων, καλῶς ὑπὸ τοῦ Καίσαρος καὶ σωφρόνως διορθωθῆναι, καὶ οἱ πολλοὶ τῶν συνετωτέρων

ἀνδρῶν οὐκέτι ἐμίσουν ὡς μόναρχον, ἀλλ' ἐφίλουν ὡς ἄριστον.
D τήν τε γὰρ πόλιν κοινῇ σύμπασαν εὐηργέτησεν, ἐπισκευάζων
αὐτῆς τὰ πεπονηκότα καὶ ἀνακτώμενος· καὶ τὴν πολιτείαν πρὸς
τὸ βέλτιστον χρεΐζων καὶ διεξάγων, καὶ ἰδίᾳ τοὺς ἀνθρώπους εὐ-
ποιΐαις ὅτι μάλιστα ἀνηρτᾶτο, καὶ διὰ τοῦτο καὶ ἠγαπᾶτο. ἐθάρ-
ρησε γοῦν ποτε τούτοις ὁμοῦ καὶ καλλωπιζόμενος καὶ θαρρῶν
τὸ συνέδριόν τε τῆς γερουσίας συναγαγεῖν, καὶ παρελθὼν εἰς τὸ
μέσον, τήν τε μοναρχίαν ἀποθέσθαι, καὶ τὰ πράγματα τῇ βου-
λῇ ἐγχειρίσαι. συνέβη δὲ αὐτῷ τοὐναντίον· εἰ μή τις εἴποι
συμβῆναι αὐτῷ μᾶλλον τὸ κατὰ γνώμην, διὰ τὸ πεπλασμένον,
59 καὶ μὴ ὁλόψυχον τῶν τοιούτων παραιτήσεων. ἣν γὰρ ἀδίκως καὶ
A κατὰ βίαν ἔχουσί τινες μοναρχίαν, παρ' ἑκόντων τῶν πολιτῶν
δοκεῖν ἔχειν ἐθέλοντες, εἰς τὰς τοιαύτας θρησκείας καὶ ὑποκρί-
σεις χωροῦσι. καὶ τότε δ' οὖν οἱ μὲν ἐκ παρασκευῆς, οἱ δ' ἐκ
φόβου, ἅτε καὶ ὑποπτεύοντες τὸ γινόμενον· οἱ δέ τινες τῶν σωφρο-
νεστέρων ἀνδρῶν, καί, ὡς εἰπεῖν, ἐκ ψυχῆς, καὶ μεταξὺ αὐτοῦ λέ-
γοντος διεβόων, καὶ μετὰ τοῦτο μοναρχεῖσθαί τι δεόμενοι, καὶ πάν-
τα τὰ ἐς τοῦτο φέροντα ἐπιλέγοντες, μέχρις οὗ κατηνάγκασαν
δῆθεν αὐτὸν αὐταρχῆσαι. τό, τε γὰρ δημοκρατικὸν ἤδη τινὲς ὡς
καὶ στασιῶδες ἐμίσουν, καὶ τῇ μεταστάσει τῆς πολιτείας ἠρέ-
B σκοντο, τῷ τε Καίσαρι ἔχαιρον. τοῖς γοῦν δορυφορήσουσιν αὐ-
τὸν διπλάσιον τὸν μισθὸν τοῦ τοῖς ἄλλοις στρατιώταις διδομένου δο-
θῆναι διεπράξαντο, ὅπως ἀκριβῆ τὴν φρουρὰν ἔχῃ. τὴν μὲν
οὖν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ καὶ παρὰ τῆς γερουσίας τοῦ τε δή-
μου ἐβεβαιώσατο. βουληθεὶς δὲ δὴ καὶ ὡς δημοτικός τις εἶναι
δόξαι, τὴν μὲν φροντίδα τήν τε προστασίαν τῶν κοινῶν πᾶσαν,
ὡς καὶ ἐπιμελείας τινὸς δεομένων, ὑπεδέξατο. οὔτε δὲ πάντων
αὐτὸς τῶν ἐθνῶν ἄρχειν, οὔθ' ὅσων ἂν ἄρξῃ, διὰ παντὸς τοῦτο ποι-
C ήσειν ἔφη, ἀλλὰ τὰ μὲν ἀσθενέστερα, ὡς καὶ εἰρηναῖα καὶ ἀπόλε-
μα, ἀπέδωκε τῇ βουλῇ, τὰ δὲ ἰσχυρότερα, ὡς καὶ σφαλερὰ καὶ
ἐπικίνδυνα, κατέσχε, λόγῳ μὲν, ὅπως ἡ μὲν γερουσία ἀδεῶς

τὰ κάλλιστα τῆς ἀρχῆς καρπῶται, αὐτὸς δὲ τούς τε πόνους καὶ
τοὺς κινδύνους ἔχῃ, ἔργῳ δὲ, ἵνα ἐπὶ τῇ προφάσει ταύτῃ ἐκεῖνοι
μὲν καὶ ἄοπλοι καὶ ἀπόλεμοι ὦσιν, αὐτὸς δὲ δὴ μόνος καὶ ὅπλα
ἔχῃ, καὶ στρατιώτας τρέφῃ. ὁ δὲ Καῖσαρ καὶ καταθέσθαι τε-
λέως τὴν μοναρχίαν, καὶ ἀποδοῦναι, καὶ τὰ προσκληρωθέντα
τῶν ἐθνῶν τῇ βουλῇ μετὰ δεκαετίαν ὑπέσχετο. οὐ μὴν καὶ ἔργῳ D
ἐποίησε τοῦτο τῆς γοῦν δεκαετίας ἐξηθούσης, ἄλλα αὐτῷ δέκα
ἔτη καὶ πάλιν ἄλλα προσεψηφίσθη· ὥστε τῇ τῶν δεκαετηρί-
δων διαδοχῇ, διὰ βίου αὐτὸν μοναρχῆσαι. καὶ διὰ τοῦτο οἱ μετὰ
ταῦτα αὐτοκράτορες, καίτοι μηκέτ' ἐς τακτὸν χρόνον, ἀλλ' ἐς
πάντα καθάπαξ τὸν βίον ἀποδεικνύμενοι, ὅμως διὰ τῶν δέκα
αἰεὶ ἐτῶν ἑώρτασαν, ὡς καὶ τὴν ἡγεμονίαν αὖθις τότε ἀνανεού-
μενοι. καὶ πολλὰ μὲν ἐψηφίσθη τῷ Καίσαρι ἐπὶ τούτοις. καὶ γὰρ τὸ 60
τὰς δάφνας πρὸ τῶν βασιλείων αὐτοῦ προτίθεσθαι, καὶ τὸν στέ- A
φανον τὸν δρύϊνον ὑπὲρ αὐτῶν ἀρτᾶσθαι, ὡς καὶ ἀεὶ τούς τε πολε-
μίους νικῶντι, καὶ τοὺς πολίτας σώζοντι, ἐψηφίσθη. καλεῖται δὲ τὰ
βασίλεια παλάτιον, οὐχ ὅτι καὶ ἔδοξέ ποτε οὕτως αὐτὰ ὀνομά-
ζεσθαι, ἀλλ' ὅτι ἔν τε τῷ παλατίῳ ὁ Καῖσαρ ᾤκει, καὶ ἐκεῖ τὸ
στρατήγιον εἶχε. παλάτιον δὲ ἐγένετο ἡ τοῦ Ρωμύλου οἰκία, ἀπὸ
τοῦ τόπου ἐν ᾧ ᾠκοδόμητο, οὕτως ὠνομασμένου. καὶ διὰ τοῦτο
κἂν ἄλλοθί που ὁ αὐτοκράτωρ καταλύῃ, τὴν τοῦ παλατίου ἐπί-
κλησιν ἡ καταγωγὴ αὐτοῦ ἔχει. μετὰ δὲ ταῦτα αὔγουστον αὐτὸν
ἥ τε βουλὴ καὶ ὁ δῆμος προσεῖπεν. ὁ γὰρ Καῖσαρ ἐπεθύμει μὲν ἰ- B
σχυρῶς Ρωμύλος ὀνομασθῆναι, αἰσθόμενος δὲ ὅτι ὑποπτεύεται
ἐκ τούτου τῆς βασιλείας ἐπιθυμεῖν, οὐκ ἔτ' αὐτοῦ ἀντεποιήσα-
το, ἀλλ' αὔγουστος ὡς καὶ πλεῖόν τι ἢ κατ' ἀνθρώπους ὢν, ἐπε-
κλήθη. πάντα γὰρ τὰ ἐντιμότατα καὶ ἱερώτατα, αὔγουστα προσα-
γορεύεται· ἐξ οὗπερ καὶ σεβαστὸν αὐτὸν ἑλληνίζοντες, οἷά περ
τινὰ σεπτὸν, προσεῖπον. καὶ ταύτην τὴν πρόσρησιν καὶ οἱ μετ'
ἐκεῖνον πάντες, ὥσπερ καὶ τὴν τοῦ αὐτοκράτορος, πρὸς δήλωσιν
τῆς αὐτοτελοῦς σφῶν ἐξουσίας, ἀντὶ τῆς τοῦ βασιλέως τοῦ τε C

δικτάτωρος ἐπικλήσεως, ἔχουσιν. αὐτὰς μὲν γὰρ ἐκείνας οὐ τί-
θενται, ἐπειδήπερ ἅπαξ ἐκ τῆς πολιτείας ἐξέπεσον· τὸ δὲ δὴ
ἔργον αὐτῶν τῇ τοῦ αὐτοκράτορος προσηγορίᾳ βεβαιοῦνται. καὶ
ἐκ μὲν τούτων τῶν ὀνομάτων καταλόγους τε ποιεῖσθαι, καὶ χρή-
ματα ἀθροίζειν, πολέμους τε ἀναιρεῖσθαι, καὶ εἰρήνην σπένδεσθαι,
θανατοῦν τε βουλευτὰς δύνασθαι λαμβάνουσιν. ἐκ δὲ δὴ τοῦ
τιμητεύειν, τούς τε βίους καὶ τοὺς τρόπους ἡμῶν ἐξετάζουσι, καὶ ἀπο-
γραφὰς ποιοῦνται· καὶ τοὺς μὲν καταλέγουσι, τοὺς δὲ ἀπαλείφου-
σιν ὅπως ἂν αὐτοῖς δόξῃ. ἔκ τε τοῦ ἐν πάσαις ταῖς ἱερωσύναις ἱε-
ρῶσθαι, καὶ προσέτι καὶ τοῖς ἄλλοις τὰς πλείους διδόναι, καὶ τῶν
D ἱερέων κυριεύουσιν. ἥ τε ἐξουσία ἡ δημαρχικὴ καλουμένη δίδω-
σιν αὐτοῖς πρὸς τοῖς ἄλλοις τὸ μὴ ὑβρίζεσθαι. κἂν ἄρα τι καὶ
τὸ βραχύτατον μὴ ὅτι ἔργῳ ἀλλὰ καὶ λόγῳ ἀδικεῖσθαι δόξω-
σι, καὶ ἄκριτον τὸν ποιήσαντα αὐτό, ὡς καὶ ἐναγῆ, ἀπολλύναι.
ταῦτα μὲν οὕτω τε καὶ διὰ τούτων τῶν ὀνομάτων εἰλήφασιν, ὅ-
πως μηδὲν ἄνευ δόσεώς τινος ἔχειν δοκῶσιν. ἤδη δὲ καὶ ἕτε-
ρόν τι, ὃ μηδενὶ τῶν πάλαι Ῥωμαίων ἐδόθη, προσεκτήσαντο.
λέλυνται γὰρ δὴ τῶν νόμων, ὡς αὐτὰ τὰ Λατῖνα ῥήματα λέ-
γει, τουτέστιν ἐλεύθεροι ἀπὸ πάσης ἀναγκαίας νομίσεώς εἰσι, καὶ
οὐδενὶ τῶν γεγραμμένων ἐνέχονται· καὶ πᾶσαν μὲν τὴν τῆς
βασιλείας ἰσχὺν περιβέβληνται, πλὴν τοῦ κατὰ τοὔνομα φορτι-
61 κοῦ. ἡ γὰρ δὴ τοῦ Καίσαρος ἤ τε τοῦ Αὐγούστου πρόσρησις δύνα-
A μιν μὲν οὐδεμίαν αὐτοῖς οἰκείαν προστίθησι, δηλοῖ δ' ἄλλως τὸ
μέν, τὴν τοῦ γένους σφῶν διαδοχήν, τὸ δέ, τὴν τοῦ ἀξιώματος
λαμπρότητα. ἡ δὲ τοῦ πατρὸς ἐπωνυμία τάχα μὲν καὶ ἐξουσίαν
τινὰ αὐτοῖς, ἥν ποτε οἱ πατέρες ἐπὶ τοὺς παῖδας εἶχον, κατὰ πάν-
των ἡμῶν δίδωσιν· οὐ μέντοι καὶ ἐπὶ τούτῳ ἀρχὴν ἐγένετο, ἀλλ'
ἐς τιμήν, καὶ ἐς παραίνεσιν ἵνα αὐτοί τε τοὺς ἀρχομένους ὡς καὶ
παῖδας ἀγαπῷεν, καὶ ἐκεῖνοι σφᾶς ὡς πατέρας αἰδῶνται· ἡ μὲν
οὖν πολιτεία οὕτω τότε πρός τε τὸ βέλτιον καὶ πρὸς τὸ σωτηριω-
δέστερον μετεκοσμήθη. καὶ γάρ που καὶ παντάπασιν ἀδύνατον ἦν

δημοκρατουμένοις αὐτοῖς σωθῆναι. οὐ μέντοι καὶ ὁμοίως τοῖς B
πρόσθεν τὰ μετὰ ταῦτα πραχθέντα λεχθῆναι δύναται. πρό-
τερον μὲν γὰρ ἔς τε τὴν βουλὴν καὶ ἐς τὸν δῆμον πάντα, εἰ καὶ
πόρρω που συμβαίη, ἐσεφέρετο, καὶ διὰ τοῦτο πάντες τε αὐτὰ
ἐμάνθανον, καὶ πολλοὶ συνέγραφον· ἔν τε τοῖς ὑπομνήμασι
τοῖς δημοσίοις ἡ ἀλήθεια εὑρίσκετο. ἐκ δὲ δὴ τοῦ χρόνου ἐκεί-
νου τὰ μὲν πλείω κρύφα καὶ δι' ἀπορρήτου γίγνεσθαι ἤρξα-
το· εἰ δέ που τινὰ καὶ δημοσιευθείη, ἀλλὰ ἀνεξέλεγκτά γε ὄντα
ἀπιστεῖται. καὶ γὰρ λέγεσθαι καὶ πράττεσθαι πάντα πρὸς τὰ τῶν
ἀεὶ κρατούντων τῶν τε παραδυναστευόντων σφίσι βουλήματα C
ὑποπτεύεται· καὶ κατὰ τοῦτο πολλὰ μὲν οὐ γιγνόμενα θρυλλεῖται,
πολλὰ δὲ καὶ πάνυ συμβαίνοντα ἀγνοεῖται· πάντα δέ, ὡς εἰπεῖν,
ἄλλως πως ἢ ὡς πράττεται διαθροεῖται. καὶ μέντοι καὶ τὸ τῆς
ἀρχῆς μέγεθος, τό, τε τῶν πραγμάτων πλῆθος δυσχερεστάτην
αὐτοῖς παρέχεται τὴν ἀκρίβειαν. ἔν τε γὰρ τῇ Ῥώμῃ συχνά, καὶ
ἔξω ταύτης παρὰ τῷ ὑπηκόῳ, ὡς εἰπεῖν, καθ' ἡμέραν γίγνεταί
τινα, περὶ ὧν τὸ μὲν σαφὲς οὐδεὶς ῥᾳδίως, ἔξω τῶν πραττόν-
των αὐτά, γιγνώσκει, πλεῖστοι δ' ὅσοι οὐδ' ἀκούουσι τὴν ἀρχὴν
ὅ,τι γέγονεν. ὅθεν περ καὶ ἐγὼ πάντα τὰ ἑξῆς, εἴτ' ὄντως οὕτως
εἴτε καὶ ἑτέρως ἔχει, φράσω. προσέσται μέντοι τι αὐτοῖς καὶ τῆς ἐ-
μῆς δοξασίας ὅσον ἐνδέχεται, ἐν οἷς ἄλλο τι μᾶλλον ἢ τὸ θρυλ- D
λούμενον ἠδυνήθην ἐκ πολλῶν ὧν ἀνέγνων, ἢ καὶ ἤκουσα, ἢ καὶ εἶ-
δον, τεκμήρασθαι. Αὔγουστος μὲν δὴ ὁ Καῖσαρ, ὥσπερ εἶπον, ἐ-
πωνομάσθη, καὶ αὐτῷ σημεῖον οὐ μικρὸν εὐθὺς τότε τῆς νυκτὸς
ἐπεγένετο. ὁ γὰρ Τίβερις πλαγίσας καὶ πᾶσαν τὴν ἐν τοῖς πεδίοις
Ῥώμην κατέλαβεν, ὥστε πλεῖσθαι. καὶ ἀπ' αὐτοῦ οἱ μάντεις, ὅτι τε
ἐπὶ μέγα αὐξήσοι, καὶ ὅτι πᾶσαν τὴν πόλιν ὑποχειρίαν ἕξει, προέ-
γνωσαν. Αὔγουστος δὲ τά τε ἄλλα τὰ τῇ ἀρχῇ δὴ προσήκοντα 62
προθυμότερον ἔπραττεν, ὡς καὶ ἐθελοντὶ δὴ παρὰ πάντων A
αὐτὴν εἰληφώς, καὶ ἐνομοθέτει πολλά, οὐκ ἰδιογνωμονῶν ἐν τού-
τῳ τῷ μέρει, ἀλλ' ἔστι μὲν ἃ καὶ εἰς τὸ δημόσιον προτιθείς,

καὶ παρρησίαν νέμων πολλὴν τοῖς διορθοῦν δυναμένοις· τὰ πολ-
λὰ δὲ μετὰ τῶν ὑπάτων ἢ μετὰ τῶν ἀρίστων ἐπισκοπούμενος. καὶ γὰρ καὶ
πεντεκαίδεκα τῶν βουλευτῶν τοὺς κλήρῳ λαχόντας συμβού-
λους ἐς ἑξάμηνον παρελάμβανε· καὶ ἔστιν ὅτε καὶ ἐδίκαζε μετ'
αὐτῶν. ἔκρινε μὲν γὰρ καὶ καθ' ἑαυτὴν ἡ βουλὴ, ὡς καὶ πρό-
τερον, καί τισι καὶ πρεσβείαις καὶ κηρυκείαις καὶ δήμων καὶ βα-
B σιλέων ἐχρημάτιζεν· ὅ,τε δῆμος ἐς τὰς ἀρχαιρεσίας καὶ τὸ πλῆ-
θος αὖ συνελέγετο· οὐ μέντοι καὶ ἐπράττετό τι, ὃ μὴ ἐκεῖνον ἤρε-
σκε. τοὺς γοῦν ἄρξοντας, τοὺς μὲν αὐτὸς ἐκλεγόμενος προεβάλ-
λετο, τοὺς δὲ καὶ ἐπὶ τῷ δήμῳ τῷ τε ὁμίλῳ κατὰ τὸ ἀρχαῖον ποι-
ούμενος, ἐπεμελεῖτο ὅπως μήτ' ἀνεπιτήδειοι, μήτ' ἐκ παρα-
κελεύσεως ἢ καὶ δεκασμοῦ ἀποδεικνύωνται. τὸ μὲν οὖν σύμπαν
οὕτω τὴν ἀρχὴν διῴκισε. λέξω δὲ καὶ καθ' ἕκαστον ὅσα ἀναγκαῖον
ἐστὶ καὶ νῦν μάλιστα, διὰ τὸ πάμπολυ ἀπηρτῆσθαι τῶν καιρῶν
ἐκείνων τὸν καθ' ἡμᾶς βίον καὶ τὸ πολίτευμα, μνημονεύεσθαι. λέ-
C γω γὰρ τοῦτο, οὐκέτι ὡς ὁ Δίων ὁ Προυσαεὺς ὁ ἐπὶ τοῦ Σευήρου καὶ
Ἀλεξάνδρου τῶν αὐτοκρατόρων γενόμενος, ἀλλ' ὡς Ἰωάννης
ὁ Ξιφιλῖνος ἀδελφόπαις ὢν Ἰωάννου τοῦ πατριάρχου, ἐπὶ
δὲ Μιχαὴλ αὐτοκράτορος τοῦ Δούκα, τὴν ἐπιτομὴν ταύτην
τῶν πολλῶν βιβλίων τοῦ Δίωνος συντιθέμενος. ὁ μὲν οὖν Αὔ-
γουστος εὐδοκίμει μὲν ἐπὶ τοῖς παρ' αὐτοῦ διοικουμένοις καὶ νο-
μοθετουμένοις· ὁ δὲ δὴ Γάλλος Κορνήλιος ὁ τὴν Αἴγυπτον ἐπι-
τετραμμένος, καὶ ἐξύβρισεν ὑπὸ τῆς τιμῆς, καὶ πολλὰ μὲν
καὶ μάταια ἐς τὸν Αὔγουστον ἀπελήρει, πολλὰ δὲ καὶ ὑπαίτια
παρέπραττεν. εἰκόνας τε γὰρ ἑαυτοῦ παρ' ὅλην, ὡς εἰπεῖν, τὴν Αἴγυ-
D πτον ἔστησε, καὶ τὰ ἔργα ὅσα ἐπεποιήκει, ἐς τὰς πυραμίδας ἐσέ-
γραψεν. τούτου μὲν οὖν ὑπό τινος τῶν φίλων αὐτοῦ Λάργου κατη-
γορηθεὶς, ἠτιμώθη τε, καὶ τὴν οὐσίαν ἀπέβαλε. καὶ ταύτην ὁ
μὲν Καῖσαρ ἔλαβε κατὰ τὸ ψήφισμα τῆς βουλῆς, Γάλλος δὲ ἑαυ-
τὸν διεχρήσατο. καὶ πρὸς τὸν Λάργον οἱ πολλοὶ ἀπέκλιναν, αὐ-
ξανόμενον βλέποντες, οὐ μέντοι καὶ οἱ ἄριστοι τῶν Ῥωμαίων.

Προκούλειος μὲν γὰρ ἀπαντήσας αὐτῷ, τήν τε ῥῖνα καὶ τὸ στόμα
τὸ ἑαυτοῦ τῇ χειρὶ ἐπέσχεν, ἐνδεικνύμενος τοῖς συνοῦσιν ὅτι μηδ' 63
ἀναπνεῦσαί τινι παρόντος αὐτοῦ ἀσφάλεια εἴη. ἄλλος δέ τις A
προσῆλθέ τε αὐτῷ, καίπερ ἀγνὼς ὤν, μετὰ μαρτύρων, καὶ ἐπή-
ρετο εἰ γνωρίζοι ἑαυτόν. ἐπειδὴ δὲ ἐξηρνήσατο, ἐς γραμματεῖον
τὴν ἐξάρνησιν αὐτοῦ ἐσέγραψεν, ὥσπερ οὐκ ἐξὸν τῷ κακῷ καὶ
ὃν οὐκ ᾔδει πρότερον συκοφαντῆσαι. Αὔγουστος δὲ καὶ Ἄσυρας
καὶ Καντάβρους Κελτικὰ ἔθνη, διά τε Τερεντίου Οὐάρρωνος
καὶ Τίτου Καρισίου ἐνίκησε, καὶ πολλὰ τούτων πολίσματα παρεστή-
σατο. καὶ τὸ τοῦ Ἰανοῦ τεμένισμα ἀνοιχθὲν δι' αὐτοὺς ἔκλεισεν,
ὡς εἰρήνης οὔσης παντελοῦς τοῖς Ῥωμαίοις. ἐπειδή τε ἡ οἰκία B
ἡ πρότερον μὲν τοῦ Ἀντωνίου γενομένη, ὕστερον δὲ τῷ τε Ἀγρίπ-
πᾳ καὶ τῷ Μεσσάλᾳ δοθεῖσα κατεφλέχθη, τῷ μὲν Μεσσάλᾳ
ἄλλην ἐχαρίσατο, τὸν δὲ Ἀγρίππαν σύνοικον ἐποιήσατο. Πού-
πλιος δέ τις Σερουίλιος ἐν τούτῳ τῷ χρόνῳ ὄνομα ἔλαβεν, ὅτι
στρατηγῶν ἄρκτους τε τριακοσίους καὶ Λιβυκὰ ἕτερα θηρία
ἴσα ἐν πανηγύρει τινὶ ἀπέκτεινε. τὸν δὲ Καίσαρα ἡ βουλὴ ὑ-
μνοῦντα αὐτήν, καὶ ἀνακοινούμενον οὐκ ὀλίγα τῆς διοικήσεως,
αὐτὴ θεραπεύουσα πάσης τῆς τῶν νόμων ἀνάγκης ἀπήλλαξεν,
ὑπὸ δόγματι, ἵν' ὡς αὐτοκράτωρ τῶν νόμων αὐτῶν, πάντα ὅσα C
βούλοιτο ποιοίη, καὶ μὴ ποιοίη ὅσα μὴ βούλοιτο. ἐν ᾧ δὲ ταῦτα
ἐγίγνετο, καὶ ἄλλη τις στρατεία καινὴ ἀρχήν τε ἅμα καὶ τέλος
ἔσχεν. ἐπὶ γὰρ Ἀραβίαν τὴν εὐδαίμονα καλουμένην, ἧς Σα-
βῶς ἐβασίλευεν, Λάργος ὁ τῆς Αἰγύπτου ἄρχων ἐπεστράτευσε,
καὶ ἐς μὲν ὄψιν οὐδεὶς αὐτῷ τήν γε πρὸς πόλεμον τῆς χώρας ἐ-
κείνης προσεχώρει. ἡ δέ γε ἐρημία καὶ ὁ ἥλιος, τά τε ὕδατα φύ-
σιν τινὰ ἄτοπον ἔχοντα πάνυ αὐτὸν ἐταλαιπώρησεν, ὥστε καὶ τὸ
πλεῖον τοῦ στρατοῦ φθαρῆναι. τὸ δὲ δὴ νόσημα οὐδενὶ τοῖς συνήθεσι νόσοις
ὅμοιον ἐγίγνετο, ἀλλ' ἐς τὴν κεφαλὴν ἐνσκῆψαν ἐξήραινεν αὐτήν,
καὶ τοὺς νοσοῦντας αὐτίκα ἀπώλλυε. τῶν δὲ περιγιγνομένων ἐς D
τε τὰ σκέλη κατῄει, πᾶν ἕτερον μέρος τοῦ σώματος ὑπερβάν,

καὶ ἐκεῖνά τι ἐλυμαίνετο, ἵαμά τι αὐτοῦ οὐδὲν ἦν ἕτερον ἢ ἔ-
λαιον οἴνῳ μεμιγμένον, ὅ τε καὶ ἠλείψαντο· ὅσον που πάνυ ὀ-
λίγοις σφῶν προσῆν. οὔτε γὰρ ἡ χώρα οὐδέτερον αὐτῶν φέρει,
οὔτε ἐκεῖνοι ἄφθονα αὐτὰ ἐπεφέροντο. κἀν τῷ πόνῳ τούτῳ καὶ οἱ
βάρβαροι σφίσι προσεπέθεντο. τέως γοῦν ἐλάττους, ὁπότε γε
64 καὶ προσμίξειαν αὐτοῖς, ἐγίνοντο, καί τινα καὶ χωρία ἀπέβα-
A λον· ἐπεὶ δὲ συμμάχῳ τῇ νόσῳ αὐτῶν χρησάμενοι, τά τε σφέ-
τερα ἐκομίσαντο, καὶ ἐκείνων τοὺς περιλειφθέντας ἐξήλασαν
ἐκ τῆς χώρας· πρῶτοι μὲν δὴ Ῥωμαίων οὗτοι, νομίζω δ' ὅτι καὶ
μόνοι, τοσοῦτον ἐπὶ πολέμῳ τῆς Ἀραβίας ταύτης ἐπῆλθον,
μέχρι γὰρ τῶν Επιβούλαν καλουμένων, χωρίου τινὸς ἐπιφανοῦς,
ἐχώρησαν, ὁ δ' Αὔγουστος ἐνόσησε μὲν ἐπισφαλῶς πολλάκις
καὶ πρότερον, τότε δὲ ἑνδέκατον μετὰ Καλπουρνίου Πείσωνος
ὑπατεύσας, ἠῤῥώστησεν αὖθις, ὥστε μηδεμίαν ἐλπίδα σωτηρίας
B σχεῖν. πάντα γοῦν ὡς καὶ τελευτήσων διέθετο, καὶ τάς τε ἀρχὰς
καὶ τοὺς πρώτους ἄνδρας ἀθροίσας, διάδοχον μὲν οὐδένα ἀπέ-
δειξε, καίτοι τὸν Μάρκελλον πάντων προκριθήσεσθαι ἐς τοῦτο
προσδοκώντων· διαλεχθεὶς δέ τινα αὐτοῖς περὶ τῶν δημοσίων
πραγμάτων, τῷ μὲν Πείσωνι τῷ ὑπάτῳ τάς τε δυνάμεις καὶ
τὰς προσόδους τὰς κοινὰς ἐς βιβλίον ἐγγράψας, ἔδωκε· τῷ δ'
Ἀγρίππᾳ τὸν δακτύλιον ἐνεχείρισε. καὶ αὐτὸν μηδὲν μηδὲ τῶν
πάνυ ἀναγκαίων ποιεῖν δυνάμενον, Ἀντώνιός τις Μούσας καὶ ψυ-
C χροποσίαις καὶ ψυχρολουσίαις ἀνέσωσε. καὶ χρήματα διὰ τοῦτο, καὶ δα-
κτύλιον χρυσοῦν (ἦν γὰρ ἀπελεύθερος) οὐχ ἑαυτῷ μόνον, ἀλλὰ
καὶ τοῖς ὁμοτέχνοις, οὐχ ὅτι τοῖς τότε οὖσιν, ἀλλὰ καὶ τοῖς ἐσομένοις,
ἔλαβεν. ἀλλ' ἔδει γὰρ αὐτὸν τὰ τῆς τύχης ἔργα (ὡς δ' ἐγώ φημι,
τὰ τοῦ θεοῦ) προσποιούμενον, παρὰ πόδας ἁλῶναι. ὁ γὰρ Μάρ-
κελλος νοσήσας οὐ πολλῷ ὕστερον, καὶ τὸν αὐτὸν ἐκεῖνον ὑπ' αὐ-
τοῦ τοῦ Μούσα τρόπον θεραπευόμενος, ἀπέθανε. τότε μέντοι
πάντες ἐθαύμαζον ὅτι τὸν Μάρκελλον (ἦν δὲ Μαρκέλλου τοῦ
τῷ Ἀννίβᾳ προσπολεμήσαντος ἔγγονος) καὶ ὡς γαμβρὸν

καὶ ὡς ἀδελφιδοῦν ἀγαπῶν, καὶ ὅτι τιμὴν ὥστε καὶ ἀγορα- D
νομοῦντος αὐτοῦ τὴν ἀγορὰν ἐν παντὶ τῷ θέρει παραπετάσμα-
σι κατὰ κορυφὴν διαλαβεῖν, ὅμως τὴν μοναρχίαν οὐκ ἐπίστευ-
σεν. οὕτως, ὡς ἔοικεν, οὐδέπω τῇ τοῦ μειρακίου γνώμῃ ἐθάῤῥει,
ἀλλ' ἤτοι τὸν δῆμον τὴν ἐλευθερίαν κομίσασθαι, ἢ καὶ τὸν Α-
γρίππαν τὴν ἡγεμονίαν παρ' ἐκείνου λαβεῖν ἠθέλησεν· ἤδει γὰρ
προσφιλῆ αὐτὸν ὄντα τῷ δήμῳ. ῥαΐσας δ' οὖν, καὶ μαθὼν τὸν
Μάρκελλον οὐκ ἐπιτηδείως τῷ Ἀγρίππᾳ διὰ τοῦτ' ἔχοντα,
ἐς τὴν Συρίαν εὐθὺς τὸν Ἀγρίππαν, μὴ καὶ διατριβή τις καὶ 65
ἀψιμαχία ἐν τῷ αὐτῷ οὖσι συμβῇ, ἔστειλε. καὶ ὃς μὲν ἐκ τῆς πό- A
λεως εὐθὺς ἐξώρμησεν, οὐ μέντοι καὶ ἐς τὴν Συρίαν ἀφίκε-
το, ἀλλ' ἔτι καὶ μᾶλλον μετριάζων, ἐκεῖσε μὲν τοὺς ὑποστρατή-
γους ἔπεμψεν, αὐτὸς δ' ἐν τῇ Λέσβῳ διέτριψε. καὶ τοῦτο μὲν οὖν Καί-
σαρος ἐπαινούμενον, ὅτι Λούκιον Σήστιον, οὐ μόνον σπουδάσαντα
πάλαι τῷ Βρούτῳ καὶ συστρατεύσαντα, ἀλλ' ἔτι καὶ τότε καὶ μνη-
μονεύοντα αὐτοῦ, καὶ εἰκόνας ἔχοντα, καὶ ἐπαίνους ποιούμενον, ὕπα-
τον ἀνθ' ἑαυτοῦ προείλετο. δικτάτωρα δὲ αὐτὸν τοῦ δήμου αἱ-
ρουμένου, καὶ, ὡς οὐκ ἐπείθετο, ἀναγκάζοντος, καὶ τὰς εἰκοσιτέσ- B
σαρας ῥάβδους προσφέροντος, διέῤῥηξε τὴν ἐσθῆτα, ὀρθῶς
τε, τὸ ἐπίφθονον καὶ τὸ μισητὸν τῆς κλήσεως φυλαττόμενος. τὴν
γὰρ ἐξουσίαν καὶ τὴν τιμὴν ὑπὲρ τοὺς δικτάτωρας εἶχε. Μάρ-
κου δέ τινος Πρίμου, ὅτι τῆς Μακεδονίας ἄρχων Ὀδρύσαις ἐπο-
λέμησε, καὶ λέγοντος ἐν τῷ δικαστηρίῳ ποτὲ μὲν τῇ τοῦ Αὐγού-
στου, ποτὲ δὲ τῇ τοῦ Μαρκέλλου γνώμῃ τοῦτο πεποιηκέναι, ἐς τὸ δι-
καστήριον αὐτεπάγγελτος ἦλθε, καὶ ἐπερωτηθεὶς ὑπὸ τοῦ στρατη-
γοῦ εἰ προστάξειε τῷ Πρίμῳ πολεμῆσαι, ἔξαρνος ἐγένετο. τοῦ
δὲ συναγορεύοντος τῷ Πρίμῳ, Λικινίου Μουρήνου, ἄλλα τε εἰς
αὐτὸν ἐπιτήδεια ἀποῤῥίψαντος, καὶ πυθομένου, τί δὴ ἐνταῦθα
ποιεῖς, καὶ τίς σε ἐκάλεσε; τοσοῦτον μόνον ἀπεκρίνατο, ὅτι τὸ δη- C
μόσιον. ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν οἱ Αἰθίοπες οἱ ὑπὲρ Αἰγύπτου
οἰκοῦντες, προεχώρησαν ἄχρι τῆς χώρας τῆς Ἐλεφαντίνης

ὠνομασμένης, πάντα τὰ ἐν ποσὶ πολιορκοῦντες, συμπαρούσης αὐτοῖς καὶ τῆς βασιλίσσης αὐτῶν Κανδάκης. Γαΐου δὲ Πετρωνίου τοῦ τῆς Αἰγύπτου ἄρχοντος ἐπ' αὐτοὺς ἐξορμήσαντος, ὥρμησαν μὲν ὡς καὶ διαφευξόμενοι· καταληφθέντες δὲ ἐν τῇ ὁδοι-
D πορίᾳ, ἐς τὴν οἰκείαν αὐτὸν ἐπεσπάσαντο, καὶ καλῶς ἐκεῖ ἀγωνισάμενος, τήν τε Τανάπην τὸ βασίλειον αὐτῶν ἔλαβε. καὶ ἐκείνη μὲν κατασχεθεῖσα ἐν φρουρᾷ κατελείφθη. ὁ γὰρ Πετρώνιος μήτε περαιτέρω βουληθεὶς προελθεῖν, μήτε κατὰ χώραν μεῖναι δυνηθεὶς, ἀνεχώρησε. κἀν τούτῳ τῶν Αἰθιόπων τοῖς καταλειφθεῖσιν ἐπιθεμένων, αὖθίς τε ἐπ' αὐτοὺς ἐστράτευσε, καὶ τοὺς σφετέρους ἐρύσατο, αὐτούς τε τὴν οἰκείαν καταλαβεῖν ἠνάγκασε. τοῦ δὲ Καίσαρος ἐς Σικελίαν ἐκδημήσαντος, ὅπως ἐκείνην τε καὶ τὰ ἐν αὐτῇ πάντα καταστήσηται, ἐστασίασεν ὁ δῆμος περὶ
66 τὰς τῶν ὑπάτων ἀρχαιρεσίας, ὅτι ἀδύνατον ἦν δημοκρατου-
A μένους σωθῆναι, μικροῦ γοῦν τινος κυριεῦσαι καιροῦ. ἀγανακτήσας οὖν ἐπὶ τούτῳ ὁ Αὔγουστος, καὶ μήτε μόνῃ τῇ Ῥώμῃ σχολάζειν δυνάμενος, μήτε ἄναρχον αὐτὴν καταλιπεῖν τολμῶν, μετεπέμψατο τὸν Ἀγρίππαν, καὶ τὴν Ἰουλίαν αὐτῷ τὴν ἀνδρὸς χηρεύουσαν δοὺς, ἀπέστειλεν αὐτὸν εἰς τὴν Ῥώμην, Μαικήνου, ὡς λέγεται, συμβουλευσαμένου, ὅτι τηλικοῦτον αὐτὸν πεποίηκας ὥστε ἢ γαμβρόν σου γενέσθαι, ἢ φονευθῆναι. περαιωθεὶς δὲ εἰς Ἑλλάδα, τοὺς μὲν Λακεδαιμονίους ἐτίμησε διὰ τὸ
B φεύγουσαν ποτὲ μετὰ τοῦ Νέρωνος τοῦ ἀνδρὸς τὴν Λιβίαν ἐκεῖ διατρίψαι· τοὺς δὲ Ἀθηναίους ἐκάκωσεν, Αἴγιναν ἀφελόμενος· Κοικηνοὺς δὲ καὶ ἄλλας πόλεις, ὅτι περί τινας τῶν Ῥωμαίων πλημμελῆσαί τι ἔδοξαν, ἐδουλώσατο. ἐν τούτῳ ὁ Φραάτης, φοβηθεὶς μὴ καὶ ἐπιστρατεύσῃ οἱ, τά τε σημεῖα τοῦ Κράσσου, καὶ τοὺς αἰχμαλώτους ἀπέπεμψεν αὐτῷ· καὶ ἐπὶ τούτοις ὁ Καῖσαρ ἐγαυροῦτο, ὡς ἀκονιτὶ λαβὼν ἃ πολέμοις ἄλλοι ἀπέβαλ-
C λον. ἀμέλει καὶ θυσίας ἐπ' αὐτοῖς ἐπετέλεσε· καὶ προσέτι καὶ ἐπὶ κέλητος ἐς τὴν πόλιν ἐσήλασεν. ἐπῃνεῖτο δὲ καὶ ἐφ' οἷς ἐκ

ἠξίου ἕτερόν τι προσκτήσασθαι, ἀλλ' ἀκριβῶς ἀρκεῖσθαι τοῖς ὑ-
πάρχουσιν ἐδικαίου. ὅτι δὲ αὐτῷ κατὰ τὴν Ἀσίαν, καὶ βασι-
λείας καὶ δυναστείας τὰς μέν τι βεβαιοῦντι, τὰς δὲ εἰς ἑτέρους
μετατιθέντι, τοὺς δέ τινας τῶν βασιλέων καὶ δικαιοῦντι, τοὺς δὲ
ἐπαινοῦντι καὶ φίλους ποιουμένῳ, πάμπολλαι πρεσβεῖαι πρὸς
αὐτὸν ἀφίκοντο. καὶ γὰρ καὶ Ἰνδοὶ προκηρυκευσάμενοι πρότερον,
φιλίαν τότε ἐσπείσαντο, δῶρα πέμψαντες ἄλλα τε, καὶ τίγρεις D
πρῶτον τότε Ῥωμαίοις ὀφθείσας. καί τι καὶ μειράκιον ἄνευ
ὤμων αὐτῷ ἐδωρήσαντο· καὶ μέντοι καὶ τοιοῦτον ὂν ἐκεῖνο, ἐς
πάντα τοῖς ποσὶν ἅτε καὶ χερσὶν ἐχρῆτο, τόξον τε αὐτοῖς ἐπέτει-
νε καὶ βέλη ἠφίει, καὶ ἐσάλπιζεν οὐκ οἶδ' ὅπως· γράφω γὰρ τὰ λε-
γόμενα. τότε καὶ ὁ σοφιστὴς Ζάρμαρος ὁ Ἰνδὸς, εἴτε ὑπὸ φιλοτι-
μίας, εἴτε ὑπὸ τοῦ γήρως, κατὰ τὸν πάτριον νόμον, πυρὶ ἑαυτὸν
ζῶντα ἐξέδωκεν. ἐπεὶ δὲ ἐπανιόντι εἰς τὴν Ῥώμην οἱ ἄλλοι
προαπαντῆσαι παρεσκευάζοντο, νύκτωρ ἐς τὴν πόλιν ἐσεκο- 67
μίσθη, καθὼς ἀεὶ ἔν τε ταῖς ἐκδημίαις καὶ ταῖς εἰσόδοις ἐποίει, A
λανθάνειν ἐν ἀμφοτέροις σπεύδων, ἵνα μηδενὶ ὀχληρὸς εἴη. τὴν
δὲ βουλὴν αὖθις εἰς βραχύτερον συστέλλων τι καὶ ὁρίζων, καὶ
τοὺς πολλοὺς ἐκ τούτου λυπῶν, καὶ ἐπεβουλεύετο παρὰ πολλῶν, καὶ
πολλοὺς ἠνάγκαζεν ἑαυτοὺς διαχειρίσασθαι· καὶ Μουρήνας ὁ παρ-
ρησιασάμενός ποτε πρὸς αὐτόν. ἄλλους μὲν οὖν τινὰς ἐδίκασε,
καὶ τὸν Λεπίδου υἱόν· αὐτὸν δὲ τὸν Λέπιδον προεπηλάκισε μὲν, B
ἔς τε τὴν πόλιν καὶ ἄκοντα ἐκ τῶν ἀγρῶν κατιέναι κελεύων, καὶ
ἐς τὰς συνόδους ἀεὶ ἐσάγων, ὅπως ὅτι πλείστην καὶ χλευασίαν
καὶ ὕβριν πρός τε τὴν τῆς ἰσχύος καὶ πρὸς τὴν τῆς ἀξιώσεως
μεταβολὴν ὀφλισκάνῃ. οὐ μὴν ἀπέκτεινεν, ἀλλὰ καὶ ἀρχιερέα
ὄντα, τὴν ἀρχιερωσύνην, ἕως περιῆν, οὐκ ἀφείλετο. λόγων δέ
ποτε ἐν βουλῇ γιγνομένων ὡς χρεὼν εἴη τὸν Αὔγουστον ἐκ διαδο-
χῆς σφᾶς φρουρεῖν, Ἀντίστιος μήτε ἀντειπεῖν τολμῶν, μήτε συγ-
καταθέσθαι ὑπομένων (ἦν γὰρ τῶν γυναικοτέρων) ἔφη, Ὑπέρεχω C
καὶ οὐ δύναμαι αὐτῷ προσκοιτῆσαι· ἀλλ' ὅμως τοῦτον καὶ ἐν ἄλλοις

εὖ κεχαρισμένα αὐτῷ πράξαντα ὁ Καῖσαρ οὐ μετῆλθε. περὶ
δὲ ἀκοσμίας γυναικῶν καὶ σωφροσύνης ἀνδρῶν παραινεῖν
ἐπιχειρῶν, ἐχλευάζετο, μὴ ἔχων περὶ τούτων ἀφ' ἑστίας τινὰ
παρρησίαν, ἅτε πολλαῖς μὲν αὐτὸς συγγινόμενος, τῇ δὲ Λιβίᾳ,
ὥς φασιν, ὑποκείμενος· καὶ αὐτὴν δὲ ταύτην ζῶντος τοῦ ἀν-
δρὸς αὐτῆς γήμας. καί ποτε προσήγαγέ τις αὐτῷ νεανίσκον γυ-
ναῖκα ἐκ μοιχείας γεγαμηκότα, καὶ ὁ μὲν κατηγόρει τοῦ νεανί-
D σκου, ὁ δὲ Καῖσαρ διηπορήθη, μήτε παριδεῖν τὸ πρᾶγμα, μή-
τ' ἐπιτιμῆσαι τολμήσας. ὀψὲ δέ ποτ' ἀνενεγκὼν, Πολλὰ, ἔφη, καὶ
δεινὰ αἱ στάσεις ἡμῖν ἤνεγκαν, ὥστε ἐκείνων μὲν ἀμνημονῶμεν, τοῦ δὲ
λοιποῦ προνοῶμεν ὅπως μηδὲν τοιοῦτο γίγνηται. Πυλάδου δὲ
καὶ Βαθύλλου τῶν ὀρχηστῶν ἀνθούντων ποτὲ, καὶ τοῦ δήμου περὶ αὐ-
τοὺς στασιάσαντος, ὁ Καῖσαρ ἐπειδὴ ὠργίζετο τῷ Πυλάδῃ, εἰ-
πεῖν ἐκεῖνος λέγεται, Ἀλλὰ συμφέρει σοι, Καῖσαρ, περὶ ἡμᾶς τὸν
68 δῆμον ἀποδιατρίβεσθαι. τῷ δὲ Μαικήνᾳ διὰ τὴν γυναῖκα οὐκ
A ἔτι ὁμοίως ἔχαιρεν· οὕτω γὰρ πάνυ αὐτῆς ἤρα (ὠνομάζετο δὲ
Τερεντία) ὥστε καὶ ἀγωνίσασθαί ποτε αὐτὴν περὶ τοῦ κάλλους
πρὸς τὴν Λιβίαν. κατὰ δὲ τὸν καιρὸν τοῦτον κῆτός τι πλάτος μὲν
ποδῶν εἴκοσι, μήκους δὲ τετραπλάσιον ἔχον, καὶ γυναικὶ πλὴν τῆς
κεφαλῆς ἐοικὸς, ἐς τὴν Κελτικὴν γῆν ἐκ τοῦ ὠκεανοῦ ἐξώκει-
λε. Λικίνιος δέ τις Ἰουλίου Καίσαρος ἐξελεύθερος, ἐπίτροπος
τῆς Γαλατίας ὑπὸ τοῦ Αὐγούστου κατασταθεὶς, καὶ πλεονεξίᾳ μὲν
βαρβαρικῇ, ἀξιώσει δὲ Ῥωμαϊκῇ χρώμενος, πλεῖστα τοὺς Γαλά-
B τας κατελυμήνατο. καὶ ἐς τοσοῦτόν γε κακοτεχνίας ἐχώρησεν,
ὥστε ἐπειδή τινες εἰσφοραὶ παρ' αὐτοῖς ἐγίνοντο, τεσσαρεσκαί-
δεκα τοὺς μῆνας ποιῆσαι· τῶν δὲ Γαλατῶν καταβοώντων αὐτοῦ
πρὸς τὸν Καίσαρα, καὶ δεινὰ ποιουμένων, ὥστε καὶ ἐκεῖνον τὰ
μὲν συνάχθεσθαί σφισι, τὰ δὲ καὶ παραιτεῖσθαι, ἀγνοεῖν τε ἔνια
λέγειν, καὶ προσποιεῖσθαι ἔπειτα μὴ πιστεύειν, καὶ ἔστιν ἃ συγκρύ-
πτειν, αἰσχυνόμενοι ὅτι τοιούτῳ ἐπιτρόπῳ ἐκέχρητο· τοιόνδε τι τε-
χνασάμενος ὁ Λικίνιος, πάντων αὐτῶν κατεγέλασεν. ἐπειδὴ γὰρ

χαλεπῶς οἱ τὸν Αὔγουστον ἔχοντα ᾔσθετο, καὶ κολασθήσεσθαι ἔ- C
μελλεν, ἐς τὴν οἰκίαν αὐτὸν ἐσήγαγε, καὶ πολλοὺς μὲν καὶ ἀργυροῦς
καὶ χρυσοῦς θησαυρούς, πολλὰ δὲ καὶ τἆλλα σωρηδὸν συννενημέ-
να αὐτῷ δείξας, Ω δέσποτα, ἔφη, ὑπὲρ σοῦ καὶ ὑπὲρ τῶν ἄλ-
λων Ρωμαίων ταῦτα ἤθροισα, ἵνα μὴ τοσούτων χρημάτων ἐγ-
κρατεῖς οἱ ἐπιχώριοι ὄντες ἀποστῶσιν· ἀμέλει καὶ ἐτήρησά σοι
πάντα αὐτὰ καὶ δίδωμι. καὶ ὁ μὲν οὕτως, ὡς καὶ ὑπὲρ τοῦ Αὐ-
γούστου τὴν τῶν βαρβάρων ἰσχὺν ἐκνενευρικὼς, ἐσώθη. τὸν δὲ
δὴ Τιβέριον καὶ τὸν Δροῦσον τῆς γυναικὸς αὐτοῦ παῖδας ὁ
Καῖσαρ ἐπὶ τοὺς πολεμίους ἔπεμπε· καὶ κατεστρέφοντο οὗτοι τούς D
τε παρορίους αὐτῷ βαρβάρους, καὶ τοὺς παρωκεανίους Κελ-
τούς. ἀλλ᾽ ὁ μὲν Δροῦσος νέος κομιδῆ μετήλλαξε· Τιβέριος δὲ
καὶ ἐβίω χρόνον πολὺν, καὶ τὸ τοῦ Αὐγούστου διεδέξατο κράτος.
καί τοιγε τοῦ Καίσαρος Γάϊόν τε καὶ Λούκιον τοὺς ἐκ τῆς θυγα-
τρὸς αὐτοῦ Ἰουλίας τῷ Ἀγρίππᾳ τεχθέντας, καὶ ποιησαμένου
καὶ αὐτοκράτορας ἀναδείξαντος, ἵνα ἧττον ἐπιβουλεύοιτο
μηδὲ ἀναμείνας σφᾶς ἀνδρωθῆναι, ἀλλ᾽ αὐτόθεν διαδόχους
τῆς ἀρχῆς ἀποδείξας. βραχὺ γάρ τι καὶ σμικρὸν τὸν θώρακα
ὂν ὑπὸ τῇ στολῇ πολλάκις καὶ ἐς αὐτὸ τὸ συνέδριον ἐσιὼν εἶχεν,
ἐπικουρήσειν ἑαυτῷ νομίζων, καί τοι γε οἱ Ρωμαῖοι ἀργύριον, οἱ 69
μὲν πλεῖον, οἱ δὲ ἔλαττον, αὐτῷ ἐκείνῳ προσιόντες ὑπὸ ἀνοίας A
ἐν τῇ πρώτῃ τοῦ ἔτους ἡμέρᾳ ἐδίδοσαν. τὸ ὅσον προσθεὶς αὖ, ἤ τι
τοσοῦτον, ἢ καὶ πλέον ἀντεδίδου οὐχ ὅπως τοῖς βουλευταῖς,
ἀλλὰ καὶ τοῖς ἄλλοις. ἦν δὲ καὶ περὶ τοὺς φίλους οὕτω θερμὸς,
ὡς καὶ τοῦ Μαικήνου καὶ τοῦ Ἀπουλείου κακῶς ἐν δικαστηρίῳ πο-
τε ἀκουσάντων, ὅτι μοιχῷ τινὶ συνηγόρουν, ἐλθεῖν τε εἰς τὸ δι-
καστήριον, καὶ ἐν τῇ τοῦ στρατηγοῦ καθέδρᾳ ἱζήσας, δεινὸν μὲν οὐ-
δὲν πρᾶξαι, ἀπειπεῖν δὲ τῷ κατηγόρῳ μήτε τοὺς φίλους αὐτοῦ, B
μήτε τοὺς συγγενεῖς αὐτοῦ προπηλακίζειν, εὐθὺς ἀναστῆναι. Κορ-
νηλίου δέ τινος αἰτίαν παρ᾽ αὐτοῦ ἐπὶ τῷ τῆς γυναικὸς βίῳ σχόν-
τος, καὶ ἐν τῷ συνεδρίῳ εἰπόντος ὅτι καὶ εἰδότος καὶ συμβουλεύσαντος

αὐτοῦ ἠγάγετο αὐτὴν, περιοργής τε ἐγένετο, καὶ εἶπε μὲν οὐδὲν,
οὐδὲ ἔπραξε δεινὸν, ἐκπηδήσας δὲ ἐκ τοῦ βουλευτηρίου, ἔπει-
τα μετ᾽ ὀλίγον ἐπανῆλθεν, ἡγούμενος (ὡς πρὸς τοὺς φίλους εἶπε)
τοῦτο μᾶλλον καίπερ οὐκ ὀρθῶς ἔχον ποιῆσαι, ἢ κατὰ χώραν μέ-
νων ἀναγκασθῆναί τι κακὸν δρᾶσαι. μνησθήσομαι δὲ καὶ Οὐη-
C δίου Γωλίωνος ἐν τούτῳ τῷ καιρῷ μεταλλάξαντος, ἄλλως μὲν
οὐδὲν μνήμης ἄξιον πεπραγμένου (καὶ γὰρ ἐξ ἀπελευθέρου ἐ-
γεγόνει) ἐπὶ δὲ δὴ τῷ πλούτῳ τῇ τε ὠμότητι ὀνομαστοτάτου γε-
γενημένου, ὥστε καὶ ἐς ἱστορίας λόγον ἐλθεῖν. τούτου γὰρ τὰ μὲν ἄλ-
λα ὅσα ἔπραττε, δι᾽ ὄχλου ἂν λεγόμενα γένοιτο· μυραίνας δὲ
δεδιδαγμένας ἀνθρώπους ἐσθίειν ἐν δεξαμεναῖς τρέφων, τοὺς
δούλους αὐταῖς οὓς ἐθανάτου παρέβαλλε. καί ποτε τὸν Αὔγου-
στον ἑστιῶν, εἶτ᾽ ἐπειδὴ ὁ οἰνοχόος κύλικα κρυσταλλίνην κατέαξεν,
D ἐς τὰς μυραίνας αὐτὸν ἐμβληθῆναι προσέταξεν. ὁ οὖν Αὔ-
γουστος, προσπεσόντος οἱ τοῦ παιδὸς, καὶ ἱκετεύσαντος αὐτὸν, τὰ
μὲν πρῶτα πείθειν τὸν Πωλίωνα ἐπειρᾶτο μηδὲν τοιοῦτο δρᾶ-
σαι· ὡς δ᾽ οὐχ ὑπήκουσεν αὐτῷ, Φέρε, ἔφη, τἆλλα πάντα ἐκ-
πώματα ὅσα ποτὲ τοιουτότροπα, ἢ καὶ ἕτερά τινα ἔντιμα κέ-
κτησαι, ἵνα αὐτοῖς χρήσωμαι· καὶ αὐτὰ κομισθέντα συντριβῆ-
ναι ἐκέλευσεν. ἰδὼν δὲ τοῦτο ἐκεῖνος, καὶ ὑπὸ τῆς μείζονος κα-
ταπλήξεως τὴν ἐπὶ τῷ ἑνὶ ἐκπώματι ὀργὴν ἐκκρουσθεὶς, ἡσυ-
χίαν καὶ ἄκων ἤγαγε. τελευτήσας δὲ ὁ Πωλίων, τῷ Αὐγούστῳ
70 τήν οἰκίαν, καὶ τὸν Γαυσίλυπον τὸ χωρεῖον τὸ μεταξὺ νέας τῆς πό-
A λεως καὶ τῶν Γουλεόλων, κατέλιπεν. ὁ δὲ Αὔγουστος τὴν οἰκίαν
αὐτοῦ ἐς ἔδαφος, ὅπως μηδὲν μνημόσυνον ἐν τῇ πόλει ἔχῃ,
καταβαλὼν, περίστῳον ᾠκοδομήσατο, καὶ τὸ τῆς Λιβίας αὐτῷ
ἐπέγραψεν ὄνομα. πόλεις μέντοι συχνὰς ὁ Καῖσαρ διά τε παν-
ταχῆ, καὶ κατὰ τὴν Ἰβηρείαν καὶ Γαλατίαν ἀπῴκισεν· ᾠκοδόμησε
δὲ καὶ τῷ Κυρίνῳ ναὸν, ἓξ καὶ ἑβδομήκοντα τοῦτον κίοσι κοσμή-
σας. καὶ ἐπειδὴ καὶ τοσαῦτα ἔτη τὰ πάντα ἐβίωσε, τὸ πρᾶγμα
ἔδοξέ τισιν οὐ κατὰ τύχην αὐτῷ γεγενῆσθαι, ἀλλ᾽ ἐξεπίτηδες καὶ

κατὰ

κατὰ πρόγνωσιν. Δροῦσος δὲ ὁ τοῦ Τιβερίου ἀδελφὸς κατὰ Κελ-
τῶν τῶν ἐπέκεινα τοῦ Ῥήνου οἰκούντων πεμφθεὶς, καὶ τὰ ἐν πο- B
σὶν οὐκ ἀταλαιπώρως χειρούμενος, μέχρι τοῦ Ἄλβιος προεχώρη-
σεν ποταμοῦ· ῥεῖ δὲ οὗτος ἐκ τῶν Οὐανδαλικῶν ὀρῶν, καὶ ἐς
τὸν ὠκεανὸν τὸν προσάρκτιον πολλῷ μεγέθει ἐκδίδωσιν. ἐνταῦ-
θα δὲ γυνή τις αὐτῷ μείζων ἢ κατὰ ἀνθρώπου φύσιν ἀπαντή-
σασά τι καὶ εἰπεῖν λέγεται, Ποῖ δῆτα ἐπείγῃ Δροῦσε ἀκόρεστε; οὐ
πάντα σοι ταῦτα ἰδεῖν πέπρωται. ἀλλ' ἄπιθι· καὶ γάρ σοι καὶ τῶν ἔρ-
γων καὶ τοῦ βίου τελευτὴ ἤδη πάρεστι. καὶ ὁ μὲν ὑποστρέφων ἐκ τοῦδε
σπουδῇ, ἐν τῇ ὁδῷ νόσῳ τινὶ ἐτελεύτησεν. ἡ δὲ δὴ Λιβία εἰκό- C
νων τε ἐπὶ παραμυθίᾳ ἔτυχε, καὶ ἐς τὰς μητέρας τρεῖς τεκού-
σας ἐσεγράφη. δίδωσι γὰρ ὁ νόμος ἐν χάριτος μέρει, πρότερον
μὲν διὰ τῆς βουλῆς, νῦν δὲ διὰ τοῦ αὐτοκράτορος, τὰ τῶν τοσαυ-
τάκις γεγεννηκότων ἐστὶ δικαιώματα, ὥστε σφᾶς μήτε τοῖς τῆς
ἀπαιδίας ἐπιτιμίοις ἐνέχεσθαι, καὶ τὰ τῆς πολυπαιδίας ἆθλα,
πλὴν ὀλίγων τινῶν, καρποῦσθαι. καὶ αὐτὰ οὐκ ἄνθρωποι μόνον
ἀλλὰ καὶ θεοὶ εὑρίσκονται, ἵν' ἄν τις τι αὐτοῖς τελευτῶν κατα-
λίπῃ, λαμβάνωσι. τοῦτο μὲν δὴ τοιοῦτόν ἐστι. Καῖσαρ δὲ τά τε ὀνό- D
ματα συμπάντων τῶν βουλευτῶν ἐς λεύκωμα ἀναγράψας ἐξέ-
θηκε, καὶ ἐξ ἐκείνου καὶ νῦν κατ' ἔτος καὶ τοῦτο ποιεῖται, καὶ τὰ ζη-
μιώματα τοῖς μὴ δι' εὔλογόν τινα αἰτίαν τῆς συνεδρίας ἀπολει-
πομένοις ἐπηύξησεν· ἐπειδὴ τὰ πολλὰ τῶν τοιούτων ὑπὸ τοῦ πλή-
θους τῶν ὑπευθύνων ἀτιμώρητα εἴωθε γίνεσθαι· κληροῦσθαί τε
αὐτούς, εἰ συχνοὶ ποιήσειαν, καὶ τὸν ἀεὶ πέμπτον λαχόντα ὀφλι-
σκάνειν αὐτὰ ἐκέλευσεν. ἀπόντος δὲ αὐτοῦ, ἐβουλεύοντο μὲν, καὶ
ἡ γνώμη συνεγράφετο, οὐ μέντοι καὶ τέλος τι ὡς κεκυρωμένη ἐ- 71
λάμβανεν, ἀλλὰ καὶ αὔκτωρ ἐγίνετο, ὅπως φανερὸν τὸ βούλημα A
αὐτῶν ᾖ. τοιοῦτον γάρ τι ἡ δύναμις τοῦ ὀνόματος τούτου δηλοῖ.
ἑλληνίσαι γὰρ αὐτὸ καθάπαξ ἀδύνατόν ἐστιν. οὕτω δὲ δημοκρα-
τικὸς ἠξίου εἶναι, ὥστε τινὸς τῶν στρατευσαμένων ποτὲ αὐτῷ συνη-
γορήματος παρ' αὐτοῦ δεηθέντος, τὸ μὲν πρῶτον τῶν φίλων τινὰ

ὡς καὶ ἐν ἀσχολίᾳ ὤν, συνειπεῖν αὐτῷ κελεῦσαι, ἔπειτ' ἐπειδὴ
ἐκεῖνος ὀργισθεὶς ἔφη, Ἐγὼ μέντοι ὁσάκις ἐπικουρίας χρείαν
B ἔσχες, οὐκ ἄλλον τινὰ ἀντ' ἐμαυτοῦ σοι ἔπεμψα, ἀλλ' αὐτὸς παν-
ταχοῦ προεκινδύνευσά σου· ἔς τε τὸ δικαστήριον συνῆλθεν καὶ
συνηγορῆσαί οἱ φίλῳ τέ τινι δίκην φεύγοντι συνεξετάσθη, ἐπι-
κοινώσας αὐτὸ τοῦτο τῇ γερουσίᾳ· καὶ ἐκεῖνόν τε ἔσωσε, καὶ τὸν κα-
τήγορον αὐτοῦ οὐχ ὅπως δι' ὀργῆς ἔσχε, καίπερ πάνυ πολλῇ παρ-
ρησίᾳ χρησάμενον, ἀλλὰ καὶ εὐθυνόμενον ἐπὶ τοῖς τρόποις ἀφῆκεν, εἰ-
πὼν ὅτι ἀναγκαία σφίσιν ἡ παρρησία αὐτοῦ διὰ τὴν τῶν πολλῶν
πονηρίαν εἴη. ἄλλους γε μὴν ἐπιβουλεύειν οἱ μηνυθέντας ἐκό-
C λασεν. οὐκ ἐξὸν δ' ὂν δοῦλον κατὰ δεσπότου βασανισθῆναι, ἐκέ-
λευσεν, ὁσάκις ἂν χρεία τοιούτου τινὸς γίγνηται, τῷ δημοσίῳ
αὐτὸν ἢ καὶ ἑαυτῷ πιπράσκεσθαι, ὅπως ὡς ἀλλότριος τοῦ κρινο-
μένου ὢν ἐξετάζηται. τοῦτον δ' οἱ μὲν ᾐτιῶντο ὅτι ὁ νόμος τῇ
τοῦ δεσπότου μεταλλαγῇ καταλύεσθαι ἔμελλεν, οἱ δ' ἀναγκαῖον
αὐτὸ ἔφασκον εἶναι, ὅτι πολλοὶ διὰ τούτων καὶ ἐπ' αὐτῷ ἐκείνῳ
καὶ ἐπὶ ταῖς ἀρχαῖς συνίσταντο. μετὰ δὲ δὴ ταῦτα τὴν ἡγεμο-
νίαν, καίπερ ἀφείς, ὡς ἔλεγεν, ἐπειδὴ τὰ δέκα ἔτη τὰ δεύτε-
ρα ἐξεληλύθει, ἄκων δῆθεν αὖθις ὑπέστη. καὶ τὸν μὲν μῆνα τὸν
D Σεξτίλιον καλούμενον, Αὔγουστον ἀντωνόμασε, καίτοι κατὰ τὸν
Σεπτέμβριον γεννηθείς, ὅτι καὶ ὕπατος ἐν αὐτῷ τὸ πρῶτον ἐγέ-
νετο, καὶ μάχας πολλὰς καὶ μεγάλας ἐνενικήκει. ἐπὶ μὲν οὖν τού-
τοις ἐγαυροῦτο· τοῦ δὲ δὴ Μαικήνου τελευτήσαντος ἤλγησε. πολ-
λὰ μὲν γὰρ καὶ ἄλλα αὐτοῦ ἀπώνατο, μάλιστα δὲ ὁσάκις ἀκρατοτέρῳ
τῷ θυμῷ ἐχρῆτο. τῆς τε γὰρ ὀργῆς αὐτὸν παρέλυε, καὶ ἐς τὸ ἠπιώ-
τερον μεθίστη. τεκμήριον δέ· δικάζοντι αὐτῷ προσστάς, καὶ ἰδὼν
72 ὅτι πολλοὺς θανατώσειν μέλλοι, ἐπεχείρησε μὲν διώσασθαι τοὺς
A περιεστηκότας, καὶ ἐγγὺς αὐτῷ προσελθεῖν· μὴ δυνηθεὶς δέ, ἔ-
γραψεν ἐς γραμματεῖον, Ἀνάστηθι ἤδη ποτὲ δήμιε, καὶ αὐτό,
ὡς καὶ ἕτερόν τι ἔχον, ἐς τὸν κόλπον αὐτοῦ ἔρριψεν· ὥστ' ἐκεῖ-
νον μήτ' ἀποκτεῖναί τινα, καὶ εὐθὺς ἐξαναστῆναι. οὐ γὰρ ὅπως

ἠγανάκτει τοῖς τοιούτοις, ἀλλὰ καὶ ἔχαιρεν, ὅτι ὅσα αὐτὸς ὑπό τε τῆς ἑαυτοῦ φύσεως, καὶ ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης καὶ παρὰ τὸ προσῆκον ἐθυμοῦτο, ταῦτα τῇ τῶν φίλων παρρησίᾳ διωρθοῦτο. ὁ οὖν Μαικήνας καὶ κληρονόμον αὐτὸν, καίπερ ἐπὶ B
τῇ γυναικὶ δυσκολαίνων, κατέλιπε. πρῶτος δὲ οὗτος ὁ Μαικήνας κολυμβήθραν θερμοῦ ὕδατος ἐν τῇ πόλει κατεσκεύασε, καὶ πρῶτος σημεῖά τινα γραμμάτων πρὸς τάχος ἐξεῦρε, καὶ αὐτὰ διὰ Ἀκύλα ἀπελευθέρου συχνοὺς ἐξεδίδαξεν. ἔτυχον δὲ διὰ τοὺς γιγνομένους ἐμπρησμοὺς τηνικαῦτα καὶ οἱ στενωποὶ ἐπιμελητῶν τινῶν ἐκ τοῦ δήμου, οὓς καὶ στενωπάρχους καλοῦμεν· καὶ σφίσι καὶ τῇ ἐσθῆτι ἀρχικῇ καὶ ῥαβδούχοις δύο ἐν αὐτοῖς τοῖς στενωποῖς ὧν ἄρχουσι, χρῆσθαι ἐδόθη. τοῦ δὲ Γαΐου καὶ τοῦ Λουκίου τῶν ἐκ τῆς θυγατρὸς αὐτοῦ τῷ Ἀγρίππᾳ τεχθέντων, οὐχ ὅτι ἁβρότερον διαγόντων, ἀλλὰ καὶ θρασυνομένων, ὥστε καὶ C
τὸν Γάϊον μηδὲ ἐς ἐφήβους πω τελοῦντα ὑπατείαν μετιέναι, ἠγανάκτησέ τε, καὶ προσεπηύξατο, μηδεμίαν τοιαύτην καιρῶν ἀνάγκην, ὁποία ποτὲ αὐτὸν κατέλαβε, γενέσθαι, ὥστε τινὰ νεώτερον εἰκοσιετοῦς ὑπατεῦσαι. ἐπειδή τε καὶ ὣς ἐπέκειτό οἱ, τότε ἔφη χρῆναί τινα τὴν ἀρχὴν ταύτην λαμβάνειν ὅταν μήτε τι αὐτὸς ἁμαρτάνειν, καὶ ταῖς τοῦ δήμου σπουδαῖς ἀνθίστασθαι δύνηται. βουληθεὶς δὲ μᾶλλον αὐτοὺς σωφρονίσαι, τῷ Τιβερίῳ τήν τε ἐξουσίαν τὴν δημαρχικὴν ἐς πέντε ἔτη ἔνειμε, καὶ τὴν Ἀρμενίαν ἀλλοτριουμένην προσέταξε. συνέβη D
δ' αὐτῷ καὶ ἐκείνοις καὶ τῷ Τιβερίῳ μάτην προσκροῦσαι, τοῖς μὲν, ὅτι παρεωρᾶσθαι ἔδοξαν, τῷ δὲ, ὅτι τὴν ὀργὴν αὐτῶν ἐφοβήθη. ἀμέλει καὶ ἐς Ῥόδον, ὡς καὶ παιδεύσεώς τινος δεόμενος, ἐστάλη, μήτ' ἄλλους τινὰς, μήτε τὴν θεραπείαν πᾶσαν ἐπαγόμενος, ἵν' ἐκποδὼν σφίσι καὶ τῇ ὄψει καὶ τοῖς ἔργοις γένηται. λόγον δέ τινα ἔχει καὶ διὰ τὴν γυναῖκα τὴν Ἰουλίαν, ὅτι μηκέτ' αὐτὴν φέρειν ἐδύνατο, τοῦτο ποιῆσαι· κατέλιπε γοῦν αὐτὴν ἐν τῇ Ῥώμῃ. ὁ δὲ Αὔγουστος τὸ τοῦ δήμου τοῦ σιτοδοτουμένου πλῆθος 73

ἀόριστον ὃν ἐς εἴκοσι μυριάδας κατέκλεισε, καὶ ὥς γέ τινες λέ-
γουσι, καθ' ἕνα ἑξήκοντα δραχμὰς ἔδωκε. θέας τε ποιῶν, ἐς τὸ
Φλαμίνιον ἱππόδρομον ὕδωρ ἐσήγαγε, καὶ ἐν αὐτῷ ἓξ καὶ τριά-
κοντα κροκόδειλοι κατεκόπησαν. τότε δὲ πρῶτον καὶ ἐπάρχους
τῶν δορυφόρων δύο ἀπέδειξεν· οὕτω γάρ τοι αὐτοὺς καὶ ἐγὼ μόνους
τῶν ἐπαρχόντων τινὸς, ἐπειδήπερ ἐκνενίκηκεν, ὀνομάζω. τὴν
μέντοι Ἰουλίαν τὴν θυγατέρα ἀσελγαίνουσαν οὕτως, ὥστε καὶ
ἐν τῇ ἀγορᾷ καὶ ἐπ' αὐτοῦ γε τοῦ βήματος καὶ κωμάζειν νύκτωρ καὶ
B συμπίνειν, ὀψὲ δέ ποτε φωράσας, ὑπερωργίσθη. κατεῖκαζε μὲν
γὰρ καὶ πρότερον οὐκ ὀρθῶς βιοῦν αὐτὴν, οὐ μέντοι καὶ ἐπίστευεν·
οἱ γάρ τοι τὰς ἡγεμονίας ἔχοντες, πάντα μᾶλλον ἢ τὰ σφέτερα
γιγνώσκουσι, καὶ οὔτ' αὐτοὶ τοὺς συνόντας ὧν ποιοῦσι λανθάνου-
σιν, οὔτε τὰ ἐκείνων ἀκριβοῦσι. τότε δ' οὖν τοσούτῳ θυμῷ ἐ-
χρήσατο ὥστε μηδ' οἴκοι αὐτὸν κατασχεῖν, ἀλλὰ καὶ τῇ γερουσίᾳ
κοινῶσαι. κἀκ τούτου ἐκείνη μὲν ἐς Πανδατερίαν τὴν πρὸς Καμ-
πανίᾳ νῆσον ὑπερωρίσθη, καὶ αὐτῇ καὶ ἡ Σκριβωνία ἡ μήτηρ ἑ-
C κοῦσα συνεξέπλευσε· τῶν δὲ δὴ χρησαμένων αὐτῇ, ὁ μὲν Ἰούλιος
Ἀντώνιος, ὡς καὶ ἐπὶ τῇ μοναρχίᾳ τοῦτο πράξας, ἀπέθανε
μετ' ἄλλων τινῶν ἐπιφανῶν ἀνδρῶν, οἱ δὲ λοιποὶ ἐς νήσους ὑ-
περωρίσθησαν. πολλῶν δὲ καὶ ἄλλων γυναικῶν ἐφ' ὁμοίοις τινὰ
αἰτίαν λαβουσῶν, οὐ πάσας τὰς δίκας ἐδέξατο, ἀλλὰ καὶ χρό-
νον τινὰ ἀφώρισεν ὥστε τὰ πρὸ ἐκείνου πραχθέντα μὴ πο-
λυπραγμονεῖσθαι. ἐπὶ γὰρ τῆς θυγατρὸς μηδὲν μετριάσαι, ἀλλὰ
καὶ φήσας ὅτι Φοίβης πατὴρ μᾶλλον ἢ ἐκείνης γεγονέναι ἤθελε,
τῶν ἄλλων ἐφείδετο. ἡ δὲ δὴ Φοίβη ἀπελευθέρα τε τῆς Ἰουλίας
D καὶ συνεργὸς οὖσα προαπέθανεν ἑκουσία· διόπερ καὶ ὁ Αὔγου-
στος αὐτὴν ἐπῄνεσε. τοῦ δὲ Γαΐου σταλέντος εἰς τὸν πρὸς Ἀρμε-
νίους πόλεμον, ὁ Τιβέριος εἰς Χίον ἐλθὼν, αὐτὸν ἐθεράπευσεν·
ἐταπείνου τε γὰρ ἑαυτὸν, καὶ ὑπέπιπτεν οὐχ ὅτι τῷ Γαΐῳ, ἀλλὰ
τοῖς μετ' αὐτοῦ οὖσι. Φραάτου δὲ τοῦ τῶν Πάρθων βασιλέως
ἐπιστείλαντος περὶ εἰρήνης τῷ Καίσαρι, καὶ τοῦ Καίσαρος αἰτ-

πιστείλαντος αὐτῷ Φραάτῃ ἁπλῶς αἰδοῖ τῆς τοῦ βασιλέως ἐπι-
κλήσεως, καὶ τῆς Ἀρμενίας ἀποστῆναι προστάξαντος, οὐχ ὅσον
ἐκεῖνος οὐ κατεπλήξεν, ἀλλὰ καὶ ἀντέγραψεν οἱ τά τε ἄλλα ὑπερη- 74
φάνως, καὶ αὐτὸν μὲν βασιλέα βασιλέων, ἐκεῖνον δὲ Καίσαρα A
μόνον ὀνομάσας. ὅμως ὕστερον κατηλλάγη ἐπὶ τῷ τῆς Ἀρμενίας
ἀποστῆναι, ἐπειδὴ τόν τε Γάϊον ἐν τῇ Συρίᾳ παρόντα ἔμαθε, καὶ
τὰ οἰκεῖα ταραττόμενα μίσει αὐτοῦ ὑπό τινων. συνέβη δὲ εὐθὺς
μετὰ ταῦτα καὶ τὸν Τιβέριον ἐκ Ῥόδου εἰς τὴν Ῥώμην ἀφικέ-
σθαι, Λουκίου καὶ Γαΐου τελευτησάντων. αὐτός τε γὰρ ἐμπειρό-
τατος τῆς διὰ τῶν ἄστρων μαντικῆς ὤν, καὶ Θράσυλλον ἄνδρα
πάσης ἀστρολογίας διαπεφυκότα ἔχων, πάντα καὶ τὰ ἑαυτῷ
καὶ ἐκείνοις πεπρωμένα ἀκριβῶς ἠπίστατο. καὶ λόγος γε ἔχει
ὅτι μελλήσας ποτὲ ἐν τῇ Ῥόδῳ τὸν Θράσυλλον ἀπὸ τοῦ τείχους B
ὦσαι, ἐπειδὴ μόνος αὐτῷ πάνθ' ὅσα ἐνενόει συνῄδει, ὡς εἶδεν
αὐτὸν σκυθρωπάσαντα, ἤρετο διὰ τί συννένοφεν, εἰπόντος δὲ κίν-
δυνόν τινα ὑποπτεύειν, θαυμάσας, οὐκέτ' αὐτὸ ἐποίησεν. οὕτω
γάρ που πάντα ἐκεῖνος σαφῶς ᾔδει, ὥστε καὶ τὸ πλοῖον τὸ τὴν ἀγγε-
λίαν τῷ Τιβερίῳ τῆς ἐς τὴν Ῥώμην ἀνακομιδῆς παρά τε
τῆς μητρὸς καὶ παρὰ τοῦ Αὐγούστου φέρον πόρρωθεν κατιδὼν
προσπλέον, προειπεῖν αὐτῷ ἃ ἀγγέλλειν ἔμελλε. τοῦ δὲ Λουκίου
τοῦ τε Γαΐου τὰ σώματα διά τε τῶν χιλιάρχων καὶ διὰ τῶν ἐφ'
ἑκάστης πόλεως πρώτων ἐς τὴν Ῥώμην ἐκομίσθη, καὶ αἱ C
πέλται τά τε δόρατα ἃ παρὰ τῶν ἱππέων ἐς τοὺς ἐφήβους ἐσ-
ιόντες χρυσᾶ εἰλήφεσαν, ἐς τὸ βουλευτήριον ἀνετέθη. δεσπό-
της δέ ποτε ὁ Αὔγουστος ὑπὸ τοῦ δήμου ὀνομασθείς, οὐχ ὅπως
ἀπεῖπε μηδένα τούτῳ πρὸς ἑαυτὸν τῷ προσρήματι χρήσα-
σθαι, ἀλλὰ καὶ πάνυ διὰ φυλακῆς αὐτὸ ἐποιήσατο. πληρωθεί-
σης δέ οἱ καὶ τῆς τρίτης δεκαετίας, τὴν ἡγεμονίαν καὶ τὸ τέ-
ταρτον ἐκβιασθεὶς δῆθεν ὑπεδέξατο, πρᾳότερός τε καὶ ὀκνηρότε-
ρος ὑπὸ τοῦ γήρως πρὸς τὸ τῇ βουλῇ τινὶ ἤδη ἀπεχθάνεσθαι
γεγονώς, οὐδενὶ ἔτ' αὐτῶν προσκρούειν ἤθελεν. ἱματισμοῦ

D δέ ποτε τὸ παλαιὸν διαφθείραντος, καὶ πολλῶν αὐτῷ πολλὰ διδόντων, οὐδὲν ἔλαβεν, ἢ μόνον παρὰ μὲν τῶν δήμων χρυσοῦν, παρὰ δὲ τῶν ἰδιωτῶν δραχμήν. χρυσοῦν γὰρ δὴ καὶ ἐγὼ τὸ νόμισμα τὸ τὰς πέντε καὶ εἴκοσι δραχμὰς δυνάμενον κατὰ τὸ ἐπιχώριον ὀνομάζω. καὶ τῶν Ἑλλήνων δέ τινες ὧν τὰ βιβλία ἐπὶ τῷ ἀττικίζειν ἀναγινώσκομεν, οὕτως αὐτὸ ἐκάλεσαν. ὁ δ' Αὔγουστος τὴν οἰκίαν οἰκοδομήσας, ἐδημοσίωσε πᾶσαν, εἴτε δὴ διὰ τὴν συντέλειαν τὴν ἐπὶ τὰ τοῦ δήμου οἱ γενομένην, εἴτε καὶ ὅτι ἀρχιερέως ἦν, ἵν' ἐν τοῖς ἰδίοις ἅμα καὶ ἐν τοῖς κοινοῖς οἰκοίη. τοῦ δὲ δήμου σφόδρα ἐγκειμένου τῷ Αὐγούστῳ, ἵνα κατα-

75 γάγῃ τὴν θυγατέρα αὐτοῦ, θᾶσσον ἔφη πῦρ ὕδατι μιχθήσεσθαι

A ἢ ἐκείνην καταχθήσεσθαι. καὶ ὁ δῆμος πυρὰ ἐς τὸν Τίβεριν πολλὰ ἐνέβαλε τότε, καὶ οὐδὲν ἤνυσεν· ὕστερον δὲ ἐξεβιάσατο ὥστε ἐς γοῦν τὴν ἤπειρον αὐτὴν ἐκ τῆς νήσου κομισθῆναι. τῷ δὲ Καίσαρι ἐπεβούλευσαν ἄλλοι τε, καὶ Γναῖος Κορνήλιος θυγατριδοῦς τοῦ μεγάλου Πομπηίου ὤν. οὔτε δὲ ἀποκτεῖναι σφᾶς ἐθέλοντι, (οὐδὲν γὰρ πλέον πρὸς ἀσφάλειαν ἐκ τῶν ἀπολλυμένων ἑώρα οἱ γιγνόμενον) οὔτ' ἀπολῦσαι, μὴ καὶ ἑτέρους ἐκ

B τούτου ἐφ' ἑαυτὸν ἐπισπάσηται, καὶ διὰ τοῦτ' ἀποροῦντι, καὶ οὔτε μεθ' ἡμέραν ἀφροντιστεῖν, οὔτ' αὖ νύκτωρ ἀτρεμεῖν δυναμένῳ, ἔφη ποτὲ ἡ Λιβία, Τί ἐστι τοῦτο ὦ ἄνερ; διὰ τί οὐ καθεύδεις; καὶ ὁ Αὔγουστος, Καὶ τίς ἄν, εἶπεν, ὦ γύναι, κἂν ἐλάχιστον ἀπομεριμνήσειε, τοσούτους τε ἀεὶ ἐχθροὺς ἔχων, καὶ συνεχῶς οὕτως ἄλλοτε ὑπ' ἄλλων ἐπιβουλευόμενος; ἢ οὐχ ὁρᾷς ὅσοι καὶ ἐμοὶ καὶ τῇ ἀρχῇ ἡμῶν ἐπιτίθενται; καὶ αὐτοὺς οὐδὲ αἱ τιμωρίαι τῶν δικαιουμένων ἀναστέλλουσιν, ἀλλὰ καὶ πᾶν τοὐναντίον, ὥσπερ ἐπ' ἀγαθόν τι ἐπειγόμενοι, σπεύδουσι καὶ οἱ λοιποὶ προσαπόλλυσθαι. ἀ-

C κούσασα οὖν τούτων ἡ Λιβία, Τὸ μὲν ἐπιβουλεύεσθαί σε, ἔφη, οὔτε θαυμαστὸν, οὔτε ἔξω τοῦ ἀνθρωπίνου τρόπου ἐστί. καὶ γὰρ πράσσεις πολλὰ, ἅτε τηλικαύτην ἀρχὴν ἔχων, καὶ λυπεῖς, ὥσπερ εἰκὸς, συχνούς. οὐ γάρ που καὶ πᾶσιν οἷόν τε τὸν ἄρχοντά τινων ἀρέ-

σκειν, ἀλλὰ καὶ ἀπεχθάνεσθαι πολλοῖς καὶ τὸν πάνυ ὀρθῶς βασιλεύοντα ἀνάγκη. πολλῷ τι γὰρ πλείους τῶν δίκαιόν τι πραττόντων οἱ ἀδικεῖν ἐθέλοντές εἰσιν, ὧν ἀδύνατόν ἐστι τὰς ἐπιθυμίας ἀποπιμπλάναι. αὐτῶν δὲ τῶν ἀρετήν τινα ἐχόντων, οἱ μὲν καὶ πολλῶν καὶ μεγάλων, ὧν οὐ δύνανται τυχεῖν, ὀρέγονται, οἱ δὲ καὶ ἑτέρων ἐλαττωθέντες, ἄχθονται· καὶ οὕτως ἀμφότεροι τὸν κρατοῦντα αἰτιῶνται, ὥστε ἐκ τούτων μὴ εἶναι κακοῦ ἁμαρτεῖν, D καὶ περιέστη καὶ ἐκ τῶν ἐπιτηδευμένων οὔτι γέ σοι, ἀλλὰ τῇ ἡγεμονίᾳ. σὲ μὲν γὰρ ἰδιωτεύοντα οὐδ' ἂν εἷς ἐθελοντὴς κακόν τι, μηδέν γε προπαθών, ἐποίησε. τῆς δὲ δὴ ἀρχῆς καὶ τῶν ἀγαθῶν τῶν ἐν αὐτῇ ὑπαρχόντων πάντες (καὶ οἵ γε ἐν δυνάμει τινὶ ὄντες, πολὺ μᾶλλον τῶν ὑποδεεστέρων) ὀρέγονται. τοῦτο γάρ ἐστι μὲν ἄδικον ἀνθρώπων καὶ ἥκιστα νοῦν ἐχόντων ποιεῖν. οὐ μὴν ἀλλ' ἔν τε τῇ φύσει αὐτῶν καθάπερ τι καὶ ἄλλο ἔνεστιν, οὐχ οἷόν τέ ἐστι τὰ τοιαῦτα οὔτε πείθοντα οὔτ' ἀναγκάζοντα ἐξῃρέσθαι τινά. 76 οὐδεὶς γὰρ οὔτε νόμος, οὔτε φόβος κρείττων τῶν φύσει πεφυκότων γίνεται. A ταῦτα οὖν λογιζόμενος, τὰς μὲν τῶν ἄλλων ἁμαρτίας μὴ δυσχέραινε, φυλακὴν δὲ ἀκριβῆ καὶ σεαυτοῦ καὶ τῆς μοναρχίας ποιοῦ, ἵνα αὐτὴν μὴ ἐκ τοῦ σφόδρα κολάζειν τινάς, ἀλλ' ἐκ τοῦ σφόδρα φυλάσσειν, ἀσφαλῶς ἔχωμεν. πρὸς οὖν ταῦτα ὁ Αὔγουστος, Ἀλλ' οἶδα μὲν καὶ ἐγώ, ὦ γύναι, ὅτι οὔτ' ἄλλο τι τῶν μεγάλων ἔξω φθόνου καὶ ἐπιβουλῆς καθέστηκεν, ἥκιστα δὲ αὐταρχία. καὶ γὰρ ἂν καὶ ἰσόθεοι ἦμεν εἰ μὴ καὶ πράγματα καὶ φροντίδας καὶ φόβους ὑπὲρ πάντας τοὺς ἰδιωτεύοντας B εἴχομεν. ἐμὲ δὴ καὶ αὐτὸ τοῦτο λυπεῖ, ὅτι ἀναγκαῖόν ἐστι ταῦθ' οὕτω γίνεσθαι, καὶ ἀδύνατον θεραπείαν τινὰ αὐτῶν εὑρεθῆναι. Ἀλλ' ἐπειδή γέ τινες τοιοῦτοί εἰσιν οἷοι πάντως ἀδικεῖν ἐθέλειν, εἶπεν ἡ Λιβία, ἡμεῖς γε αὐτοὺς φυλαττώμεθα. ἔχομεν δὲ καὶ στρατιώτας πολλούς, ὧν οἱ μὲν πρὸς τοὺς πολεμίους ἀντιτετάχαται, οἱ δὲ καὶ περὶ σὲ ὄντες φρουροῦσιν ἡμᾶς· καὶ θεραπείαν πολλήν, ὥστε καὶ οἴκοι καὶ ἔξω δι' αὐτοὺς ἀσφαλῶς ζῆν. ὑπολαβὼν οὖν

C ὁ Αὔγουστος ὅτι μὲν πολλοὶ πολλάκις καὶ ὑπ' αὐτῶν συνόντων
ἐφθάρησαν, οὐδέν, ἔφη, δέομαι λέγειν. πρὸς γὰρ τοῖς ἄλλοις καὶ
τοῦτ' ἐν ταῖς μοναρχίαις χαλεπώτατόν ἐστιν, ὅτι μὴ μόνον τοὺς
πολεμίους, ὥσπερ καὶ οἱ ἄλλοι, ἀλλὰ καὶ τοὺς φίλους φοβούμε-
θα (καὶ πολύ γε πλείους ὑπὸ τῶν τοιούτων (ἅτε καὶ ἀεὶ καὶ μεθ'
ἡμέραν καὶ νύκτωρ, καὶ γυμναζομένοις σφίσι καὶ καθεύδουσι, σι-
τία τε καὶ ποτὰ ὑπ' αὐτῶν παρεσκευασμένα λαμβάνουσι
συγγιγνομένων) ἐπιβεβουλεύκασιν, ἢ ὑπὸ τῶν μηδὲν προσηκόντων.
ἅτε γὰρ ἄλλα τε πρὸς μὲν ἐκείνους δεῖ τούτοις ἀντιτάξαι, πρὸς
δὲ τούτους αὐτοὺς οὐκ ἔστιν ἄλλῳ τινὶ συμμάχῳ χρήσασθαι. ὥστε
D ἡμῖν διὰ πάντων, δεινὸν μὲν τὴν ἐρημίαν, δεινὸν δὲ καὶ τὸ πλῆ-
θος, καὶ φοβερὸν μὲν τὴν ἀφυλαξίαν, φοβερωτάτους δὲ αὐτοὺς
τοὺς φύλακας· καὶ χαλεποὺς μὲν τοὺς ἐχθρούς, χαλεπωτέρους δὲ
τοὺς φίλους εἶναι. φίλους γὰρ ἀνάγκη πάντας σφᾶς, κἂν μὴ ὦσι, κα-
λεῖσθαι. εἰ δ' οὖν τις καὶ χρηστῶν αὐτῶν τύχῃ, ἀλλ' οὔτι γε οὕτω
πιστεύσειεν ἂν σφίσιν ὥστε καθαρᾷ καὶ ἀφροντίστῳ καὶ ἀνυπόπτῳ
τῇ ψυχῇ προσομιλεῖν. τοῦτό τε οὖν καὶ τὸ τοὺς ἄλλους τοὺς ἐπιβου-
λεύοντας ἀναγκαῖον εἶναι ἀμύνεσθαι, πάνδεινόν ἐστι. τὸ γάρ τοι
τιμωρεῖσθαί τε καὶ κολάζειν ἀεί τινας ἀναγκάζεσθαι, μεγάλην
ἀχθηδόνα ἀγαθοῖς ἀνδράσι φέρει. Ἀλλ' ὀρθῶς λέγεις (ἀπεκρί-
:7 νατο ἡ Λιβία) καί σοι γνώμην δοῦναι ἔχω, ἄν γε καὶ προσ-
A δέξασθαι αὐτὴν ἐθελήσῃς, καὶ μὴ διαμέμψῃ ὅτι γυνὴ οὖσα
τολμῶ σοι συμβουλεῦσαί τι, ὃ μηδ' ἂν εἷς ἄλλος οὐδὲ τῶν πά-
νυ φίλων παραινέσειεν· οὐχ ὅτι οὐκ ἴσασιν αὐτό, ἀλλ' ὅτι οὐ θαρ-
ροῦσιν εἰπεῖν. Λέγε (ἔφη ὁ Αὔγουστος) ὅ,τι δή ποτε τοῦτό ἐστιν. ἡ
δ' οὖν Λιβία, Φράσω, ἔφη, μηδὲν κατοκνήσασα, ἅτε τὰ ἀγα-
θὰ καὶ τὰ κακὰ ἐκ τοῦ ἴσου ἔχουσα, καὶ σωζομένου μέν σου καὶ αὐτὴ
τὸ τίμερον ἄρχουσα, δεινὸν δέ τι παθόντος (ὃ μὴ γένοιτο) συνα-
B πολουμένη. εἰ γάρ τοι ἡ τε φύσις ἡ ἀνθρωπίνη πάντως τι ἁμαρτά-
νειν τινὰς ἀναπείθει, καὶ ἀμήχανόν ἐστιν αὐτὴν πρᾶξαί τι ὡρμη-
μένων ἐπισχεῖν. καὶ ἤδη γε καὶ αὐτὰ τὰ δοκοῦντά τισιν ἀγαθὰ εἶναι,

(ἵνα μὴ τὰς τῶν πολλῶν κακίας εἴπω) καὶ πάνυ συχνοὺς ἀδικεῖν ἐ-
παίρει. καὶ γὰρ γένους αὔχημα, καὶ πλούτου φρόνημα, τιμῆς τε
μέγεθος, καὶ ἐπ' ἀνδρίαν θράσος, ἐξουσίας τε ὄγκος πολλοὺς ἐξο-
κέλλειν ποιεῖ. καὶ μήτε τὸ γενναῖον, δυσγενές, μήτε τὸ ἀνδρεῖον,
δειλόν, μήτε τὸ ἔμφρον, ἄνουν ἐστὶ ποιῆσαι· ἀδύνατον γάρ. μή-
τ' αὖ τὰς περιουσίας τινῶν περικόπτειν, ἢ τὰς φιλοτιμίας ταπει- C
νοῦν μηδέν γε πλημμελούντων χρή· ἄδικον γάρ. τό, τ' ἀμυνόμε-
νον ἢ καὶ προκαταλαμβάνοντά τινας, αἰτιᾶσθαι καὶ κακοδοξεῖν
ἀναγκαῖόν ἐστι. φέρε μεταβαλώμεθα, καί τισιν αὐτῶν φεισώ-
μεθα. καί μοι γὰρ δοκεῖ πολλῷ πλείω φιλανθρωπίᾳ ἢ τινι ὠμό-
τητι κατορθοῦσθαι. τοὺς μὲν γὰρ συγγνώμονας οὐ μόνον οἱ ἐλεηθέν-
τες ὑπ' αὐτῶν φιλοῦσιν, ὥστε καὶ ἀμείβεσθαι σφᾶς σπουδάζειν,
ἀλλὰ καὶ οἱ ἄλλοι πάντες καὶ αἰδοῦνται καὶ σέβουσιν, ὥστε μὴ D
τολμᾶν αὐτοὺς ἀδικεῖν. τοὺς δ' ἀπαραιτήτοις ὀργαῖς χρωμέ-
νους οὐκ ἐκεῖνοι μόνοι οἱ τι φοβούμενοι μισοῦσιν, ἀλλὰ καὶ οἱ λοι-
ποὶ πάντες δυσχεραίνουσι· καὶ ἐκ τούτου καὶ ἐπιβουλεύουσιν αὐ-
τοῖς, ἵνα μὴ προαπόλωνται. ἢ οὐχ ὁρᾷς ὅτι καὶ οἱ ἰατροὶ τὰς μὲν
τομὰς καὶ τὰς καύσεις σπανιώτατά τισι προσφέρουσιν, ἵνα μὴ
ἐξαγριαίνωσιν αὐτῶν τὰ νοσήματα, τοῖς δὲ αἰονήμασι καὶ τοῖς
ἠπίοις φαρμάκοις τὰ πλείω μαλθάσσοντες θεραπεύουσι; μὴ
γὰρ ὅτι ἐκεῖνα μὲν τῶν σωμάτων, ταῦτα δὲ τῶν ψυχῶν παθήμα- 78
τά ἐστι, διαφέρειν τι νομίσῃς αὐτὰ ἀλλήλων. πάμπολλα γὰρ ὅ- A
μοια τρόπον τινὰ καὶ ταῖς γνώμαις τῶν ἀνθρώπων, καίτοι μά-
λιστα ἀσώματοι ὦσιν, ἃ καὶ τοῖς σώμασι συμβαίνει. συστέλλονταί
τε γὰρ ὑπὸ φόβου, καὶ ἐξοιδοῦσιν ὑπὸ θυμοῦ· λύπη τέ τινας κο-
λούει, καὶ θάρσος ὀγκοῖ, ὥστ' ὀλίγον σφόδρα τὸ παραλλάττον εἶναι,
καὶ διὰ τοῦτο καὶ παραπλησίων ἰαμάτων αὐτὰ δεῖσθαι. λόγος
γὰρ ἤπιός τῳ λεχθεὶς, πᾶν τὸ ἀγριαῖνον αὐτοῦ χαλᾷ, καθάπερ
τραχὺς ἕτερος καὶ τὸ αἰδούμενον ὀργίζει· καὶ συγγνώμη δοθεῖσα καὶ
τὸ πάνυ θρασὺ διαχεῖ, καθάπερ ἡ τιμωρία καὶ τὸ πάνυ πρᾶον
χαλεπαίνει. αἱ μὲν γὰρ βίαιοι πράξεις ἀεὶ πάντας, κἂν δικαιό-

σταται ὦσι, παροξύνουσιν, αἱ δὲ ἐπιεικεῖς ἡμεροῦσιν· καὶ διὰ τοῦτο πεισθεὶς ἂν πρᾶον καὶ τὰ δεινότατα ὑπομείνειε· καὶ οὕτω φύσει τινὶ ἀναγκαίως ἑκάτερος αὐτῶν χρῆται, ὥστε καὶ τῶν ἀλόγων ζώων τῶν μηδένα νοῦν ἐχόντων, τὰ μὲν καὶ τῶν ἰσχυροτάτων καὶ ἀγριωτάτων, θωπείαις τέ τισι τιθασεύεται καὶ δελεάσμασι χειροῦται, τὰ δὲ τῶν δειλοτάτων καὶ ἀσθενεστά-
C των, λυπήμασί τε καὶ φόβοις ἐκταράττεται καὶ παροξύνεται. καὶ οὐ λέγω τοῦτο ὅτι δεῖ πάντων ἁπλῶς τῶν ἀδικούντων φείδεσθαι, ἀλλ' ὅτι τὸν μὲν ἴσως καὶ πολυπράγμονα, καὶ κακοήθη καὶ κακόβουλον, καὶ ἀνηκέστῳ τινὶ καὶ διαρκεῖ πονηρίᾳ συνόντα ἐκκόπτειν, ὥσπερ που καὶ τὰ πάνυ ἀνίατα μέρη τῶν σωμάτων· τῶν δὲ δὴ ἄλλων ὅσοι τῇ νεότητι, ἢ ἀμαθίᾳ, ἢ ἀγνοίᾳ, ἢ ἑτέρᾳ τινὶ συντυχίᾳ οἱ μὲν ἑκόντες, οἱ δὲ καὶ ἄκοντες ἁμαρτάνουσι, τοὺς μὲν λόγοις νου-
D θετεῖν, τοὺς δὲ ἀπειλαῖς σωφρονίζειν, τοὺς δὲ καὶ ἕτερόν τινα τρόπον μετρίως πως μεταχειρίζεσθαι· καθάπερ καὶ ἐπὶ τῶν τἄλλα, τοὺς μὲν μείζοσι, τοὺς δὲ ἐλάττοσι πάντες κολάζουσιν. ὥστε καὶ τούτοις ἀκινδύνως μετριάζειν ἔξεστί σοι, τοὺς μὲν φυγῇ, τοὺς δὲ ἀτιμίᾳ, τοὺς δὲ χρήμασι ζημιοῦντι, ἑτέρους ἐς χωρία, ἑτέρους ἐς πόλεις τινὰς κατατιθεμένῳ. καὶ ἤδη γέ τινες καὶ ὑπὸ τοῦ μὴ τυχεῖν ὧν ἤλπιζον, καὶ ὑπὸ τοῦ διαμαρτεῖν ὧν ἐφίεντο, ἐσωφρονίσθησαν. ἴδχαι
79 τι ἄτιμοι, καὶ στάσεις ἐπονείδιστοι, τό, τε προλυπηθῆναι καὶ τὸ
A προφοβηθῆναι, συχνοὺς βελτίους ἐποίησε. καίτοι καὶ ἀποθανεῖν ἕλοιτ' ἄν τις εὖ τε γεγονὼς καὶ ἀνδρεῖος ὤν, ἢ τοιοῦτό τι παθεῖν. ἐξ οὖν τούτων ἐκείνοις μὲν οὐδὲν ῥᾴων ἡ τιμωρία, ἀλλὰ καὶ χαλεπωτέρα γένοιτ' ἄν· ἡμῖν δὲ δὴ τὸ μήτε τινὰ ἀπηγορίαν ἔχειν, καὶ ἀσφαλῶς ζῆν ὑπάρξειεν, ὡς νῦν γε πολλοὺς μὲν ἐπιθυμίᾳ χρημάτων, ἄλλους ἀνδρίας φόβῳ, καὶ μάλα ὀλίγους ἀρετῆς τινος φθόνῳ κτείνειν δοκοῦμεν. οὐδεὶς γὰρ ῥᾳδίως πιστεύει
B ὅτι τις ἔν τε τῇ ἐξουσίᾳ καὶ ἐν δυνάμει τοσαύτῃ ὤν, ὑπ' ἰδιώτου τινὸς ἀνόπλου ἐπιβουλευθῆναι δύναται. ἀλλ' οἱ μὲν ταῦτα λογοποιοῦσιν, οἱ δέ, ὅτι ψευδῆ πολλὰ ἀκούομεν, καὶ πολλοῖς

μάτην ὡς ἀληθέσι προσέχομεν. τοὺς γάρ τοι διαβάλλοντας καὶ ὠ-
τακουστοῦντας τὰ τοιαῦτα, τοὺς μὲν ἔχθρᾳ, τοὺς δὲ ὀργῇ, ἄλλους
ἀργύριον παρὰ τῶν ἐχθρῶν αὐτῶν λαβόντας, ἄλλους παρ' αὐ-
τῶν ἐκείνων λαβόντας, ἄλλους πολλὰ καὶ ψευδῆ σκευωρεῖσθαί
φασιν, οὐ μόνον ὅ,τι δεινὸν ἔπραξαί τινες ἢ καὶ ποιήσειν μέλλου-
σι λέγοντες, ἀλλὰ καὶ ὅτι ὁ μὲν ἐφθέγξατο τοιόνδε τι, ὁ δὲ ἀκού-
σας ἐσιώπησεν, ἄλλος ἐγέλασεν, ἄλλος ἐδάκρυσε. μυρία αὖ τοι-
ουτότροπα εἰπεῖν ἔχοιμι, ἃ εἰ καὶ τὰ μάλιστα ἀληθῆ εἴη, ἀλλ' οὔ- C
τι γε τὸ προσήκοντά ἐστιν οὔτε πολυπραγμονεῖσθαι παρ' ἐλευ-
θέροις ἀνθρώποις, οὔτε σοι διαγγέλλεσθαι. λαθόντα μὲν γὰρ τὰ
τοιαῦτα οὐδὲν ἂν σε βλάψειεν, ἀκουσθέντα δὲ παροξυνεῖ καὶ
ἄκοντα· ὅπερ ἥκιστα χρὴ ἄλλως τε καὶ ἄρχοντί τινι συμβαίνειν.
συχνοὺς γοῦν ἐκ τούτου τοὺς μὲν ἀκρίτους, τοὺς δὲ τὸ ἐσκευωρη-
μένῃ τινὶ καταγνώσει δικαστηρίου ἀδίκως ἀπόλλυσθαι νομίζου-
σιν. οὔτε γὰρ τὰς μαρτυρίας, οὔτε τὰς βασάνους, οὔτε ἄλλο τι τῶν
τοιούτων, ὡς τὸ ἀληθὲς ὄν, κατ' αὐτῶν προσίενται. ταῦτα γὰρ οὕ- D
τως εἰ τὸ μὴ δικαίως ἐστὶν ἃ αὐτῶν, ἀλλ' ἐπὶ πάντων γε, ὡς
εἰπεῖν, τῶν οὕτω θανατουμένων θρυλλεῖται. καὶ δεῖ σε, ὦ Αὔγουστε,
μὴ μόνον μηδὲν ἀδικεῖν, ἀλλὰ μηδὲ δοκεῖν. ἰδιώτῃ μὲν γὰρ ἀρ-
κεῖ μηδὲν πλημμελεῖν, ἄρχοντι δὲ προσήκει μηδὲ δόκησίν τι-
να αὐτοῦ λαμβάνειν· ἀνθρώπων γὰρ, ἀλλ' οὐ θηρίων ἡγεμονεύεις. τὸ
μόνως ἂν οὕτως εὐνοεῖν σοι αὐτοὺς ἀληθῶς ποιήσειας, ἂν πανταχό-
θεν σφᾶς καὶ διὰ πάντων ὁμοίως πείσῃς ὅτι μήτ' ἑκών τινα μήτε 80
ἄκων ἀδικήσειας ἄν. φοβεῖσθαι μὲν γάρ τινα ἀναγκασθῆναί τις δύ- A
ναται· φιλεῖν δὲ, πεισθῆναι ὀφείλει. πείθεται δὲ ἐξ ὧν αὐτός τε εὖ
πάθῃ, καὶ ἑτέρους εὐεργετουμένους ἴδῃ. ὁ δὲ ὑποπτεύσας μὴ δικαί-
ως τινὰ ἀπολωλέναι, καὶ φοβεῖται μή ποτέ τι ὅμοιον πάθῃ, καὶ μι-
σεῖν τὸν δράσαντα αὐτὸ ἀναγκάζεται. τὸ δὲ δὴ μισεῖσθαι ὑπὸ τῶν ἀρχο-
μένων, πρὸς τῷ μηδ' ἄλλως καλῶς ἔχειν, ἀλυσιτελέστατόν ἐστι. καὶ
νομίζουσιν οἱ πολλοὶ, τοῖς μὲν ἄλλοις ἀναγκαῖον εἶναι πάντας τοὺς
καὶ ὁπωσοῦν ἀδικήσαντας ἀμύνεσθαι, ἵνα μήτε καταφρονῶνται, B

μή τι ἐκ τούτου πλεονεκτῶνται. τοὺς δ' ἄρχοντας, τοὺς μὲν τὸ καὶ νῦν ἀδικοῦσιν ἐπεξιέναι χρῆναι, τοὺς δ' ἰδίᾳ τι ἐς αὐτοὺς πλημμελεῖν δοκοῦντας φέρειν. μήτε γὰρ ἐκ καταφρονήσεως, μήτ' ἐξ ἐπιδρομῆς ἀδικηθῆναι σφᾶς δύνασθαι, διὰ τὸ πολλὰ τὰ προφυλάσσοντα αὐτοὺς εἶναι. ὥστ' ἔγωγε ταῦτά γε ἀκούουσα, καὶ πρὸς ταῦτα ἀποβλέπουσα, κινδυνεύω καὶ παντελῶς ἀπιστεῖν σοι μηδένα διὰ τοῦτό τι ἀποκτιννύναι· ἅτε γὰρ προστασίας ἐπί τε τῇ τῶν ἀρχομένων σωτηρίᾳ καθίστανται, ὅπως μη-
C δὲν μήθ' ὑπ' ἄλλων, μήθ' ὑπὸ τῶν ἀλλοφύλων βλάπτωνται, οὐ μὰ Δία οὐχ ὅπως ὑπ' αὐτῶν ἐκείνων τι λυπῶνται. καὶ εὐκλεέστατόν ἐστιν, οὐ τὸ πολλοὺς τῶν πολιτῶν ἀναιρεῖν, ἀλλὰ τὸ πολλοὺς τῶν πολιτῶν σώζειν δύνασθαι. παιδεύειν μὲν γὰρ αὐτοὺς καὶ νόμοις καὶ εὐεργεσίαις καὶ νουθεσίαις δεῖ, ὅπως σωφρονῶσι, καὶ προσέτι καὶ τηρεῖν καὶ φυλάττειν, ἵνα κἂν ἀδικεῖν ἐθελήσωσι, μὴ δυνηθῶσιν· ἂν δὲ δὴ νοσήσῃ τι, θεραπεύειν τρόπον τινὰ αὐτὸ καὶ ἐπανορθοῦν, ἵνα μὴ παντελῶς φθαρῇ. τό, τε γὰρ φέ-
D ρειν τὰ τῶν πολλῶν ἁμαρτήματα, καὶ πάνυ μεγάλης καὶ φρονήσεως καὶ δυνάμεως ἔργον ἐστίν. ἄν τέ τις πάντα ἁπλῶς τὰ τοιαῦτα κατὰ τὴν ἀξίαν κολάζῃ, λήσει τοὺς πλείους τῶν ἀνθρώπων ἀπολέσας. ὅθεν καὶ διὰ ταῦτα γνώμην σοι δίδωμι, θανάτῳ μὲν μηδένα τῶν τοιούτων ζημιοῦσθαι, ἑτέρως δέ πως αὐτοὺς, ὥστε μηδὲν ἔτι δεινὸν δρᾶσαι, σωφρονίζειν. τί γὰρ ἂν ἀδικήσειέ τις εἰς νῆσον κατακλεισθεὶς, ἢ καὶ ἐν ἀγρῷ, πόλει τέ τινι,
81 οὐχ ὅπως ἄνευ πλήθους οἰκετῶν ἢ χρημάτων, ἀλλὰ καὶ μετὰ
A φρουρᾶς ὤν, ἄν γε καὶ τούτου δέῃ; εἰ μὲν γὰρ ἐγγύς που ἐνταῦθα οἱ πολέμιοι ἦσαν, ἢ καὶ τῆς θαλάσσης ταύτης ἀλλότριόν τι ἦν, ὥστε τινὰ αὐτῶν διαδράσαντα πρὸς ἐκείνους, κακόν τι ἡμᾶς ἐργάσασθαι, πόλεις τέ τινες ἐν τῇ Ἰταλίᾳ ὀχυραὶ καὶ τείχη καὶ ὅπλα ἔχουσαι ὑπῆρχον, ὥστε τινὰ καταλαβόντα αὐτὰς, φοβερὸν ἡμῖν γενέσθαι, ἕτερος ἂν ἦν λόγος· ἀόπλων δὲ δὴ πάντων τῶν ταύτῃ καὶ ἀτειχίστων ὡς πρὸς πόλεμον ὄντων, καὶ τῶν

πολεμίων παμπληθὲς ἀφεστηκότων (πολλὴ μὲν γὰρ θάλασσα,
πολλὴ δὲ καὶ γῆ καὶ ὄρη καὶ ποταμοὺς δυσβάτους ἔχουσα διὰ μέ- B
σου ἐστὶ) τί ἄν τις φοβηθείη τὸν δεῖνα, ἢ τὴν δεῖνα, γυμνούς, ἰδιω-
τεύοντας, ἐνταῦθά που ἐν μέσῃ τῇ σῇ ἀρχῇ ὄντας, καὶ ἐντὸς τῶν
σῶν ὅπλων κατακεκλεισμένους; ἐγὼ μὲν γὰρ οὔτ' ἂν ἐννοῆσαί
τινα τοιοῦτον οὐδέν, οὔτ' ἂν καὶ τὰ μάλιστα μανείη τις, δυνά-
σθαί γέ τι πρᾶξαι νομίζω. πεῖραν οὖν ἀπ' αὐτῶν τούτων ἀρ-
ξάμενοι ποιησώμεθα. τάχα γὰρ ἂν καὶ αὐτοὶ μεταβάλοιντο, καὶ
τοὺς ἄλλους ἀμείνους ποιήσαιεν. καὶ γὰρ ὁρᾷς ὅτι καὶ ὁ Κορνήλιος
καὶ εὐγενὴς καὶ ὀνομαστός ἐστι· δεῖ δέ που καὶ ταῦτα ἀνθρωπίνως
λογίζεσθαι. οὐ πάντα τοι τὸ ξίφος διαπράττεται (μέγα γὰρ ἂν ἦν C
ἀγαθὸν εἰ σωφρονίζειν τέ τινας καὶ πείθειν, ἢ καταναγκάζειν φι-
λεῖν τινα ἀληθῶς ἐδύνατο) ἀλλὰ τὸ μὲν σῶμά τινος φθείρειεν
ἄν, τὰς δὲ δὴ τῶν ἄλλων ψυχὰς ἀλλοτριώσειεν. οὐ γὰρ ἐξ ὧν ἂν
ἕτεροι τιμωρηθῶσι, θεοφιλέστεροί τινες, ἀλλ' ἐξ ὧν αὐτοὶ φοβη-
θῶσιν, ἐχθίους γίνονται. καὶ ταῦτα μὲν οὕτως ἔχει. οἱ δὲ δὴ συγ-
γνώμης τινὸς τυχόντες, καὶ μετανοοῦσιν, αἰσχυνόμενοι αὖθις τι
τοὺς εὐεργέτας ἀδικῆσαι, καὶ πολλὰ αὐτοῖς ἀνθυπουργοῦσιν, ἐλ- D
πίζοντες πλείω ἀντιπείσεσθαι. ὑφ' οὗ γὰρ ἄν τις ἀδικηθεὶς τι
σωθῇ, τοῦτον εὖ παθόντα, οὐδὲν ὅ,τι οὐκ ἀντευεργετήσειν ἑαυτὸν ἡ-
γεῖται. πείσθητί μοι οὖν φίλτατε καὶ μεταβαλοῦ. οὕτω μὲν γὰρ καὶ τἆλλα τὰ
δυσχερῆ πάντα ἀνάγκῃ πεποιηκέναι δόξεις εἴ γε ἐστι πόλιν τηλι-
καύτην ἐκ δημοκρατίας πρὸς μοναρχίαν ἄγοντα, ἀναιμωτὶ
μεταστῆσαι. ἂν δὲ ἐπὶ τοῖς αὐτοῖς ἐπιμένῃς, καὶ ἐκεῖνα γνώμῃ 82
δεδρακέναι νομισθήσῃ. ταῦτα τῆς Λιβίας εἰπούσης, ὁ Αὔγου- A
στος ἐπείσθη τε αὐτῇ, καὶ ἀφῆκε μὲν πάντας τοὺς ὑπαιτίους λό-
γοις τισὶ νουθετήσας, τὸν δὲ δὴ Κορνήλιον καὶ ὕπατον ἀπέδειξε.
κἀκ τούτου καὶ ἐκεῖνον καὶ τοὺς λοιποὺς ἀνθρώπους οὕτως ᾠκειώ-
σατο ὥστε μηδένα ἔτ' αὐτῷ τῶν ἄλλων μήτ' ὄντως ἐπιβουλεῦ-
σαι, μήτε δόξαι. ἐπὶ γοῦν ταῖς ὑπατείαις τοῦ τε δηλωθέντος Κορ-
νηλίου καὶ Οὐαλερίου Μεσσάλου σεισμοί τε ἐξαίσιοι συνέβησαν.

B καὶ ὁ Τίβερις τήν τε γέφυραν κατέσυρε, καὶ πλωτὴν τὴν πό-
λιν ἐπὶ ἑπτὰ ἡμέρας ἐποίησε. τρία δὲ δὴ τότε καὶ εἴκοσι στρατό-
πεδα πολεμικὰ ἐτρέφετο. νῦν μὲν γὰρ ἐννεακαίδεκα ἐξ αὐ-
τῶν μόνα διαμένει, τό, τε δεύτερον τὸ Αὐγούστειον, τὸ ἐν Βρεττανίᾳ
τῇ ἄνω χειμάζον, καὶ τὰ τρία τὰ τρίτα, τό, τε ἐν Φοινίκῃ τὸ Γα-
λατικὸν, καὶ τὸ ἐν Ἀραβίᾳ τὸ Κυρηναϊκὸν, τό, τε ἐν Νουμιδίᾳ τὸ
Αὐγούστειον, τέταρτον Σκυθικὸν ἐν Συρίᾳ, πέμπτον Μακεδονι-
κὸν ἐν Δακίᾳ, ἕκτα δύο, ὧν τὸ μὲν ἐν Βρεττανίᾳ τῇ κάτω τὸ
τῶν νικητηρίων, τὸ δὲ ἐν Ἰουδαίᾳ τὸ σιδηροῦν τέτακται· καὶ
οἱ ἕβδομοι ἐν τῇ Μυσίᾳ τῇ ἄνω, οἱ καὶ τὰ μάλιστα Κλαυδίειοι
C ὠνομάδαται. οἵ τε ὄγδοοι Αὐγούστειοι ἐν τῇ Γερμανίᾳ τῇ ἄνω ὄν-
τες, καὶ οἱ δέκατοι οἱ ἐν Παιονίᾳ τῇ ἄνω οἱ δίδυμοι. δίδυμοι δὲ
ἐπεκλήθησαν, ὅτι ἐκ δύο ταγμάτων αναμιχθέντων ἀλλήλοις ὑ-
πῆρχον. τό, τε ἑνδέκατον τὸ Κλαυδίειον τὸ ἐν τῇ Μυσίᾳ τῇ κά-
τω. οὕτω γὰρ τὰ δύο στρατόπεδα ἐπεκλήθη, ὅτι αὐτῷ ἐν τῇ τοῦ
Καμίλλου ἐπαναστάσει οὐκ ἀντεπολέμησε. καὶ τὸ δωδέκατον τὸ ἐν
Καππαδοκίᾳ τὸ κεραυνοφόρον· τό, τε τρίτον καὶ δέκατον τὸ ἐν Δα-
κίᾳ, τὸ δίδυμον· καὶ τὸ τέταρτον καὶ δέκατον τὸ ἐν τῇ Παννονίᾳ τῇ
ἄνω· τό, τε πεντεκαιδέκατον τὸ Ἀπολλώνειον τὸ ἐν Καππαδο-
D κίᾳ· καὶ οἱ εἰκοστοὶ οἱ καὶ Οὐαλέριοι καὶ νικήτορες ὠνομασμένοι.
ταῦτ' ἐκ τῶν Αὐγουστείων στρατοπέδων σώζεται. τὰ γὰρ δὴ λοι-
πὰ, τὰ μὲν παντελῶς διελύθη, τὰ δὲ καὶ ἑτέροις εἰσὶν ἀνεμίχθη,
ἀφ' οὗ περ καὶ δίδυμα ὠνομασμένα νενόμισται. πρὸς τούτοις δὲ
καὶ οἱ σωματοφύλακες ὄντες, καὶ δεκαχῆ τεταγμένοι, καὶ οἱ τῆς πό-
λεως φρουροὶ ἑξακισχίλιοί τε ὄντες, καὶ τετραχῆ νενεμημένοι, ξέ-
νοι τε ἱππεῖς ἐπίλεκτοι, οἷς τὸ τῶν Βατάβων ἀπὸ τῆς Βαταβίας τῆς
ἐν τῷ Ῥήνῳ νήσου ὄνομα, ὅτι δὴ κράτιστοι ἱππεύειν εἰσὶ, κεῖται.
τὸ πλῆθος οὖν τῶν στρατευμάτων ὁ Αὔγουστος, πολλῶν χρημάτων δεόμε-
83 νος, τὴν εἰκοστὴν τῶν τε κλήρων καὶ τῶν δωρεῶν, ἃς ἂν οἱ τελευτῶν-
A τές τισι, πλὴν τῶν πάνυ συγγενῶν, ἢ καὶ πενήτων, καταλείπωσι, κα-
τεστήσατο, ὡς καὶ ἐν τοῖς τοῦ Καίσαρος ὑπομνήμασι τὸ τέλος τοῦτο

γεγραμμένον θυρῶν. ταῦτά τε οὖν Ῥωμαίους ἐλύπει, καὶ προσέ-
τι καὶ λιμὸς ἰσχυρός, ὥστε τούς τε μονομαχοῦντας, καὶ
τὰ ἀνδράποδα τὰ ὤνια ὑπὲρ πεντήκοντα καὶ ἑπτακοσίους στα-
δίους ἐξωσθῆναι, ἔκ τε τῆς θεραπείας καὶ τὸν Αὔγουστον καὶ τοὺς
ἄλλους τὸ πλεῖον ἀποπέμψασθαι, καὶ δικῶν ἀνοχὰς γενέσθαι. λω- B
φήσαντος δέ ποτε τοῦ λιμοῦ, ἐπί τε τῷ Γερμανικοῦ ὀνόματι, ὃς
ἦν τοῦ Δρούσου παῖς, καὶ ἐπὶ τῷ τοῦ ἀδελφοῦ αὐτοῦ, ἱπποδρο-
μίας ἐποίησαν· καὶ ἐν αὐταῖς ἐλέφας τε ῥινοκέρωτα κατημαχήσα-
το, καὶ ἀνὴρ ἱππεὺς πλουτῶν ποτε προεισελθὼν ἐμονομάχησε. καὶ
ἐπειδὴ καὶ τῷ γήρᾳ καὶ τῇ τοῦ σώματος ἀσθενείᾳ ἔκαμνεν, ὥστε
μὴ δύνασθαι πᾶσι τοῖς δεομένοις τι αὐτοῦ χρηματίζειν, τὰ μὲν
ἄλλα αὐτὸς μετὰ τῶν συνέδρων διεσκέψατο καὶ ἐδίκαζεν, ἐν τῷ
παλατίῳ ἐπὶ βήματος προκαθήμενος· τὰς δὲ πρεσβείας τάς C
τε παρὰ τῶν δήμων, καὶ τὰς παρὰ τῶν βασιλέων ἀφικνουμέ-
νας τρισὶ τῶν ὑπατευκότων ἐπέτρεψεν, ὥστ᾽ αὐτοὺς χωρὶς ἕκα-
στον καὶ διακούειν τινῶν, καὶ ἀπόκρισιν αὐτοῖς διδόναι, πλὴν τῶν
ὅσα ἀναγκαῖον ἦν τήν τε βουλὴν καὶ ἐκεῖνον ἐπιδιακρίνειν.
κατὰ δὲ τὸν καιρὸν τοῦτον Γερμανικοῦ τοῦ υἱέος Δρούσου ἐν Δαλ-
ματίᾳ ἐστρατευμένου, καὶ πόλει τινὶ ὀχυρᾷ προσκαθημένου, καὶ
μὴ οἵου τε γιγνομένου ταύτην ἑλεῖν, Πουλίων ἱππεὺς Κελτὸς λίθον
ἐς τὸ τεῖχος ἀφεὶς, οὕτω τὴν ἔπαλξιν διέσεισεν ὥστε αὐτὴν αὐ-
τίκα πεσεῖν, καὶ τὸν ἄνδρα τὸν ἐπικεκλιμένον οἱ συγκατασπά-
σαι. γενομένου δὲ τούτου, ἐκπλαγέντες οἱ ἄλλοι καὶ φοβηθέντες
τό, τε τεῖχος ἐκεῖνο ἐξέλιπον, καὶ ἐς τὴν ἀκρόπολιν ἀνέδραμον,
καὶ μετὰ τοῦτο καὶ ταύτην καὶ ἑαυτοὺς παρέδοσαν. τοῦ δὲ Βάτω- D
νος, ὃς πολλὰ τοὺς Ῥωμαίους, ἀποστήσας τοὺς Δαλμάτους, ἐκάκω-
σε, καθ᾽ ὁμολογίαν ποτὲ τῷ Τιβερίῳ προσκεχωρηκότος, καὶ
τῇ ὑστεραίᾳ ἐπὶ βήματος αὐτῷ καθημένῳ προσενεχθέντος, ὁ μὲν
Τιβέριος ἠρώτησεν αὐτόν, Τί ὑμῖν ἔδοξε καὶ ἀποστῆναι, καὶ ἐπὶ
τοσοῦτον ἡμῖν χρόνον ἀντιπολεμῆσαι; ὁ δὲ ἔφη ὅτι Ὑμεῖς τού-
των αἴτιοι ἐστέ. ἐπὶ γὰρ τὰς ἀγέλας ὑμῶν φύλακας, οὐ κύνας,

84 οὐδὲ νομέας, ἀλλὰ λύκους πέμπετε. ἡ μὲν οὖν Δαλματία οὕτω προσε-
A χώρησε τοῖς Ῥωμαίοις. κατὰ δὲ τὴν Κελτικὴν δεινὸν αὐτοῖς
συνεκύρησε πάθημα. ἦρχε μὲν γὰρ αὐτῆς Οὐάρος Κυιντίλιος,
οἱ δὲ Κελτοὶ, ἕως μὲν κατὰ βραχὺ καὶ ὁδῷ τινι μετὰ φυλακῆς
τὰ πάτρια μετεμάνθανον, οὔτ' ἐβαρύνοντο τῇ τοῦ βίου μετα-
βολῇ, ἐλάνθανον σφᾶς ἀλλοιούμενοι· ἐπεὶ δὴ ὁ Οὐάρος μετὰ τὴν
τῶν Σύρων ἀρχὴν, τὴν τῆς ἡγεμονίας τῆς Γερμανίας λαβὼν, καὶ
τὰ παρ' ἐκείνοις ἐκ τῆς ἀρχῆς διοικῶν, ἔσπευσεν αὐτοὺς ἀθρο-
B ώτερον μεταστῆσαι· καὶ τά τε ἄλλα ὡς καὶ δουλεύουσι σφίσιν ἐπέ-
ταττε, καὶ χρήματα ὡς καὶ παρ' ὑπηκόων ἐσέπρασσεν, οὐκ
ἠνέσχοντο. καὶ ἐκ μὲν τοῦ φανεροῦ οὐκ ἀπέστησαν, προσποιησά-
μενοι δὲ εὐνοεῖν αὐτῷ, ἔπειτα στρατευσαμένῳ ἐπί τινας τῶν βαρ-
βάρων προσελθόντες ἀθρόοι ὡς συμμαχήσοντες, καὶ ἔν τισι
δυσχωρίαις αὐτὸν περισχόντες μηδὲν προειδόμενον, περιστάν-
τες τε πάντοθεν ἔβαλλον· ἕως ἅπαν τὸ ῥωμαϊκὸν στράτευμα
μηδὲ ἀμύνασθαι δυνάμενον, μηδὲ φυγῆς ἔχον τόπον, διέφθει-
C ραν. Οὐάρος δὲ καὶ ὅσοι τῶν ἐλλογιμωτέρων αὐτῷ συνῆσαν, διε-
χρήσαντο σφᾶς. μαθὼν δὲ ὁ Αὔγουστος τὰ τῷ Οὐάρῳ συμβεβη-
κότα, τήν τε ἐσθῆτα περιερρήξατο, καὶ πένθος μέγα ἐπί τε τοῖς
ἀπολωλόσι καὶ ἐπὶ τῷ περὶ τῶν Γαλατιῶν δέει ἐποιήσατο, ἤλπι-
ζε δὲ καὶ ἐπὶ τὴν Ἰταλίαν, τήν τε Ῥώμην αὐτὴν ὁρμήσειν αὐ-
τούς. καὶ οὔτε πόλις τις οἱ ἀξιόλογος ὑπελέλειπτο, καὶ τὰ συμμαχι-
κά, ὧν τι καὶ ὄφελος ἦν, ἐκεκάκωτο. ὅμως δὴ οὖν τά τε ἄλλα,
ὡς ἐκ τῶν παρόντων, παρεσκευάσατο, καὶ ἐπειδὴ μηδεὶς τῶν τὴν
D στρατεύσιμον ἡλικίαν ἐχόντων καταλεχθῆναι ἠθέλησεν, ἐκλή-
ρωσεν αὐτούς. καὶ τῶν μὲν μηδέπω πέντε καὶ τριάκοντα ἔτη γεγο-
νότων, τὸν πέμπτον, τῶν δὲ πρεσβυτέρων τὸν δέκατον ἀεὶ λαχόν-
τα, τήν τε οὐσίαν ἀφείλετο καὶ ἠτίμωσε καὶ τέλος, ὡς καὶ πάνυ πολ-
λοὶ οὐδ' οὕτω τι αὐτοῦ προετίμων, ἀπέκτεινέ τινας. ἀποκλη-
ρώσας δὲ ἔκ τε τῶν ἐστρατευμένων ἤδη, καὶ ἐκ τῶν ἐξελευθέρων
ὅσους ἠδυνήθη, κατέλεξε, καὶ εὐθὺς σπουδῇ μετὰ τοῦ Τιβερίου
ἐς τὴν

ἐς τὴν Γερμανίαν ἔπεμψε. μετὰ δὲ τοῦτο ἀκούσας ὅτι τῶν τε στρα-
τιωτῶν τινες ἐσώθησαν, τό, τε πολέμιοι οὐδὲ ἐπὶ τὸν Ῥῆνον ἐλ- 85
θεῖν ἐτόλμησαν, ἀπηλλάγη τῆς ταραχῆς. τότε δ' οὖν ταῦτά A
τε οὕτως ἐπράχθη, καὶ τοῖς μάντεσιν ἀπηγορεύθη μήτε κατὰ μό-
νας τινί, μήτε περὶ θανάτου, μηδ' ἂν ἄλλοι συμπαρῶσιν οἱ, χρᾶν.
καίτοι οὕτως οὐδὲν τῷ Αὐγούστῳ τῶν καθ' ἑαυτὸν ἔμελεν, ὥσ-
τε καὶ ἐκ προγραφῆς πᾶσι τὴν τῶν ἀστέρων διάταξιν, ὑφ' ὧν ἐγε-
γέννητο, φανερῶσαι. ὡς δὲ ἐπὶ γήρως ὤν, τόν τε Γερμανικὸν τῇ
βουλῇ, καὶ ταύτην τῷ Τιβερίῳ παρακατέθετο. αἰτήσας δὲ τὸ βι-
βλίον ἐκ αὐτῆς (οὐ γὰρ οἷός τ' ἦν ἀναγιγνώσκειν) ἀλλ' ὁ Γερμανικός,
ὥσπερ εἰώθει. καὶ μετὰ τοῦτ' ᾐτήσατο παρ' αὐτῶν ἐπὶ τῇ τοῦ Κελ- B
τικοῦ πολέμου προφάσει, μήτ' οἴκοι αὐτὸν ἀσπάζεσθαι, μήτ'
ἀγανακτεῖν εἰ μηκέτι συσσιτοίη σφίσι. τὸ μὲν γὰρ πλεῖστον ἄλλως
τε καὶ ὁσάκις ἕδρα αὐτῶν ἐγίγνετο, ἔν τε τῇ ἀγορᾷ καὶ ἐν αὐτῷ γε
ἔστιν ὅτε τῷ συνεδρίῳ, καὶ ἰόντα αὐτὸν καὶ ἀπιόντα αὖθις ἠσπά-
ζοντο, ἤδη δὲ καὶ ἐν τῷ παλατίῳ καὶ καθήμενόν γε, ἔστι δ' ὅτε καὶ
κατακείμενον, οὐχ ὅτι ἡ γερουσία, ἀλλὰ καὶ οἱ ἱππεῖς τοῦ τε δήμου
πολλοί. Λουκίου δὲ δὴ τοῦ Μουνατίου, καὶ Γαΐου Σιλίου ἐς τοὺς
ὑπατεύοντας ἐσγραφέντων, καὶ τὴν τε προστασίαν τῶν κοινῶν τὴν
δεκέτη, τὴν πέμπτην ἄκων ἤδη ὁ Αὔγουστος ἔλαβε, καὶ συμ-
βούλους ὑπὸ τοῦ γήρως, (ὑφ' οὗπερ οὐδὲ ἐς τὸ βουλευτήριον ἤ-
δη, πλὴν σπανιώτατα, συνεφοίτα) εἴκοσιν ἐτησίους ᾐτήσατο. C
πρότερον γὰρ καθ' ἑξάμηνον πεντεκαίδεκα προσετίθετο. ἐπεὶ
δὲ ἐπὶ τῇ εἰκοστῇ πάντες ὡς εἰπεῖν ἐβαρύνοντο, καὶ ἐδόκει τι νεώ-
τερον ἔσεσθαι, ἐσέπεμψε βιβλίον ἐς τὴν βουλήν, κελεύων ἄλ-
λους τινὰς αὐτὴν πόρους ζητῆσαι. τοῦτο δὲ οὐχ ὡς καὶ ἐκεῖνο τὸ τέ-
λος καταλύσων ἐποίησεν, ἀλλ' ἵνα μηδενὸς ἄλλου αἱρετωτέρου
σφίσι φανέντος, καὶ ἄκοντες αὐτὸ αὐτοὶ τ' αὐτοῦ διαβολῆς βε-
βαιώσωσι. καὶ ὅπως γε μὴ τοῦ Γερμανικοῦ τοῦ τε Δρούσου γνώμην D
τινὰ εἰπόντων, ὑποτοπήσωσί τι ἐκ τῆς αὐτοῦ ἐντολῆς τοῦτο γε-
γονέναι, τὰ ἀεὶ ἐξέτασιν αὐτὴν ἔλωνται, προσέταξε μηδέτερον

αὐτῶν μηδὲν εἰπεῖν. καὶ ἐλέχθη μὲν πολλά, καί τινα καὶ διὰ
βιβλίων τῷ Αὐγούστῳ ἐδηλώθη. καταμαθὼν δὲ ἐξ αὐτῶν
πάντα μᾶλλον ἢ ἐκεῖνο ἑτοίμους σφᾶς ὑπομεῖναι ὄντας, ἐπί
τε τοὺς ἀγροὺς καὶ ἐπὶ τὰς οἰκίας τὴν συντέλειαν ἦγαγε· καὶ παρα-
χρῆμα μηδὲν εἰπών, μήθ᾽ ὅσον, μήθ᾽ ὅπως αὐτὴν δώσουσιν, ἔπεμ-
56 ψεν δήπου ἄλλῃ τε καὶ τῶν ἰδιωτῶν καὶ τὰ τῶν πόλεων κτήματα
A ἀπογραψομένους, ἵν᾽ ὡς καὶ μειζόνως ζημιωθησόμενοι δείσωσι,
καὶ τὴν εἰκοστὴν τελεῖν ἀνθέλωνται· ὃ καὶ ἐγένετο. καὶ ταῦτα μὲν
ὧδέ πῃ τῷ Αὐγούστῳ διῳκεῖτο· ἐν δὲ τῇ τῶν Αὐγουσταλίων θέᾳ,
ἥτις ἐπὶ τοῖς αὐτοῦ γενεθλίοις ἐγίνετο, ἀνήρ τις ἐμμανὴς ἔς τε τὸν
δίφρον τὸν τῷ Καίσαρι τῷ Ἰουλίῳ κείμενον ἐνιδρύθη, καὶ τὸν
στέφανον αὐτοῦ λαβὼν περιέθετο. καὶ ἐδόκει ἐς τὸν Αὔγουστόν τε
B σημαίνεσθαι, ὅπερ καὶ ἀληθὲς ἦν. τῷ γὰρ ἐχομένῳ ἔτει, ἐν ᾧ Σέ-
ξτος τε Ἀπουλήιος καὶ Σέξτος Πομπήιος ὑπάτευσαν, ἐξωρμή-
θη τε ἐς τὴν Καμπανίαν ὁ Αὔγουστος, καὶ τὸν ἀγῶνα τὸν ἐν τῇ
Νεαπόλει διαθεὶς, ἔπειτα ἐν Νώλῃ μετήλλαξε. τέρατα δὲ ἄρα
ἐς τοῦτο αὐτῷ φέροντα, οὔτι ἐλάχιστα, οὔτε δυσσύμβλητα ἐγεγό-
νει· ὅ,τε γὰρ ἥλιος πᾶς ἐξέλιπε, καὶ τοῦ οὐρανοῦ τὸ πολὺ καίε-
σθαι ἔδοξε. ξύλα τε διάπυρα ἀπ᾽ αὐτοῦ πίπτοντα ἐφαντάσθη,
καὶ ἀστέρες κομῆται καὶ αἱματώδεις ὤφθησαν. βουλῆς τε ἐπὶ
τῇ νόσῳ αὐτοῦ ἐπαγγελθείσης, ἵν᾽ ἀρχαὶ ποιήσωνται, τό,τε συνέ-
δριον κεκλεισμένον εὑρέθη, καὶ βύας ὑπὲρ αὐτοῦ καθήμενος ἔ-
C βυξε· καὶ κεραυνὸς ἐς εἰκόνα ἐν τῷ Καπιτωλίῳ ἑστῶσαν ἐμπε-
σὼν, τὸ γράμμα τὸ πρῶτον τοῦ ὀνόματος τοῦ Καίσαρος ἠφάνι-
σεν. ὅθεν οἱ μάντεις τῇ μετὰ τοῦτο αὐτὸν ἡμέρᾳ θείας τινὸς μοί-
ρας μεταλήψεσθαι ἔφασαν, τεκμαιρόμενοι ὅτι τό,τε στοιχεῖον
ἐκεῖνο τὸν τῶν ἑκατὸν ἀριθμὸν παρὰ τοῖς Λατίνοις, καὶ τὸ λοι-
πὸν πᾶν ὄνομα θεὸν παρὰ τοῖς Τυρσηνοῖς νοεῖ. ὁ δ᾽ οὖν Αὔγου-
στος νοσήσας μετήλλαξε· καί τινα ὑποψίαν τοῦ θανάτου αὐτοῦ,
ἐμοὶ γοῦν οὐ πιστὴν, ἡ Λιβία ἔλαβε. δείσασα γὰρ, ὥς φασι, μὴ
τὸν τοῦ Ἀγρίππου υἱὸν Ἀγρίππαν ἐπὶ τῇ μοναρχίᾳ καταγάγῃ,

(ἐγεώργει γὰρ τῆς Ῥώμης ἔν τινι νήσῳ) σῦκα τινὰ ἐπὶ δέν- D
δροις ἔτ' ἐπόντα, ἀφ' ὧν ὁ Αὔγουστος αὐτοχειρίᾳ συκάζειν εἰώ-
θει, φαρμάκῳ ἔχρισε, καὶ αὐτή τε ἅμα τὰ ἀνήλειφα ἤσθιε, καὶ
ἐκείνῳ τὰ πεφαρμαγμένα προσέβαλεν. εἴτ' οὖν ἐκ τούτου, εἴτε
καὶ ἄλλως ἀῤῥωστήσας, τούς τε ἑταίρους συνεκάλεσε, καὶ εἰπὼν
αὐτοῖς ὅσα ἐχρῆζε, τέλος ἔφη ὅτι τὴν Ῥώμην γηΐνην παρα-
λαβὼν, λιθίνην ὑμῖν καταλείπω. τοῦτο μὲν οὖν οὐ πρὸς τὸ τῶν
οἰκοδομημάτων αὐτῆς ἀκριβὲς, ἀλλὰ πρὸς τὸ τῆς ἀρχῆς ἰσχυ- 87
ρὸν ἐνεδείξατο. κρότον δὲ δή τινα παρ' αὐτῶν ὁμοίως τοῖς γελω- A
τοποιοῖς, ὡς καὶ ἐπὶ μίμου τινὸς τελευτῆς, αἰτήσας, καὶ πάνυ
πάντα τὸν τῶν ἀνθρώπων βίον διέσκωψε. καὶ ὁ μὲν οὕτω τῇ ἐν-
νεακαιδεκάτῃ τοῦ Αὐγούστου, ἐν ᾗ ποτε τὸ πρῶτον ὑπάτευσε, με-
τήλλαξε, ζήσας μὲν πέντε καὶ ἑβδομήκοντα ἔτη, καὶ μῆνας δέκα
καὶ ἡμέρας ἓξ καὶ εἴκοσι· τῇ γὰρ τρίτῃ καὶ εἰκοστῇ τοῦ Σεπτεμβρίου
ἐγεγέννητο· μοναρχήσας δὲ ἀφ' οὗ πρὸς τῷ Ἀκτίῳ ἐνίκησε, τέσ-
σαρα καὶ τεσσαράκοντα ἔτη δεκατριῶν ἡμερῶν δέοντα. οὐ μέν-
τοι ἐκφανὴς εὐθὺς ὁ θάνατος αὐτοῦ ἐγένετο. ἡ γὰρ Λιβία φοβη-
θεῖσα μὴ τοῦ Τιβερίου ἐν τῇ Δελματίᾳ ἔτ' ὄντος νεωτερισθῇ τι, B
συνέκρυψεν αὐτὸν μέχρις οὗ ἐκεῖνος ἀφίκετο. τὸ δὲ σῶμα τὸ
τοῦ Αὐγούστου ἐκ μὲν τῆς Νώλης οἱ πρῶτοι καθ' ἑκάστην πόλιν
ἐκ διαδοχῆς ἐβάστασαν, πρὸς δὲ δὴ τῇ Ῥώμῃ γενόμενον οἱ ἱπ-
πεῖς παραλαβόντες νυκτὸς ἐς τὸ ἄστυ ἐσεκόμισαν. τῇ δ' ὑστε-
ραίᾳ βουλὴ ἐγένετο, καὶ ἐς αὐτὴν οἱ μὲν ἄλλοι τὴν ἱππάδα
στολὴν ἐνδεδυκότες συνῆλθον, οἱ δ' ἄρχοντες τὴν βουλευτικὴν,
πλὴν τῶν ἱματίων τῶν περιπορφύρων. ὁ δὲ δὴ Τιβέριος καὶ ὁ
Δροῦσος ὁ υἱὸς αὐτοῦ φαιὰ τὸν ἀγοραῖον τρόπον πεποιημένα
εἶχον· καὶ τοῦ μὲν λιβανωτοῦ καὶ αὐτοὶ ἔθυσαν, τῷ δ' αὐλητῇ
οὐκ ἐχρήσαντο. ἐκαθέζοντο δὲ οἱ μὲν πολλοὶ, ὥς που ἕκαστος εἰώ- C
θει, οἱ δ' ὕπατοι κάτω ἐν τοῖς βάθροις, ὁ μὲν τῷ τῶν στρατηγῶν,
ὁ δὲ τῷ τῶν δημάρχων. καὶ μετὰ τοῦτο τὰς διαθήκας αὐτοῦ Πο-
λύβιός τις Καισάρειος ἀνέγνω, ὡς μὴ πρέπον βουλευτῇ τοῦτο

ς ἀναλέγεσθαι. κατελέλειπτο δὲ ἐν αὐταῖς τὰ μὲν δύο μέρη
τοῦ κλήρου τῷ Τιβερίῳ, τὸ δὲ λοιπὸν τῇ Λιβίᾳ, ὥς τινες λέγου-
σιν. ἵνα γάρ τι καὶ ἐκείνη τῆς οὐσίας αὐτοῦ ἀπόνηται, παρά τε τῆς
βουλῆς ᾐτήσατο, τοσοῦτόν οἱ καὶ παρὰ τὸν νόμον καταλι-
πεῖν δυνηθῆναι. κληρονόμοι μὲν δὴ οὗτοι ἐγεγράφατο. κλήμα-
D τα δὲ καὶ χρήματα πολλὰ πολλοῖς καὶ τῶν προσηκόντων οἱ καὶ
τῶν ἀλλοτρίων, οὐχ ὅπως βουλευταῖς καὶ ἱππεῦσιν, ἀλλὰ καὶ
βασιλεῦσι, τῷ τε δήμῳ χιλίας μυριάδας· καὶ τοῖς στρατιώταις,
τοῖς μὲν δορυφόροις, κατὰ πεντήκοντα καὶ διακοσίας δραχμάς,
τοῖς δ' ἀστικοῖς τὴν ἡμίσειαν, τῷ τε λοιπῷ τῷ πολιτικῷ πλήθει
πέντε καὶ ἑβδομήκοντα δοθῆναι ἐκέλευσε. καὶ προσέτι καὶ τοῖς
παισὶν, ὧν μικρῶν ἔτι ὄντων, τοὺς πατέρας τὴν οὐσίαν ἐκεκληρο-
88 νομήκει, προσέταξε πάντα μετὰ τῆς προσόδου, ἐπειδὰν ἀν-
A δρωθῶσιν, ἀποδοθῆναι. ὅπερ πού καὶ ζῶν ἐποίει. εἰ γάρ τινα τέ-
κνα ἔχοντα διεδέξατο, τοῖς παισὶν αὐτοῦ πάντως, εἰ μὲν ἤδη τό-
τε τέλειοι ἦσαν, εὐθὺς, εἰ δὲ μὴ, μετὰ τοῦτο πάντα ἀπεδίδου. τοιοῦ-
τος μὲν δὴ περὶ τοὺς ἀλλοτρίους παῖδας ὢν, τὴν θυγατέρα οὐ
κατήγαγε, καίπερ καὶ δωρεῶν ἀξιώσας, καὶ ταφῆναι ἐν τῷ αὐτοῦ
μνημείῳ ἀπηγόρευσε. τοσαῦτα μὲν αἱ διαθῆκαι ἐδήλουν. ἐσε-
B κομίσθη δὲ καὶ βιβλία τέσσαρα, καὶ αὐτὰ ὁ Δροῦσος ἀνέγνω.
ἐγέγραπτο δὲ ἐν μὲν τῷ πρώτῳ, ὅσα τῆς ταφῆς εἴχετο, ἐν δὲ τῷ
δευτέρῳ τὰ ἔργα ἃ ἔπραξε πάντα, ἃ καὶ ἐς χαλκᾶς στήλας
πρὸς τῷ ἡρῴῳ αὐτοῦ σταθείσας ἀναγραφῆναι ἐκέλευσε. τὸ τρί-
τον, τά τε τῶν στρατιωτῶν καὶ τὰ τῶν προσόδων, τῶν τε ἀναλω-
μάτων τῶν δημοσίων, τό, τε πλῆθος τῶν ἐν τοῖς θησαυροῖς χρημά-
των, καὶ ὅσα ἄλλα τοιουτότροπα ἐς τὴν ἡγεμονίαν φέροντα ἦν,
εἶχε. καὶ τὸ τέταρτον ἐντολὰς καὶ ἐπισκήψεις τῷ Τιβερίῳ καὶ τῷ
κοινῷ ἄλλας τε, καὶ ὅπως μήτ' ἀπελευθερῶσι πολλοὺς, ἵνα μὴ
C παντοδαποῦ ὄχλου τὴν πόλιν πληρώσωσι μήτ' αὖ ἐς τὴν πο-
λιτείαν συχνοὺς ἐσγράφωσιν, ἵνα πολὺ τὸ διάφορον αὐτοῖς πρὸς
τοὺς ὑπηκόους ᾖ. τά τε κοινὰ πᾶσι τοῖς δυναμένοις καὶ εἰδέναι καὶ

πράττειν, ἐπιτρέπειν, καὶ ἐς μηδένα ἀναρτᾶν αὐτὰ παρῄνεσε
σφίσιν, ὅπως μήτε τυραννίδος τις ἐπιθυμήσῃ, μήτ᾽ αὖ πταίσαν-
τος ἐκείνου, τὸ δημόσιον σφαλῇ. γνώμην τε αὐτοῖς ἔδωκε, τοῖς
τε παροῦσιν ἀρκεσθῆναι, καὶ μηδαμῶς ἐπὶ πλεῖον τὴν ἀρχὴν
ἐπαυξῆσαι ἐθελῆσαι. δυσφύλακτόν τε γὰρ αὐτὴν ἔσεσθαι, καὶ κιν-
δυνεύσειν ἐκ τούτου καὶ τὰ ὄντα ἀπολέσαι ἔφη. τοῦτο γὰρ καὶ αὐ- D
τὸς ὄντως ἀεί ποτε οὐ λόγῳ μόνον ἀλλὰ καὶ ἔργῳ ἐτήρησε. παρὸν
γοῦν αὐτῷ πολλὰ ἐκ τοῦ βαρβαρικοῦ προσκτήσασθαι, οὐκ ἠθέ-
λησε. ταῦτα μὲν αἱ ἐντολαὶ εἶχον. μετὰ δὲ τοῦτο ἡ ἐκφορὰ αὐτοῦ
ἐγένετο. κλίνη ἦν ἔκ τε ἐλέφαντος καὶ χρυσοῦ πεποιημένη, καὶ
στρώμασιν ἁλουργοῖς διαχρύσοις κεκοσμημένη· καὶ ἐν αὐτῇ τὸ
μὲν σῶμα κάτω που ἐν θήκῃ συνεκέκρυπτο, εἰκὼν δέ τις αὐτοῦ
κηρίνη ἐν ἐπινικίῳ στολῇ ἐξεφαίνετο. καὶ αὕτη μὲν ἐκ τοῦ πάλα-
τίου πρὸς τῶν ἐς νέωτα ἀρξόντων, ἑτέρα δὲ ἐκ τοῦ βουλευτη- 89
ρίου χρυσῆ, καὶ ἑτέρα αὖ ἐφ᾽ ἅρματος πομπικοῦ ἤγετο. καὶ μετὰ A
ταύτας αἵ τε τῶν προπατόρων αὐτοῦ, καὶ αἱ τῶν ἄλλων συγγενῶν
τῶν τεθνηκότων (πλὴν τῆς τοῦ Καίσαρος, ὅτι ἐς τοὺς ἥρωας ἐσε-
γέγραπτο) αἵ τε τῶν ἄλλων Ῥωμαίων τῶν καθ᾽ ὁτιοῦν πρωτευ-
σάντων, ἀπ᾽ αὐτοῦ τοῦ Ῥωμύλου ἀρξάμεναι, ἐφέροντο. καί τις καὶ
τοῦ Πομπηίου τοῦ μεγάλου εἰκὼν ὤφθη, τά τε ἔθνη πάνθ᾽ ὅσα
προσεκτήσατο, ἐπιχωρίως σφίσιν ὡς ἕκαστα ἀπῃκασμένα
ἐπέμφθη. προτεθείσης δὲ τῆς κλίνης ἐπὶ τοῦ δημηγορικοῦ βή-
ματος, ἀπὸ μὲν ἐκείνου ὁ Δροῦσός τι ἀνέγνω· ἀπὸ δὲ τῶν ἑτέρων B
ἐμβόλων τῶν Ἰουλείων ὁ Τιβέριος δημόσιον δή τινα κατὰ δό-
γμα λόγον ἐπ᾽ αὐτῷ ἐπελέξατο. μετὰ δὲ τοῦτο τὴν κλίνην οἱ
αὐτοὶ οἵπερ καὶ πρότερον ἀράμενοι, διὰ τῶν ἐπινικίων πυλῶν, κατὰ
τὰ τῇ βουλῇ δόξαντα, διεκόμισαν. παρῆν δὲ καὶ συνεξέφερεν αὐ-
τὸν ἥ τε γερουσία καὶ ἡ ἱππάς, αἵ τε γυναῖκες αὐτῶν, καὶ τὸ δορυ-
φορικόν, οἵ τε λοιποὶ πάντες, ὡς εἰπεῖν, οἱ ἐν τῇ πόλει τότε ὄντες.
ἐπεὶ δὲ ἐς τὴν πυρὰν τὴν ἐν τῷ Ἀρείῳ πεδίῳ ἀνετέθη, πρῶτον
μὲν οἱ ἱερεῖς πάντες περιῆλθον αὐτήν, ἔπειτα δὲ οἵ τε ἱππῆς,

οἵ τε ἐκ τοῦ τέλους καὶ οἱ ἄλλοι, καὶ τὸ ὁπλιτικὸν τὸ φρουρικὸν περι-
έδραμον, πάντα τὰ νικητήρια ὅσα τινὲς αὐτῶν ἐπ' ἀριστείᾳ πο-
τὲ παρ' αὐτοῦ εἰλήφεσαν, ἐπιβάλοντο αὐτῷ. κἀκ τούτου δᾳδας
ἑκατόνταρχοι λαβόντες, ὑφῆψαν αὐτήν· καὶ ἡ μὲν ἀνηλίσκετο,
ἀετὸς δέ τις ἐξ αὐτῆς ἀφεθεὶς ἀνίπτατο, ὡς καὶ δὴ τὴν ψυχὴν αὐ-
τοῦ ἐς τὸν οὐρανὸν ἀναφέρων. πραχθέντων δὲ τούτων, οἱ μὲν ἄλλοι
ἀπηλλάγησαν· ἡ δὲ δὴ Λιβία κατὰ χώραν πέντε ἡμέρας μετὰ τῶν
πρώτων ἱππέων μείνασα, τά τε ὀστᾶ αὐτοῦ συνελέξατο, καὶ ἐς
τὸ μνημεῖον κατέθετο. τὸ δὲ δὴ πένθος, τὸ μὲν ἐκ τοῦ νόμου, οἱ μὲν
D ἄνδρες οὐ πολλαῖς ἡμέραις, αἱ δὲ γυναῖκες ἐνιαυτὸν ὅλον κατὰ
ψήφισμα ἐποιήσαντο· τὸ δ' ἀληθές, ἐν μὲν τῷ παραχρῆμα οὐ πολ-
λοί, ὕστερον δὲ πάντες ἔσχον. εὐπρόσοδός τε γὰρ πᾶσιν ὁμοίως ἦν,
καὶ ἐς χρήματα πολλοῖς ἐπήρκει· τούς τε φίλους ἰσχυρῶς ἐτίμα, καὶ
ταῖς παρρησίαις αὐτῶν ὑπερέχαιρε. τεκμήριον δὲ πρὸς τοῖς εἰρη-
μένοις, ὅτι τοῦ Ἀθηνοδώρου ἐν δίφρῳ ποτὲ κατάστεγῳ ἐς τὸ δω-
μάτιον αὐτοῦ, ὡς γυναικός τινος, εἰσκομισθέντος, καὶ ἐξ αὐτοῦ ξι-
90 φήρους ἐκπηδήσαντος, καὶ προσειπόντος, Οὐ φοβῇ μή τίς σε
A οὕτως εἰσελθὼν ἀποκλείνῃ; οὐχ ὅπως ὠργίσθη, ἀλλὰ καὶ χάριν
αὐτῷ ἔγνω. ταῦτά τε οὖν αὐτοῦ ἀνεμιμνήσκοντο, καὶ ὅτι καὶ τοῖς
λυπήσασί τι αὐτὸν, οὐκ ἀκράτως ὠργίζετο· τήν τε πίστιν καὶ
πρὸς τοὺς μὴ ἀξίους αὐτῆς ἐτήρει. Κοροκόταν γοῦν τινα λῃστὴν
ἐν Ἰβηρίᾳ ἀκμάσαντα, τὸ μὲν πρῶτον οὕτω δι' ὀργῆς ἔσχεν,
B ὥστε καὶ τῷ ζωγρήσαντι αὐτὸν πέντε καὶ εἴκοσι μυριάδας ἐπικη-
ρύξαι. ἔπειτ' ἐπειδὴ ἑκὼν οἱ προσῆλθεν, οὔτε τι κακὸν εἰργάσα-
το, καὶ προσέτι καὶ τῷ ἀργυρίῳ ἐκεῖνον ἐπλούτισε. διά τε οὖν ταῦτα,
καὶ ὅτι τὴν μοναρχίαν τῇ δημοκρατίᾳ μίξας, τό, τε ἐλεύθερον σφί-
σιν ἐτήρησε, καὶ τὸ κόσμιον τό, τε ἀσφαλὲς προσπαρεσκεύασεν,
ὥστ' ἔξω μὲν τοῦ δημοκρατικοῦ θράσους, ἔξω δὲ καὶ τῶν τυραννι-
κῶν ὕβρεων ὄντας, ἔν τε ἐλευθερίᾳ σώφρονι καὶ ἐν μοναρχίᾳ ἀ-
δεεῖ ζῆν, βασιλευομένους τε ἄνευ δουλείας, καὶ δημοκρατουμένους
C ἄνευ διχοστασίας, δεινῶς αὐτὸν ἐπόθουν. εἰ γάρ τινες καὶ τῶν προ-

τέρων τῶν ἐν τοῖς ἐμφυλίοις πολέμοις γενομένων ἐμνημόνευον,
ἐκεῖνα μὲν τῇ τῶν πραγμάτων ἀνάγκῃ ἀνετίθεσαν, τὴν δὲ δὴ γνώ-
μην αὐτοῦ, ἐξ οὗ τὸ κράτος ἀναμφίλογον ἔσχεν, ἐξετάζειν ἠξίουν.
οὐκ ἐλάχιστον δὲ αὐτῷ πρὸς εὐδοξίαν καὶ τὸ πολυχρόνιον τῆς ἡγε-
μονίας συνήρατο. τῶν μὲν γὰρ ἐκ τῆς δημοκρατίας ἀνδρῶν καὶ οἱ πλείους
καὶ οἱ δυνατώτεροι ἀπολώλεσαν· οἱ δ' ὕστεροι ἐκείνης μὲν οὐδὲν εἰδό-
τες, τοῖς δὲ παροῦσί τε μόνοις ἢ καὶ μάλιστα ἐντραφέντες, οὐ μόνον οὐκ
ἤχθοντο αὐτοῖς, ἅτε καὶ συνήθεσιν οὖσιν, ἀλλὰ καὶ ἔχαιρον, καὶ βελ- D
τίω καὶ ἀδεέστερα αὐτὰ ὧν ἤκουον, ὁρῶντές τε ὄντα. ταῦτα δὲ ἠπί-
σταντο μὲν καὶ ζῶντος αὐτοῦ, ἐπὶ πλεῖον δὲ ὅμως, μεταλλάξαντος,
ἔγνωσαν. καὶ γὰρ φιλεῖ πως τὸ ἀνθρώπινον οὐχ οὕτω τι εὐπαθοῦν
τῆς εὐδαιμονίας αἰσθάνεσθαι, ὡς δυστυχῆσαν ποθεῖν αὐτήν, ὅ-
περ που καὶ τότε περὶ τὸν Αὔγουστον συνέβη. τοῦ γὰρ Τιβερίου μετ' 91
αὐτὸν οὐχ ὁμοίου πειραθέντες, ἐκεῖνον ἐζήτουν. τοσοῦτον δὲ οὖν A
τὸ σύμπαν ἀλλήλων διενήνεγκαν, ὥστε τινὰς καὶ ἐς τὸν Αὔγουστον
ὑποπτεῦσαι, ὅτι ἐξεπίτηδες τὸν Τιβέριον, καίπερ εὖ εἰδὼς ὁ-
ποῖος ἦν, διάδοχον ἀπέδειξεν, ἵνα αὐτὸς εὐδοξήσῃ. τότε δ' οὖν
ἀθανατίσαντες αὐτὸν, ἱέρειαν τὴν Λιβίαν Αὐγοῦσταν ἤδη κα-
λουμένην ἀπέδειξαν. ἐκείνη δὲ Νυμερίῳ τινὶ Ἀττικῷ βουλευ- B
τῇ ἐστρατηγηκότι πέντε καὶ εἴκοσι μυριάδας ἐχαρίσατο, ὅτι τὸν
Αὔγουστον ἐς τὸν οὐρανὸν, κατὰ τὰ περί τε τοῦ Πρόκλου καὶ περὶ τοῦ Ῥω-
μύλου λεγόμενα, ἀνιόντα ἑωρακέναι ὤμοσε. καὶ αὐτῷ ἔν τε τῇ
Ῥώμῃ ἡρῷον ἐψηφίσθη μὲν ὑπὸ τῆς γερουσίας, οἰκοδομηθὲν δὲ
ὑπό τε τῆς Λιβίας καὶ ὑπὸ τοῦ Τιβερίου ἐποιήθη, καὶ ἄλλοθι πολ-
λαχόθι, τὰ μὲν ἑκόντων δὴ τῶν δήμων, τὰ δὲ καὶ ἀκόντων καὶ οἰκοδο-
μουμένων. καὶ ἡ ἐν τῇ Νώλῃ οἰκία ἐν ᾗ μετήλλαξεν, ἐτεμενίσθη,
καὶ ἐψηφίσθη ὅπως μήτ' εἰκὼν αὐτοῦ ἐν ἐκφορᾷ τινὸς πομπεύῃ,
τά τε Αὐγουστάλια οἱ δήμαρχοι, ὡς καὶ ἱεροπρεπεῖς ὄντες, διατιθῶ- C
σι. ταῦτα μὲν κατὰ Αὔγουστον ἐγένετο.

ΤΙΒΕΡΙΟΣ.

ΤΙΒΕΡΙΟΣ δὲ εὐπατρίδης μὲν ἦν καὶ
ἐπεπαίδευτο, φύσει δὲ ἰδιωτάτῃ ἐκέχρητο. οὔτε
γὰρ ὧν ἐπεθύμει προσεποιεῖτό τι, καὶ ὧν ἔ-
λεγεν, οὐδὲν ὡς εἰπεῖν ἐβούλετο· ἀλλ' ἐναν-
τιώτατα τῇ προαιρέσει τοὺς λόγους ποιού-
μενος, πᾶν τε ὃ ἐπόθει ἠρνεῖτο, καὶ πᾶν ὃ ἐμίσει προετείνετο· ὠρ-
γίζετό τε ἐν οἷς ἥκιστα ἐθυμοῦτο, καὶ ἐπιεικὴς ἐν οἷς μάλιστα
D ἠγανάκτει, ἐδόκει εἶναι· ἠλέει τε οὓς δῆθεν σφόδρα ἐκόλαζε, καὶ
ἐχαλέπαινεν οἷς συνεγίνωσκε· τόν τε ἔχθιστον ὡς οἰκειότατον
92 ἔστιν ὅτε ἑώρα, καὶ τῷ φιλτάτῳ ὡς ἀλλοτριωτάτῳ προσεφέ-
A ρετο· τό, τε σύμπαν, οὐκ ἠξίου τὸν αὐταρχοῦντα καταδήλους ὧν
φρονεῖ εἶναι. καὶ εἰ μὲν μόνον ταῦτ' εἶχεν, ἀφύλακτος ἂν τοῖς εἰς
πεῖραν αὐτοῦ ἐλθοῦσιν ἦν· πρὸς γάρ τοι τὸ ἐναντιώτατον πάν-
τα ἀναλαμβάνοντες, ἐκ τοῦ ἴσου τό, τε μὴ βούλεσθαί τι αὐ-
τὸν τῷ πάνυ ποθεῖν, καὶ τὸ ὀρέγεσθαί τινος τῷ μὴ ἐφίεσθαι ἐνό-
μιζον. νῦν δὲ ὠργίζετο εἴ τις αὐτοῦ συνεὶς φανερὸς ἐγένετο, καὶ
B πολλούς, οὐδὲν ἄλλο σφίσιν ἢ ὅτι συνενόησαν αὐτὸν, ἐγκαλέσαι
ἔχων, ἀπέκτεινε. μόνος οὖν, ὡς εἰπεῖν (ὅπερ που σπανιώτατόν
ἐστι) διεγένετο, ὃς οὔτ' ἠγνόησε τὴν φύσιν αὐτοῦ, οὔτ' ἤλεγξεν.
οὕτω γὰρ οὔτε πιστεύσαντες αὐτῷ ἠπατήθησαν, οὔτε ἐνδειξάμε-
νοι νοεῖν ἃ ἔπραττεν, ἐμισήθησαν. τοιοῦτος οὖν δή τις ὢν, ἔς
C τε τὰ στρατόπεδα καὶ εἰς τὰ ἔθνη πάντα, ὡς αὐτοκράτωρ, εὐ-
θὺς ἀπὸ τῆς Ῥώμης ἀπέστελε, μὴ λέγων αὐτοκράτωρ εἶναι· ψη-
φισθὲν γὰρ αὐτῷ καὶ τοῦτο μετὰ τῶν ἄλλων ὀνομάτων, οὐκ ἐδέξατο.
καὶ τὸν κλῆρον τοῦ Αὐγούστου λαβὼν, τὴν ἐπίκλησιν αὐτοῦ ταύ-
την οὐκ ἔθετο· τούς τε σωματοφύλακας ἀμφ' αὐτὸν ἤδη ἔχων,
ἐδεῖτο δὴ τῆς γερουσίας συνάρασθαί οἱ ὥστε μηδὲν βίαιον πα-
θεῖν. καὶ ἐπειδή γε κομψευσάμενός τις ἐπὶ τούτῳ φρουρὰ αὐτῷ,

ὡς οὐκ ἔχοντι, δοθῆναι ἐσηγήσατο, τόν τε χλευασμὸν αὐτοῦ
συνῆκε, καὶ ἔφη, ὅτι καὶ οἱ στρατιῶται οὐκ ἐμοί, ἀλλὰ δημόσιοί D
εἰσι. ταῦτά τε οὖν οὕτως ἔπρασσε, καὶ τὰ τῆς ἀρχῆς ἔργα πάν-
τα διοικῶν, ἠρνεῖτο μηδὲν αὐτῆς δεῖσθαι, καὶ τὸ μὲν πρῶτον
καὶ πᾶσαν αὐτὴν διά τε τὴν ἡλικίαν (ἓξ γὰρ καὶ πεντήκοντα
ἔτη ἐγεγόνει) καὶ δι' ἀμβλυωπίαν (πλεῖστον γὰρ τοῦ σκότους βλέπων
ἐλάχιστα τῆς ἡμέρας ἑώρα) ἐξίστασθαι ἔλεγεν. ἔπειτα δὲ κοι-
νωνούς τέ τινας καὶ συνάρχοντας, οὔτι γε καὶ πάντων καθά-
παξ, ὥσπερ ἐν ὀλιγαρχίᾳ, ἀλλ' ἐς τρία μέρη νέμων αὐτήν, ᾔ- 93
τει· καὶ τὸ μὲν αὐτὸς ἔχειν ἠξίου, τὰ δὲ ἑτέρων ἄλλοις παρεχώ- A
ρει. ἦν δὲ ταῦτα ἓν μέν, ἥ τε Ῥώμη καὶ ἡ ἄλλη Ἰταλία· ἕτερον
δέ, τὰ στρατόπεδα· καὶ ἕτερον, οἱ λοιποὶ ὑπήκοοι. ὡς οὖν πολλοῖς
ἐνέκειτο, οἱ μὲν ἄλλοι καὶ ὣς ἀντέλεγον δῆθεν, καὶ ἐδέοντο αὐτοῦ
ἄρχειν πάντων· Ἀσίνιος δὲ δὴ Γάλλος παρρησίᾳ ἀεί ποτε πα-
τρῴᾳ καὶ ὑπὲρ τὸ συμφέρον αὐτῷ χρώμενος, Ἑλοῦ, ἔφη, ἣν ἂν
ἐθελήσῃς μοῖραν. καὶ ὁ Τιβέριος, Καὶ πῶς οἷόν τέ ἐστιν, εἶπε, τὸν
αὐτὸν καὶ νέμειν τι καὶ αἱρεῖσθαι; συνεὶς οὖν ὁ Γάλλος ἐν ᾧ κα-
κοῦ ἐγεγόνει, τῷ μὲν λόγῳ ἐθεράπευσεν αὐτόν, ὑπολαβών, ὅ- B
τι οὐχ ὡς καὶ τὸ τρίτον ἕξοντός σου, ἀλλ' ὡς ἀδυνάτου ὄντος τὴν
ἀρχὴν διαιρεθῆναι, τοῦτό σοι προέτεινα· οὐ μέντοι καὶ τῷ ἔργῳ
ἐπράϋνεν, ἀλλὰ πολλὰ καὶ δεινὰ προπαθών, μετὰ ταῦτα ἀ-
πεσφάγη. καὶ γὰρ καὶ τὴν γυναῖκα αὐτοῦ τὴν προτέραν ἐγεγα-
μήκει, τόν τε Δροῦσον ὡς υἱὸν προσεποιεῖτο, ὅθεν περ καὶ πρότε-
ρον διὰ μίσους αὐτῷ ἦν. οἱ δὲ ἐν τῇ Γερμανίᾳ στρατιῶται τὸν
Γερμανικὸν καὶ Καίσαρα καὶ πολὺ τοῦ Τιβερίου κρείττω ὁρῶν- C
τες ὄντα, τόν τε Τιβέριον ἐκακηγόρησαν, κἀκεῖνον αὐτοκράτο-
ρα ἐπεκάλεσαν. ἐπειδή τε ἐκεῖνος πολλὰ εἰπών, καὶ μὴ δυνη-
θεὶς αὐτοὺς καταστῆσαι, τέλος τὸ ξίφος, ὡς ἑαυτὸν καταχρησό-
μενος, ἐσπάσατο, καί τις στρατιωτῶν τὸ ἑαυτοῦ ξίφος ἀνατείνας,
Τοῦτο, ἔφη, λάβε· ὀξύτερον γὰρ ἐστιν· ὅμως δ' οὖν συχνῷ χρό-
νῳ καὶ μόλις ἠδυνήθη σφᾶς καταστῆσαι. ἡνικαῦτα καὶ Γάϊος ὁ

Καλιγόλας υἱὸς ὢν αὐτοῦ (προσωνομάσθη δὲ οὕτως ὅτι ἐν τῷ
D στρατοπέδῳ τὸ πλεῖστον τραφεὶς, τοῖς στρατιωτικοῖς ὑποδήμα-
σιν ἀντὶ τῶν ἀστικῶν ἐχρῆτο) ὑπ' αὐτῶν κατεσχέθη. καὶ Γερμα-
νικὸς μὲν δυνηθεὶς ἂν τὴν αὐτοκράτορα ἀρχὴν λαβεῖν (ἡ γὰρ
εὔνοια πάντων ἁπλῶς τῶν τε Ῥωμαίων καὶ τῶν ὑπηκόων σφῶν
ἐς αὐτὸν ἐπνήει) οὐκ ἠθέλησε. Τιβέριος δ' ἐπῄνεσε μὲν αὐτὸν ἐπὶ
τούτῳ, καὶ τὴν γυναῖκα αὐτοῦ Ἀγριππῖναν· ὑπώπτευε δὲ τοὺς ἀμ-
φοτέρους· ἦν γὰρ κἀκείνη φρονηματώδης γυνή. ἐφ' ὅσον μὲν
94 οὖν ὁ Γερμανικὸς ἔζη, μετριώτερον ἦρχεν. αὐτὸς μὲν γὰρ καθ'
A ἑαυτὸν ἢ τι, ἢ οὐδὲν ἔπραττε· πάντα δὲ δὴ καὶ τὰ σμικρότα-
τα ἔς τε τὴν γερουσίαν ἐσέφερε, καὶ ἐκοίνου αὐτῇ. καὶ συμ-
βούλοις δ' ἀεὶ κατὰ τὸν Αὔγουστον παρελάμβανε. καὶ ἐς τὸ μέ-
σον τὴν ἑαυτοῦ γνώμην τιθεὶς, οὐχ ὅπως ἀντειπεῖν αὐτῇ παντί
τῳ παῤῥησίαν ἔνεμεν, ἀλλὰ καὶ τἀναντία πολλάκις ψηφιζομέ-
νων, ἔφερε. τὰ μὲν γὰρ αὔτικρυς ἀπεφαίνετο, τὰ δὲ δὴ πλείω (ἵνα
μὴ δοκῇ τὴν παῤῥησίαν αὐτῶν ἀφαιρεῖσθαι) ἔλεγεν, ὅτι εἰ γνώ-
B μην ἐποιούμην, τὰ καὶ τὰ ἂν ἀπεδειξάμην. ἐδίκαζε δὲ τοὺς ἐ-
πεφοίτα καὶ ἐπὶ τὰ τῶν ἀρχόντων δικαστήρια, παρακαλούμε-
νος ὑπ' αὐτῶν, καὶ ἀπαράκλητος. καὶ ἐκείνους μὲν ἐν τῇ αὐ-
τῶν χώρᾳ καθῆσθαι εἴα, αὐτὸς δὲ ἐπὶ τοῦ βάθρου τοῦ καταντι-
κρυ σφῶν κειμένου καθίζων, ἔλεγεν ὅσα ἐδόκει αὐτῷ, ὡς πάρε-
δρος. καὶ οὔτε δεσπότην ἑαυτὸν τοῖς ἐλευθέροις, οὔτε αὐτοκρά-
τορα, πλὴν τοῖς στρατιώταις, καλεῖν ἐφίει. τό, τε τοῦ πατρὸς τῆς πα-
τρίδος πρόσρημα παντελῶς διεώσατο· πρόκριτος δὲ τῆς γερου-
σίας κατὰ τὸ ἀρχαῖον ἤθελεν ὀνομάζεσθαι· καὶ πολλάκις ἔλεγεν,
C ὅτι δεσπότης μὲν τῶν δούλων, αὐτοκράτωρ δὲ τῶν στρατιωτῶν,
τῶν δὲ λοιπῶν πρόκριτός εἰμι. ηὔχετό τε τοσοῦτον καὶ ζῆσαι καὶ ἄρ-
ξαι χρόνον, ὅσον ἂν τῷ δημοσίῳ συμφέρῃ. καὶ οὕτω γε διὰ πάν-
των ὁμοίως δημοτικὸς ἦν, ὥστε οὔτε ἐν τοῖς γενεθλίοις αὐτοῦ γε-
νέσθαι τι παρὰ τὸ καθεστηκὸς ἐπέτρεπεν, οὔτ' ὀμνύναι τοῖς ἀν-
θρώποις τὴν αὐτοῦ τύχην συνεχώρει· οὔτ' εἰ καὶ ὀμόσας τις αὐτὴν,

αἰτίαν ὡς καὶ ἐπιορκηκὼς ἔλαβεν, ἐπεξῄει. Ταῦτά τε οὖν δημοτικῶς διῴκει, καὶ ὅτι οὔτε τεμένισμα αὐτῷ ἐτεμενίσθη, οὔτ' εἰκόνα ἐξῆν αὐτοῦ οὐδενὶ στῆσαι. ἄντικρυς γὰρ ἀπηγόρευσε μήτε D
πόλει μήτ' ἰδιώτῃ τοῦτο ποιεῖν. προσέθηκε μὲν γὰρ τῇ ἀπορρήσει, ὅτι ἂν μὴ ἐγὼ ἐπιτρέψω· προσεπεῖπε δὲ, ὅτι οὐκ ἐπιτρέψω. ἐπεί τοι καὶ τὸ ὑβρίσθαι πρός τινος, ἢ καὶ τὸ ἠσεβῆσθαι πρός τινος (ἀσεβείας τε γὰρ ἤδη καὶ τὸ τοιοῦτον ὠνόμαζον, καὶ δίκας ἐπ' αὐταῖς πολλὰς ἐσῆγον) ἥκιστα προσεποιεῖτο· οὐδὲ ἔστιν ἥντινα τοιαύτην ἐφ' ἑαυτῷ γραφὴν προσεδέξατο, καίπερ τὸν Αὔγουστον καὶ ἐν τούτῳ σεμνύνων. τὸ μὲν γὰρ πρῶτον, οὐδένα οὐδὲ τῶν ἐπ' ἐκείνῳ τινὰ αἰτίαν λαβόντων ἐκόλασε· προϊόντος δὲ τοῦ χρόνου ἐ- 95
πάνυ πολλοὺς ἐθανάτωσε· καὶ ἐν τούτῳ τὸν Αὔγουστον ἤγα- A
λε, καὶ ὅτι τά τε οἰκοδομήματα ἃ προκατεβάλετο μὲν, οὐκ ἐξετέλεσε δὲ ἐκποιῶν, τὸ ὄνομα αὐτοῦ ἐπέγραφε σφίσι· τά τε ἀγάλματα καὶ τὰ ἡρῷα αὐτοῦ, τὰ μὲν αὐτὸς καθιέρου, τὰ δὲ τῶν ποιησάντων εἶναι προσέταττε. πάντα δὲ τὰ πεποιηκότα τῆς Ῥώμης ἀνακτησάμενος (αὐτὸς γὰρ οὐδὲν τὸ παράπαν ἐκ καινῆς πλὴν τοῦ Αὐγουστείου κατεσκευάσατο) οὐδὲν αὐτῶν ἰδιώσατο, ἀλλὰ τὰ τῶν πρώτων οἰκοδομησαμένων ὀνόματα σφίσιν ἀπέδω- B
κεν. ἐλάχιστα γὰρ ἐς ἑαυτὸν δαπανῶν, πλεῖστα εἰς τὸ κοινὸν ἀνήλισκε, πάντα μὲν, ὡς εἰπεῖν, τὰ δημόσια ἔργα, τὰ μὲν ἀνοικοδομῶν, τὰ δὲ ἐπικοσμῶν, πολλὰ δὲ καὶ πόλεσι καὶ ἰδιώταις ἐπαρκῶν. παρῆν τε ὃ ἐδωρεῖτό τισιν, εὐθὺς καὶ ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἠριθμεῖτο. ἐπεὶ γὰρ ἐπὶ τοῦ Αὐγούστου μεγάλα ἐκ τῶν τοιούτων οἱ δοτῆρες αὐτῶν ἀπετέμνοντο, δεινῶς ἐφυλάττετο μὴ καὶ ἐφ' ἑαυτοῦ τοῦτο γίνεσθαι. καὶ ταῦτα μέντοι πάντα ἐκ τῶν νενομισμένων προσόδων ἐδαπάνα. οὔτε γὰρ ἀπέκτεινε χρημάτων ἕνεκα οὐδένα, οὔτ' οὐσίαν τινὸς τότε γε ἐδήμευσεν, C
ἀλλ' οὐδὲ ἐξ ἐπηρείας τι ἠργυρολόγησεν. Αἰμιλίῳ γοῦν Ῥήκτῳ χρήματά ποτε αὐτῷ πλείω παρὰ τὸ τεταγμένον ἐκ τῆς Αἰγύπτου ἧς ἦρχε πέμψαντι, ἀντεπέστειλεν ὅτι κείρεσθαί μου τὰ

προσέβαινε, ἀλλ' οὐκ ἀποξύρεσθαι βούλομαι. καὶ μέντοι καὶ εὐπρόσοδος καὶ εὐπροσήγορος ἰσχυρῶς ἦν. τοὺς γοῦν βουλευτὰς ἀθρόους ἀσπάζεσθαι αὐτὸν ἐκέλευσεν, ἵνα μὴ ὠθίζωνται. τό, τε σύμπαν, τοσαύτην ἐπιείκειαν ἤσκει, ὥστε ἐπειδή ποτε οἱ Ῥοδίων
D ἄρχοντες ἐπιστείλαντές τι αὐτῷ, οὐχ ὑπέγραψαν τῇ ἐπιστολῇ τοῦτο δὴ τὸ νομιζόμενον, εὐχὰς αὐτῷ ποιούμενοι, μετεπέμψατο μὲν σφᾶς σπουδῇ, ὡς καὶ κακόν τι δράσων, ἐλθόντας δὲ οὐδὲν δεινὸν εἰργάσατο, ἀλλ' ὑπογράψαντας τὸ ἐνδέον ἀπέπεμψε. τούς τε ἄρχοντας ὡς ἐν δημοκρατίᾳ ἐτίμα, καὶ τοῖς ὑπάτοις καὶ ὑπανίστατο. ὁπότε τε αὐτοὺς δειπνίζοι, τοῦτο μὲν, ἐσιόντας σφᾶς πρὸς ταῖς θύραις ἐξεδέχετο, τοῦτο δὲ καὶ ἀπιόντας προέπεμπεν. εἴ τέ ποτε ἐπὶ τοῦ δίφρου ἐκομίζετο, οὐδένα οἱ τῶν βουλευ-
96 τῶν ἢ τῶν ἱππέων παρακολουθεῖν εἴα. συνεχέστατα δὲ καὶ ἐπὶ
A τὰς θυσίας ἀπήντα, τῆς τε τιμῆς τῶν ἐπιτελούντων αὐτὰς ἕνεκα, καὶ τῆς τοῦ πλήθους ἀκοσμίας, τοῦ τε συνεορτάζειν σφίσι δοκεῖν. οὐ γὰρ ἐσπούδασέ ποτε τὸ παράπαν τῶν τοιούτων οὐδὲν, ὅτι δόξαν τινὰ, ὡς καὶ συσπουδάζων τινὶ, ἔσχε. καὶ ὀρχηστὴν δέ ποτε τοῦ δήμου ἐλευθερωθῆναι βουληθέντος, οὐ πρότερον συνεπήνεσε, πρὶν τὸν δεσπότην αὐτοῦ καὶ πεισθῆναι καὶ τὴν τιμὴν λαβεῖν. τοῖς τε ἑταίροις, ὡς καὶ ἐν ἰδιωτείᾳ συνῆν. καὶ γὰρ δικαζομένοις σφίσι συνηγωνίζετο, καὶ θύουσι συνεώρταζε· νοσοῦν-
B τάς τε ἐπεσκέπτετο, μηδεμίαν φρουρὰν ἐπισαγόμενος· καὶ ἐφ' ἑνί γέ τινι αὐτῶν τελευτήσαντι τὸν ἐπιτάφιον αὐτὸς εἶπεν· ἔν τε ταῖς πανηγύρεσι καὶ ἐν τοῖς θεάτροις ἐξ οἰκίας τινὸς τῶν Καισαρείων ἢ τῶν ἐξελευθέρων ἐθεᾶτο, ὅπως ἐξ ἐπιμονωτάτου καὶ ἀπορρωτάτου τοῖς ἀνθρώποις ἐντυγχάνειν αὐτῷ γίγνοιτο. καὶ μέντοι καὶ τὴν μητέρα τὴν Λιβίαν ἐς τὸ μετριώτεροι ἦγε καὶ ἀτυφώτερον. πάνυ γὰρ μέγα καὶ ὑπὲρ πάσας τὰς πρόσθεν γυναῖκας ὤγκωτο, ὥστε καὶ τὴν βουλὴν καὶ τοῦ δήμου τοὺς ἐθέλοντας οἴκαδε ἀσπασομένους εἰσδέχεσθαι· καὶ τοῦ-
C το καὶ ἐς τὰ δημόσια ὑπομνήματα ἐσγράφεσθαι. αἵ τε ἐπιστολαὶ

τοῦ Τιβερίου καὶ τὸ ἐκείνης ὄνομα χρόνον τινὰ εἶχον, τά τε ἄλλα πάντα ὡς καὶ αὐταρχοῦσα διοικεῖν ἐπεχείρει. ἐπί τε γὰρ τοῦ Αὐγούστου μέγιστον ἠδυνήθη, καὶ τὸν Τιβέριον αὐτὴ αὐτοκράτορα πεποιηκέναι ἔλεγε, καὶ διὰ τοῦτο οὐχ ὅσον ἐξ ἴσου ἄρχειν, ἀλλὰ καὶ πρεσβεύειν αὐτοῦ ἤθελε. καὶ διὰ τοῦτο καὶ οἱ κολακεύοντες αὐτὴν ἄλλα τε πολλὰ ἐψηφίσαντο, καὶ τὸν Τιβέριον ἀπ' αὐτῆς ἐπικαλεῖσθαι, ὥσπερ οἱ Ἕλληνες πατρόθεν, οὕτω καὶ ἐκεῖνον μητρόθεν, ἐσηγοῦντο. ἀγανακτῶν οὖν ἐπὶ τούτοις, οὔτε τὰ ψηφίσματα αὐτῇ, πλὴν ἐλαχίστων, ἐπεκύρου, καὶ τῶν δημοσίων D
παντάπασιν αὐτὴν ἀπήλλαξε. τὰ δ' οἴκοι διοικεῖν αὐτῇ ἐφείς· ἐπεὶ δὲ ὡς καὶ ἐν τούτοις ἐπαχθὴς ἦν, ἀποδημίας τε ἐστέλλετο, καὶ πάντα τρόπον αὐτὴν ἐξίστατο, ὥστε καὶ ἐς τὴν Καπρίαν δι' ἐκείνην οὐχ ἥκιστα μεταστῆναι. τῷ δὲ δὴ Δρούσῳ τῷ υἱεῖ καὶ ἀσελγεστάτῳ καὶ ὠμοτάτῳ ὄντι, (ὥστε καὶ τὰ ὀξύτατα τῶν ξιφῶν Δρουσιανὰ ἀπ' αὐτοῦ κληθῆναι) καὶ ἤχθετο, καὶ ἐπετίμα καὶ ἰδίᾳ καὶ δημοσίᾳ πολλάκις. καί ποτε αὐτῷ καὶ ἄντικρυς πολλῶν παρόντων εἶπεν, ὅτι ζῶντός μου, οὐδὲν οὔτε βίαιον, οὔθ' ὑβριστικὸν 97
πράξεις· ἂν δέ τι καὶ τολμήσῃς, οὐδὲ τελευτήσαντος. σωφρονέστα A
τα γὰρ χρόνον τινὰ διεγένετο, καίτοι γε τῶν ἄλλων οὐδενὶ ἀσελγαίνειν ἐφίει, ἀλλὰ καὶ συχνοὺς ἐπὶ τούτῳ ἐκόλαζε. καὶ ἐπειδή γε πολλοὶ ἐσθῆτι ἁλουργεῖ, καίπερ ἀπαγορευθὲν πρότερον, ἐχρῶντο, διεμέμψατο μὲν οὐδένα, οὐδὲ ἐζημίωσεν οὐδένα, ὑετοῦ δὲ ἐν πανηγύρει τινὶ γενομένου, φαιὰν μανδύλην ἐπενέδυ, κἀκ τούτου οὐκ ἔτ' οὐδεὶς ἀλλοῖον ἐσθῆτα λαβεῖν ἐτόλμησε. ταῦθ' οὕτω πάντα μέχρι γε καὶ ὁ Γερμανικὸς ἔζη, ἐποίει· μετὰ γὰρ τοῦτο συχνὰ μετέβαλεν B
ἐπειδὴ οὐ τῇ ἡγεμονίᾳ ἐφεδρεύοντος ἀπηλλάγη. τὰ δὲ καταλειφθέντα τῷ δήμῳ ὑπὸ τοῦ Αὐγούστου μὴ εὐθὺς ἀποδούς, ἀπέδωκεν ὕστερον ἐκ τοιᾶσδέ τινος ἀφορμῆς· ἐπειδὴ προσελθών τις πρὸς νεκρὸν διὰ τῆς ἀγορᾶς ἐκφερόμενον, καὶ πρὸς τὸ οὖς αὐτοῦ προσκύψας ἐψιθύρισέ τι, καὶ ἐρομένων τινῶν ἰδόντων, ὅ,τι εἰρήκοι, ἐντετάλθαι ἔφη τῷ Αὐγούστῳ ὅτι οὐδέπω οὐδὲν ἐκομίσαντο,

C ἐκεῖνον μὲν αὐτίκα ἀπέκτεινεν, ἵνα αὐτάγγελος ἐκεῖ τῶν αὐ-
τῶν εἴη, καὶ ἐπισκώπτων, εἶπε, καὶ γὰρ ἦν· τοὺς δ᾽ ἄλλους οὐκ ἐς
μακρὰν ἀπήλλαξε, κατὰ πέντε καὶ ἑξήκοντα δραχμὰς διανεί-
μας. ἱππέων δέ τινων ἐν τοῖς ἀγῶσι μονομαχῆσαι ἐθελησάν-
των, τὸν μὲν ἀγῶνα αὐτῶν οὐκ εἶδε, σφαγέντος δὲ τοῦ ἑτέρου,
τὸν ἕτερον οὐκ ἔτ᾽ εἴασεν ὁπλομαχῆσαι. κἀν τούτῳ τοῦ ἐγγόνου
αὐτοῦ, ὃν ἐκ τοῦ Δρούσου εἶχε, τελευτήσαντος, οὐδὲν ὅ,τι τῶν
συνήθων οὐκ ἔπραξε, μήτ᾽ ἄλλως ἀξιῶν τὸν ἄρχοντά τινων
πρὸς τὰς ἰδίας συμφορὰς τῆς τῶν κοινῶν ἐπιμελείας ἐξίστα-
D σθαι. ὁ δὲ δὴ Δροῦσος ὑπατευκὼς, τὰ μὲν τῇ ὑπατείᾳ προσή-
κοντα ἐξ ἴσου τῷ συνάρχοντι, ὥσπερ τις ἰδιώτης, διετέλεσε,
καὶ κληρονόμος τε ὑπό τινος καταλειφθεὶς, τὸ σῶμα αὐτοῦ
συνεξήνεγκε. τῇ μέντοι ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο, ὥστε καὶ
πληγὰς ἱππεῖ ἐπιφανεῖ δοῦναι, καὶ διὰ τοῦτο καὶ Κάστωρ παρω-
νύμιον ἔλαβε. τῇ τε μέθῃ κατακορὴς οὕτως ἐγίγνετο, ὥστε ποτὲ
νυκτὸς ἐμπρησθεῖσί τισιν ἐπικουρῆσαι μετὰ τῶν δορυφόρων ἀναγ-
κασθεὶς, ὕδωρ αὐτῶν αἰτούντων, θερμὸν σφίσιν ἐγχέαι κελεῦ-
σαι. Σταπιλίου δὲ Ταύρου μετὰ Λουκίου Λίβωνος ὑπατευσάν-
98 των, ὁ Τιβέριος ἀπεῖπε μὲν ἐσθῆτι σηρικῇ μηδένα χρῆσθαι, ἀ-
A πεῖπε δὲ καὶ χρυσῷ σκεύει μηδένα ἄνδρα χρῆσθαι, πλὴν πρὸς
τὰ ἱερὰ κομίζειν. ἐπεί τε διηπόρησάν τινες εἰ καὶ τὰ ἀργυρᾶ τὰ
χρυσοῦν τι ἔμβλημα ἔχοντα ἀπηγορευμένον σφίσιν εἴη κεκτῆ-
σθαι, βουληθεὶς καὶ περὶ τούτου τι δόγμα ποιῆσαι, ἐκώλυσεν ἐς
αὐτὸ τὸ ὄνομα τὸ τοῦ ἐμβλήματος, ὡς καὶ Ἑλληνικὸν, ἐμβληθῆ-
ναι, καίτοι μὴ ἔχων ὅπως ἐπιχωρίως αὐτὸ ὀνομάσῃ. καὶ ἑ-
κατοντάρχου δὲ Ἑλληνιστὶ ἐν τῷ συνεδρίῳ μαρτυρῆσαί τι ἐθελή-
σαντος, οὐκ ἠνέσχετο· καίτοι πολλὰς μὲν δίκας ἐν τῇ διαλέκτῳ
B ταύτῃ καὶ ἐκεῖ λεγομένας ἀκούων, πολλὰς δὲ καὶ αὐτὸς ἐπερω-
τῶν. τοῦτο μὲν οὖν οὐχ ὁμολογούμενον ἔπραξεν. Οὐϊουΐῳ δὲ
Ῥούφῳ ὕπ ἐνεκάλεσέ τι ἀρχὴν ὅτι τῷ τοῦ Καίσαρος δίφρῳ ἐφ᾽
οὗ ἀεί ποτε ἐκαθέζετο, καὶ ἐφ᾽ οὗ ἐσφάγη, ἐχρῆτο. τοῦτό τε

γὰρ ἔπραξε καὶ τῇ τοῦ Κικέρωνος γυναικί, σεμνυνόμενος ἐφ'
ἑκατέρῳ, ὡς καὶ διὰ τὴν γυναῖκα ῥήτωρ, ἢ διὰ τὸν δίφρον
Καῖσαρ ἐσόμενος. οὐ μὴν οὔτε αἰτίαν τινὰ ἐπὶ τούτῳ ἔσχε, καὶ
προσέτι καὶ ὑπάτευσε. τούς τε ἀστρολόγους καὶ τοὺς γόητας,
τοὺς μὲν ξένους ἐθανάτωσε, τοὺς δὲ πολίτας ὑπερώρισε· καίτοι
τῷ Θρασύλλῳ ἀεὶ συνὼν καὶ μαντείᾳ καθ' ἑκάστην ἡμέραν C
χρώμενος, αὐτός τε ἀκριβῶν οὕτω τὸ πρᾶγμα, ὥστε ποτὲ ὄναρ
δοῦναί τι ἀργύριον κελευσθείς, συνεῖναί τι ὅτι δαίμων τις ἐκ
γοητείας αὐτῷ ἐπιπέμπεται, καὶ τὸν ἄνθρωπον ἀποκτεῖναι.
Κλήμης δέ τις οἰκέτης τοῦ Ἀγρίππου γεγονώς, καί τι καὶ προσ-
εοικὼς αὐτῷ, πλασάμενός τε αὐτὸς ἐκεῖνος εἶναι, καὶ πολλοὺς
ἐκ τούτου προσποιησάμενος, τέλος ὑπὸ τοῦ Τιβερίου κατεφω-
ράθη, καὶ πυθομένου τοῦ Τιβερίου, Πῶς Ἀγρίππας ἐγένου; ἀ-
πεκρίνατο ὅτι Οὕτως ὡς καὶ σὺ Καῖσαρ. ἔν τινι δέ ποτε δόγμα-
τι, ῥήματι μὴ Λατίνῳ χρησάμενος, ἐνεθυμήθη νυκτὸς περὶ τού- D
του· πάντας τε τοὺς τὰ τοιαῦτα ἀκριβοῦντας μετεπέμψατο.
πάνυ γὰρ δὴ ἔμελεν αὐτῷ τοῦ καλῶς διαλέγεσθαι. καί τινος Α-
τίου Καπίτωνος εἰπόντος ὅτι εἰ καὶ μηδεὶς πρόσθεν τὸ ὄνομα
τοῦτ' ἐφθέγξατο, ἀλλὰ νῦν γε πάντως διὰ σὲ εἰς τὰ ἀρχαῖα αὐ-
τὸ καταριθμήσομεν, Μάρκελλός τις ὑπολαβὼν ἔφη, Σὺ Καῖ-
σαρ ἀνθρώποις μὲν πολιτείαν Ῥωμαίων δύνασαι δοῦναι, ῥή-
μασι δὲ οὔ. ἐκεῖνον μὲν οὖν οὐδὲν ἐπὶ τούτῳ κακόν, καίπερ ἀ-
κρατῶς παρρησιασάμενον, ἔδρασε. τὸν δὲ Ἀρχέλαον τὸν τῆς Καπ- 99
παδοκίας βασιλέα δι' ὀργῆς σχών, μετεπέμψατο ὡς καὶ νεω- A
τερίζοντά τι, καὶ τῇ τῆς γερουσίας ψήφῳ παρέδωκεν, οὐ μό-
νον ὑπέργηρων ὄντα, ἀλλὰ καὶ δεινῶς ποδαγρῶντα. κἂν ἐθανα-
τώθη, εἰ μὴ καταμαρτυρῶν τις αὐτοῦ, ἔφη ποτὲ αὐτὸν εἰρηκέναι,
ὅτι ἐπειδὰν οἴκαδε ἐπανέλθω, δείξω αὐτῷ οἷα νεῦρα ἔχω.
γέλωτος γὰρ ἐπὶ τούτῳ, διὰ τὸ τὸν ἄνθρωπον μὴ ὅτι στῆναι, ἀλ-
λὰ μηδὲ καθίζεσθαι δύνασθαι, πολλοῦ γενομένου, οὐκέτ' αὐ-
τὸν ὁ Τιβέριος ἀπέκτεινε. τότε μὲν οὕτως ὁ Ἀρχέλαος ἐσώθη· B

οὐ πολλῷ δὲ ὕστερον ἀπέθανε. κἀκ τούτου καὶ ἡ Καππαδοκία τῶν Ῥωμαίων ἐγένετο, καὶ ἱππεῖ ἐπετράπη. ὁ μὲν τοι Τιβέριος τῶν ἀλλοτρίων ἰσχυρῶς, μέχρι γε καὶ τὴν ἄλλην ἀρετὴν ἐπετήδευεν, ἀπεχόμενος, μήτε τὰς κληρονομίας, ἃς τινὲς αὐτῷ συγγενεῖς ἔχοντες κατέλιπον, προσιέμενος, πάμπολλα εἴς τε τὰς πόλεις καὶ τοὺς ἰδιώτας ἀνήλισκε, καὶ οὔτε τιμὴν οὔτ᾽ ἔπαινον οὐδένα ἐπ᾽ αὐτοῖς προσεδέχετο. ταῖς τε πρεσβείαις ταῖς παρά τε τῶν πόλεων, ἢ καὶ τῶν ἐθνῶν οὐδέποτε μόνος ἐχρημάτιζεν, ἀλλὰ
C πολλοὺς καὶ μάλιστα τοὺς ἄρξαντάς ποτε αὐτῶν, κοινωνοὺς τῆς ἰδίας γνώμης ἐποιεῖτο. Γερμανικὸς δὲ τὴν ἐπὶ τοὺς Κελτοὺς στρατείαν φερόμενος εὖ, μέχρι τε τοῦ ὠκεανοῦ προσεχώρησε, καὶ τοὺς βαρβάρους κατὰ κράτος νικήσας, τά τε ὀστᾶ τῶν σὺν τῷ Οὐάρῳ πεσόντων συνέλεξέ τε καὶ ἔθαψε, καὶ τὰ σημεῖα τὰ στρατιωτικὰ ἀνεκτήσατο. τῷ δὲ Τιβερίῳ τῆς βουλῆς ἐγκειμένης, καὶ τὸν γοῦν μῆνα τὸν νοέμβριον, ἐν ᾧ τῇ ἑκκαιδεκάτῃ ἐπὶ δέκα ἐγεγένητο, Τιβέριον καλεῖσθαι ἀξιούσης, Καὶ τί, ἔφη, ποιήσετε, ἂν
D δεκατρεῖς Καίσαρες γένωνται; Μάρκου δὲ δὴ Ἰουνίου Λουκίου τε Νωρβανοῦ μετὰ ταῦτα ἀρξάντων, τέρας ἐν αὐτῇ τῇ νουμηνίᾳ οὐ σμικρὸν ἐγένετο, ὅπερ που ἐς τὸ Γερμανικοῦ πάθος ἀπεσήμαινεν. ὁ γὰρ Νωρβανὸς ὁ ὕπατος σάλπιγγι ἀεὶ προσκείμενος, καὶ ἐρρωμένως τὸ πρᾶγμα ἀσκῶν, ἠθέλησε καὶ τότε ὑπὸ τὸν ὄρθρον πολλῶν ἤδη πρὸς τὴν οἰκίαν αὐτοῦ παρόντων σαλπίσαι· καὶ τοῦτό τε πάντας ὁμοίως ἐξετάραξε, καθάπερ ἐμπολέμιόν τι σύνθημα τοῦ ὑπάτου σφίσι παραγγείλαν-
100 τος, καὶ ὅτι καὶ τὸ τοῦ Ἰανοῦ ἄγαλμα κατεπεπτώκει. λόγιόν τέ τι ὡς
A καὶ Σιβύλλειον, ἄλλως μὲν οὐδὲν τῷ τῆς πόλεως χρόνῳ προσῆκον, πρὸς δὲ τὰ παρόντα ᾀδόμενον, οὐχ ἡσυχῇ σφᾶς ἐκίνει. ἔλεγε γὰρ ὅτι,

Τρὶς δὲ τριηκοσίων περιτελλομένων ἐνιαυτῶν,
Ῥωμαίους ἔμφυλος ὀλεῖ στάσις, καὶ ἁ Συβαρῖτις
Ἀφροσύνα. ὁ οὖν Τιβέριος ταῦτά τε ὡς ἔπη, ὡς καὶ

ψευδῆ

ψευδῆ ὄντα διέβαλε, καὶ τὰ βιβλία πάντα τὰ μαντείας τινὰ
ἔχοντα ἐπεσκέψατο· καὶ τὰ μὲν ὡς οὐδενὸς ἄξια ἀπέκρινε, τὰ B
δὲ ἐνέκρινε. τοῦ δὲ δὴ Γερμανικοῦ τελευτήσαντος, ὁ μὲν Τιβέ-
ριος καὶ ἡ Λιβία πάνυ ἥσθησαν, οἱ δὲ δὴ ἄλλοι πάντες δεινῶς ἐλυπή-
θησαν. κάλλιστος μὲν τὸ σῶμα, ἄριστος δὲ καὶ τὴν ψυχὴν ἔφυ, παι-
δείᾳ τε ἅμα καὶ ῥώμῃ διέπρεπε, πρᾳότατός τε καὶ σωφρονέ-
στατος ἦν· οὐδὲν δὲ οὔτε πρὸς τὸν Δροῦσον ἐπίφθονον, οὔτε πρὸς
τὸν Τιβέριον ἐπαίτιον ἔπραξε. δυνηθεὶς γοῦν πολλάκις τὴν
αὐτοκράτορα λαβεῖν ἀρχὴν, οὐκ ἠθέλησεν. ἀπέθανε δὲ ἐν Ἀν-
τιοχείᾳ ὑπό τε τοῦ Γείσωνος καὶ ὑπὸ τῆς Πλαγκίνης ἐπι- C
βουλευθείς. ὀστᾶ γὰρ ἀνθρώπων ἐν τῇ οἰκίᾳ ἐν ᾗ ᾤκει, κατορωρυ-
γμένα, καὶ ἐλασμοὶ μολύβδινοι ἀράς τινας μετὰ τοῦ ὀνόματος
αὐτοῦ ἔχοντες ζῶντος ἔτι εὑρέθη. ὁ δὲ Γείσων ἐπὶ τὸ βουλευ-
τήριον ἐπὶ τῷ φόνῳ ὑπ' αὐτοῦ τοῦ Τιβερίου εἰσαχθεὶς, ἀνα-
βολήν τινα ἐποιήσατο, καὶ ἑαυτὸν κατεχρήσατο. Τιβέριος δὲ ἐπεὶ
τὸ ἔφεδρον οὐκέτ' εἶχεν, ἐς τοὐναντίον τῶν πρόσθεν εἰρ-
γασμένων αὐτῷ πολλῶν ὄντων καὶ καλῶν περιέστη. τά τε γὰρ ἄλ-
λα ἀγρίως ἦρξε, καὶ τὰς τῆς ἀσεβείας δίκας, εἴ τις οὐχ ὅσον ἐς τὸν
Αὔγουστον ἀλλὰ καὶ ἐς αὐτὸν ἐκεῖνον τήν τε μητέρα αὐτοῦ πρά- D
ξας τι ἢ καὶ εἰπὼν ἀνεπιτήδειον ἐπεκλήθη, δεινῶς ἐπεξῄει. ἐβα-
σανίζοντο δὲ οὐχὶ οἰκέται μόνον κατὰ τῶν ἰδίων δεσποτῶν, ἀλλὰ καὶ
ἐλεύθεροι καὶ πολῖται, οἵ τε κατηγορήσαντες ἢ καὶ καταμαρτυρή-
σαντές τινων, τὰς οὐσίας τῶν ἁλισκομένων διηλάγχανον, καὶ προσέ-
τι καὶ ἀρχὰς καὶ τιμὰς προσελάμβανον. πολλοὺς δὲ, καὶ τὴν ἡμέραν
καὶ ὥραν ἐν ᾗ ἐγεγέννητο ἐξετάζων, κἀκεῖθεν καὶ τὸν τρόπον καὶ
τὴν τύχην αὐτῶν διασκοπῶν, ἀπεκτίννυεν. εἰ γάρ τῳ ὑπέρογ-
κόν τι καὶ εὔελπι πρὸς δυναστείαν ἐνεῖδε, πάντως ἀπώλλυεν. 101
οὕτω δὴ οὖν τὸ πεπρωμένον ἑκάστῳ τῶν πρώτων καὶ ἐξή- A
ταζε καὶ ἠπίστατο, ὥστε καὶ τῷ Γάλβᾳ τῷ μετὰ ταῦτα αὐταρχή-
σαντι ἀπαντήσας γυναῖκα ἐγγεγυημένῳ, εἰπεῖν, ὅτι καὶ σύ ποτε
τῆς ἡγεμονίας γεύσῃ. ἐφείσατο γὰρ αὐτοῦ, ὡς μὲν ἐγὼ δοκῶ, ὅτι

καὶ τοῦτ' αὐτῷ εἱμαρμένον ἦν. ὡς δ' αὐτὸς ἔλεγεν, ὅτι καὶ ἐν
γήρᾳ καὶ μετὰ πολὺ τῆς τελευτῆς αὐτοῦ ἄρξοι. συνήρετο δὲ καὶ συγ-
κατειργάσατο αὐτῷ πάντα προθυμότατα Λούκιος Αἴλιος
B Σιανός, υἱὸς μὲν τοῦ Στράβωνος ὤν, παιδικὰ δέ ποτε Μάρκου
Σαβίου Ἀπικίου γενόμενος, Ἀπικίου ἐκείνου, ὃς πάντας ἀνθρώ-
πους ἀσωτίᾳ ὑπερεβάλετο, οὕτως ὥστε ἐπειδὴ μαθεῖν ποτὲ ἐθελή-
σας ὅσα ἤδη καταναλώκει, καὶ ὅσα ἔτ' εἶχεν, ἔγνω ὅτι διακό-
σιαι καὶ πεντήκοντα αὐτῷ μυριάδες περιλείπειεν, ἐλυπήθη τε ὡς
καὶ λιμῷ τελευτήσειν μέλλων, καὶ ἑαυτὸν διέφθειρεν. τούτου οὖν ὁ
Σιανὸς χρόνῳ μέν τινι μετὰ τοῦ πατρὸς τῶν δορυφόρων ἦρξεν· ἐπεὶ
δὲ ἐκείνου ἐς τὴν Αἴγυπτον πεμφθέντος, μόνος τὴν προστασίαν αὐ-
τῶν ἔσχε, τά τε ἄλλα συνέστησεν αὐτὴν, καὶ τοὺς λόχους ἰδίᾳ καὶ
C χωρὶς ἀλλήλων, ὥσπερ τοὺς τῶν νυκτοφυλάκων ὄντας, ἐς ἓν τεῖ-
χος συνήγαγεν, ὥστε τά τε παραγγέλματα καὶ ἀθρόους καὶ διὰ
ταχέων λαμβάνειν, καὶ φοβεροὺς πᾶσιν, ἅτε καὶ ἐν ἑνὶ τείχει
ὄντας, εἶναι. τοῦτον οὖν ὁ Τιβέριος ἐκ τῆς τῶν τρόπων ὁμοιότητος
προσλαβὼν, ταῖς τε στρατηγικαῖς τιμαῖς ἐκόσμησεν (ὃ μήπω
πρότερον μηδενὶ τῶν ὁμοίων αὐτῷ ἐγεγόνει) καὶ σύμβουλον καὶ ὑπη-
ρέτην πρὸς πάντα ἐποιεῖτο. ἐπεὶ δὲ ὁ Τιβέριος τὴν ὕπατον ἀρ-
χὴν ἦρξε μετὰ τοῦ Δρούσου, εὐθὺς οἱ ἄνθρωποι τὸν ὄλεθρον τῷ Δρού-
σῳ ἐξ αὐτοῦ τούτου προεμαντεύσαντο. οὐ γάρ ἐστιν ὅστις τῶν ὑ-
D πατευσάντων ποτὲ μετ' αὐτοῦ οὐ βιαίως ἀπέθανεν· ἀλλὰ οὗτος
μὲν ὁ Οὐάρος ὁ Κυΐντίλιος, τοῦτο δὲ ὁ Πείσων ὁ Γναῖος, ὅ, τε
Γερμανικὸς αὐτὸς, κακῶς ἀπώλοντο. τοιούτῳ τινὶ, ὡς ἔοικε,
διὰ βίου δαίμονι συνεκεκλήρωτο. ἀμέλει καὶ ὁ Δροῦσος τότε
καὶ ὁ Σιανὸς μετὰ ταῦτα συνάρξαντές οἱ ἐφθάρησαν. ἐκδη-
μοῦντος δὲ τοῦ Τιβερίου, Γάϊος Λουτώριος Πρίσκος ἱππεὺς
ἄλλως τὸ μέγα ἐπὶ ποιήσει φρονῶν, καὶ ἐπιτάφιον ἐπὶ τῷ Γερ-
μανικῷ ἐπιφανῆ συγγράψας, ὥστε καὶ χρήματα δι' αὐτὸν
102 πολλὰ λαβεῖν, αἰτίαν ἔσχεν ὡς καὶ ἐπὶ τῷ Δρούσῳ ποίημα
A παρὰ τὴν νόσον αὐτοῦ συντεθεικώς· καὶ ἐκρίθη τε διὰ τοῦτο ἐν τῷ

βουλῇ, καὶ κατεδικάσθη καὶ ἀπέθανεν. ὁ γοῦν Τιβέριος ἀγανακτήσας οὐχ ὅτι ἐκεῖνος ἐκολάσθη, ἀλλ' ὅτι τις ὑπὸ τῶν βουλευτῶν ἄνευ τῆς ἑαυτοῦ γνώμης ἐθανατώθη, ἐπετίμησέ τε αὐτοῖς καὶ δόγμα τι παραδοθῆναι ἐκέλευσε, μήτ' ἀποθνήσκειν ἐντὸς δέκα ἡμερῶν τὸν καταψηφισθέντα ὑπ' αὐτῶν, μήτε τὸ γράμμα τὸ ἐπ' αὐτῷ γινόμενον, ἐς τὸ δημόσιον ἐντὸς τοῦ αὐτοῦ χρόνου ἀποτίθεσθαι· ὅπως καὶ ἀποδημῶν προπυνθάνηταί τε τὰ δόξαντα σφίσι, καὶ ἐπιδιακρίνῃ. καὶ μετὰ τοῦτο ἐξηκούσης αὐτῷ τῆς ὑπατείας, ἐς τε τὴν Ῥώμην ἦλθε, καὶ τοὺς ὑπάτους συναγορεύειν τισὶν ἐκώλυσεν, εἰπών, ὅτι εἰ ὑπάτευον, οὐκ ἂν ἐποίησα τοῦτο. ἐπειδή τε τῶν στρατηγούντων τις αἰτίαν ὡς καὶ ἀσεβές τι ἐς αὐτὸν εἰρηκὼς ἢ καὶ πεποιηκὼς, λαβὼν, ἐξῆλθέ τε ἐκ τοῦ συνεδρίου, καὶ τὴν ἀρχικὴν στολὴν ἐκδὺς, ἐπανῆλθέ τε, καὶ κατηγορηθῆναι παραχρῆμα, ὡς καὶ ἰδιώτης ὤν, ἠξίωσε, δεινῶς τε ἤλγησε, καὶ οὐκ ἔτ' αὐτοῦ ἥψατο. τοὺς δὲ ὀρχηστὰς τῆς τε Ῥώμης ἐξήλασε, καὶ μηδαμόθι τῇ τέχνῃ χρῆσθαι προσέταξεν, ὅτι τάς τε γυναῖκας ᾔσχυνον, καὶ στάσεις ἤγειρον. ἄλλους μὲν δὴ οὖν καὶ πολλούς γε τῶν τελευτώντων καὶ ἀνδριάσι καὶ δημοσίαις ταφαῖς ἐτίμα· τὸν δὲ δὴ Σιανὸν ζῶντα ἐν τῷ θεάτρῳ χαλκοῦν ἔστησε. κἀκ τούτου πολλαὶ μὲν ὑπὸ πολλῶν εἰκόνες αὐτοῦ ἐποιήθησαν, πολλοὶ δὲ καὶ ἔπαινοι· καὶ παρά τε τῷ δήμῳ καὶ παρὰ τῇ βουλῇ ἐγίγνοντο· ἔς τε τὴν οἰκίαν αὐτοῦ οἵ τε ἄλλοι οἱ ἐλλόγιμοι καὶ οἱ ὕπατοι αὐτοὶ ὑπὸ τὸν ὄρθρον συνεχῶς ἐφοίτων, καὶ τά τε ἴδια αὐτῷ πάντα ὅσα τινὲς ἀξιώσειν παρὰ τοῦ Τιβερίου ἔμελλον, καὶ τὰ κοινά, ὑπὲρ ὧν χρηματισθῆναι ἔδει, ἐπεκοίνουν· καὶ συνελόντι εἰπεῖν, οὐδὲν ἔτι χωρὶς αὐτοῦ τῶν τοιούτων ἐπράττετο. κατὰ δὲ τὸν χρόνον τοῦτον καὶ στοὰ μεγίστη ἐν τῇ Ῥώμῃ, ἐπειδὴ ἐπιπροκλιτὴς ἐγένετο, θαυμαστόν δή τινα τρόπον ὠρθώθη. ἀρχιτέκτων τις, οὗ τὸ ὄνομα οὐδεὶς οἶδε· τῇ γὰρ θαυματοποιίᾳ αὐτοῦ φθονήσας ὁ Τιβέριος, οὐκ ἐπέτρεψεν αὐτὸ ἐς τὰ ὑπομνήματα ἐσγραφῆναι. οὗτος οὖν, ὅστις ποτὲ ὠνομάζετο, τούς τε

θριγκίοις αὐτῆς πέριξ κραταιώσας, ὥστε μὴ συγκινηθῆναι, καὶ
τὸ λοιπὸν πᾶν πόκοις τε καὶ ἱματίοις παχέσι περιλαβὼν, σχοι-
νίοις τε πανταχόθεν αὐτὴν διέδησε, καὶ ἐς τὴν ἀρχαίαν ἕδραν
ἀνθρώποις τε πολλοῖς καὶ μηχανήμασιν ὠστιζόμενος ἐπανήγαγε.
103 τότε μὲν οὖν ὁ Τιβέριος καὶ ἐθαύμασεν αὐτὸν καὶ ἐζηλοτύπησε,
A καὶ διὰ μὲν ἐκεῖνο, χρήμασιν ἐτίμησε, διὰ δὲ τοῦτο, ἐκ τῆς πό-
λεως ἐξήλασε. μετὰ δὲ ταῦτα προσελθόντος οἱ αὐτοῦ, καὶ ἱκε-
τείαν ποιουμένου, κἀν τούτῳ ποτήριόν τι ὑαλοῦν καταβαλόντος
ἐξεπίτηδες, καὶ θλασθέν πως ἢ συντριβὲν ταῖς τε χερσὶ δια-
ψήσαντος, καὶ ἄθραυστον παραχρῆμα ἀποφήναντος, ὡς καὶ συγ-
γνώμης διὰ τοῦτο τευξομένου, καὶ ἀπέκτεινεν αὐτόν. Δροῦσος
B δὲ ὁ παῖς αὐτοῦ φαρμάκῳ διώλετο. ὁ γὰρ Σειανὸς ἐπί τε τῇ ἰ-
σχύϊ καὶ ἐπὶ τῷ ἀξιώματι ὑπερμαζήσας, τά τε ἄλλα ὑπέρογκος
ἦν, καὶ τέλος καὶ ἐπὶ τὸν Δροῦσον ἐβάπτετο, καί ποτε πὺξ αὐτῷ
ἐνέτεινε· φοβηθεὶς τι ἐκ τούτου, καὶ ἐκεῖνον καὶ τὸν Τιβέριον, καὶ
ἅμα καὶ προσδοκήσας, ἂν τὸν νεανίσκον ἐκποδὼν ποιήσηται,
καὶ τὸν γέροντα ῥᾷστα μεταχειριεῖσθαι, φάρμακόν τι αὐτῷ διά
τε τῶν ἐν τῇ θεραπείᾳ αὐτοῦ ὄντων καὶ διὰ τῆς γυναικὸς αὐτοῦ
ἣν τινες Λιουίλλαν ὀνομάζουσιν, ἔδωκε· καὶ γὰρ καὶ ἐμοίχευεν
αὐτήν. αἰτίαν μὲν γὰρ ὁ Τιβέριος ἔλαβεν ὅτι μήτε νοσοῦντος
C τοῦ Δρούσου, μήτ' ἀποθανόντος, ἔξω τι τῶν συνήθων ἔπραξε,
μήτε τοῖς ἄλλοις ποιῆσαι ἐπέτρεψεν. οὐ μέντοι καὶ πιστὸς ὁ λό-
γος· τοῦτό τε γὰρ ἀπὸ γνώμης ἐπὶ πάντων ὁμοίως ἔπραττε, καὶ
τῷ υἱεῖ, ἅτε καὶ μόνῳ καὶ γνησίῳ ὄντι, προσέκειτο. τούς τε χορη-
γήσαντας τὸν ὄλεθρον αὐτοῦ, τοὺς μὲν εὐθὺς, τοὺς δὲ μετὰ ταῦτα
ἐκόλασε. τότε δ' οὖν ἐσῆλθέ τε ἐς τὸ συνέδριον, καὶ τὸν προσή-
κοντα ἐπὶ τῷ παιδὶ ἔπαινον ποιησάμενος, οἴκαδε ἐκομίσθη.
ἀπεῖπε δὲ ὁ Τιβέριος τοῖς πυρὸς καὶ ὕδατος εἰρχθεῖσι μὴ
διατίθεσθαι· καὶ τοῦτο καὶ νῦν φυλάττεται. Αἴλιον δὲ Σατορνῖ-
D νον, ὡς καὶ ἔπη τινὰ ἐς αὐτὸν οὐκ ἐπιτήδεια ἀπορρίψαντα, ὑ-
πό τε τὴν βουλὴν ὑπήγαγε, καὶ ἁλόντα ἀπὸ τοῦ Καπιτωλίου

κατεκρήμνισε. πολλὰ δ' ἂν καὶ ἄλλα τοιουτότροπα γράφειν
ἔχοιμι, εἰ πάντα ἐπεξίοιμι. τοῦτό τ' οὖν ἐν κεφαλαίῳ εἰρήσθω,
ὅτι συχνοὶ διὰ τὰ τοιαῦτα ὑπ' αὐτοῦ ἀπώλοντο, καὶ ἐκεῖνο, ὅτι
ζητῶν καθ' ἓν ἕκαστον ἀκριβῶς ὅσα τινὲς ᾐτιάζοντο φλαύρως
περὶ αὐτοῦ εἰρηκέναι, αὐτὸς ἑαυτὸν πάντα τὰ ἐξ ἀνθρώπων
κακὰ ἤλεγχε. καὶ γὰρ εἰ ἐν ἀπορρήτῳ τις καὶ πρὸς ἕνα διελέχθη τι,
καὶ τοῦτο ἐδημοσίευεν, ὥστε καὶ ἐς τὰ κοινὰ ὑπομνήματα ἐσ- 104
γράφεσθαι. καὶ πολλάκις ἃ μηδ' εἶπέ τις, ὡς εἰρημένα, ἐξ ὧν ἑαυ- A
τῷ συνῄδει, προσκατεψεύδετο, ὅπως ὡς δικαιότατα ὀργίζε-
σθαι νομισθείη. καὶ τοῦτο συνέβαινεν αὐτῷ, πάντα τ' ἐκεῖνα ἐφ'
οἷς τοὺς ἄλλους ὡς ἀσεβοῦντας ἐκόλαζεν, αὐτὸς ἐς ἑαυτὸν πλημ-
μελεῖν, καὶ προσέτι καὶ χλευασμὸν ὀφλισκάνειν. ἃ γὰρ ἀπηρνοῦντό
τινες μὴ λελαληκέναι, ταῦτα αὐτὸς διϊσχυριζόμενος εἰρῆσθαι,
καὶ καταμηνύων, ἀληθέστερον ἑαυτὸν ἠδίκει. ἀφ' οὗ δὴ καὶ ἐξεστη-
κέναι τινὲς αὐτὸν τῶν φρενῶν ὑπώπτευον. οὐ μέντοι καὶ ὄντως
παραφρονεῖν ἐκ τούτου ἐπιστεύετο. τὰ γὰρ ἄλλα καὶ πάνυ πάντα
δεόντως διῴκει. τῷ μὲν γὰρ βουλευτῇ τινὶ ἀσελγῶς ζῶντι ἐπί- B
τροπον, ὥσπερ τινὶ ὀρφανῷ, προσέταξε· τοῦτο δὲ, τὸν Καπίτω-
να τὸν τὴν Ἀσίαν ἐπιτροπεύσαντα ἐς τὸ συνέδριον ἐσήγαγε· καὶ
ἐγκαλέσας αὐτῷ ὅτι καὶ στρατιώταις ἐχρήσατο, καὶ ἄλλα τινὰ,
ὡς καὶ ἀρχὴν ἔχων, ἔπραξεν, ἐφυγάδευσεν. οὐ γὰρ ἐξῆν τότε τοῖς
τὰ αὐτοκρατορικὰ χρήματα διοικοῦσι πλέον οὐδὲν ποιεῖν, ἢ
τὰς νενομισμένας προσόδους ἐκλέγειν, καὶ περὶ τῶν διαφορῶν
ἔν τε τῇ ἀγορᾷ καὶ κατὰ τοὺς νόμους ἐξ ἴσου τοῖς ἰδιώταις δικάζε-
σθαι. τοσοῦτον μὲν δὴ τὸ διαλλάττον ἐν ταῖς Τιβερίου πράξεσιν C
ἦν. διελθόντων δὲ τῶν δέκα ἐτῶν τῆς ἀρχῆς αὐτοῦ, ψηφίσμα-
τος μὲν ἐς τὴν ἀνάληψιν οὐδενὸς ἐδεήθη. οὐδὲ γὰρ ἐδεῖτο κατα-
πέμπων αὐτὴν, ὥσπερ ὁ Αὔγουστος, ἄρχειν. ἡ μέντοι πανήγυ-
ρις ἡ δεκαετηρὶς ἐποιήθη. Κρεμούτιος δὲ δὴ Κόρδος αὐτό-
χειρ ἑαυτοῦ γενέσθαι, ὅτι τῷ Σειανῷ προσέκρουσεν, ἠναγκάσθη. οὔ-
τω γὰρ οὐδὲν ἔγκλημα ἐπαίτιον λαβεῖν ἠδυνήθη. καὶ γὰρ ἐν πύλαις

D ἤδη γήρως ὤν, καὶ ἐπιεικέστατα βεβιωκώς, ὥστε ἐπὶ τῇ ἱστορίᾳ,
ἣν πάλαι ποτὲ περὶ τῶν τῷ Αὐγούστῳ πραχθέντων συνετε-
θήκει, καὶ ἣν αὐτὸς ἐκεῖνος ἀνεγνώκει, κριθῆναι ὅτι τόν τε
Κάσσιον καὶ τὸν Βροῦτον ἐπῄνεσε, καὶ τοῦ δήμου τῆς τε βουλῆς κα-
θήψατο· τὸν δὲ Καίσαρα καὶ τὸν Αὔγουστον εἶπε μὲν κακὸν οὐ-
δέν, οὐ μέντοι καὶ ὑπερεσέμνυνε. ταῦτά τε γὰρ ᾐτιάθη, καὶ διὰ ταῦ-
τα αὐτός τε ἀπέθανε, καὶ τὰ συγγράμματα αὐτοῦ τότε μὲν ἐν
τῇ πόλει εὑρεθέντα, πρός τε τῶν ἀγορανόμων, καὶ τὰ ἔξω πρὸς
τῶν ἑκασταχόθι ἀρχόντων ἐκαύθη, ὕστερον δὲ ἐξεδόθη τε αὖθις (ἄλ-
105 λοι τε γὰρ, καὶ μάλιστα ἡ θυγάτηρ αὐτοῦ Μαρκία συνέκρυψεν
A αὐτά) καὶ πολὺ ἀξιοσπουδαστότερα ὑπ' αὐτῆς τῆς τοῦ Κόρδου
συμφορᾶς ἐγένετο. ἐν δ' οὖν τῷ τότε ὁ Τιβέριος τὴν τῶν δορυ-
φορικῶν γυμνασίαν τοῖς βουλευταῖς, ὥσπερ ἀγνοοῦσι τὴν δύνα-
μιν αὐτῶν, ἐπέδειξεν· ὅπως καὶ πολλοὺς σφᾶς καὶ ἐρρωμένους
ἰδόντες, μᾶλλον αὐτὸν φοβῶνται. τὸν μὲν οὖν χρόνον ἐκεῖνον
ταῦτά τε ἐς ἱστορίας ἀπόδειξιν ἐγένετο, καὶ Κυζικηνῶν ἡ ἐλευ-
θερία αὖθις, ὅτι τε Ῥωμαίους τινὰς ἔδησαν, καὶ ὅτι καὶ τὸ ἡρῷον,
ὃ τῷ Αὐγούστῳ ποιεῖν ἤρξαντο, οὐκ ἐξετέλεσαν, ἀφῃρέθη. παν-
B τως δ' ἂν καὶ τὸν συμπωλήσαντα τῇ οἰκίᾳ τὸν ἀνδριάντα αὐτοῦ
καὶ ἐπὶ τούτῳ κριθέντα ἀπεκτόνει, εἰ μὴ ὁ ὕπατος αὐτὸν ἐκεῖ-
νον τὴν γνώμην πρῶτον ᾔρετο. αἰδεσθεὶς γὰρ μὴ καὶ ἑαυτῷ
τι χαρίζεσθαι δόξῃ, τὴν ἀπόλυσιν ἔθετο. Λεντούλου δέ τινος βου-
λευτοῦ φύσει τε ἐπιεικοῦς, καὶ τότε ἐν γήρᾳ πολλῷ ὄντος, κατη-
γόρησέ τις ὡς ἐπιβεβουλευκότος τῷ αὐτοκράτορι. καὶ ὁ μὲν
Λέντουλος (παρῆν γὰρ) ἀνεκάγχασεν, ὁ δὲ Τιβέριος, ἐπιθορυβή-
σάσης τι πρὸς τοῦτο τῆς γερουσίας, Οὐδὲ ζῆν ἔτι, ἔφη, ἄξιός εἰ-
C μι, εἴγε καὶ Λέντουλός με μισεῖ. ἀπεδήμησε δὲ κατὰ τὸν καιρὸν
τοῦτον ἐκ τῆς Ῥώμης, καὶ οὐκέτι ἐπανελθὼν ἐς τὴν πόλιν ἀνεκο-
μίσθη, καίτοι μέλλων τε ἀεὶ καὶ ἐπαγγελλόμενος. Ῥαπάριος
δέ τις ἑταῖρος Σαβίνου ἀνδρὸς τῶν πρώτων ἐν Ῥώμῃ τῷ Σια-
νῷ χαριζόμενος, ἐς τὸ τοῦ οἰκήματος ἐν ᾧ διῃτᾶτο ὀροφὴν βου-

λυπεῖν κατακρύψας, ὑπηγάγετο τὸν Σαβῖνον ἐς λόγους· καί
τι εἰπὼν ὧν εἰώθει, ἐπεσπάσατο καὶ ἐκεῖνον παῦρ' ὅσα ἐφρόνει
ἐκλαλῆσαι. τὸ γάρ τοι συκοφαντεῖν ἐθελόντων ἔργον ἐστὶ, λοιδο-
ρεῖν τέ τινος προκατάρχεσθαι, καὶ ἀπόρρητόν τι ἐκφαίνειν, ἵνα D
ἀκούσας τι αὐτὸς ἢ καὶ ὅμοιόν τι εἰπὼν, αἰτιαθῇ. τοῖς μὲν γὰρ, ἅ-
τε ἐκ παρασκευῆς τοῦτο δρῶσιν, ἀκίνδυνός ἐστιν ἡ παρρησία.
οὐ γὰρ ὡς καὶ φρονοῦντές τινα, ἀλλ' ὡς ἑτέρους ἐξελέγξαι βου-
λόμενοι, λέγειν αὐτὰ πιστεύονται. οἱ δ' ὅ,τι ἂν καὶ τὸ βραχύτα-
τον ἔξω τοῦ καθεστηκότος εἴπωσι, κολάζονται. ὅπερ καὶ τότε ἐγέ-
νετο. ἔς τε γὰρ τὸ δεσμωτήριον αὐθημερὸν ὁ Σαβῖνος κατετέ-
θη, καὶ μετὰ τοῦτο ἀκρίτως ἐφθάρη· τό, τε σῶμα αὐτοῦ κατὰ τῶν
ἀναβαθμῶν ἐρρίφη, καὶ ἐς τὸν ποταμὸν ἐνεβλήθη. ἐδείνωσε δ'
ἐπὶ πλεῖον τὸ πάθος αὐτοῦ κύων τις τοῦ Σαβίνου, συνεσελθών τε 106
αὐτῷ εἰς τὸ οἴκημα, καὶ ἀποθανόντι παραμείνας, καὶ τέλος A
καὶ εἰς τὸν ποταμὸν συνεισπεσών. τοῦτο μὲν τοιοῦτον ἐγένετο. ἐν δὲ
τῷ αὐτῷ χρόνῳ ἡ Λιβία μετήλλαξεν, ἓξ καὶ ὀγδοήκοντα ἔτη
ζήσασα. καὶ αὐτὴν ὁ Τιβέριος οὔτε νοσοῦσαν ἐπεσκέψατο, οὔτ'
ἀποθανοῦσαν αὐτὸς προέθετο. οὐ μὴν οὐδὲ ἐς τιμὴν ἄλλο τι αὐ-
τῆς, πλὴν δημοσίας ἐκφορᾶς καὶ εἰκόνων, ἑτέρων τέ τινων οὐδε-
νὸς ἀξίων, ἔνειμεν· ἀθανατισθῆναι δὲ αὐτὴν ἄντικρυς ἀπηγόρευ-
σεν. οὐ μέντοι καὶ μόνα οἱ ἡ βουλὴ ὅσα ἐκεῖνος ἐπέσταλεν, ἐψηφίσα-
το, ἀλλὰ πένθος αὐτῇ παρ' ὅλον τὸν ἐνιαυτὸν ταῖς γυναιξὶν ἐπήγγει- B
λαν, καίπερ τὸν Τιβέριον ἐπαινέσαντες ὅτι τῶν κοινῶν διοι-
κήσεως οὐδὲ τότε ἀπέσχετο. καὶ προσέτι καὶ ἁψῖδα αὐτῇ (ὃ μη-
δεμιᾷ ἄλλῃ γυναικὶ) ἐψηφίσαντο, ὅτι τε οὐκ ὀλίγους σφῶν ἐσε-
σώκει, καὶ ὅτι παῖδας πολλῶν ἐτετρόφει, κόρας τε πολλοῖς συν-
εξεδεδώκει· ἀφ' οὗ γε καὶ μητέρα αὐτὴν τῆς πατρίδος τινὲς ἐ-
πωνόμαζον. ἐν δὲ τῷ μνημείῳ ἐτάφη τῷ τοῦ Αὐγούστου. καὶ αὐ-
τῆς ἄλλα τε καλῶς εἰρημένα ἀποφθέγματα φέρεται, καὶ ὅτι
γυμνούς ποτε ἄνδρας ἀπαντήσαντας αὐτῇ, καὶ μέλλοντας διὰ
τοῦτο θανατωθήσεσθαι, ἔσωσεν, εἰποῦσα, ὅτι οὐδὲν ἀνδριάντων C

τὰς σωφρονούσας οἱ τοιοῦτοι διαφέρουσι. πυθομένου τέ τινος αὐτῆς πῶς καὶ τί δρῶσα οὕτω τοῦ Αὐγούστου κατεκράτησεν, ἀπεκρίνατο ὅτι αὐτή τε ἀκριβῶς σωφρονοῦσα, καὶ πάντα τὰ δοκοῦντα αὐτῷ ἡδέως ποιοῦσα, καὶ μήτε ἄλλό τι τῶν ἐκείνου πολυπραγμονοῦσα, καὶ τὰ ἀφροδίσια αὐτοῦ ἐπὶ σώματα μήτε αἰσθάνεσθαι προσποιουμένη. τοιαύτη μὲν ἡ Λιβία ἐγένετο. ἡ μέντοι ψηφισθεῖσα αὐτῇ ἁψὶς οὐκ ᾠκοδομήθη, διὰ τὸ τὸν Τιβέριον ἐπὶ τοῖς ἑαυτοῦ τέλεσι κατασκευάζειν αὐτὴν ὑποσχέσθαι. κα-
D ταδείσας γὰρ τῷ λόγῳ τὸ δόγμα λῦσαι, τοῦτον τὸν τρόπον ἀνέτρεψεν αὐτό, μήτ' ἐκ τῶν δημοσίων χρημάτων ἐπιτρέψας τὸ ἔργον γενέσθαι, μήτ' αὐτὸς ποιήσας. ὁ δὲ δὴ Σιανὸς ἔτι καὶ μᾶλλον ἤρετο, καὶ ἐψηφίσθη ὅπως τὰ γενέθλια αὐτοῦ δημοσίᾳ ἑορτάζηται. τό γάρ τοι πλῆθος τῶν ἀνδριάντων ὧν ἥ τε βουλὴ καὶ ἡ ἱππάς, αἵ τε φυλαὶ καὶ οἱ ἄνδρες οἱ πρῶτοι ἔστησαν αὐτοῦ, οὐδὲ ἐξηρίθμησεν ἄν τις. πρέσβεις τε ἰδίᾳ μὲν ἡ γερουσία, ἰδίᾳ δὲ οἱ ἱππεῖς, τό, τε πλῆθος ἔκ τε τῶν δημάρχων καὶ ἐκ τῶν ἀγορανόμων τῶν σφετέρων πρὸς ἀμφοτέρους αὐτοὺς ἔπεμπον, καὶ εὔχοντο
107 ὑπὲρ ἀμφοῖν ὁμοίως καὶ ἔθυον, τήν τε τύχην αὐτῶν ὤμνυσαν.
A τῷ δὲ δὴ Γάλλῳ ὁ Τιβέριος τῷ τήν τε γυναῖκα αὐτοῦ ἀγομένῳ καὶ τῇ περὶ τῆς ἀρχῆς παρρησίᾳ χρησαμένῳ, καιρὸν λαβὼν ἐπέθετο. πρεσβεύοντα γάρ οἱ κατὰ πρεσβείαν ἑστιάσας τε καὶ φιλοφρόνως δεξιωσάμενος, ἔγραψε κατ' αὐτοῦ τῇ βουλῇ· ὥστε συμβῆναι αὐτῷ πρᾶγμα παραδοξότατον, καὶ ὃ μηδενὶ ἄλλῳ συνηνέχθη. ἐν γὰρ τῇ αὐτῇ ἡμέρᾳ παρά τε τῷ Τιβερίῳ εἱστιάθη, καὶ φιλοτησίας ἔπιε, καὶ ἐν τῷ βουλευτηρίῳ κατεψηφίσθη, ὥστε καὶ στρατηγήσοντά τε αὐτὸν καὶ πρὸς τὴν ἐξουσίαν αὔ-
B ξοντα τιμωρηθῆναι. καὶ μέντοι τοῦτο οὕτως ὁ Τιβέριος πράξας οὐδ' ἀποθανεῖν αὐτῷ ἐθελήσαντι, ἐπειδὴ τάχιστα τῶν δεδογμένων καθ' ἓν ἐπέτρεψεν, ἀλλ' ἐκείνῳ τε, ἵνα ἐπὶ πλεῖστον κακωθείη, θαρσεῖν ἐνετείλατο, ὅπως ἐν φυλακῇ ἀδέσμῳ ᾖ, μέχρις ἂν αὐτὸς ἐς τὴν πόλιν ἀφίκηται), ἵν' (ὅπερ εἶπον) ἐπὶ μακρό-

τατον καὶ τῇ ἀτιμίᾳ ἅμα καὶ τῷ φόβῳ ταλαιπωρήσαντε. δὲ ἔσχεν οὕτω. πρός τε γὰρ τῶν ἀεὶ ὑπάτων ἐτηρεῖτο, ἔξω τῆς τοῦ Τιβερίου ἀρχῆς. τότε γὰρ πρὸς τῶν στρατηγῶν ἐφυλάχθη, οὐχ ἵνα μὴ φύγῃ, ἀλλ' ἵνα μὴ πλουτήσῃ, καὶ οὔτε ἑταῖρός τις, οὔτ' οἰκέτης αὐτῷ συνεγίγνετο· οὔτ' ἐλάλει τινί, οὐχ ἑώρα τινά, πλὴν ὁπόταν C
τροφὴν λαβεῖν ἠναγκάζετο. καὶ ἦν αὕτη τοιαύτη τε καὶ τοσαύτη, ὥστε μήτε τινὰ ἡδονὴν ἢ ῥώμην αὐτῷ παρασχεῖν, μήτ' ἀποθανεῖν αὐτὸν ἐᾶν. τοῦτο γὰρ ἦν τὸ δεινότατον. ὃ δὲ ἐπ' ἄλλων συχνῶν ὁ Τιβέριος ἐποίει· δήσας γοῦν τινα τῶν ἑταίρων, ἔπειτα λόγου περὶ τῆς θανατώσεως αὐτοῦ γιγνομένου, ἔφη, ὅτι οὐδέπω αὐτῷ διήλλαγμαι. ἕτερον μέντοι τινὰ καὶ πάνυ ἰσχυρῶς βασανίσας, ἔπειτα γνοὺς ὅτι ἀδίκως κατηγορήθη, καὶ πάνυ σπουδῇ ἀπέκτεινεν, εἰπὼν ὅτι χαλεπωτέρως ὕβρισται ἢ ὥστε καλῶς D
δύνασθαι ζῆν. Συριακὸς δ' οὔτ' ἀδικήσας τι, οὔτ' αἰτιαθείς, ἀλλὰ καὶ ἐπὶ παιδείᾳ ἐλλόγιμος ὤν, ἐσφάγη διὰ τοῦτο μόνον ὅτι φίλον αὐτὸν τοῦ Γάλλου ὁ Τιβέριος εἶπεν εἶναι. ὁ δὲ δὴ Σιανὸς τε μείζων καὶ φοβερώτερος ἀεὶ ἐγίγνετο, ὥστε τε τοὺς βουλευτὰς καὶ τοὺς ἄλλους ἐκείνῳ μὲν ὡς καὶ αὐτοκράτορι προσέχειν, τὸν δὲ Τιβέριον ἐν ὀλιγωρίᾳ ποιεῖσθαι. μαθὼν οὖν ταῦτα ὁ Τιβέριος, οὔτε ἐν ἐλαφρῷ τὸ πρᾶγμα ἐποιήσατο, φοβηθεὶς μὴ καὶ αὐτοκράτορα αὐτίκα αὐτὸν ἀποδείξωσιν, οὔτε ἠμέλησεν. ἐκ 108
μὲν δὴ οὖν τοῦ προφανοῦς οὐδὲν ἔδρασε. τό, τε γὰρ δορυφορικὸν A
πᾶν ἰσχυρῶς ᾠκείωτο, καὶ τῶν βουλευτῶν τὸ μὲν εὐεργεσίαις, τὸ δὲ ἐλπίσι, τὸ δὲ καὶ φόβῳ προσεπεποίητο· τούς τε περὶ τὸν Τιβέριον ὄντας οὕτω πάντας προσηταίριστο, ὥστε τὰ μὲν ἐκείνου πάντα ἁπλῶς καὶ ὅσα ἔλεγε καὶ ὅσα ἔπραττε, παραυτίκα οἱ ἀγγέλλεσθαι, τὰ δ' ὑπ' αὐτοῦ δρώμενα μηδένα τῷ Τιβερίῳ δηλοῦν. ἄλλως οὖν αὐτὸν μετεπορεύετο. καὶ ὕπατόν τε αὐτὸν ἀπέδειξε, καὶ κοινωνὸν τῶν φροντίδων ὠνόμαζε· Σιανός τε ὁ ἐμὸς πολλάκις ἐπαναλαμβάνων ἔλεγε, καὶ τοῦτο B
καὶ γράφων πρός τε τὴν βουλὴν καὶ πρὸς τὸν δῆμον ἐδήλου.

τούτοις οὖν οἱ ἄνθρωποι ἀπατώμενοι καὶ πιστεύοντες, χαλκοῦς
τε αὐτοὺς ἁπανταχοῦ ἐκ τοῦ ἴσου ἵστασαν, καὶ ἐν ταῖς γραφαῖς συνέ-
γραφον, δίφρους τε ἐπιχρύσους ἐς τὰ θέατρα ἀμφοῖν ἐσέφερον.
καὶ τέλος ἐψηφίσθη ὑπάτους τε σφᾶς διὰ πέντε ἐτῶν ἅμα
ἀποδείκνυσθαι, καὶ ἀπάντησιν, ὁπότε ἐς τὴν Ῥώμην ἐσίοιεν, ἀμ-
φοτέροις ὁμοίως γίνεσθαι· καὶ τέλος, καὶ ταῖς εἰκόσιν αὐτοῦ, ὥσπερ
καὶ ταῖς τοῦ Τιβερίου, ἔθυον. καὶ τὰ μὲν περὶ τὸν Σιανὸν τοι-
C αῦτ' ἦν. τῶν δὲ ἄλλων πολλοὶ καὶ ὀνομαστοὶ ἐφθάρησαν, ὧν ἦν καὶ
Γάϊος Ῥοῦφος Γεμίνιος. ἀσεβείας γὰρ ἐς τὸν Τιβέριον ἐγκλη-
θεὶς, τάς διαθήκας ἔς τε τὸ συνέδριον ἐσεκόμισε καὶ ἀνέγνω,
δηλῶν ὅτι τὸν κλῆρον ἐξ ἴσου τοῖς τέκνοις καὶ ἐκείνῳ καταλείποι
πως ἦν. καὶ μαλακίας αἰτιαθεὶς, ἀπῆλθεν οἴκαδε, πρὶν ψη-
φισθῆναί τι. καὶ μαθὼν τὸν ταμίαν ἐπὶ δικαιώσει αὐτοῦ παρόν-
τα, αὐτός τε ἑαυτὸν ἔτρωσε, καὶ ἐκείνῳ τὸ τραῦμα δείξας, Ἀ-
πάγγειλον, ἔφη, τῇ γερουσίᾳ ὅτι ἀνὴρ οὕτως ἀποθνήσκει. καὶ ἡ
D γυνὴ δὲ αὐτοῦ Πυπλία Πρίσκα ἔγκλημά τι λαβοῦσα εἰσῆλθέ
τε εἰς τὸ βουλευτήριον, κἀνταῦθα ἑαυτὴν ἐγχειριδίῳ τινὶ, ὃ
λάθρα εἰσεκεκομίκει, ἔσφαξεν. ὁ δὲ Σιανὸς τοσοῦτος ἦν τῇ ὑ-
περοχῇ τε τοῦ φρονήματος καὶ τῷ μεγέθει τῆς ἐξουσίας, ὥστε συνε-
λόντι εἰπεῖν, αὐτὸν μὲν αὐτοκράτορα, τὸν δὲ Τιβέριον νησιαρ-
χόν τινα εἶναι δοκεῖν, διὰ τὸ ἐν τῇ νήσῳ τῇ λεγομένῃ Καπρίᾳ
τὰς διατριβὰς ποιεῖσθαι· σπουδαί τε καὶ ὠθισμοὶ περὶ τὰς θύρας
αὐτοῦ ἐγίνοντο, ἐκ τοῦ δεδιέναι μὴ μόνον μὴ οὐκ ὀφθῇ τις αὐτῷ,
109 ἀλλὰ μὴ καὶ ἐν τοῖς ὑστάτοις φανῇ. πάντα γὰρ ἀκριβῶς καὶ μά-
A λιστα τὰ τῶν πρώτων ἐτηρεῖτο, καὶ τὰ ῥήματα καὶ τὰ νεύματα. οἱ
μὲν γὰρ οἰκείᾳ ἀξίᾳ ὥστε προέχοντες, οὔτε τὰ δεξιώματα παρ' ἑ-
τέρων πάνυ ἀπαιτοῦσι· κἂν ἄρα καὶ ἐκλειφθῇ τι αὐτῶν, οὐκ ἐγ-
καλοῦσι σφίσιν, ἅτε καὶ ἑαυτοῖς συνειδότες ὅτι μὴ καταφρο-
νοῦνται· οἱ δὲ ἐπακτῷ καλλωπίσματι χρώμενοι, πάντα ἰσχυ-
ρῶς τὰ τοιαῦτα, ὡς καὶ εἰς τὴν τοῦ ἀξιώματος σφῶν πλήρωσιν
B ἀναγκαῖα, ἐπιζητοῦσι· κἂν μὴ τύχωσιν αὐτῶν, ἄχθονταί τε ὡς

διαβαλλόμενοι, καὶ ὀργίζονται ὡς ὑβριζόμενοι. καὶ διὰ τοῦτο μᾶλλον
περὶ τοὺς τοιούτους, ἢ περὶ αὐτοὺς, ὡς εἰπεῖν, τοὺς αὐτοκράτορας
σπουδάζουσιν· ὅτι τοῖς μὲν, κἂν πλημμεληθῇ τι, ἀρετὴν τὸ συγ-
γνῶναί πῃ φέρει· τοῖς δὲ τοῦτο μὲν τὴν ἀσθένειαν σφῶν ἐξελέγχειν
δοκεῖ, τὸ δὲ ἐπεξελθεῖν καὶ τιμωρήσασθαι, βεβαίωσιν τοῦ μέγα δύ-
νασθαι ἔχειν νομίζεται. ἐν δέ τινι νουμηνίᾳ πάντων συνιόντων
εἰς τὴν οἰκίαν τοῦ Σειανοῦ, ἥ τε κλίνη ἡ ἐν τῷ δωματίῳ, ἐν ᾧ ἠσπά-
ζετο, κειμένη, πᾶσα ὑπὸ τοῦ ὄχλου τῶν ἱζησάντων συνετρίβη·
καὶ περιϊόντος αὐτοῦ ἐκ τῆς οἰκίας, γαλῆ διὰ μέσων σφῶν διῇ- C
ξει· ἐπειδή τε καὶ ἐν τῷ Καπιτωλίῳ θύσας, ἐς τὴν ἀγορὰν κα-
τήει, οἱ οἰκέται αὐτοῦ οἱ δορυφόροι διά τε τὴν ὁδὸν τῆς ἐς τὸ δε-
σμωτήριον ἀγούσης ἐξετράποντο, μὴ δυνηθέντες αὐτῷ ὑπὸ
τοῦ ὄχλου ἐπακολουθῆσαι, καὶ κατὰ τῶν ἀναβαθμῶν, καθ' ὧν οἱ δι-
καιούμενοι ἐρριπτοῦντο, καταπόντες, ὤλισθον καὶ κατέπεσον· οἰω-
νιζομένου τέ τι μετὰ τοῦτο αὐτοῦ, τῶν μὲν αἰσίων ὀρνίθων ἐπεφαίνετο οὐ-
δεὶς, κόρακες δὲ δὴ πολλοὶ περιπτάμενοι καὶ περικρώξαντες
αὐτὸν, ἀπέπταντο ἀθρόοι πρὸς τὸ οἴκημα, καὶ ἐπ' αὐτοῦ ἐκα-
θέζοντο. τούτων οὖν τῶν πραγμάτων οὔθ' ὁ Σειανὸς, οὔτ' ἄλλος
τις ἐνθύμιον ἐποιήσατο. πρὸς γὰρ τὴν τῶν παρόντων ὄψιν, οὐδ' αἰ D
εἰ σαφῶς θεός τις προέλεγεν ὅτι τοσαύτη δι' ὀλίγου μεταβολὴ
γενήσοιτο, ἐπίστευσεν ἄν τις. τήν τε οὖν τύχην αὐτοῦ κατη-
γορεῖς ὤμνυσαν, καὶ συνάρχοντα τοῦ Τιβερίου, οὐκ ἐς τὴν
ὑπατείαν ἀλλ' ἐς τὸ κράτος ὑποσημαίνοντες, ἐπεκάλουν.
Τιβέριος δὲ ἠγνόει μὲν οὐδὲν ἔτι τῶν κατ' αὐτὸν, βουλευό-
μενος δὲ ὅντινα τρόπον αὐτὸν ἀποκτείνῃ· καὶ οὐχ εὑρίσκων
ὅπως ἀσφαλῶς ἐκ τοῦ φανεροῦ τοῦτο ποιήσῃ, θαυμαστὸν δή τι-
να τρόπον καὶ αὐτῷ ἐκείνῳ καὶ τοῖς ἄλλοις, ὥστε τὴν γνώμην
αὐτῶν ἀκριβῶς μαθεῖν, ἐχρήσατο. περί τε γὰρ ἑαυτοῦ πολλὰ
καὶ ποικίλα καὶ τῷ Σειανῷ καὶ τῇ βουλῇ συνεχῶς ἐπέστελ- 110
λε, νῦν μὲν λέγων ὅτι φλαύρως ἔχει, καὶ ὅσον οὐκ ἤδη τελευ- A
τήσει, νῦν δὲ, καὶ σφόδρα ὑγιαίνει, καὶ αὐτίκα δὴ μάλα ἐς

τὴν Ῥώμην ἀφίξεσθαι· καὶ τὸν Σιανὸν τοτὲ μὲν πάνυ ἐπῄνει, τοτὲ δὲ πάνυ καθῄρει, τῶν τε ἑταίρων αὐτοῦ τοὺς μὲν ἐτίμα δι᾽ ἐκεῖνον, τοὺς δὲ ἠτίμαζεν· ὥστε ὁ Σιανὸς ἐν τῷ μέρει τοῦ ὑπερόγκου τοῦ τε περιφόβου πληρούμενος, ἀεὶ μετέωρος ἦν. οὔτε γὰρ δεδιέναι αὐτῷ, καὶ διὰ τοῦτο νεοχμῶσαί τι ἐπῄει (τὸ γὰρ ἐτιμᾶτο) οὔτ᾽ αὖ θαρρεῖν, καὶ ἀπ᾽ αὐτοῦ ἐπιτολμῆσαί τι. καὶ

B περιεκρούετο. καὶ μέντοι καὶ οἱ λοιποὶ πάντες ἐναλλὰξ καὶ δι᾽ ὀλίγου τὰ ἐναντιώτατα ἀκούοντες, καὶ μήτε τὸν Σιανὸν θαυμάζειν ἔτι ἢ καὶ καταφρονεῖν ἔχοντες, ἔς τε τὸν Τιβέριον, ὡς καὶ τεθνήξοντα, ἢ καὶ ἥξοντα, ὑποπτεύοντες, ἐν ἀμφιβόλῳ ἐγίγνοντο. Σιανὸν μὲν οὖν ταῦτά τε ἐτάραττε, καὶ πολλῷ μᾶλλον ὅτι ἐξ ἀνδριάντος τινὸς αὐτοῦ τὰ μὲν πρῶτα καπνὸς πολὺς ἀνέθορεν, ἔπειτα διαφαιρεθείσης τῆς κεφαλῆς, ὅπως τὸ γιγνόμενον ἴδωσιν, ὄφις μέγας ἀνεπήδησεν· ἑτέρας τε ἀθρόως

C ἀντεπιτεθείσης αὐτῷ, καὶ διὰ τοῦτ᾽ ἐκείνου τε θύσειν ἑαυτῷ μέλλοντος (τά τε γὰρ ἄλλα ἑαυτῷ ἔθυε) σχοινίον περὶ τὸν αὐχένα αὐτοῦ περικείμενον εὑρέθη. ἐπεὶ οὖν τούτοις ἔτι καὶ μᾶλλον ἑαυτοῦ καταφρονήσας, ὥστε καὶ φανερώτερον ἢ λανθάνειν, καὶ ἐξίστασθαι αὐτὸν, καὶ ἐγκαταλείπειν. μαθὼν οὖν ταῦτα ὁ Τιβέριος, καὶ θαρσήσας, ὡς καὶ τὸν δῆμον καὶ τὴν βουλὴν συμμάχους ἕξων, ἐπεχείρησεν αὐτῷ· καὶ προσκαθεὶς λόγον, ὅτι καὶ τὴν ἐξουσίαν αὐτῷ τὴν δημαρχικὴν δώσοι, ὅπως ἀπροσδόκητον αὐτὸν ὅτι μάλιστα λάβοι, ἐπέστειλε κατ᾽ αὐτοῦ τῷ συνεδρίῳ διὰ Ναιβίου Σερτωρίου Μάκρωνος, ἄρχειν τε αὐτὸν τῶν σωματοφυλάκων κρύφα

D προκαταστήσας, καὶ πάνθ᾽ ὅσα ἐχρῆν πραχθῆναι προδιδάξας. καὶ ὃς νύκτωρ ἐς τὴν Ῥώμην ὡς καὶ κατ᾽ ἄλλο τι ἐλθὼν, τά τε ἐπεσταλμένα αὐτῷ Μεμμίῳ τε Ῥηγούλῳ τῷ ὑπατεύοντι (ὁ γὰρ συνάρχων αὐτοῦ τὰ τοῦ Σιανοῦ ἐφρόνει) καὶ Γραικίνῳ Λάκωνι τῷ τῶν νυκτοφυλάκων ἄρχοντι ἐπεκοίνωσε. καὶ ἀναβὰς ἅμα τῇ ἕῳ ἐς τὸ παλάτιον (τῇ γὰρ βουλῇ ἕδρα ἐν τῷ Ἀπολλωνίῳ γενήσεσθαι ἔμελλε) τῷ τε Σιανῷ μήπω ἐσεληλυθότι περιέτυχε,

καὶ ἰδὼν αὐτὸν ταραττόμενον ὅτι μηδὲν αὐτῷ ὁ Τιβέριος ἐπε-
στάλκει, παρεμυθήσατο εἰπὼν ἰδίᾳ καὶ ἐν ἀπορρήτῳ ὅτι τὴν ἐξ-
ουσίαν αὐτῷ τὴν δημαρχικὴν φέροι. καὶ ὁ μὲν, περιχαρὴς ἐπὶ 111
τούτῳ γενόμενος, ἐς τὸ βουλευτήριον ἐσεπήδησε· Μάκρων δὲ A
τοὺς μὲν δορυφόρους τοὺς περί τε ἐκεῖνον καὶ τὸ συνέδριον ὄντας
ἐς τὸ στρατόπεδον ἀπέπεμψε, τήν τε ἡγεμονίαν σφίσι τὴν ἑαυτοῦ
ἐκφήνας, καὶ γράμματα παρὰ τοῦ Τιβερίου γέρα τινὰ αὐτοῖς
διδόντα φέρειν φήσας, τοὺς δὲ δὴ νυκτοφύλακας ἀντ' αὐτῶν
περὶ τὸν ναὸν περιστήσας, ἐσῆλθέ τε εἰς αὐτὸν, καὶ τὴν ἐπιστολὴν τοῖς
ὑπάτοις δοὺς, ἐξῆλθε πρὶν καὶ ὁτιοῦν ἀναγνωσθῆναι· αὐτῷ τε
τῷ Λάκωνι τάττεσθαι φυλάττειν προστάξας, αὐτὸς ἐς τὸ στρα-
τόπεδον μὴ καὶ νεωτερισθείη τι, ὥρμησε. κἀν τούτῳ ἡ ἐπιστολὴ
ἀνεγνώσθη. ἦν δὲ μακρὰ, καὶ οὐδὲν ἀθρόον κατὰ τοῦ Σιανοῦ εἶ- B
χεν, ἀλλὰ τὰ μὲν πρῶτα ἄλλο τι, εἶτα μέμψιν καί τινα αὐτοῦ βρα-
χεῖαν, καὶ μετ' αὐτὴν ἕτερόν τι, καὶ κατ' ἐκεῖνο ἄλλο· καὶ ἐπὶ τε-
λευτῆς, δύο τε βουλευτὰς τῶν ᾠκειωμένων οἱ κολασθῆναι, καὶ αὐ-
τὸν ἐν φρουρᾷ γενέσθαι δεῖν ἔλεγεν. ἄντικρυς γὰρ ἀποθανεῖν αὐτὸν
ὁ Τιβέριος οὐ προσέταξεν· ἐφοβήθη γὰρ μὴ ταραχή τις ἐκ τού-
του γένηται. ὅσα ταῦτα μὲν ἡ γραφὴ ἐδήλου. παρῆν δὲ καὶ ἀκοῦσαι ἐπ'
αὐτῇ καὶ ἰδεῖν πολλὰ καὶ ποικίλα. πρότερον μὲν γὰρ πρὶν ἀναγι- C
νώσκεσθαι αὐτὴν, ἐπαίνους τε αὐτοῦ ἐποιοῦντο, καὶ ἐπιβοήμασιν
ἐχρῶντο, προλαμβάνοντες ὅσα ἤλπιζον· ἐπεὶ δ' οὐδὲν τοιοῦ-
τον εὑρίσκετο, ἀλλὰ καὶ πᾶν τοὐναντίον ἢ προσεδόκων ἤκουον,
ἐν ἀπορίᾳ πολλῇ καὶ κατηφείᾳ ἐγίνοντο· καί τινες καὶ ἐξανέστησαν
τῶν συγκαθημένων αὐτῷ. κἀκ τούτου καὶ στρατηγοὶ καὶ δήμαρχοι
περιέσχον αὐτὸν, ἵνα μὴ συνταράξῃ τι ἐκπηδήσας. ὅπερ πάν-
τως ἂν ἐπεποιήκει, εἰ κατ' ἀρχὰς ἀθρόῳ τινὶ ἀκούσματι ἐπε-
πλήκτο. νῦν δὲ τό, τε ἀεὶ ἀναγινωσκόμενον, ὡς καὶ κοῦφον καὶ μό-
νον ὂν παρορῶν, καὶ μάλιστα μὲν μηδὲν ἄλλο, εἰ δὲ μήτοι γε καὶ
ἀνήκεστόν τι ἐπεστάλθαι περὶ αὐτοῦ ἐλπίζων, διέτριβε καὶ κατὰ χώ-
ραν ἔμενε. κἀν τούτῳ προσκαλεσαμένου αὐτὸν τοῦ Ῥηγούλου,

D οὐχ ὑπήκουσεν, οὐχ ὅτι ὑπερεφρόνησεν (ἤδη γὰρ ἐτεταπείνωτο)
ἀλλ' ὅτι ἀήθης τοῦ προστάττεσθαί τι ἦν. ὡς δὲ καὶ δεύτερον καὶ
τρίτον ἐκεῖνος ἐμβοήσας αὐτῷ, καὶ τὴν χεῖρα ἅμα ἐκτεί-
νας εἶπε, Σιανὲ δεῦρο ἐλθὲ, ἐπηρώτησεν αὐτὸν αὐτὸ τοῦτο, Ἐμὲ
καλεῖς; ὀψὲ δ' οὖν ἀνέστη αὐτῷ καὶ ὁ Λάκων ἐπεισελθὼν
προσέστη. τέλος δὲ ἀναγνωσθείσης τῆς ἐπιστολῆς, πάντες ἀπὸ μιᾶς
γλώττης κατεβόων αὐτοῦ, καὶ δεινὰ ἔλεγον, οἱ μὲν, ἠδικημένοι,
112 οἱ δὲ, πεφοβημένοι, ἄλλοι τὴν φιλίαν τὴν πρὸς αὐτὸν ἐπηλυ-
A γαζόμενοι, ἄλλοι τῇ μεταβολῇ αὐτοῦ ἐπιχαίροντες. ὁ οὖν Ῥη-
γοῦλος ἐξήγαγέ τε αὐτὸν ἐκ τοῦ συνεδρίου, καὶ ἐς τὸ δεσμω-
τήριον μετὰ τῶν λοιπῶν ἀρχόντων κατήγαγεν. ἔνθα δὴ καὶ μά-
λιστα ἄν τις τὴν ἀνθρωπίνην ἀσθένειαν κατεῖδεν, ὥστε μηδα-
μῇ μηδαμῶς φυσᾶσθαι. ὃν γὰρ τῇ ἕῳ πάντες, ὡς καὶ κρείττω
σφῶν ὄντα, ἐς τὸ βουλευτήριον παρέπεμψαν, τοῦτον τότε ἐς τὸ
B οἴκημα ὡς οὐδενὸς βελτίω κατέσυρον, τούτῳ τότε δεσμὰ
περιέθεσαν· ὃν δὲ ἐδορυφόρουν ὡς δεσπότην, τοῦτον ἐφρού-
ρουν ὡς δραπέτην, καὶ ἀπεκάλυπτον ἐπικαλυπτόμενον. καὶ
αὐτῷ ὁ δῆμος προσπίπτων, πολλὰ μὲν ἐπὶ τοῖς ἀπολωλόσιν
ὑπ' αὐτοῦ ἐπεβόα, πολλὰ δὲ καὶ ἐπὶ τοῖς ἠλπισθεῖσιν ἐπέσκω-
πτε. τάς τε εἰκόνας αὐτοῦ πάσας κατέβαλλον, καὶ κατέκοπτον,
καὶ κατέσυρον, ὡς καὶ αὐτὸν ἐκεῖνον αἰκιζόμενοι· καὶ οὕτω
θεατὴς ὧν πείσεσθαι ἔμελλεν, ἐγίγνετο. ὕστερον δ' οὐ πολλῷ,
ψήφῳ τῆς γερουσίας κατὰ τῶν ἀναβαθμῶν ἐῤῥίφη, καὶ αὐ-
C τὸν ὁ ὅμιλος τρισὶν ὅλαις ἡμέραις ἐλυμήνατο, καὶ μετὰ τοῦτο
ἐς τὸν ποταμὸν ἐνέβαλε. τά τε παιδία αὐτοῦ κατὰ δόγμα ἀπέθα-
νε· τῆς κόρης ἣν τῷ τοῦ Κλαυδίου υἱῷ ἐνεγγεγυήκει, προδια-
φθαρείσης ὑπὸ τοῦ δήμου, ὡς οὐχ ὅσιον ὂν παρθενευομένην
τινὰ ἐν τῷ δεσμωτηρίῳ διόλλυσθαι. θόρυβός τε πολὺς ἐν τῇ πό-
λει ἐσηνέχθη. ὁ γὰρ δῆμος εἴ πού τινα τῶν μέγα παρὰ τῷ
Σιανῷ δυνηθέντων καὶ δι' αὐτὸν ὑβρισάντων κατεφώρα, ἐφό-
νευε· καὶ οἱ στρατιῶται ἀγανακτοῦντες ὅτι αὐτοί τε ἐς τὸ τοῦ

Σιανοῦ εὔνοιαν ὑπωπτεύθησαν, καὶ οἱ νυκτοφύλακες σφῶν ἐς
τὴν τοῦ αὐτοκράτορος πίστιν προεπιμήθησαν, ἐμπρήσεις τε καὶ
ἁρπαγὰς ἐποιοῦντο. ἡ μέντοι βουλὴ ἐψηφίσατο ἐλευθερίας D
ἄγαλμα ἐς τὴν ἀγορὰν ἀνατεθῆναι, καὶ τὴν ἡμέραν ἐν ᾗ ἐτε-
λεύτησε, καὶ ἵππων ἀγῶσι, καὶ θηρίων σφαγαῖς ἐτησίοις ἀ-
γάλλεσθαι· ὃ οὐδέποτε ἐπεποίητο· καὶ μήτε τιμὰς μηδενὶ ὑπερόγ-
κους δίδοσθαι, μήτε τοὺς ὅρκους ἐπ' ἄλλου τινός, πλὴν τοῦ αὐ-
τοκράτορος, ποιεῖσθαι. ταῦτα δὲ οὕτω ψηφισάμενοι, καὶ τὸν Μά-
κρωνα καὶ τὸν Λάκωνα κολακεύειν οὐ πολλῷ ὕστερον ἤρξαντο. οὐ
μέντοι καὶ ἐκεῖνοι ἐδέχοντο τὰς τιμάς· τὸ γὰρ παράδειγμα σφᾶς 113
ὑπόγυιον ἐθορύβει. ὁ δὲ δὴ Τιβέριος πρόφασιν τὰ Σιανοῦ A
ἐγκλήματα ποιησάμενος, πολλοὺς πάνυ ἀπώλλυε, τοὺς μὲν δη-
μίων χερσὶ παραδιδούς, τοὺς δὲ καὶ αὐτόχειρας ἑαυτῶν γίνεσθαι
ἀναγκάζων. ἤρκει γὰρ καὶ μόνον πρὸς κατηγορίαν τινὸς τὸ Σια-
νοῦ φίλον ἢ γενέσθαι ἢ δόξαι, ὥσπερ οὐ καὶ αὐτοῦ Τιβερίου φιλή-
σαντος αὐτόν, καὶ δι' ἐκεῖνον καὶ τῶν ἄλλων οὕτω σπουδασάντων. ὡς
δ' οὖν ἐν τηλικαύτῃ ὠμότητι, ἔδοξέ τι καὶ φιλανθρωπεύσα-
σθαι, ὅτι Καπανοῦ ἐφείσατο, Λουκίου τε Σιανοῦ στρατηγοῦ, καὶ Μάρ-
κου Τερεντίου ἱππέως. ὁ μὲν γὰρ Σιανὸς ἔν τινι θέᾳ τά τε ἄλλα
πάντα διὰ φαλακρῶν ἕωθεν μέχρι νυκτὸς ἐπὶ τῇ τοῦ Τιβερίου
χλευασίᾳ ἐποίησεν (ἦν γὰρ φαλακρὸς ὁ Τιβέριος) καὶ φῶς τοῖς B
ἀπιοῦσιν ἐκ τοῦ θεάτρου διὰ πεντακισχιλίων παίδων ἀπεξυρη-
μένων παρέσχε. τοσοῦτον γὰρ ἐδέησε δι' ὀργῆς αὐτῷ γενέσθαι, ὥστε
οὐδὲ προσεποιήσατο τὴν ἀρχὴν ὅτι περὶ αὐτῶν ἠκηκόει καί-
περ Σιανῶν ἐξ ἐκείνου πάντων τῶν φαλακρῶν ὀνομασθέν-
των. ὁ δὲ δὴ Τερέντιος ἐπὶ τῇ τοῦ Σιανοῦ φιλίᾳ κρινόμενος,
οὐχ ὅσον οὐκ ἠρνήσατο, ἀλλὰ καὶ ἔφη καὶ σπουδάσαι μάλι-
στα αὐτὸν καὶ θεραπεῦσαι, ἐπειδὴ καὶ ὑπ' αὐτοῦ τοῦ Τιβερίου C
οὕτως ἐτιμᾶτο, ὥστ' εἰ μὲν ἐκεῖνος ὀρθῶς (εἶπεν) ἐποίει τοιούτῳ
φίλῳ χρώμενος, οὐδὲ ἐγώ τι ἠδίκηκα· εἰ δ' ὁ αὐτοκράτωρ ὁ
πάντα ἀκριβῶς εἰδὼς ἐπλανήθη, τί θαυμαστὸν εἰ καὶ ἐγὼ αὐτῷ

συνεξήτασε τί θέλω; καὶ γάρ τοι προσήκει ἡμῖν πάντας τοὺς ὑπ᾽
αὐτοῦ τιμωμένους ἀγαπᾶν, μὴ πολυπραγμονοῦντας ὁ-
ποῖοί τινές εἰσιν, ἀλλ᾽ ἕνα ὅρον τῆς φιλίας σφῶν ποιουμένους, τὸ
τῷ αὐτοκράτορι αὐτοὺς ἀρέσκειν. οὐ γὰρ ὅτι ἀφῆκεν αὐτὸν ἡ
βουλή, ἀλλὰ καὶ τοῖς κατηγορήσασιν αὐτοῦ προσεπιμήνισεν, οἷς καὶ ὁ
D Τιβέριος συγκατέθετο. καὶ ἐπὶ τούτῳ μὲν ἐπῃνεῖτο, καὶ μάλιστα
ὅτι τοὺς ἐπιβοητοτάτους τῶν τὰς κατηγορίας ποιουμένων ἀποθα-
νεῖν ἐν μιᾷ ἡμέρᾳ ἐκέλευσεν. ἐκ δὲ δὴ τῶν ἐρώτων, οἷς ἀνέδην
ἐπὶ τῶν ἀσελγεστάτων καὶ ἀρρένων καὶ θηλειῶν ὁμοίως ἐχρῆτο, διε-
βάλλετο. ὧν ἑνὸς δεῖγμα ἐρῶ. Μάρκος Σέξτος ἦν φίλος αὐ-
τοῦ, τοσοῦτον καὶ πλουτήσας καὶ δυνηθείς, ὥστ᾽ ἐπειδὴ γείτονι ὠργί-
114 σθη, δειπνίσαι τε αὐτὸν ἐπὶ δύο ἡμέρας, καὶ τῇ μὲν προτεραίᾳ
A τὴν ἔπαυλιν αὐτοῦ πᾶσαν κατασκάψαι, τῇ δ᾽ ὑστεραίᾳ ἐπί
τε τὸ μεῖζον καὶ ἐπὶ τὸ λαμπρότερον αὐτὴν ἀνοικοδομῆσαι,
ἀγνοοῦντί τε αὐτῷ τοὺς ταῦτα πεποιηκότας, ἑκάτερον ὁμολο-
γῆσαι, καὶ παραδείξαντα εἰπεῖν, ὅτι οὕτω καὶ ἀμύνεσθαί τινα
καὶ ἀμείβεσθαι καὶ οἶδα καὶ δύναμαι. οὗτος οὖν τὴν θυγατέρα
εὐπρεπῆ οὖσαν ὑπεκπέμψας ποι, ἵνα μὴ ὁ Τιβέριος αὐτὴν
αἰσχύνῃ, αἰτίαν ἔσχεν ὡς συνὼν αὐτῇ, καὶ διὰ τοῦτο συναπώλετο.
ἦν δὲ τῷ Τιβερίῳ ἔκγονος μὲν ὁ τοῦ Δρούσου παῖς ὁ Τιβέ-
ριος ἔτι παιδίον τὴν ἡλικίαν, προσήκων δὲ ἄλλος ὁ τοῦ Γερ-
μανικοῦ παῖς ὁ Γάϊος, ᾧ καὶ ὡς μοναρχήσοντι προσεῖχεν,
B ἅτε ἀκριβῶς καὶ τὰ κατ᾽ ἀμφοτέρους εἰδώς. λέγεται γὰρ εἰπεῖν πο-
τε τῷ Γαΐῳ διαφερομένῳ πρὸς τὸν Τιβέριον, ὅτι σύ τε τοῦτον
ἀποκτενεῖς, καὶ σὲ ἄλλοι. ἀλλ᾽ οὔτε ἕτερόν τινα μᾶλλον προσή-
κοντα ἔχων, καὶ ἐκεῖνον κάκιστον εἰδὼς ἐσόμενον, ἀσμένως, ὥς
φασι, τὴν ἀρχὴν αὐτῷ ἔδωκεν, ὅπως τά τε ἑαυτοῦ τῇ τοῦ Γα-
ΐου ὑπερβολῇ συγκρυφθῇ, καὶ τὸ πλεῖον τό, τι ἀσελγέστατον τῆς λοι-
πῆς βουλῆς καὶ μετ᾽ αὐτὸν φθαρῇ. λέγεται γοῦν πολλάκις ἀ-
ναφθέγξασθαι τοῦτο δὴ τὸ ἀρχαῖον,
C Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί. πολλάκις δὲ καὶ τὸν
Πρίαμον

Πρίαμον μακαρίσαι ὅτι ἄρδην καὶ μετὰ τῆς πατρίδος καὶ μετὰ
τῆς βασιλείας ἀπώλετο. καὶ τεκμαίρονταί γε ἀληθῆ ταῦτα περὶ
αὐτοῦ γεγράφθαι τοῖς τότε γενομένοις· τοσοῦτον γὰρ πλῆθος τῶν
τε ἄλλων καὶ τῶν βουλευτῶν ἐξώλετο, ὥστε τοὺς ἄρχοντας τοὺς κλη
ρωτοὺς, τοὺς μὲν ἐστρατηγηκότας ἐπὶ τρία, τοὺς δὲ ὑπατευκότας
ἐπὶ ἓξ ἔτη, τὰς ἡγεμονίας τῶν ἐθνῶν, ἀπορίᾳ τῶν διαδεξομένων
αὐτοὺς, σχεῖν. ἐν δ' οὖν τοῖς τότε ἀποθανοῦσι καὶ Γάλλος ἐγένετο.
τότε γὰρ αὐτῷ μόλις, ὥς αὐτὸς εἶπε, κατηλλάγη. οὕτω που πα-
ρὰ τὸ νομιζόμενον, καὶ τὴν ζωὴν τιμωρίαν τισὶ, καὶ τὸν θάνατον D
τισὶ εὐεργεσίαν ἐποίει. καὶ Μάρκος γοῦν Αἰμίλιος Σκαῦρος
μηδὲν ἀδικήσας ἑάλω διὰ τραγῳδίαν, καὶ παθήματι δεινο-
τέρῳ οὗ συνέγραψε περιέπεσεν. Ἀτρεὺς μὲν τὸ ποίημα ἦν· πα-
ρῄνει δὲ τῶν ἀρχομένων τινὶ ὑπ' αὐτοῦ κατὰ τὸν Εὐριπίδην, ἵ-
να τὴν τοῦ κρατοῦντος ἀβουλίαν φέρῃ. μαθὼν οὖν τοῦτο ὁ
Τιβέριος, ἐφ' ἑαυτῷ τε τὸ ἔπος εἰρῆσθαι ἔφη, Ἀτρεὺς εἶναι διὰ
τὴν μιαιφονίαν προσποιούμενος, καὶ ὑπειπὼν ὅτι καὶ ἐγὼ οὖν
Αἴαντα αὐτὸν ποιήσω, ἀνάγκην αὐτῷ προσήγαγεν αὐτοέντι 115
ἀπολέσθαι. οὐ μὴν καὶ ἐπὶ τούτῳ κατηγορήθη, ἀλλ' ὡς τὴν A
Λιουίλλαν μεμοιχευκώς. πολλοὶ γὰρ δὴ καὶ ἄλλοι δι' αὐτὴν ἐκο
λάσθησαν. εἰ δέ τι καὶ τὰ Αἰγύπτια πρὸς τοὺς Ῥωμαίους προσ
ήκει, ὁ φοίνιξ ἐκείνῳ τῷ ἔτει ὤφθη, καὶ ἔδοξε τὸν θάνατον
τοῦ Τιβερίου προσημαίνειν. ἐν γὰρ τῷ ἑξῆς ἔτει ἐνόσησε μὲν χα-
λεπῶς, δείσας δὲ ὁ Γάϊος μὴ ἄρα ἀναστῇ, οὔτε ἐμφαγεῖν
τι αἰτήσαντι αὐτῷ, ὡς καὶ βλαβησομένῳ, ἔδωκε, καὶ ἱμάτια
πολλὰ καὶ παχέα, ὡς καὶ θερμασίας τινὸς δεομένῳ, προσέβα- B
λε. καὶ οὕτως ἀπέπνιξεν αὐτὸν, συναραμένου τι αὐτῷ καὶ τοῦ
Μάκρωνος. ἅτε γὰρ κακῶς ἤδη τοῦ Τιβερίου νοσοῦντος, τὸν
νεανίσκον ἐθεράπευε, καὶ μάλισθ' ὅτι ἐς ἔρωτα αὐτὸν τῆς
ἑαυτοῦ γυναικὸς Ἐννίας Θρασύλλης ὑπῆκτο. ὅπερ καὶ ὁ Τιβέ-
ριος ὑποπτεύσας ποτὲ, Εὖ γε, ἔφη, τὸν δυόμενον ἐγκαταλιπὼν,
πρὸς τὸν ἀνατέλλοντα ἐπείγῃ. Τιβέριος μὲν δὴ πλεύσας μὲν

ἀρετὰς, πλείστας δὲ κακίας ἔχων, καὶ ἑκατέραις αὐταῖς ὡς
C καὶ μόναις κεχρημένος, οὕτω μετήλλαξεν. ἐβίω δὲ ἑπτὰ καὶ ἑβ-
δομήκοντα ἔτη, καὶ μῆνας τέσσαρας, καὶ ἡμέρας ἐννέα, ἀφ' ὧν
ἐμονάρχησεν ἔτη δύο καὶ εἴκοσι, μῆνας τε ἑπτὰ καὶ ἡμέρας ἑ-
πτά· καὶ δημοσίας ταφῆς ἔτυχε, καὶ ἐπῃνέθη ὑπὸ τοῦ Γαΐου.

ΓΑΙΟΣ ΚΑΛΙΓΟΛΑΣ.

ΓΑΙΟΣ δὲ τὴν δυναστείαν παραλαβὼν,
τάς τε διαθήκας τοῦ Τιβερίου ἐς τὸ συνέ-
δριον πέμψας, ἀκύρους ἐποίησεν ὡς καὶ πα-
ραφρονήσαντος αὐτοῦ, ὅτι τὸν ἔγγονον αὐτοῦ
τὸν Τιβέριον ἐν αὐταῖς παῖδα κομιδῇ ὄν-
τα, ᾧ μηδὲ εἰσελθεῖν ἐς τὸ βουλευτήριον ἐξῆν, αὐτοκράτορα
σὺν αὐτῷ ἀπέδειξε. κἀκεῖνον μετ' ὀλίγον ἀπέκτεινε. τοὺς δ' ὀρ-
χηστὰς ἐπαναγαγὼν, καὶ ἔς τε τούτους καὶ τοὺς ἵππους τούς τε μο-
116 νομάχους καὶ τἄλλα τὰ τοιουτότροπα ἀπλήστως δαπανῶν, τοὺς
A θησαυροὺς μεγάλους γενομένους, διὰ βραχυτάτου ἐξεκένωσε.
πέντε γοῦν μυριάδας μυριάδων καὶ ἑπτακοσίας καὶ ἑπτακισ-
χιλίας τε θησαυρισμένας εὑρὼν, οὐδὲ ἐς τὸ τρίτον ἔτος μέ-
ρος ἀπ' αὐτῶν διέσωσε. μοιχικώτατός τε ἀνδρῶν γενόμε-
νος, καὶ γυναῖκα μίαν μὲν ἐκδεδομένην ἀνδρὶ ἁρπάσας, ἄλ-
λας δὲ συνοικούσας τισὶν ἀποσπάσας, ἔπειτα αὐτὰς, πλὴν
μιᾶς, ἁπάσας ἐμίσησε. πάντως δ' ἂν καὶ ἐκείνην ἤχθηρεν, εἰ
ἐπὶ πλεῖον ἐβεβιώκει. ἀνοσιώτατος δὲ ἀνθρώπων καὶ περὶ τὴν
τηθὴν καὶ περὶ τὰς ἀδελφὰς ἐγένετο. κἀκείνην γὰρ ἐπιτι-
B μήσασάν τι αὐτῷ, ἐς ἀνάγκην ἑκουσίου θανάτου κατέστησε· καὶ
τὰς ἀδελφὰς πάσας διαφθείρας, ἐς νῆσον τὰς δύο κατέκλει-
σεν. ἡ γὰρ τρίτη προαπέθανε. τοσαύτης δ' ἀνωμαλίας πεπλη-

ρώπῳ, καὶ μετὰ τηλικαύτης τῆς ἐμπληξίας τοῖς πράγμασι προσ-
φέρετο, ὥστε μηδένα μήθ' ὅ,τι εἰπεῖν, μήθ' ὅ,τι πρᾶξαι χρὴ
πρὸς αὐτὸν εἰδέναι, ἀλλ' ὅσοι τι καὶ κατώρθωσαν, ἐκ συντυ-
χίας μᾶλλον ἢ γνώμης τυχεῖν αὐτοῦ. πλήθει τε γὰρ ἀνθρώπων καὶ
ἐρημίᾳ αὖ ἔχαιρεν· αἰτούμενός τέ τι καὶ μὴ αἰτούμενος ὠργί-
ζετο· ὀξύτατά τε πρὸς πράξεις τινὰς ἐφέρετο, καὶ νωθέστα-
τα ἔστιν ἃ αὐτῶν μετεχειρίζετο· τά τε χρήματα καὶ ἀφειδέστατα C
ἀνήλισκε, καὶ ῥυπαρώτατα ἠργυρολόγει· τοῖς τε θωπεύουσιν αὐ-
τῶν καὶ τοῖς παρρησιαζομένοις τι καὶ ἤχθετο ὁμοίως καὶ ἥδε-
το· καὶ πολλοὺς μὲν μεγάλα ἀδικήσαντας οὐκ ἐκόλασε, πολ-
λοὺς δὲ καὶ μηδὲν ἀδικήσαντας ἀπέσφαξε. τῶν τε ἑταί-
ρων τοὺς μὲν ὑπερεκολάκευε, τοὺς δὲ ὑπερύβριζε. τοιούτῳ μέν-
τοι αὐτοκράτορι οἱ Ῥωμαῖοι παρεδόθησαν, ὥστε τὰ τοῦ Τιβε-
ρίου ἔργα, καίπερ χαλεπώτατα δόξαντα γεγονέναι, τοσοῦτον πα-
ρὰ τὰ Γαΐου, ὅσον τὰ τοῦ Αὐγούστου παρ' ἐκεῖνα παρενεγκεῖν.
τὸ μὲν οὖν πρῶτον οὕτως ἐδεδούλωτο καὶ τοῖς ὀρχησταῖς, καὶ τοῖς D
ἄλλοις τοῖς περὶ τὴν σκηνὴν ἔχουσιν, ὡς καὶ τὸν Ἀπελλῆν τὸν
εὐδοκιμώτατον τῶν τότε τραγῳδῶν, καὶ δημοσίᾳ αὐτῷ συνόν-
τα ἔχειν. προϊόντος δὲ δὴ τοῦ χρόνου, καὶ ἐς ζήλωμα καὶ ἐς ἀ-
γώνισμα πολλῶν προῆλθεν. ἅρματά τε γὰρ ἤλασε, καὶ ἐμονο-
μάχησεν· ὀρχήσεώς τε ἐγεύσατο, καὶ τραγῳδίαν ὑπεκρίνατο. ἅ-
παξ δέ ποτε τοὺς πρώτους τῆς γερουσίας σπουδῇ νυκτὸς, ὡς
καὶ ἐπ' ἀναγκαῖόν τι βούλευμα μεταπεμψάμενος, ὠρχήσα-
το. κατ' ἀρχὰς μὲν οὖν πάνυ μετρίως διελέχθη τῇ γερουσίᾳ.
τήν τε γὰρ ἀρχὴν κοινώσειν σφίσιν ὑπέσχετο, καὶ υἱὸς καὶ τρόφιμος 117
αὐτῶν λέγων εἶναι. ἦγε δὲ πέμπτον καὶ εἰκοστὸν ἔτος ἡμερῶν τεσ- A
σάρων καὶ μηνῶν πέντε ἀποδέον. ἔπειτα τοὺς ἐν τῷ δεσμω-
τηρίῳ ὄντας ἀπέλυσεν, ὧν εἷς ἦν Κυΐντος Πομπώνιος, ἑπτὰ
ὅλοις ἔτεσιν ἐν τῷ οἰκήματι μετὰ ὑπατείαν κακωθείς. ἦρξε
δὲ τὴν ὕπατον ἀρχὴν, τὸν Κλαύδιον τὸν θεῖον προσλαβών.
ἐσεφέρετο γὰρ ἔν τε τοῖς ἱππεῦσι μέχρι τότε ἐξεταζόμενος, καὶ

πρεσβευτὴς πρὸς τὸν Γάϊον μετὰ τὸν τοῦ Τιβερίου θάνατον ὑ-
B ὑπὲρ τῆς ἱππάδος πεμφθεὶς, ὅτε πρῶτον, καίπερ ἓξ καὶ τεσσα-
ράκοντα ἔτη βεβιωκὼς, καὶ ὑπάτευσεν ἅμα καὶ ἐβασίλευ-
σεν. ὁ δ᾽ οὖν Γάϊος ταῦτά τε ἐπιεικῶς ποιῆσαι ἔδοξε, καὶ τοι-
αῦτα ἐν τῷ βουλευτηρίῳ ἐδημηγόρησεν, ὥστε τὴν γερουσίαν,
φοβηθεῖσαν μὴ μεταβάλληται, δόγμα ποιῆσαι, κατ᾽ ἔτος αὐτὰ
ἀναγινώσκεσθαι. θέαι τε παντοδαπαὶ ἐγίγνοντο, καὶ ἄρκτους τε-
τρακοσίας μεθ᾽ ἑτέρων Λιβυκῶν θηρίων ἴσων ἀπέκτεινε, καὶ
τὸ ἅρμα τὸ πομπικὸν ἐφ᾽ οὗ ἤχθη, ἓξ ἵπποι εἵλκυσαν· ὃ μὴ πώ
ποτε ἐγεγόνει. τά τε προσκεφάλαια τοῖς βουλευταῖς, ὅπως μὴ
ἐπὶ γυμνῶν τῶν σανίδων καθίζωνται, πρῶτον τότε ὑπετέθη.
καὶ πίλοις σφίσι τὸν Θετταλικὸν τρόπον ἐς τὰ θέατρα φορεῖν,
C ἵνα μὴ τῇ ἡλιώσει ταλαιπωρῶνται, ἐπετράπη· καὶ εἴ γέ ποτε
ἐς ὑπερβολὴν ἐπέφλεξε, τῷ διριβιτωρείῳ ἀντὶ τοῦ θεάτρου
ἰκριωμένῳ ἐχρῶντο. μετὰ δὲ τοῦτο νοσήσας, αὐτὸς μὲν οὐκ ἀπέ-
θανε, τὸν δὲ δὴ Τιβέριον τὸν τοῦ Τιβερίου ἔκγονον ἀνεχρήσα-
το, ἔγκλημα αὐτῷ ἐπαγαγὼν, ὡς καὶ τελευτῆσαι αὐτὸν ἐπευ-
ξαμένῳ καὶ προσδοκήσαντι. ἀφ᾽ οὗ καὶ ἄλλους συχνοὺς ἐφό-
νευε. Πούπλιος δὲ Ἀφράνιος Ποτῖτος δημότης τε ὢν, καὶ ὑπὸ
μωρᾶς κολακείας οὐ μόνον ἐθελοντὴς, ἀλλὰ καὶ ἔνορκος, ἂν
D γε ὁ Γάϊος σωθῇ, τελευτήσειν ὑποσχόμενος, Ἀτάνιός τέ τις Σε-
κοῦνδος, ἱππεύς τε ὢν, καὶ μονομαχήσειν ὑπαγγειλάμενος, ἀντὶ
τῶν χρημάτων ἃ ἤλπιζον παρ᾽ αὐτοῦ, ὡς καὶ ἀντίψυχοί οἱ ἀπο-
θανεῖν ἐθελήσαντες, λήψεσθαι, ἀποδοῦναι τὴν ὑπόσχεσιν ἠναγ-
κάσθησαν, ἵνα μὴ ἐπιορκήσωσι. καὶ τούτοις μὲν αὕτη αἰτία τοῦ θα-
νάτου ἐγένετο. ὁ δὲ δὴ πενθερὸς αὐτοῦ Μάρκος Σιλανὸς οὐδὲν ὑ-
ποσχόμενός τι, οὔτε καὶ ὀμόσας, ἐπειδὴ βαρὺς αὐτῷ ὑπό τε τῆς ἀ-
118 ρετῆς καὶ ὑπὸ τῆς συγγενείας ἦν, καὶ διὰ τοῦτο προεξυβρίζετο, ἑαυ-
A τὸν κατεχρήσατο. ὁ μὲν γὰρ Τιβέριος οὕτως αὐτὸν ἐτίμησεν
ὥστε μήτε ἔκκλητόν ποτε ἀπ᾽ αὐτοῦ δικάσασθαι ἐθελῆσαι,
ἀλλ᾽ ἐκείνῳ πάντα αὖθις τὰ τοιαῦτα ἐγχειρίσαι. ὁ δὲ δὴ Γάϊος

τά τε ἄλλα προσεπηλάκισε, καὶ χρυσοῦν αὐτὸν πρόβατον ὠνόμαζεν. τήν τε θυγατέρα αὐτοῦ ἐκβαλὼν, ἔγημε Κορνηλίαν Ὀρεστίναν, ἣν ἥρπασεν ἐν αὐτοῖς τοῖς γάμοις οἷς τῷ ἐγγεγυημένῳ αὐτὴν Γαΐῳ Καλπουρνίῳ Πείσωνι συνεώρταζε. πρὶν δὲ δύο μῆνας ἐξήκειν, ἀμφοτέρους σφᾶς, ὡς καὶ συγγινομένους B
ἀλλήλοις, ἐξώρισε, καὶ τῷ γε Πείσωνι δέκα δούλοις ἐπάγεσθαι ἐπιτρέψας, εἶτ' ἐπειδὴ πλείονας ᾐτήσατο, ἀφῆκεν ὅσοις ἂν ἐθελήσῃ χρήσασθαι, εἰπὼν ὅτι καὶ στρατιῶται τοσοῦτοί σοι συνέσονται. ἐν τινι δὲ νουμηνίᾳ Μάχων τις δοῦλος ἐπί τε τὴν κλίνην τοῦ Διὸς τοῦ Καπιτωλίου ἐπανέβη, κἀντεῦθεν πολλὰ καὶ δεινὰ ἀπομαντευσάμενος, κυνίδιόν τι ὃ ἐσενηνόχει, ἀπέκτεινε, καὶ ἑαυτὸν ἔσφαξε. τοῦ τε τοῦ αἵματος θέας ἀπλήστως ἔχων ὁ Γάϊος, πλείστους ὅσους ὁπλομαχεῖν ἐποίει. καὶ γὰρ καθ' ἕνα καὶ ἀθρόους, ὥσπερ ἐν παρατάξει τινὶ, συνέβαλλε σφᾶς, ὥστε καὶ τῶν ἱππέ- C
ων ποτὲ ἓξ καὶ εἴκοσιν ἐν μιᾷ ἡμέρᾳ σφαγῆναι. ὑπὸ γὰρ δὴ τῆς αὐτοῦ ὠμότητος ἐπιλειπόντων ποτὲ τῶν τοῖς θηρίοις ἐκ καταδίκης διδομένων, ἐκέλευσεν ἐκ τοῦ ὄχλου τοῦ τοῖς ἰκρίοις προσεστηκότος συναρπασθῆναί τινας καὶ παραβληθῆναι σφίσι· καὶ ὅπως γε μήτ' ἐπιβοήσασθαι μήτ' αἰτιάσασθαι δυνηθῶσι, τὰς γλώσσας αὐτῶν προαπέτεμε. τῶν τε ἱππέων τινὰ τῶν ἐπιφανῶν μονομαχῆσαί τε, ὡς καὶ ὑβρίσαντα τὴν μητέρα αὐτοῦ τὴν Ἀγριππῖναν, ἠνάγκασε, καὶ νικήσαντα κατηγόροις παρέδωκε, καὶ ἀπέσφαξε. τόν τε πατέρα αὐτοῦ μηδὲν ἀδικήσαντα ἔς τε γαλεάγραν, ὥσπερ καὶ ἄλλους συχνοὺς, κα- D
θεῖρξε, κἀνταῦθα διέφθειρεν. ἐποίησε δὲ τοὺς ἀγῶνας τούτους τὰ μὲν πρῶτα ἐν τοῖς σεπτοῖς, πᾶν τὸ χωρίον ἐκεῖνο διορύξας καὶ ὕδατος πληρώσας, ἵνα μίαν ναῦν ἐσαγάγῃ, ἔπειτα δὲ καὶ ἑτέρωθι, πλεῖστά τε καὶ μέγιστα οἰκοδομήματα καθελὼν, καὶ ἰκρία πηξάμενος. τούτων τε οὖν ἕνεκα καὶ διὰ τὰς δαπάνας καὶ τοὺς φόνους ἐπαχθὴς ἦν, καὶ ὅτι τὸν Μάκρωνα μετὰ τῆς Ἐννίας, μήτε τοῦ ταύτης ἔρωτος, μήτε τῶν ἐκείνου εὐεργετημάτων

119 μνησθείς, ἔς τε ἑκουσίου δὴ θανάτου ἀνάγκην, καὶ ἐς αἰσχύνην
A ἧς αὐτὸς τὸ πλεῖστον μετεῖχε, κατέστησε. προαγωγείας γὰρ ἔγ-
κλημα αὐτῷ πρὸς τοῖς ἄλλοις ἐπήγαγεν. ἐφόνευε δὲ ὅτι πλεί-
στους, ἄλλα μὲν αἰτιώμενος, τὸ δ' ἀληθὲς, διὰ τὰς οὐσίας, ἅτε
χρημάτων δεόμενος. οἵ τε γὰρ θησαυροὶ ἐξανήλωντο, καὶ οὐδὲν αὐτῷ
ἐξήρκει. διαλιπὼν δὲ ὀλίγας ἡμέρας, ἔγημε Λολλίαν Παυλί-
ναν, αὐτὸν τὸν ἄνδρα αὐτῆς Μέμμιον Ῥήγουλον ἐγγυῆσαί
οἱ τὴν γυναῖκα ἀναγκάσας, μὴ καὶ ἀνέγγυον αὐτὴν παρὰ
B τοὺς νόμους λάβῃ· καὶ εὐθύς γε καὶ ἐκείνην ἐξήλασε. πηλὸν
δέ ποτε πολὺν ἐν στενωπῷ τινὶ ἰδὼν, ἐκέλευσεν αὐτὸν ἐς τὸ τοῦ
Οὐεσπασιανοῦ τοῦ Φλαβίου ἱμάτιον ἀγορανομοῦντος τότε, καὶ
τῶν στενωπῶν καθαρειότητος ἐπιμελουμένου, ἐμβληθῆναι.
καὶ τότε οὕτω πραχθὲν, παραχρῆμα μὲν ἐν οὐδενὶ λόγῳ ὤ-
φθη, ὕστερον δὲ τοῦ Οὐεσπασιανοῦ τὰ πράγματα τεταραγ-
μένα καὶ πεφυρμένα παραλαβόντος τε καὶ καταστησαμένου,
ἔδοξεν οὐκ ἀθεεὶ γεγονέναι, ἀλλ' ἄντικρυς αὐτῷ πόλιν ὁ Γά-
ϊος πρὸς ἐπανόρθωσιν ἐγκεχειρικέναι. ποτὲ δὲ τοῦ δήμου βοή-
σαντος, Νεανίσκε Αὔγουστε, ὑβρισθῆναι νομίσας, πλείστους ὅ-
C σους ἀπέκτεινε, τοὺς μὲν μεταξὺ θεωμένους καταπατήσας, συ-
χνοὺς δὲ καὶ ἀπαλλαττομένους ἐκ τοῦ θεάτρου συλλαβών. καὶ
τοῦτο μὲν πολλάκις ἐποίει. ποτὲ δὲ παντὶ τῷ δήμῳ ἀπειλῶν, ἔφη,
Εἴθε ἕνα αὐχένα εἴχετε. ἐν δὲ θέᾳ τινὶ ἐπ' αὐτοῦ ἄρκτοι πεν-
τακόσιοι ἐν μιᾷ ἡμέρᾳ ἐσφάγησαν, καὶ τῇ μετὰ ταύτην ἴσα Λι-
βυκὰ θηρία. σπουδάζων δὲ, ὡς ἔφην, περὶ τοὺς ἡνιόχους καὶ
τοὺς ἵππους, πολλοὺς ἀντιστασιωτῶν, τοὺς μὲν φανερῶς, τοὺς δὲ
D φαρμάκῳ διέφθειρεν. ἰσχυρῶς γὰρ τὴν βατραχίδα ἐνδύοντι
καὶ διὰ τοῦτ' ἀπὸ τοῦ χρώματος πρασίνῳ καλουμένῳ προσέ-
κειτο, ὥστε καὶ νῦν ἔτι Γαϊανὸν ἀπ' αὐτοῦ τὸ χωρίον ἐν
ᾧ τὰ ἅρματα ἤσκει, καλεῖσθαι. καὶ ἕνα γε τῶν ἵππων ὃν Ἰγκίτα-
τον ὠνόμαζε, καὶ ἐπὶ δεῖπνον ἐκάλει, χρυσᾶς τε αὐτῷ κριθὰς
παρέβαλλε, καὶ οἶνον ἐν χρυσοῖς ἐκπώμασι προύπινε· τήν τε

εὐσέβειαν αὐτοῦ καὶ τὴν τύχην ὤμνυε, καὶ προσυπισχνεῖτο τε
ὕπατον αὐτὸν ἀποδείξειν· καὶ πάντως ἂν καὶ τοῦτ᾽ ἐπεποιήκει
εἰ πλείω χρόνον ἐζήκει. ἔν τινι δὲ ἐκκλησίᾳ λόγον εἰσήνεγκε, Τι-
βέριον μὲν ἔπαινον ἔχοντα, τῶν βουλευτῶν δὲ κατηγορίαν 120
μακράν. εἶπε γάρ που πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, Ἀλλ᾽ ὑμεῖς A
τε ἐκεῖνον ἐμπλήκτως μετεχειρίσασθε, καὶ τὸν Σιανὸν φυσήσαν-
τες τε διαφθείραντες, ἀπεκτείνατε· ὥστε δεῖ καὶ ἐμὲ μηδὲν χρη-
στὸν παρ᾽ ὑμῶν προσδέχεσθαι. τοιαῦτα ἄττα εἰπὼν, αὐτὸν τὸν
Τιβέριον τῷ λόγῳ παρήγαγε, λέγοντά οἱ ὅτι καὶ καλῶς τε ἀ-
ληθῶς ταῦτα πάντα εἴρηκας· καὶ διὰ τοῦτο μήτε φιλήσῃς τινὰ
αὐτῶν, μήτε φείσῃ τινός. πάντες γὰρ μισοῦσί σε, καὶ πάντες ἀπο-
θανεῖν εὔχονται. οὐδεὶς γὰρ ἀνθρώπων ἑκὼν ἄρχεται, ἀλλ᾽ ἐφ᾽
ὅσον μὲν φοβεῖται, θεραπεύει τὸν ἰσχυρότερον· ὅταν δὲ δὴ θαρσή-
σῃ, τιμωρεῖται τὸν ἀσθενέστερον. ταῦτ᾽ εἰπὼν, ἐκ τοῦ βουλευτη- B
ρίου ἐξεπήδησεν, ἔς τε τὸ προάστειον αὐθημερὸν ἐξώρμησεν.
ἡ δὲ γερουσία τότε μὲν ὑπ᾽ ἐκπλήξεως καὶ ὑπὸ δέους οὐδὲ
φθέγξασθαι ἠδυνήθησαν· τῇ δ᾽ ὑστεραίᾳ αὖθις ἀθροισθέντες,
ἐπαίνους τε αὐτοῦ πολλοὺς ἐποιήσαντο, χάριν αὐτῷ μεγάλην
ἔχοντες ὅτι μὴ προσαπώλοντο, καὶ τῇ φιλανθρωπίᾳ αὐτοῦ βου-
θυτεῖν κατ᾽ ἔτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν ᾗ ταῦτα ἀνεγνώκει, ἐ-
ψηφίσαντο. καὶ μετὰ τοῦτο κατὰ πᾶσαν ὡς εἰπεῖν ἀφορμὴν
πάντως τι αὐτῷ προσετίθεσαν. Γάϊος δὲ τούτων μὲν οὐ-
δὲν προετίμησε, τὰ δὲ τῆς θαλάττης τρόπον τινὰ διϊππεῦσαι C
ἐπεθύμησε, γεφυρώσας τὸ μεταξὺ τῶν τε Πουτιόλων καὶ τῶν
Βαύλων. τὸ γὰρ χωρίον τοῦτο κατ᾽ ἀντιπέρας τῆς πόλεως ἐστὶ,
διέχον αὐτῆς σταδίους ἓξ καὶ εἴκοσι. πλοῖα δὲ ἐς τὴν γέ-
φυραν τὰ μὲν ἠθροίσθη, τὰ δὲ κατεσκευάσθη. οὐ γὰρ ἐξήρ-
κεσε τὰ συλλεγέντα· ἐζεύχθη δὲ οὐχ ἁπλῶς δίοδός τις, ἀλλὰ
καὶ ἀναπαῦλαι ἐν αὐτῇ καὶ καταλύσεις, ὥστε καὶ ὕδωρ αὐ-
ταῖς πότιμον ἐπίρρυτον ἔχειν, ἐποιήθησαν. ἐπειδὴ δὲ ἕτοιμα
ἦν, τόν τε θώρακα τοῦ Ἀλεξάνδρου, ὡς ἔλεγε, καὶ ἐπ᾽ αὐτῷ

D χλαμύδα σηρικὴν ἁλουργῆ, πολὺ μὲν χρυσίον, πολλοὺς δὲ καὶ
λίθους Ἰνδικοὺς ἔχουσαν, ἐπενέδυ· ξίφος τε παρεζώσατο, καὶ
ἀσπίδα ἔλαβε, καὶ δρυῒ ἐστεφανώσατο. κἀκ τούτου τῷ τε Ποσει-
δῶνι Φθόνῳ τε θύσας, μὴ καὶ βασκανία τις αὐτῷ (ὥς ἔφα-
σκε) γένηται, ἔς τε τὸ ζεῦγμα ἀπὸ τῶν Βαύλων ἐσέβαλε, παμ-
πληθεῖς καὶ ἱππέας καὶ πεζοὺς ὡπλισμένους ἐπαγόμενος, καὶ
σπουδῇ καθάπερ ἐπὶ πολεμίους τινὰς ἐς τὴν πόλιν ἐσέπεσε.
κἀνταῦθα τῆς ὑστεραίας ἀναπαυσάμενος ὥσπερ ἐκ μάχης,
ἀνεκομίσθη διὰ τῆς αὐτῆς γεφύρας ἐφ' ἅρματος, χιτῶνα χρυ-
121 σόπαστον ἐνδύς. ἦγον δὲ αὐτὸν ἀθληταὶ ἵπποι ἀξιονικότατοι.
A καὶ ἄλλα τε αὐτῷ πολλά, ὡς καὶ λάφυρα συνηκολούθει, καὶ
Δαρεῖος ἀνὴρ Ἀρσακίδης ἐν τοῖς ὁμηρεύουσι τότε τῶν Πάρθων
ὤν· καὶ (ἔδει γὰρ αὐτόν, οἷα ἐν τῇ στρατείᾳ τοιαύτῃ καὶ ἐπὶ νίκῃ τη-
λικαύτῃ, καὶ δημηγορῆσαί τι) ἀνέβη ἐπὶ βῆμα ἐπὶ πλοίων καὶ
αὐτὸ κατὰ μέσην που τὴν γέφυραν πεποιημένον· καὶ πρῶτα μὲν
ἑαυτὸν ὡς καὶ μεγάλων τινῶν ἔργων ἐπιχειρητὴν ἀπεσέμνυ-
νεν, ἔπειτα δὲ τοὺς στρατιώτας, ὡς καὶ πεπονηκότας καὶ κεκινδυ-
νευκότας, ἐπῄνεσεν, ἄλλα τε καὶ αὐτὸ τοῦτο εἰπών, ὅτι πεζῇ διὰ
τῆς θαλάσσης διέδραμον. καὶ μετὰ τοῦτ' αὐτός τε ἐπὶ τῆς γεφύ-
B ρας, ὥσπερ ἐν νήσῳ τινί, καὶ ἐκεῖνοι ἐν ἑτέροις πλοίοις περιορ-
μοῦντες, τό, τε λοιπὸν τῆς ἡμέρας καὶ τὴν νύκτα πᾶσαν εἱ-
στιάθησαν, πολλοῦ μὲν αὐτόθεν φωτός, πολλοῦ δὲ ἐκ τῶν ὀρῶν ἐπι-
λάμψαντος σφίσι. τοῦ γὰρ χωρίου μηνοειδοῦς ὄντος, πῦρ παν-
ταχόθεν καθάπερ ἐν θεάτρῳ τινὶ ἐδείχθη. ὑπερκορὴς δὲ σίτου
καὶ μέθης γενόμενος, συχνοὺς μὲν τῶν ἑταίρων ἐς τὴν θάλασσαν
ἀπὸ τῆς γεφύρας ἔρριψε, συχνοὺς δὲ καὶ τῶν ἄλλων ἐν πλοίοις ἐμ-
βόλοις ἔχουσι περιπλεύσας κατέδυσεν, ὥστε καὶ ἀπολέσθαι τι-
νάς. οἱ γὰρ πλείους καίπερ μεθύοντες ἐσώθησαν. αἴτιον δὲ, ὅτι καὶ
λειοτάτη καὶ γαληνοτάτη ἡ θάλασσα ἐγεγόνει. καί τι καὶ ἀπὸ
C τούτων ὠγκώθη, λέγων ὅτι καὶ ὁ Ποσειδῶν αὐτὸν ἐφοβήθη. ἐπεὶ
ἔς γε τὸν Δαρεῖον καὶ τὸν Ξέρξην οὐδὲν ὅ,τι οὐκ ἀπέσκωπτεν,

ὡς καὶ πολλαπλάσιον αὐτῶν μέτρον τῆς θαλάσσης ζεύξας.
ὧν δὲ ἀπώλεσεν ἐπιφανῶν ἀνδρῶν, πολὺ μὲν ἔργον ἀριθμῆ-
σαι καὶ τὰ ὀνόματα· ῥητέον δὲ ὅμως ὀλίγους τινάς, ἐξ ὧν καὶ
μάλιστα δηλωθήσεται ἡ τοῦ Γαΐου μανία. Ἰούνιος Πρίσκος στρατη-
γὸς ἠπάθη μὲν ἐπ' ἄλλοις τισίν, ἀπέθανε δὲ ὡς πλούσιος. καὶ ἐπ'
αὐτῷ ὁ Γαΐος, μαθὼν ὅτι οὐδὲν ἄξιον τοῦ θανάτου ἐκέκτητο,
θαυμαστὸν λόγον ἐφθέγξατο, εἰπὼν, Ἠπάτησέ με, καὶ μάτην D
ἀπώλετο· ζῆν γὰρ ἠδύνατο. Δομίτιος δὲ ὁ Ἄφρος κινδύνῳ
παραδόξῳ καὶ σωτηρίᾳ θαυμασιωτέρᾳ ἐχρήσατο. ἡ μὲν γὰρ
Ἀγριππῖνα ἡ τοῦ Γαΐου μήτηρ συναντήσασά ποτε αὐτῷ ἐπὶ
τοῦ Τιβερίου, καὶ μαθοῦσα ὅτι ἐξέστη τῆς ὁδοῦ δι' αἰσχύνην,
ὅτι γυναικός τινος αὐτῇ προσηκούσης κατηγορήκει, προσε-
καλέσατό τε αὐτὸν καὶ ἔφη, Θάρρει Δομίτιε. οὐ γάρ σύ μοι
αἴτιος εἶ, ἀλλ' Ἀγαμέμνων. τότε δὲ ἐπειδὴ εἰκόνα τινὰ τοῦ Γα- 122
ΐου στήσας, ἐπίγραμμα αὐτῇ ἐπέγραψε, δηλῶν ὅτι ἕβδομον καὶ A
εἰκοστὸν ἔτος ἄγων, δεύτερον ὑπατεύοι, ἠγανάκτησεν, ὡς καὶ
προφέροντος αὐτοῦ τὸ μειρακιῶδες καὶ τὸ παράνομον· καὶ
εὐθὺς ἐπὶ τούτῳ ἐφ' ᾧ καὶ τιμηθήσεσθαι προσεδόκησεν, ἔς τε
τὸ συνέδριον αὐτὸν ἐσήγαγε, καὶ λόγον κατ' αὐτοῦ μακρὸν ἀνέ-
γνω. ἄλλως τε γὰρ προέχειν ἁπάντων τῶν ῥητόρων ἠξίου, καὶ ἐ-
κεῖνον δεινότατον εἰπεῖν εἰδὼς ὄντα, ὑπερβαλεῖν ἐσπουδάκει. B
πάντως δ' ἂν αὐτὸν ἀπέκτεινεν, εἰ καὶ ἐφ' ὁποσονοῦν ἀντεπε-
φιλοτίμητο· νῦν δὲ ἀντεῖπε μὲν οὐδέν, θαυμάζειν δὲ δὴ καὶ κα-
ταπεπλῆχθαι τὴν δεινότητα τοῦ Γαΐου προσποιησάμενος, τήν
τε κατηγορίαν καθ' ἓν ἕκαστον ἐπιλέγων, ὥσπερ τις ἀκροα-
τὴς ἀλλ' οὐχ ὑπεύθυνος ὤν, ἐπῄνει. καὶ ἐπειδὴ ὁ λόγος αὐτῷ
ἐδόθη, πρὸς ἀντιβολίαν καὶ ὀλοφυρμὸν ἐτράπετο· καὶ τέλος
ἔς τε τὴν γῆν κατέπεσε, καὶ χαμαὶ κείμενος ἱκέτευσεν, ὡς
καὶ τὸν ῥήτορα αὐτοῦ μᾶλλον ἢ τὸν Καίσαρα φοβούμενος. ἐφ'
οἷς ἐκεῖνος διεχύθη, πιστεύσας ὄντως τῇ τῶν λόγων παρα- C
σκευῇ κεκρατηκέναι αὐτοῦ. καὶ διά τε τοῦτο, καὶ διὰ Κάλλιστον

τὸν ἀπελεύθερον, ὃν αὐτός τι ἐτίμα, καὶ ὁ Δομίτιος ἐπιτεθερα-
πεύκει, ἐπαύσατο ὀργιζόμενος. καὶ τῷ γε Καλλίστῳ αἰτιασαμέ-
νῳ αὐτὸν ὕστερον ὅτι καὶ τὴν ἀρχὴν αὐτοῦ κατηγόρησεν, ἀπε-
κρίνατο ὅτι οὐκ ἔδει με τοιοῦτον λόγον ἀποκεκρύφθαι. Δομί-
τιος μὲν δὴ καταγνωσθεὶς μηκέτι δεινὸς εἶναι λέγειν, ἐσώθη. ὁ δὲ
δὴ Σενέκας ὁ Ἄννιος Λούκιος ὁ πάντας μὲν τοὺς καθ' ἑαυτὸν
Ῥωμαίους, πολλοὺς δὲ καὶ ἄλλους σοφίᾳ ὑπεράρας, διεφθάρη
D παρ' ὀλίγον, μήτ' ἀδικήσας τι, μήτε δόξας, ὅτι δίκην τινὰ
ἐν τῷ συνεδρίῳ παρόντος αὐτοῦ καλῶς εἶπε. τοῦτον μὲν οὖν
ἀποθανεῖν κελεύσας ἀφῆκε, γυναικί τινι ὧν ἐχρῆτο πιστεύσας
ὅτι φθόῃ τε ἔχοιτο κακῶς, καὶ οὐκ ἐς μακρὰν τελευτήσοι. τὸν
δὲ Δομίτιον ὕπατον εὐθὺς ἀπέδειξε, τοὺς τότε ἄρχοντας κα-
ταλύσας, ὅτι ἐπὶ ταῖς τοῦ Αὐγούστου νίκαις, αἷς τὸν Ἀντώνιον νε-
νικήκει, ἑορτὴν, ὥσπερ εἴθιστο, ἤγαγον. ἵνα γὰρ συκοφαντήσῃ αὐ-
123 τούς, τοῦ Ἀντωνίου μᾶλλον ἢ τοῦ Αὐγούστου ἀπόγονος δοκεῖν εἶναι
A ἠθέλησε, καὶ προεῖπέ γε οἷς καὶ τὰ ἄλλα ἀνεκοίνου, ὅτι πάντως
ὁπότερον ἄν τι ποιήσωσιν, ἁμαρτήσοιεν, ἄν τε ἐπὶ τῇ τοῦ Ἀντω-
νίου συμφορᾷ βουθυτήσωσιν, ἄν τε ἐπὶ τῇ τοῦ Αὐγούστου νίκῃ
ἄθυτοι γένωνται. Καρίναν δὲ Σεκοῦνδον ῥήτορα ἐφυγάδευσεν,
ὅτι λόγον τινὰ ἐν γυμνασίᾳ κατὰ τυράννων εἶπεν. ἐπειδὴ τὰ ἐν
Ῥώμῃ καὶ Ἰταλίᾳ χρήματα ἀνάλωκει, ἐς τὴν Γαλατίαν ἀφώρ-
μησεν, ὅπως καὶ τὰ ἐκείνων ἀνθοῦντα τοῖς πλούτοις καὶ τὰ τῶν
B Ἰβήρων ἐκχρηματίσηται· πολλοὺς μὲν οὖν ὀρχηστάς, πολλοὺς δὲ
μονομάχους, ἵππους, γυναῖκας, τὴν ἄλλην τρυφὴν ἐπαγό-
μενος. καὶ ἦν δημόσιον ἔγκλημα πᾶσι τὸ πλουτεῖν· καὶ αὐτῶν τὰ
κτήματα αὐτὸς πιπράσκων, πολλῷ καὶ ἐκ τούτου πλείω ἠργυ-
ρολόγει. πάντες γὰρ ἠναγκάζοντο καὶ πολύ γε ὑπὲρ τὴν ἀξίαν ὠ-
νεῖσθαι. ἀφ' οὗ περ καὶ τὰ τῆς μοναρχίας κειμήλια τὰ κάλλιστα
καὶ τιμιώτατα μεταπεμψάμενος, ἀπεκήρυξεν. ἐπέλεγε δὲ ἐφ'
ἑκάστῳ, τοῦτό μου ὁ πατὴρ ἐκτήσατο, τοῦτο ἡ μήτηρ, τοῦτο ὁ πάπ-
πος, τοῦτο ὁ πρόπαππος· Ἀντωνίου τοῦτο Αἰγύπτιον, Αὐγούστου

τὸ νικητήριον. οὐ μέντοι καὶ περιεποιεῖτό τι, ἀλλ' ἔς τε τὰ ἄλλα ἐ- C
δαπάνα, ὥσπερ εἰώθει, καὶ ἐς τὰ στρατεύματα. πέντε γὰρ εἴκο-
σι μυριάδας στρατιωτῶν ἤθροισεν, ὧν καὶ πολὺ μέρος ἀνήλω-
σε, τοὺς μὲν καθ' ἑκάστους κατακόπτων, τοὺς δὲ ἀθρόους ἅμα πάν-
τας φονεύων. ἰδὼν γάρ ποτε ὄχλον εἴτε δεσμωτῶν, εἴτε καὶ ἄλ-
λων τινῶν, προσέταξε τοῦτο δὴ τὸ λεγόμενον, ἀπὸ τοῦ φαλακροῦ
μέχρι τοῦ φαλακροῦ πάντας αὐτοὺς σφαγῆναι. κυβεύων δέ
ποτε, καὶ μαθὼν ὅτι οὐκ εἴη αὐτῷ ἀργύριον, ᾔτησέ τε τὰς τῶν
Γαλατῶν ἀπογραφὰς, καὶ ἐξ αὐτῶν τοὺς πλουσιωτάτους θα- D
νατωθῆναι κελεύσας, ἐπανῆλθέ τε πρὸς τοὺς συγκυβευτὰς,
καὶ ἔφη ὅτι ὑμεῖς περὶ ὀλίγων δραχμῶν ἀγωνίζεσθε, ἐγὼ δὲ
εἰς μυρίας καὶ πεντακισχιλίας μυριάδας ἤθροισα. καὶ οὗτοι
μὲν οὐδενὶ λόγῳ ἀπώλοντο· ἀμέλει εἷς τις αὐτῶν Ἰούλιος
Σακερδὼς ἄλλως μὲν εὖ χρημάτων ἧκον, οὐ μέντοι καὶ ὑπερ-
πλουτῶν ὥστε καὶ ἐπιβουλευθῆναι δι' αὐτὰ, ὅμως ἐξ ἐπω-
νυμίας ἀπεσφάγη. οὕτως ἀκρίτως πάντα ἐγίνετο. καὶ τὸν Κλαύ-
διον δὲ ἀπέκτεινεν ἂν, εἰ μὴ κατεφρόνησεν αὐτοῦ, τὰ μὲν τῇ 124
φύσει, τὰ δὲ ἐκ προνοίας πολλὴν νωθείαν προσποιουμένου· A
ἐς δὲ τὸν ὠκεανὸν ἐλθὼν, ὡς καὶ ἐν τῇ Βρεττανίᾳ στρατεύσων,
καὶ πάντας τοὺς στρατιώτας ἐν τῇ ᾐόνι παρατάξας, βιήρεις
τε ἐπέβη, καὶ ὀλίγον ἀπὸ τῆς γῆς ἀπάρας, ἀνέπλευσε, καὶ μετὰ
τοῦτο ἐπὶ βήματος ὑψηλοῦ ἱζήσας, καὶ σύνθημα τοῖς στρα-
τιώταις ὡς ἐς μάχην δοὺς, τοῖς τε σαλπικταῖς ἐξοτρύνας
αὐτοὺς, εἶτ' ἐξαίφνης ἐκέλευσε σφίσι τὰ κογχύλια συλλέξα-
σθαι. λαβὼν δὲ τὰ σκῦλα ταῦτα, (καὶ γὰρ λαφύρων δηλονότι
πρὸς τὴν τῶν ἐπινικίων πομπὴν ἐδεῖτο) μέγα τι ἐφρόνησεν, ὡς
καὶ τὸν ὠκεανὸν αὐτὸν δεδουλωμένος, καὶ τοῖς στρατιώταις πολλὰ
ἐδωρήσατο. καὶ ὁ μὲν ἐς τὴν Ῥώμην τὰ κογχύλια ἀνεκόμισεν, ἵ-
να καὶ ἐκείνοις τὰ λάφυρα δείξῃ· ἡ δὲ βουλὴ οὔθ' ὅπως ἐπὶ τού- B
τοις ἡσυχάζοι εἶχεν, ὅτι μεγαλοφρονούμενον αὐτὸν ἐπυνθάνε-
το, οὔθ' ὅπως αὐτὸν ἐπαινέσειεν. ἂν γάρ τις ἐπὶ μιᾷ ἢ μικρᾷ τινι

ἀνδραγαθίᾳ ἤτοι ἐπαίνοις μεγάλοις ἢ καὶ τιμαῖς δικαίοις
ποιῆται, διαμωκᾶσθαί τε καὶ διασιλλοῦν αὐτὴν ὑπώπτευε·
ὅμως εἰσελθὼν ἐς τὴν πόλιν, τὴν μὲν βουλὴν ὀλίγου ἐδέησεν
ἀπολέσαι πᾶσαν, ὅτι μὴ τὰ ὑπὲρ ἄνθρωπον αὐτῷ ἐψηφίσατο·
τὸν δὲ δῆμον ἀθροίσας, πολὺ μὲν ἀργύριον ἐκ μετεώρου τινὸς,
C πολὺ δὲ χρυσίον ἔρριψε· καὶ πολλοὶ ἀπώλοντο διαρπάζοντες.
σιδήρεια γὰρ μικρὰ ἄττα αὐτοῖς, ὥς φασί τινες, ἀνεμέμικτο.
Βετιλλῖνον δὲ Κάσσιον ἀποσφαγῆναι κελεύσας, καὶ τὸν πατέ-
ρα αὐτοῦ Καπίτωνα παρεῖναι φονευομένῳ αὐτῷ καταναγκά-
σας, μήτ' ἀδικοῦντά τι, μήτ' εἰσηγγελμένον. πυθομένου τι αὐτοῦ
εἰ μῦσαι γέ οἱ ἐπιτρέπει, προσέταξε καὶ ἐκεῖνον σφαγῆ-
ναι. ἦν δέ τις Πρωτογένης πρὸς πάντα αὐτῷ τὰ χαλεπώ-
τατα ὑπηρετῶν, ὥστε καὶ βιβλία ἀεὶ δύο περιφέρειν, καὶ
αὐτῶν τὸ μὲν ξίφος, τὸ δὲ ἐγχειρίδιον ὀνομάζειν. οὗτος ἐσῆλθέ
ποτε ἐς τὸ συνέδριον, ὡς καὶ κατ' ἄλλο τι, καὶ πάντων, οἷα
D εἰκὸς, προσειπόντων τε αὐτὸν καὶ δεξιουμένων, δριμύ τε Σκρι-
βωνίῳ Πρόκλῳ ἐνεῖδε, καὶ ἔφη, Καὶ σύ με ἀσπάζῃ, μισῶν οὕ-
τω τὸν αὐτοκράτορα; ἀκούσαντες δὲ τοῦτο οἱ παρόντες πε-
ριέσχον τε τὸν συμβουλευτὴν καὶ διέσπασαν. ἡσθέντος τε ἐπὶ
τούτῳ τοῦ Γαΐου, καὶ φήσαντος αὐτοῖς καταλλάχθαι, ἐψηφί-
σαντο ὅπως καὶ βήματι ὑψηλῷ, καὶ ἐν αὐτῷ τῷ βουλευτηρίῳ,
ὥστε μηδένα ἐξικνεῖσθαι, καὶ φρουρᾷ στρατιωτικῇ καὶ ἐκεῖ χρῷ-
το. ἀνακαλούντων δὲ αὐτὸν τῶν μὲν, ἥρωα, τῶν δὲ, θεὸν, δει-
125 νῶς ἐξεφρόνησεν. ἠξίου μὲν γὰρ καὶ πρότερον ὑπὲρ ἄνθρωπον
A νομίζεσθαι, καὶ τῇ τε σελήνῃ συγγίνεσθαι, καὶ ὑπὸ τῆς Νίκης
στεφανοῦσθαι. Ζεὺς δὲ εἶναι ἐπλάττετο, καὶ κατὰ τοῦτο γυναιξὶν ἄλ-
λαις τε πολλαῖς, καὶ ταῖς ἀδελφαῖς μάλιστα συνεῖναι προε-
φασίσατο. Ἥρα τε καὶ Ἄρτεμις καὶ Ἀφροδίτη πολλάκις ἐγίγνε-
το· πρὸς γὰρ δὴ τὴν τῶν ὀνομάτων μετάθεσιν καὶ τὸ ἄλλο σχῆμα
πᾶν τὸ προσῆκον σφίσιν ἐλάμβανε, καὶ ποτὲ μὲν θηλυδριώ-
δης ἑωρᾶτο, καὶ κρατῆρα καὶ θύρσον εἶχε, ποτὲ δὲ ἀρρενωπὸς

ῥόπαλον καὶ λεοντῆν ἐφόρει. λειογένειος αὖ, καὶ μετὰ τοῦτο πω- B
γωνίας ἐφαντάζετο· τρίαιναν τέ ἐστιν ὅτε ἐκράτει, καὶ κεραυ-
νὸν αὖθις ἀνέτεινε, παρθένῳ τε πολεμικῇ ὡμοιοῦτο, καὶ μετ'
οὐ πολὺ ἐγυναίκιζεν. οὕτω που καὶ τῷ ῥυθμῷ τῆς στολῆς καὶ τοῖς
προσθέτοις τοῖς τε περιθέτοις ἀκριβῶς ἐποικίλλετο, καὶ πάντα
μᾶλλον δοκεῖν ἢ ἄνθρωπος εἶναι ἤθελε. καί ποτέ τις ἀνὴρ Γαλά-
της ἰδὼν αὐτὸν ἐπὶ βήματος ὑψηλοῦ ἐν Διὸς εἴδει χρηματίζον-
τα, ἐγέλασεν· ὁ δὲ Γάϊος ἐκάλεσέ τε αὐτὸν, καὶ ἀνήρετο, Τί σοι
δοκῶ εἶναι; καὶ ὃς ἀπεκρίνατο (ἐρῶ γὰρ αὐτὸ τὸ λεχθὲν) ὅτι μέγα C
παραλήρημα. καὶ οὐδὲν μέντοι δεινὸν ἔπαθε. σκυτοτόμος γὰρ
ἦν. οὕτω που ῥᾷον τὰς τῶν τυχόντων ἢ τὰς τῶν ἐν ἀξιώσει τινὶ
ὄντων παρρησίας οἱ τοιοῦτοι φέρουσι. ταῦτα μὲν οὖν τὰ σχήμα-
τα, ὁπότε τις θεὸς ἐπλάττετο εἶναι, ἐλάμβανε. καὶ αὐτῶν καὶ ἱ-
κετεῖαι καὶ εὐχαὶ θυσίαι τε κατὰ τὸ πρόσφορον προσήγοντο. ἄλλως
δὲ δὴ ἔν τε τῇ σηρικῇ καὶ ἐν τῇ νικητηρίᾳ στολῇ, ὡς πλήθει ἐδη-
μοσίευσεν, ἐφίλει τε ὀλίγους. τοῖς γὰρ πλείοσι καὶ τῶν βουλευτῶν D
ἢ τὴν χεῖρα, ἢ τὸν πόδα προσκυνεῖν ὤρεγε, καὶ διὰ τοῦτο οἱ φι-
ληθέντες ὑπ' αὐτοῦ, χάριν αὐτῷ καὶ ἐν τῇ γερουσίᾳ ἐγίνωσκον,
καίτοι τοὺς ὀρχηστὰς καθ' ἡμέραν φιλοῦντι πάντων ὁρώντων.
ἐκολάκευον δ' αὐτὸν καὶ οἱ πάνυ δοκοῦντές τι εἶναι. ὁ δ' οὖν
Βιτέλλιος ὁ Λούκιος οὔτ' ἀγεννὴς οὔτ' ἄφρων ὢν, ἀλλὰ καὶ ἐκ
τῆς ἐν τῇ Συρίᾳ ἀρχῆς ὀνομαστὸς γενόμενος, τά τε ἄλλα λαμ-
προτάτως ἡγεμόνευσε, καὶ τὸν Ἀρτάβανον καὶ ἐκείνῳ ἐπιβου-
λεύοντα, ἐπειδὴ μηδεμίαν τιμωρίαν ἐπὶ τῇ Ἀρμενίᾳ ἐδεδώ-
κει, κατέπληξέ τε ἀπαντήσας αὐτῷ ἐξαπιναίως περὶ τὸν Εὐ- 126
φράτην ἤδη ὄντι, καὶ ἔς τε λόγους αὐτὸν ὑπηγάγετο, καὶ θῦ- A
σαι ταῖς τοῦ Αὐγούστου τοῦ τε Γαΐου εἰκόσιν ἠνάγκασε, σπονδάς
τε αὐτῷ πρὸς τὸ τῶν Ῥωμαίων σύμφορον δοὺς, καὶ προσέτι
καὶ παῖδας αὐτοῦ ὁμήρους λαβών. τότε οὖν ὁ Βιτέλλιος μετε-
πέμφθη μὲν ὑπὸ τοῦ Γαΐου ὡς καὶ ἀπολούμενος. ἐφ' οἷς γὰρ οἱ
Πάρθοι τὸν βασιλέα σφῶν ἐξήλασαν, ἐπὶ τούτοις ἐκεῖνος αἰτίαν

ἔσχε, μισηθείς τε ὑπὸ τοῦ φθόνου, καὶ ἐπιβουλευθεὶς ὑπὸ τοῦ
φόβου. ἐσώθη δὲ σχηματίσας πως ἑαυτὸν, ὥστε καὶ ἐλάττων
αὐτῷ τῆς δόξης φανῆναι· καὶ πρός τε τοὺς πόδας αὐτοῦ προσ-
B πεσὼν, καὶ δάκρυσι κλαύσας, καὶ τοῦτο καὶ θειάσας αὐτὸν πολ-
λὰ καὶ προσκυνήσας, καὶ τέλος εὐξάμενος αὖ περισωθῇ θύ-
σειν αὐτῷ ἐκείνῳ. ἐκ γὰρ τούτων οὕτως αὐτὸν ἐθεράπευσε καὶ ἱ-
λεώσατο, ὥστε μὴ μόνον περιγενέσθαι, ἀλλὰ καὶ ἐν τοῖς πάνυ φί-
λοις αὐτοῦ νομισθῆναι. ποτὲ τοῦ Γαΐου συγγίνεσθαί τε τῇ σελή-
νῃ λέγοντος, καὶ ἐρωτήσαντος αὐτὸν εἰ ὁρῴη τὴν θεὸν συνοῦσαν
αὐτῷ, κάτω τε, ὡς καὶ τεθηπὼς, ἔβλεπεν ὑποτρέμων; καὶ μι-
κρόν τι φθεγξάμενος, Ὑμῖν, ἔφη, τοῖς θεοῖς, δέσποτα, μόνοις ἀλ-
λήλοις ὁρᾷν ἔξεστι. Βιτέλλιος μὲν οὖν ἐκεῖθεν ἀρξάμενος, πάν-
C τας καὶ μετὰ τοῦτο τοὺς ἄλλους κολακείᾳ ὑπερεβάλλετο. Γάϊος δὲ
ἐπὶ πλέον ἐπαχθεὶς, καὶ ἐν αὐτῇ τῇ Ῥώμῃ ναὸν ἑαυτοῦ κατα-
σκευάσειν ἐπεκλίνατο μὲν γὰρ καὶ ἐν τῷ Καπιτωλίῳ κατάλυσίν
τινα, ἵνα, ὡς ἔλεγε, τῷ Διῒ συνοικοίη· ἀπαξιώσας δὲ δὴ τὰ
δευτερεῖα ἐν τῇ συνοικήσει αὐτοῦ φέρεσθαι, καὶ προσεγκα-
λέσας αὐτῷ ὅτι τὸ Καπιτώλιον κατέλαβεν, οὕτω δὴ ἕτερόν γε
νεὼν ἐν τῷ παλατίῳ σπουδῇ ᾠκοδομήσατο, καὶ ἄγαλμα ἐς
αὐτὸν ἠθέλησε τὸ τοῦ Διὸς τοῦ Ὀλυμπίου ἐς τὸ ἑαυτοῦ εἶδος
μεταρρυθμίσαι· μὴ δυνηθεὶς δὲ (τό, τε γὰρ πλοῖον τὸ πρὸς τὴν
D κομιδὴν αὐτοῦ ναυπηγηθὲν, κεραυνοῖς ἐφθάρη, καὶ γέλως, ὁ-
σάκις τινὲς ὡς καὶ τοῦ ἕδους ἐφαψόμενοι προσῆλθον, πολὺς ἐξη-
κούετο) ἐκείνῳ μὲν ἐπηπείλει, αὐτὸς δὲ ἕτερον ἀνέστησε. τό, τε Διοσ-
κούρειον τὸ ἐν τῇ ἀγορᾷ τῇ Ῥωμαίᾳ ὂν διατεμὼν, διὰ μέσου
τῶν ἀγαλμάτων εἴσοδον δι' αὐτοῦ ἐς τὸ παλάτιον ἐποιήσατο,
ὅπως καὶ πυλωροὺς τοὺς Διοσκούρους, ὥς γε καὶ ἔλεγεν, ἔχῃ.
Διάλιόν τε αὐτὸν ὀνομάσας, τήν τε Καισωνίαν τὴν γυναῖκα,
καὶ τὸν Κλαύδιον, ἄλλους τε τοὺς πλουσιωτάτους; ἱερέας προσέθε-
127 το· πεντήκοντα καὶ διακοσίας ἐπὶ τούτῳ παρ' ἑκάστου μυριά-
A δας λαβὼν, καὶ αὐτὸς ἑαυτῷ ἱερᾶτο, τόν τε ἵππον συνιερέα

ἐπέφηνε· καὶ ὄρνιθες αὐτῷ ἁπαλοί τέ τινες καὶ πολυτίμητοι καθ'
ἑκάστην ἡμέραν ἐθύοντο. ταῖς τε βρονταῖς ἐκ μηχανῆς τινος ἀν-
τιβροντῶν, καὶ ταῖς ἀστραπαῖς ἀντιστράπτε· καὶ ὁπότε κεραυνὸς
καταπέσοι, λίθον ἀντηκόντιζεν, ἐπιλέγων ἐφ' ἑκάστῳ τὸ τοῦ Ὁμή-
ρου, Ἤ μ' ἀνάειρ', ἢ ἐγὼ σέ. ἐπεὶ οὖν ὁ θεὸς, ἐπεὶ ὁ Ζεύς, ἵνα τά τε
τὰ ἄλλα τὰ αἴσχιστα ἐξ ὧν ἠργυρίζετο παραλίπω, ἀλλὰ τά γε
οἰκήματα τὰ ἐν αὐτῷ τῷ παλατίῳ ἀποδειχθέντα, καὶ τὰς γυ- B
ναῖκας τὰς τῶν πρώτων, τούς τε παῖδας τοὺς τῶν σεμνοτάτων,
οὓς ἐς αὐτὰ καθίζων ὕβριζεν, ἐκκαρπούμενος ἐπ' αὐτοῖς πάν-
τας ἁπλῶς, τοὺς μὲν ἐθελοντὰς, τοὺς δὲ καὶ ἄκοντας, ὅπως μὴ
καὶ δυσχεραίνειν τι νομισθῶσι, πῶς ἄν τις σιωπήσειεν; ἔς γέ τοι
τὸ χρυσίον καὶ τὸ ἀργύριον τὸ συλλεγόμενον ἀπ' αὐτῶν ἐμβαδίζων
ἑκάστοτε ἑαυτὸν, ἐκαλινδεῖτο. ὡς οὖν πάντα τρόπον ἐξεμαίνετο,
ἐπεβούλευσαν αὐτῷ Κάσσιός τε Χαιρέας, καὶ Κορνήλιος Σαβῖ-
νος, καίτοι χιλιαρχίας ἐν τῷ δορυφορικῷ ἔχοντες. συνώμοσαν
μὲν γὰρ πλείονες, καὶ συνῄδεσαν τὸ πραττόμενον, ἐν οἷς ἦν ὅ, τε
Κάλλιστος καὶ ὁ Ἔπαρχος· οἱ δ' αὐτόχειρες αὐτοῦ γενόμενοι, ἐ- C
κεῖνοι ἦσαν. ἄλλως τε γὰρ ἀρχαιότροπός τις ἀνὴρ ὁ Χαιρέας ἦν,
καί τινα καὶ ἰδίαν τῆς ὀργῆς αἰτίαν εἶχε. γύννιν γε γὰρ αὐτὸν, καί-
περ ἐρρωμενέστατον ἀνδρῶν ὄντα, ὁ Γάϊος ἐπεκάλει, καὶ τὸ σύν-
θημα αὐτῷ, ὁπότε ἐς ἐκεῖνον καθήκοι, Πόθον, ἢ Ἀφροδίτην, ἢ
ἕτερόν τι τοιοῦτον ἐδίδου. θεοπρόπιον δέ τι τῷ Γαΐῳ ὀλίγον ἔμ-
προσθεν ἐγεγόνει, φυλάττεσθαι Κάσσιον. καὶ ὁ μὲν ἐς Γάϊον Κάσ-
σιον τὸν τότε τῆς Ἀσίας ἄρχοντα, ἐπειδὴ τὸ γένος ἀπὸ τοῦ Κασ-
σίου τοῦ τὸν Καίσαρα ἀποκτείναντος εἶχεν, ὑποπτεύσας, με-
τεπέμψατο αὐτὸν δεδεμένον. προέλεγε δ' ἄρα αὐτῷ τὸ δαι-
μόνιον τοῦτον τὸν Κάσσιον τὸν Χαιρέαν. Ἀπολλώνιός τέ τις Αἰ- D
γύπτιος οἴκοι τε τὸ συμβὰν αὐτῷ προεῖπε, καὶ πεμφθεὶς διὰ
τοῦτ' ἐς τὴν Ῥώμην, προσήχθη τε αὐτῷ ἐν αὐτῇ ἐκείνῃ τῇ ἡ-
μέρᾳ ἐν ᾗ τελευτήσειν ἔμελλε, καὶ ἀναβληθεὶς, ὡς καὶ μετ' ὀ-
λίγον κολασθησόμενος, ἐσώθη. ἐπράχθη δὲ ὧδε· ἑορτήν τινα

ἐν τῷ παλατίῳ ἦγε, καὶ θέαν ἐπετέλει. κἀν τούτῳ καὶ αὐτὸς
καὶ ᾖδε καὶ ἔπινε, καὶ τοὺς ἄλλους εἱστία. ὅτε δὴ καὶ Πομπώ-
νιος Σεκοῦνδος ὁ τότε ὑπατεύων ἐνεφορεῖτό τι ἅμα τῶν σι-
128 τίων παρὰ τοῖς ποσὶν αὐτοῦ καθήμενος, καὶ ἐπικύπτων συνε-
A χῶς αὐτοὺς κατεφίλει. ὡς δὲ καὶ αὐτὸς ὁ Γάϊος καὶ ὀρχήσα-
σθαι καὶ τραγῳδίαν ὑποκρίνασθαι ἠθέλησεν, οὐκέτ' οἱ περὶ
τὸν Χαιρέαν ὑπέμειναν, ἀλλὰ τηρήσαντες αὐτὸν ἐκ τοῦ θεά-
τρου ἐξιόντα, ἵνα τοὺς παῖδας θεάσηται οὓς ἐκ τῆς Ἑλλά-
δος καὶ τῆς Ἰωνίας τῶν πάνυ εὐγενῶν ἐπὶ τῷ τὸν ὕμνον τὸν
εἰς ἑαυτὸν πεποιημένον ᾆσαι μετεπέμψατο δῆθεν, ἀπέκτειναν
ἐν στενωπῷ τινι ἀπολαβόντες. καὶ τοῦτο πράσσοντες οὐδεὶς τῶν
παρόντων ἀπέσχετο, ἀλλὰ καὶ νεκρὸν αὐτὸν ὄντα ὠμῶς ἐτί-
τρωσκον, καί τινες καὶ τῶν σαρκῶν αὐτοῦ ἐγεύσαντο, τήν τε
B γυναῖκα καὶ τὴν θυγατέρα εὐθὺς ἔσφαξαν. Γάϊος μὲν δὴ
ταῦτα ἐν ἔτεσι τρισὶ, καὶ μησὶν ἐννέα, ἡμέραις τε ὀκτὼ καὶ εἴ-
κοσι πράξας, τοῖς ἔργοις αὐτοῖς ὡς οὐκ ἦν θεὸς ἔμαθεν· ἐμνη-
μόνευόν τε οἱ παρόντες τοῦ λεχθέντος ποτὲ ὑπ' αὐτοῦ πρὸς τὸν
δῆμον, Εἴθε ἕνα αὐχένα εἴχετε, ἐπιδεικνύντες αὐτῷ ὅτι ἐ-
κεῖνος μὲν αὐχένα ἕνα, σφεῖς δὲ δὴ χεῖρας πολλὰς ἔχοιεν. ἐ-
πεὶ δὲ τὸ δορυφορικὸν ἐταράττετο, καὶ διαθέοντες ἐπυνθάνον-
το τίς Γάϊον ἔσφαξεν, Οὐαλέριος Ἀσιατικὸς ἀνὴρ ὑπατευ-
κὼς, θαυμαστὸν δή τινα τρόπον αὐτοὺς ἡσύχασεν, ἀνελθὼν ἐς
C περιφανές τι χωρίον, καὶ ἐκβοήσας, Εἴθε ἐγὼ αὐτὸν ἀπεκτό-
νειν. καταπλαγέντες γὰρ ἐπαύσαντο τοῦ θορύβου.

ΚΛΑΥΔΙΟΣ.

ΚΛΑΥΔΙΟΣ.

Κλαύδιος δὲ αὐτοκράτωρ ὧδε ἐ-
γένετο. μετὰ γὰρ τὴν ἀναίρεσιν τοῦ Γαΐου, φύ-
λακας ἑκασταχόσε τῆς πόλεως οἱ ὕπατοι
διαπέμψαντες, τήν τε βουλὴν ἐς τὸ Καπι-
τώλιον ἤθροισαν, καὶ πολλαὶ καὶ ποικίλαι
γνῶμαι ἐλέχθησαν. τοῖς μὲν γὰρ δημοκρατεῖσθαι, τοῖς δὲ μοναρ-
χεῖσθαι ἐδόκει. καὶ οἱ μὲν τόν, οἱ δὲ τὸν ᾑροῦντο, καὶ διὰ τοῦτο τὴν
ἡμέραν τὴν λοιπὴν καὶ τὴν νύκτα πᾶσαν κατέτριψαν μηδὲν D
τελειώσαντες. κἂν τούτῳ στρατιῶταί τινες εἰς τὸ παλάτιον, ὅ-
πως τι συλήσωσιν, εἰσελθόντες, εὗρον τὸν Κλαύδιον ἐν γωνίᾳ
που σκοτεινῇ κατακεκρυμμένον. συνῆν γὰρ τῷ Γαΐῳ, καὶ τό- 129
τε τὴν ταραχὴν φοβηθεὶς, ὑπέπτηξε. καὶ αὐτὸν τὸ μὲν πρῶ- A
τον, ὡς καὶ ἄλλον τινὰ ὄντα ἢ ἔχοντά τι, ἐξείλκυσαν, ἔπειτα
δὲ γνώσαντες, αὐτοκράτορα προσηγόρευσαν, καὶ ἐς τὸ στρατό-
πεδον αὐτὸν ἤγαγον. κἀκ τούτου μετὰ τῶν ἄλλων πᾶν τὸ κράτος
αὐτῷ, οἷα τοῦ τε βασιλικοῦ γένους ὄντι καὶ ἐπιεικεῖ νομιζομένῳ,
ἔδωκαν. οἱ δὲ ὕπατοι τέως ἄλλοις μὲν καὶ δημάρχοις πέμ-
ποντες, ἀπηγόρευον αὐτῷ μηδὲν τοιοῦτον ποιεῖν, ἀλλ' ἐπί τε
τῷ δήμῳ καὶ τῇ βουλῇ καὶ τοῖς νόμοις γενέσθαι· ἐπεὶ δὲ αὐ- B
τοὺς οἱ συνόντες σφίσι στρατιῶται ἐγκατέλιπον, τότε δὴ καὶ αὐ-
τοὶ ὡμολόγησαν, καὶ τὰ λοιπὰ ὅσα ἐς τὴν αὐταρχίαν αὐτοῦ
ἥκοντα ἦν, αὐτῷ ἐψηφίσαντο. οὕτω μὲν Τιβέριος Κλαύδιος
Νέρων Γερμανικὸς, ὁ τοῦ Δρούσου τοῦ τῆς Λιβίας παιδὸς υἱὸς,
τὴν αὐτοκράτορα ἀρχὴν ἔλαβε, μὴ πρὶν ἐν ἡγεμονίᾳ τινὶ τὸ-
παράπαν ἐξητασμένος, πλὴν ὅτι μόνον ὑπάτευσεν. ἦγε δὲ πεν-
τηκοστὸν ἔτος τῆς ἡλικίας. ἔστι τὴν μὲν ψυχὴν οὐ φαῦλος ἐγέ-
νετο, ἀλλὰ καὶ ἐν παιδείᾳ ἤσκητο, ὥστε καὶ συγγράψαι τινά.

C τὸ δὲ δὴ σῶμα νοσώδης, ὥστε καὶ τῇ κεφαλῇ καὶ ταῖς χερσὶν ὑποτρέμειν, καὶ διὰ τοῦτο καὶ τῷ φωνήματι ἐσφάλλετο. καὶ μέντοι καὶ δίφρῳ καταστέγῳ πρῶτος Ῥωμαίων ἐχρήσατο, καὶ ἐξ ἐκείνου καὶ νῦν οὐχ ὅτι οἱ αὐτοκράτορες, ἀλλὰ καὶ ἡμεῖς οἱ ὑπατευκότες διφροφορούμεθα. πρότερον δὲ ἄρα ὅτι Αὔγουστος καὶ ὁ Τιβέριος ἐν σκιμποδίοις, ὁποίοις αἱ γυναῖκες ἔτι καὶ νῦν νομίζουσιν, ἔστιν ὅτε ἐφέροντο. Κλαύδιος δὲ τὰ μὲν ἄλλα οὐ κακὸς ἦν, περιφανέστατα δὲ τῶν ὁμοίων οἰκείων ἐδουλοκρατήθη τε ἅμα καὶ ἐγυναικοκρατήθη. ἅτε γὰρ ἐκ παίδων
D ἐν τῇ νοσηλείᾳ καὶ ἐν φόβῳ βαφεὶς, καὶ διὰ τοῦτο ἐπὶ πλεῖον τῆς ἀληθείας εὐήθειαν προσποιούμενος (ὅπερ που καὶ αὐτὸς ἐν τῇ βουλῇ ὡμολόγησε) καὶ προσέτι καὶ ἐν συνουσίαις γυναικῶν πλείοσι γενόμενος, οὐδὲν ἐλευθεροπρεπὲς ἐκέκτητο. ἐπεπόνθει δ' αὐτῷ ἔν τε τοῖς πότοις μάλιστα καὶ ἐν ταῖς μίξεσι. πάνυ γὰρ ἀπλήστως ἀμφοτέροις τούτοις προσέκειτο, καὶ ἦν ἐν τῷ καιρῷ τούτῳ εὐαλωτότατος. πρὸς δὲ καὶ δειλίαν εἶχεν, ὑφ' ἧς πολλάκις ἐκπληττόμενος, οὐδὲν τῶν προσηκόντων ἐξελογίζετο· καὶ αὐτὸ καὶ τοῦτο προσλαμβάνοντες, οὐκ ἐλάχιστα κατειργάζοντο. καὶ ἐκεῖνόν
130 τε γὰρ φοβοῦντες ἐξεκάρπουντο, καὶ τοῖς ἄλλοις τοσοῦτο δέος
A ἐνέβαλλον, ὥσθ' ἵνα συλλαβὼν εἴπω, πολλοὶ ἐπὶ δεῖπνον ἐν τῇ αὐτῇ ἡμέρᾳ ὑπό τε τοῦ Κλαυδίου καὶ ὑπ' αὐτῶν καλούμενοι, τῷ μὲν ὡς καὶ κατ' ἄλλο τι παρείεντο, πρὸς δὲ ἐκείνους ἐφοίτων. οὐ μὴν ἀλλ' εἴ τις ὑπεξέλοι τοῦ Κλαυδίου τὰ δι' αὐτοὺς ἁμαρτήματα, τἆλλα δεόντως ἦρξε. τὸν μέντοι Χαιρέαν καὶ τινας ἄλλους ἀπέκτεινε, πόρρωθεν τὸ καθ' ἑαυτὸν ἀσφαλὲς
B προορώμενος. ἔπραξε δὲ τοῦτο οὐχ ὡς τῷ Γαΐῳ τιμωρῶν, ἀλλ' ὡς ἑαυτῷ ἐπιβουλεύοντας τούτους λαβών. καὶ μέντοι καὶ περὶ τὰ χρήματα θαυμαστὸς ἐγένετο, παντὸς ἀπεχόμενος ἀργυρισμοῦ ῥυπαροῦ· τήν τε τοῦ δήμου ἀκοσμίαν καὶ σωφροσύνην περὶ πολλοῦ ποιησάμενος, καὶ τὴν ἐπὶ τοῦ Γαΐου ἐπιπολάσασαν τρυφὴν ἐξαίρων, ἄλλά τε ἐνομοθέτησεν εἰς τοῦτο

συντείνοντα τά τι καπηλεῖα, εἰς ἃ συνιόντες ἔπινον, κατέλυσε, καὶ προσέταξε μήτε κρέας που ἑφθὸν, μήτε ὕδωρ θερμὸν πιπράσκεσθαι, τοὺς μὴ πειθαρχοῦντας κολάζων. λιμοῦ δὲ ἰσχυροῦ γενομένου, οὐ μόνον τῆς ἐν τῷ τότε παρούσης ἀφθονίας C
τῆς τροφῆς, ἀλλὰ καὶ τῆς ἐς πάντα τὸν μετὰ ταῦτα αἰῶνα πρόνοιαν ἐποιήσατο. ἐπισάκτου γὰρ παντὸς, ὡς εἰπεῖν, τοῦ σίτου τοῖς Ῥωμαίοις ὄντος, ἡ χώρα ἡ πρὸς ταῖς τοῦ Τιβέριδος ἐκβολαῖς, οὔτε καταίρσεις ἀσφαλεῖς, οὔτε λιμένας ἐπιτηδείους ἔχουσα, ἀνωφελὲς σφίσι τὸ κράτος τῆς θαλάσσης ἐποίει. ἔξω γὰρ τῶν τε ὥρᾳ ἐσκομισθέντων, καὶ ἐς τὴν ἀποθήκην ἀναχθέντων, οὐδὲν τῷ χειμερινῷ ἐσεφοίτα· ἀλλ' εἴ τις παρεκινδύνευσε, κακῶς ἀπήλλασσε. ταῦτ' οὖν συνιδὼν, λιμένα κατασκευάσαι ἐπεχεί- D
ρησεν, οὐδ' ἀπετράπη (καίπερ τῶν ἀρχιτεκτόνων εἰπόντων αὐτῷ πυνθανομένῳ πόσον τὸ ἀνάλωμα ἔσοιτο, ὅτι οὐ θέλεις αὐτὸ ποιῆσαι· οὕτως ὑπὸ τοῦ πλήθους τοῦ δαπανήματος ἀναχαιτισθήσεσθαι αὐτὸν, εἰ προπύθοιτο, ἤλπισαν) ἀλλὰ καὶ ἐνεθυμήθη πρᾶγμα καὶ τοῦ φρονήματος καὶ τοῦ μεγέθους τοῖς Ῥωμαίοις ἄξιον. τοῦτο μὲν γὰρ ἐξορύξας τῆς ἠπείρου χωρίον οὐ σμικρὸν, τό τε πέριξ πᾶν ἐκρηπίδωσε, καὶ τὴν θάλασσαν εἰς αὐτὸ ἐσεδέξατο· τοῦτο 131
δὲ, ἐν αὐτῷ τῷ πελάγει χώματα ἑκατέρωθεν αὐτοῦ μεγάλα A
χώσας, θάλατταν ἐν ταύτῃ πολλὴν περιέβαλε, καὶ νῆσον ἐπ' αὐτῇ, πύργον τε ἐπ' ἐκείνῃ φρυκτωρίαν ἔχοντα κατεστήσατο. ὠνόμασται δὲ τοῦτ' ὅπερ ἐστὶ κατὰ τὴν ἐπιχώριον γλῶτταν, λιμήν. ἐποίει δὲ συνεχῶς μονομαχίας ἀγῶνας. πάνυ γὰρ σφίσιν ἔχαιρε. τά τε γὰρ ἄλλα, καὶ τοὺς διὰ μέσου τῆς θέας περὶ τὸν τοῦ ἀρίστου καιρὸν κατακοπτομένους ἥδιστα ἐθεώρει. καίτοι λέοντα δεδιδαγμένον ἀνθρώπους ἐσθίειν, καὶ πάνυ γε διὰ τοῦτο τῷ πλήθει ἀρέσκοντα ἀπέκτεινας, ὡς οὐ προσῆκον τοιοῦτόν τι B
θέαμα ὁρᾶν Ῥωμαίους. ἐθισθεὶς δ' οὖν αἵματος καὶ φόνων ἀναπίμπλασθαι, προπετέστερον καὶ ταῖς ἄλλαις σφαγαῖς ἐχρήσατο. αἴτιοι δὲ τούτου ἐγένοντο οἵ τε Καισάρειοι καὶ ἡ γυνὴ αὐτοῦ

ἡ Μεσσαλίνα, διενεγκοῦσα τὰς κατ' αὐτὴν ἁπάσας ἀκολα-
σίᾳ καὶ θράσει. ὁπότε γὰρ ἀποκλεῖσαί τινα ἐθελήσειαν, ἐξεφόβουν
αὐτὸν, κἀκ τούτου πάνθ' ὅσα ἐβούλοντο ποιεῖν, ἐπιτρέποντο.
καὶ πολλάκις γε ἐξαπιναίως ἐκπλαγεὶς, καὶ κελεύσας τινὰ
ἐκ τοῦ παραχρῆμα παραδόξως ἀπολέσθαι, ἔπειτα ἀνενεγκὼν
C καὶ ἀναφρονήσας, ἐπεζήτει τε αὐτὸν, καὶ μαθὼν τὸ γεγονὸς
ἐλυπεῖτό τε καὶ μετεγίνωσκεν. ἤρξατο δὲ τῶν φόνων τούτων ἀπὸ
Γαΐου Ἀππίου Σιλουανοῦ. τοῦτον γὰρ ἀγχιστέα τοι ὄντα μετα-
πεμψάμενος, ἔσφαξεν ὅτι τῇ Μεσσαλίνῃ προσέκρουσεν, οὐκ ἐ-
θελήσας αὐτῇ συγγενέσθαι πορνικωτάτῃ τε καὶ ἀσελγεστάτῃ
οὔσῃ, καὶ τῷ Ναρκίσσῳ τῷ ἀπελευθέρῳ αὐτοῦ δι' ἐκείνην. καὶ
συνέπλασεν ὁ Νάρκισσος ὡς σφαττόμενον τὸν Κλαύδιον ὑπ'
αὐτοῦ αὐτοχειρίᾳ ἰδών· ἔτι τε ἐν τῷ ὕπνῳ ὄντι αὐτῷ τὸ ὄναρ ὑ-
πότρομος διηγήσατο, καὶ ἡ Μεσσαλίνα παραλαβοῦσα ἐδεί-
D νωσε. καὶ ὁ μὲν οὕτως ἐξ ἐνυπνίου διαπώλετο. τελευτήσαν-
τος δ' αὐτοῦ οὐκέτι χρηστὴν ἐλπίδα οἱ Ῥωμαῖοι τοῦ Κλαυδίου
εἶχον. ὅθεν αὐτῷ καὶ Ἄννιος Οὐινικιανὸς καὶ Φούριος Κάμιλ-
λος ἐπαρχιῶν ἄρχοντες ἐπανέστησαν. ἀλλ' οὗτοι μὲν εἰς μέγι-
στον φόβον τὸν Κλαύδιον ἐμβαλόντες, ὡς μικροῦ δεῖν καὶ
ἐθελοντὴν ἐκστῆναι τοῦ κράτους αὐτοῖς, ἔπειτα ὑπὸ τῶν στρα-
τιωτῶν ἐγκαταλειφθέντες ἀπώλοντο. πολλοὶ δὲ διὰ τὴν πρό-
φασιν ταύτην οὐχ ὅτι ἄνδρες, ἀλλὰ καὶ γυναῖκες ἐφθάρη-
132 σαν. ὑπὸ γὰρ τῆς συνεχείας τῶν κακῶν εἰς τοσοῦτο τὰ πρά-
A γματα προεληλύθει, ὥστ' ἀρετὴν μηκέτ' ἄλλο μηδὲν ἢ τὸ
γενναίως ἀποθανεῖν νομίζεσθαι. ὁ δ' οὖν Κλαύδιος καὶ σύν-
θημα τοῖς στρατιώταις τὸ ἔπος τοῦτο συνεχῶς ἐδίδου, τὸ ὅτι χρὴ
Ἄνδρ' ἀπαμύνασθαι ὅτε τις πρότερος χαλεπήνῃ. πολλὰ δὲ
πρὸς τὴν βουλὴν τοιουτότροπα ἑλληνιστὶ παρεφθέγξατο.
τοῖς δὲ Λυκίοις χρηματίζων, ἐπυνθάνετο τῇ Λατίνων γλώττῃ
τῶν πρεσβευτῶν τινὸς, Λυκίου μὲν τὸ ἀρχαῖον ὄντος, Ῥωμαίου
B δὲ γεγονότος· καὶ αὐτὸν, ἐπειδὴ μὴ συνῆκε τὸ λεχθὲν, τῆς πο-

λιτείαν ἀφείλετο, εἰπὼν μὴ δεῖν Ῥωμαῖον εἶναι τὸν μὴ καὶ τὴν
διάλεξιν σφῶν ἐπιστάμενον. ἐπειδὴ γὰρ ἐν πᾶσιν, ὡς εἰπεῖν, οἱ
Ῥωμαῖοι τῶν ξένων προετετίμηντο, πολλοί τε αὐτὴν παρά τε αὐτοῦ
ἐκείνου ᾐτοῦντο, καὶ παρὰ Μεσσαλίνης τῶν τε Καισαρείων ὠνοῦν-
το· καὶ διὰ τοῦτο μεγάλων τὸ πρῶτον λημμάτων πραθεῖσα, ἔ-
πειθ' οὕτως ὑπὸ τῆς ἀχρείας ἐπευωνίσθη, ὥστε καὶ λογο-
ποιηθῆναι ὅτι κἂν ὑάλινα σκεύη δῷ συντετριμμένα τινί, πο-
λίτης ἔσται. Μεσσαλίνα δὲ, αὐτή τε ἠσέλγαινε, καὶ τὰς ἄλλας
γυναῖκας ἀκολασταίνειν ὁμοίως ἠνάγκαζε· καὶ πολλαῖς γε καὶ
ἐν αὐτῷ τῷ παλατίῳ τῶν ἀνδρῶν παρόντων καὶ ὁρώντων
μοιχεύεσθαι ἐποίει· καὶ ἐκείνους μὲν καὶ ἐφίλει καὶ ἠγάπα,
τιμαῖς τε καὶ ἀρχαῖς ἠγάλλε· τοὺς δ' ἄλλους τοὺς μὴ συγκαθέν-
τας εἰς τοῦτο σφᾶς, καὶ ἐμίσει καὶ παντὶ τρόπῳ ἀπώλλυε. καὶ
τὸν Κλαύδιον ἕως πολλοῦ πάντα ταῦτα ἐλάνθανεν· ἥ τε γὰρ Μεσ-
σαλίνα ἐκείνῳ μὲν θεραπαινίδας τινὰς παρακατέκλινε, καὶ οὓς
ὑπώπτευε μηνύσαι τι αὐτῷ, τοὺς μὲν εὐεργεσίαις, τοὺς δὲ καὶ τι-
μωρίαις προκατελάμβανε. τῶν δὲ στρατιωτῶν τι στασιασάν- D
των, ἐπέμφθη μὲν ὁ Νάρκισσος ὑπὸ τοῦ Κλαυδίου καταστῆ-
σαι αὐτούς, καὶ ἐπὶ βῆμα ὡς καὶ δημηγορήσων ἀνέβη· οἱ δὲ
πολλῷ μᾶλλον ἐπὶ τούτῳ αὐτῷ ἀχθεσθέντες, ἐξαίφνης τοῦτο τὸ
θρυλλούμενον ἀνεβόησαν, ἰὼ σατουρνάλια. ἐπειδὴ γὰρ ἐν τοῖς
Κρονίοις οἱ δοῦλοι τὸ τῶν δεσποτῶν σχῆμα μεταλαμβάνοντες
ἑορτάζουσι. καὶ οὕτω διὰ τὴν ἀπαξίωσιν τοῦ Ναρκίσσου, τῷ
τε στρατηγῷ σφῶν τῷ Πλαυτίῳ ἐπείσθησαν, καὶ εἰς τὴν Βρετ-
τανίαν ἐπεραιώθησαν. ὅτι καὶ Οὐεσπασιανὸς τῶν ὑποστρατη-
γούντων ὢν τῷ Πλαυτίῳ, διελέχθη ἐν τῷ Βρεττανικῷ τού-
τῳ πολέμῳ· εἰς ὃν καὶ ὁ Κλαύδιος ἀπὸ τῆς Ῥώμης ἀφικόμε- 133
νος, καὶ τοὺς εἰς χεῖρας ἐλθόντας αὐτῷ τῶν πολεμίων τρεψά- A
μενος, τά τε βασίλεια αὐτῶν χειρωσάμενος, Βρεττανικὸς ἐπω-
νομάσθη. ἡ δὲ Μεσσαλίνα τοῦ μνηστῆρος τοῦ ὀρχηστοῦ ἐρῶσα, καὶ
μηδένα τρόπον συγγενέσθαι οἱ πεῖσαι δυναμένη, διελέχθη τῷ

ἀνδρὶ, ἀξιοῦσα αὐτὸν πειθαρχεῖν αὐτῇ ἀναγκάσαι τὸν Μνη-
στῆρα, ὡς καὶ ἐπ' ἄλλο τι αὐτοῦ δεομένη. καὶ οὕτως εἰπόντος αὐτοῦ
τοῦ Κλαυδίου παιδὶ ὅσα ἂν προστάσσηται ὑπὸ τῆς Μεσσα-
λίνης ποιεῖν, συνῆν αὐτῇ, ὡς καὶ τοῦτο ὑπ' ἐκείνου κεκελευ-
B σμένος. τὸ δ' αὐτὸ τοῦτο καὶ πρὸς ἄλλους συχνοὺς ἔπραττεν. ὡς γὰρ
εἰδότος τοῦ Κλαυδίου τὰ γιγνόμενα, καὶ συγχωροῦντος αὐτῇ ἀ-
κολασταίνειν, ἐμοιχεύετο. Κλαύδιος δὲ, ἐπειδὴ ὁ ἥλιος ἐν τῇ τῶν
γενεθλίων αὐτοῦ ἡμέρᾳ ἐκλείψειν ἔμελλεν, ἐφοβήθη μή τις ἐκ
τούτου ταραχὴ γένηται, καὶ προέγραψεν οὐ μόνον ὅτι ἐκλεί-
ψει, καὶ ὁπότε, καὶ ἐφ' ὁπόσον, ἀλλὰ καὶ τὰς αἰτίας δι' ἃς ἀναγ-
καίως γενήσεσθαι τοῦτο ἔμελλεν. εἰσὶ δὲ αἵδε. ἡ σελήνη τὴν κάτω
τοῦ ἡλίου περιφορὰν, ὥσπερ που πεπίστευται, εἴτ' οὖν ἐφεξῆς
αὐτοῦ, εἴτε καὶ μετὰ τὸν Ἑρμῆν αὐτὸν, τὴν τῆς Ἀφροδίτης, ἔχει κι-
νήσεις κινεῖται μὲν κατὰ μῆκος, ὥσπερ ἴσως καὶ ἐκεῖνος, κινεῖται
C δὲ καὶ κατὰ βάθος, ὥσπερ ἴσως καὶ ἐκεῖνος· κινεῖται δὲ καὶ ἐν τῷ
πλάτει, ὅπερ οὐδαμῇ οὐδαμῶς τῷ ἡλίῳ ὑπάρχει. ὅταν οὖν
κατά τε τὴν αὐτὴν αὐτῷ ἀθυωρίαν ὑπὲρ τὴν ἡμετέραν
ὄψιν γένηται, καὶ ὑπὸ τὴν φλόγα αὐτοῦ ὑποδράμῃ, τότε τὴν αὐ-
γὴν αὐτοῦ τὴν εἰς τὴν γῆν καθήκουσαν, τοῖς μὲν ἐπὶ πλεῖον,
τοῖς δ' ἐπ' ἔλαττον διεσκέπασεν, οὐδὲ ἐπὶ βραχύτατον ἀπο-
κρύπτει. ἴδιον γὰρ ἀεὶ φῶς ὁ ἥλιος ἔχων, οὐκ ἔστιν ὅτε αὐτοῦ ἀπαλ-
λάττεται, καὶ διὰ τοῦτο οἷς ἂν ἡ σελήνη μὴ ἐπιπροσθῇ, ὥστ' αὐ-
τὸν συσκιάζεσθαι, γένηται, ὁλόκληρος ἀεὶ φαίνεται. περὶ μὲν δὴ τὸν
D ἥλιον ταῦτα συμβαίνει. ἡ δὲ σελήνη (οὐ γάρ ἐστιν ἄτοπον
καὶ τὸ κατ' ἐκείνην εἰπεῖν, ἐπειδή περ ἅπαξ τοῦ λόγου τούτου
προσηψάμην) ὁσάκις ἂν καταντικρὺ τῷ ἡλίῳ γενομένη (ἐν
γὰρ ταῖς πανσελήνοις μόνως αὐτῇ τοῦτο, ὥσπερ καὶ ἐκείνῳ ἐν ταῖς
νουμηνίαις, συμβαίνει) εἰς τὸ τῆς γῆς σκίασμα κωνοειδὲς ὂν
ἐμπέσῃ· γίγνεται δὲ τοῦτο ὅταν διὰ τοῦ μέσου ἐν τῇ τοῦ πλάτους
κινήσει περιφέρηται, στέρεται μὲν τοῦ ἡλιοειδοῦς φωτὸς, καὶ αὐτὴ
καθ' ἑαυτὴν ὁποία ἐστὶ φαντάζεται. ταῦτα μὲν δὴ τοιαῦτά ἐστιν.

ἡ Μεσαλίνα δὲ τὴν Μνηστῆρα ἀποσπάσασα ἀπὸ τοῦ θεάτρου
εἶχε· καὶ ὁπότε λόγος τις ἐν τῷ δήμῳ περὶ αὐτοῦ ὅτι μὴ ὀρχοῖτο 134
γίγνοιτο, θαῦμά τι ὁ Κλαύδιος ἐποιεῖτο, ὅμως ὅτι μὴ συνείη A
αὐτῷ· πιστεύοντες δὲ ἀγνοεῖν αὐτὸν τὰ γιγνόμενα, ἐλυποῦντο
μὲν ὅτι μόνος οὐκ ἠπίστατο τὰ ἐν τῷ βασιλείῳ δρώμενα, ὅσα καὶ
ἐς τοὺς πολεμίους ἤδη διεπεφοιτήκει· οὐ μὴν καὶ ἐξελέγχειν αὐ-
τὰ ἤθελον, τὸ μὲν τὴν Μεσαλίναν αἰδούμενοι, τὸ δὲ καὶ τοῦ Μνη-
στῆρος φειδόμενοι. ὅσον γὰρ ἐκείνη διὰ τὸ κάλλος, τοσοῦτον τῷ δή-
μῳ διὰ τὴν τέχνην ἤρεσκεν. οὕτω γάρ που δεινὸς σοφιστὴς ἐν τῇ
ὀρχήσει ἦν, ὥστε τοῦ ὁμίλου μεγάλῃ ποτὲ σπουδῇ δρᾶμά τι
αὐτὸν ἐπιβοῶντος ὀρχήσασθαι δεομένου, παρακύψαι τι ἐκ τῆς B
σκηνῆς, καὶ εἰπεῖν, ὅτι οὐ δύναμαι τοῦτο ποιῆσαι. τῷ γὰρ Ὀρέστῃ
συγκεκοίμημαι. ἐν δὲ τῷ ἐξῆς ἔτει ὅ,τε Κλαύδιος τὸ τέταρτον
καὶ Βιτέλλιος Λούκιος τὸ τρίτον, ὀκτακοσιοστοῦ τῇ Ῥώμῃ ἔ-
τους ὄντος, ὑπάτευσαν· καὶ ἐξήλασε μὲν ὁ Κλαύδιός τινας τε
ἐκ τῆς βουλῆς, ὧν οἱ πλείονες οὐκ ἄκοντες ἐξέπεσον, ἀλλ' ἐθε-
λονταὶ διὰ πενίαν παρείμενοι. αὐτεσήγαγε δὲ ὁμοίως πολλούς.
ἐπειδή τε Σουρδίνιός τις Γάλλος βουλεῦσαι δυνάμενος ἐς C
τὴν Καρχηδόνα ἐξῴκησε, σπουδῇ τε αὐτὸν μετεπέμψατο, καὶ
ἔφη, ὅτι χρυσαῖς σε πέδαις δήσω. καὶ ὁ μὲν οὕτω τῷ ἀξιώμα-
τι πεδηθεὶς, κατὰ χώραν ἔμεινε. τοῖς μέντοι ἀλλοτρίοις ἀπελευ-
θέροις ὁ Κλαύδιος, εἴπου κακουργοῦντας λάβοι, δεινῶς τιμω-
ρῶν, τοῖς ἰδίοις οὕτω προσέκειτο, ὥστε ὑποκριτοῦ τινὸς ἐν τῷ
θεάτρῳ ποτὲ τοῦτο δὴ τὸ θρυλλούμενον εἰπόντος, ὅτι ἀφόρητός
ἐστιν ἀτυχῶν μαστιγίας, καὶ τοῦ τε δήμου παντὸς ἐς Πολύβιον
τὸν ἀπελεύθερον αὐτοῦ ἀποβλέψαντος, καὶ ἐκείνου ἐκβοήσαν-
τος ὅτι ὁ αὐτὸς μέντοι ποιητὴς εἶπεν, ὅτι βασιλεῖς ἐγένοντο D
οἱ πρὶν ὄντες αἰπόλοι, οὐδὲν δεινὸν εἰργάσατο. μηνυθέντων
δέ τινων ὡς ἐπιβουλεύοιεν αὐτῷ, τοῖς μὲν ἄλλοις ἐν οὐδενὶ
λόγῳ ἐποιήσατο, εἰπὼν ὅτι οὐ τὸν αὐτὸν χρὴ τρόπον ψύλ-
λαν τε καὶ θηρίον ἀμύνεσθαι. ὁ δὲ Ἀσιατικὸς ἐκρίθη μὲν παρ'

αὐτῷ, καὶ ὀλίγου δεῖν ἀπέφυγεν· ἀρνουμένου γὰρ αὐτοῦ καὶ λέγοντος ὅτι Οὐκ οἶδα οὐδὲ γνωρίζω τῶν καταμαρτυρούντων
135 μου τούτων οὐδένα, ἐρωτηθεὶς ὁ στρατιώτης ὁ φάσκων αὐτῷ
A συγγεγονέναι, ὅστις ὁ Ἀσιατικὸς εἴη, φαλακρόν τινα προσεστῶτα κατὰ τύχην ἔδειξε. τοῦτο γὰρ αὐτοῦ τὸ σύμβολον μόνον ἠπίστατο. γέλωτος οὖν ἐπὶ τούτῳ πολλοῦ γιγνομένου, καὶ τοῦ Κλαυδίου ἀπολύειν αὐτὸν μέλλοντος, ὁ Βιτέλλιος τῇ Μεσσαλίνῃ χαριζόμενος, παρακεκλῆσθαι ἔφη ὑπ' αὐτοῦ ἵν' ὅπως ἂν βούληται ἀποθάνῃ. ἀκούσας δὲ τοῦτ' ἐκεῖνος, ἐπίστευσέ τε αὐτὸν ἴσως ἑαυτοῦ διὰ τὸ συνειδὸς κατεγνωκέναι, καὶ κατεχρήσατο. αἴσφαιν δὲ καὶ νησίδιόν τι ἐν τῷ ἔτι τούτῳ παρὰ τῇ Θιοα
B τῇ νήσῳ, οὐκ ὂν πρότερον. ἐπειδή τε πολλοὶ δούλους ἀρρωστοῦντας οὐδεμιᾶς θεραπείας ἠξίουν, ἀλλὰ καὶ ἐκ τῆς οἰκίας ἐξέβαλλον, ἐνομοθέτησε πάντας τοὺς ἐκ τοῦ τοιούτου περιγιγνομένους, ἐλευθέρους εἶναι. ἐν δὲ τῇ Βρετταννίᾳ περισχεθέντος τοῦ Οὐεσπασιανοῦ ὑπὸ τῶν βαρβάρων ποτὲ, καὶ κινδυνεύσαντος φθαρῆναι, ὁ Τίτος ὁ υἱὸς αὐτοῦ περὶ τῷ πατρὶ δείσας, τήν τε περίσχεσιν αὐτῶν παραλόγῳ τόλμῃ διέρρηξε, κἀκ τούτου φεύγοντας σφᾶς ἐπιδιώξας ἔφθειρεν. ὁ δὲ Πλαύτιος ἀπὸ τοῦ
C Βρετταννικοῦ πολέμου, ὡς καὶ καλῶς αὐτὸν χειρίσας καὶ κατορθώσας, καὶ ἐπῃνέθη ὑπὸ τοῦ Κλαυδίου, καὶ ἐθριάμβευσε. Γναῖος δὲ Δομίτιος Κορβούλων ἐν τῇ Κελτικῇ στρατηγῶν τά τε στρατεύματα συνεκρότησε, καὶ τῶν βαρβάρων ἄλλους τε καὶ οὓς ἐκάλουν Καύχους ἐκάκωσε. καὶ αὐτὸν ἐν τῇ πολεμίᾳ ὄντα ὁ Κλαύδιος ἀνεκάλεσε. τήν τε γὰρ ἀρετὴν αὐτοῦ καὶ τὴν ἄσκησιν μαθὼν, οὐκ ἐπέτρεψεν αὐτῷ ἐπὶ πλέον αὐξηθῆναι. πυθόμενος δὲ τοῦτο ὁ Κορβούλων ἐπανῆλθε, τοσοῦτον μόνον ἀναβοήσας, Ὦ μακάριοι οἱ πάλαι ποτὲ στρατηγήσαντες· ἐς δήλωσιν ὅτι τοῖς μὲν ἀκινδύνως ἀνδραγαθίζεσθαι ἐξῆν, αὐτὸς δὲ ὑπὸ τοῦ αὐτοκράτορος διὰ τὸν φθόνον ἐνεποδίσθη. τῶν μέντοι ἐπινι-
D κίων καὶ ὣς ἔτυχε. πιστευθεὶς δὲ πάλιν τὸ στράτευμα, καὶ οὐδὲν

ὅπλον ἤσκει αὐτὸ, καὶ ἐπειδή γε εἰρήνευε, διετάφρευσε δι' αὐ-
τῶν πᾶν τὸ μεταξὺ τοῦ τε Ῥήνου καὶ τοῦ Μέσου, σταδίους ἑβδο-
μήκοντα καὶ ἑκατὸν μάλιστα, ἵνα μὴ οἱ ποταμοὶ ἐν τῇ τοῦ ὠκε-
ανοῦ πλημμυρίδι ἀναρρέοντες πελαγίζωσιν. ἡ Μεσσαλῖνα
δὲ, ὥσπερ οὐκ ἐξαρκοῦν αὐτῇ ὅτι καὶ ἐμοιχεύετο καὶ ἐπορνεύε-
το, (ἤδη γὰρ καὶ ἐπ' οἰκήματος ἐν τῷ παλατίῳ αὐτή τε ἐκαθέ-
ζετο, καὶ τὰς ἄλλας τὰς πρώτας ἐκάθιζεν) ἐπεθύμησε καὶ 136
ἄνδρας τοῦτο δὴ τὸ τοῦ νόμου πολλοὺς ἔχειν. διὸ καὶ Σίλιον τὸν A
Γάϊον ἄνδρα ἐπεγράψατο, καὶ τούς γε γάμους πολυτελῶς εἱ-
στίασε, καὶ οἰκίαν αὐτῷ βασιλικὴν ἐχαρίσατο, πάντα τὰ τιμιώ-
τατα τῶν τοῦ Κλαυδίου κειμηλίων συμφορήσασα ἐς αὐτήν, καὶ
τέλος ὕπατον ἀπέφηνε. ταῦτ' οὖν καὶ ὑπὸ πάντων ἀκουόμε-
να καὶ ὁρώμενα τὸν γοῦν Κλαύδιον ἐλάνθανεν· ὡς δὲ οὗτός τε
ἐς τὰ Ὤστια πρὸς ἐπίσκεψιν σίτου κατῆλθε, καὶ ἐκείνη ἐν τῇ
Ῥώμῃ προφάσει ὡς καὶ νοσοῦσα ὑπελείφθη, συμπόσιόν τι πε-
ριβόητον συνεκρότησε, καὶ κῶμον ἀσελγέστατον ἐκώμασεν, ἐν- B
ταῦθα ὁ Νάρκισσος μονωθέντι τῷ Κλαυδίῳ μηνύει διὰ τῶν
παλλακῶν αὐτοῦ πάντα τὰ γιγνόμενα. ὅθεν ὑποστρέψας πα-
ραχρῆμα ἐς τὴν πόλιν, ἄλλους τε πολλοὺς καὶ τὸν Μνηστῆρα ἐθα-
νάτωσε, καὶ μετὰ τοῦτο καὶ τὴν Μεσσαλῖναν ἀπέσφαξε. καὶ μετ'
ὀλίγον τὴν ἀδελφιδῆν Ἀγριππῖναν ἔγημε, τὴν τοῦ Δομιτίου
τοῦ Νέρωνος ἐπονομασθέντος μητέρα. καὶ γὰρ καλὴ ἦν, καὶ
συνεχῶς αὐτῷ προσεφοίτα, μόνη τε ὡς καὶ θείῳ συνεγίγνετο, C
καὶ τρυφερώτερον ἢ καὶ ἀδελφιδῆ προσεφέρετο. ὡς δὲ ἅ-
παξ ἐν τῇ βασιλείᾳ ἡ Ἀγριππῖνα ἐγένετο, τόν τε Κλαύδιον
ἐσφετερίσατο, δεινοτάτη που οὖσα πράγμασι χρήσασθαι, καὶ τούς
τινα αὐτῷ εὔνοιαν ἔχοντας, τὰ μὲν φόβῳ, τὰ δὲ εὐεργεσίαις
ᾠκειώσατο. τόν τε υἱὸν εἰσποιήσασθαι τὸν Κλαύδιον ἀναπείσασα,
καίτοι παῖδας ἔχοντα, ἐς τὸ κράτος ἐξήσκει, καὶ παρὰ τῷ Σε-
νέκᾳ ἐξεπαίδευε. πλοῦτόν τε ἀμύθητον αὐτῷ συνέλεγεν, οὐδὲν
οὔτε τῶν σμικροτάτων, οὔτε τῶν ἀτιμοτάτων ἐπ' ἀργυρισμῷ

D παραλείπουσα, ἀλλὰ πάντα μὲν καὶ τὸν ὁποσονοῦν ἀπορῦν-
τα θεραπεύουσα, πολλοὺς δὲ καὶ δι' αὐτὸ τοῦτο φονεύουσα. ἤ-
δη δέ τινας καὶ τῶν ἐπιφανῶν γυναικῶν ζηλοτυπήσασα ἔ-
φθειρε, καὶ τήν τε Παυλίναν τὴν Λολλίαν, ἐπειδὴ ἐλπίδα τι-
νὰ εἰς τὴν τοῦ Κλαυδίου συνοίκησιν ἐσχήκει, ἀπέκτεινε, τήν
τε κεφαλὴν αὐτῆς κομισθεῖσαν αὐτῇ μὴ γνωρίσασα, τό,
τε στόμα αὐτῆς αὐτοχειρίᾳ ἀνέῳξε, καὶ τοὺς ὀδόντας ἐπεσκέ-
ψατο ἰδίως πως ἔχοντας. καὶ ἡ μὲν ταχὺ καὶ αὐτὴ Μεσαλίνα
137 ἐγένετο, καὶ μάλιστα ὅτι καὶ τιμάς ἄλλας τε, καὶ τὸ καρπεν-
A τῷ ἐν τῇ πανηγύρει χρῆσθαι, παρὰ τῆς βουλῆς ἔλαβεν. ὁπότε
δὲ ὁ Κλαύδιος τὸν Νέρωνα τὸν υἱὸν αὐτῆς εἰσεποιήσατο, τότε καὶ
γαμβρὸν ἐποιήσατο, τὴν θυγατέρα ἐς ἕτερόν τι γένος ἐκποιήσας
ἵνα μὴ ἀδελφοὺς συνοικίζειν δοκῇ, τέρας οὐ μικρὸν ἐγένετο.
καὶ τότε γὰρ ὁ οὐρανὸς τὴν ἡμέραν ἐκείνην ἔδοξεν. ἐν τινι δὲ λί-
μνῃ ναυμαχίαν ὁ Κλαύδιος ἐπιθυμήσας ποιῆσαι, τεῖχός τε ξύ-
λινον περὶ αὐτὴν κατεσκεύασε, καὶ ἰκρία ἔπηξε· πλῆθός τε
ἀναρίθμητον ἤθροισε. καὶ οἱ μὲν ἄλλοι, ὥς που καὶ ἔδοξεν αὐτοῖς,
B ὁ δὲ δὴ Κλαύδιος ὅ, τε Νέρων στρατιωτικῶς ἐσταλμένοι, ἥ, τε Α-
γριππῖνα χλαμύδι διαχρύσῳ ἐκοσμήθη. οἱ δὲ δὴ ναυμαχή-
σοντες θανάτῳ δὴ καταδεδικασμένοι ἦσαν, καὶ πεντήκοντα ναῦς
ἑκάτεροι εἶχον, οἱ μὲν Ῥόδιοι, οἱ δὲ Σικελοὶ ὀνομασθέντες. καὶ
τὸ μὲν πρῶτον συστραφέντες καὶ καθ' ἓν γενόμενοι, Κλαύδιον
ἅμα προσηγόρευσαν οὕτω, Χαῖρε αὐτοκράτορ, οἱ ἀπολούμε-
νοί σε ἀσπαζόμεθα. ἐπεὶ δὲ οὐδὲν σωτήριον εὕροντο, ἀλλὰ
ναυμαχεῖν καὶ ὡς ἐκελεύσθησαν, διέκπλοις τε ἀπλοῖς ἐχρή-
σαντο, καὶ ἥκιστα ἀλλήλων ἥψαντο, μέχρις οὗ καὶ ἀνάγκῃ κατε-
κόπησαν. ὁ δὲ δὴ Νάρκισσος οὕτως ἐνετρύφα τῷ Κλαυδίῳ,
C ὥστε λέγεται, ἐπειδή ποτε οἱ Βιθυνοὶ δικάζοντες τοῦ Κλαυδίου
Ἰουνίου Κίλωνος τοῦ ἄρξαντος σφῶν πολλὰ κατεβόησαν, ὡς οὐ
μετρίως δωροδοκήσαντος, καὶ ἤρετο ἐκεῖνος τοὺς παρεστηκό-
τας ὅ, τι λέγοιεν (οὐ γὰρ συνίει διὰ τὸν θόρυβον αὐτῶν) εἰπεῖν τε

ὁ Νάρκισσος ψευσάμενος, ὅτι χαίρει τῷ Ἰουλίῳ γινώσκοισι, πι-
στεῦσαί τε αὐτῷ καὶ εἰπεῖν, Οὐκοῦν ἐπὶ διετὲς ἔτι ἐπιτροπεύσῃ.
ἡ δὲ Ἀγριππῖνα καὶ δημοσίᾳ πολλάκις αὐτῷ καὶ χρηματί-
ζοντι, καὶ πρεσβείας ἀκροωμένῳ παρῆν, ἐπὶ βήματος ἰδίου
καθημένη, καὶ ἦν καὶ τοῦτο οὐδενὸς ἔλαττον θέαμα. Ἰουδαίῳ δέ D
τινι Γαλλικῷ ῥήτορι δίκην ποτὲ λέγοντι ὁ Κλαύδιος ἀχθε-
σθεὶς, ἐκέλευσεν αὐτὸν ἐς τὸν Τίβεριν ἐμβληθῆναι. ἔτυχε γὰρ
πλησίον τοῦ αὐτοῦ δικάζων. ἐφ᾽ ᾧ δὴ Δομίτιος ὁ Ἄφρος πλεῖ-
στον τῶν καθ᾽ ἑαυτὸν ἐν τῷ συναγορεύειν τισὶν ἰσχύσας, κάλλιστα
ἀπέσκωψε. δεηθέντος γάρ τινος ἀνθρώπου τῆς παρ᾽ αὐτοῦ βοηθείας
ἐπειδὴ ὑπὸ τοῦ Γαλλίκου ἐγκατελείφθη, ἔφη πρὸς αὐτὸν ὅτι,
Καὶ τίς σοι εἶπεν ὅτι κρεῖττον ἐκείνου νήχομαι; ὁ δὲ Κλαύδιος
τοῖς ὑπὸ τῆς Ἀγριππίνης δρωμένοις, ὧν γε καὶ ᾐσθάνετο ἤδη,
ἀχθόμενος, καὶ τὸν υἱὸν αὐτοῦ τὸν Βρεττανικὸν ἐπιζητῶν, ἐξ ὀφθαλ 138
μῶν αὐτῷ ἐπίτηδες ὑπ᾽ ἐκείνης τὰ πολλὰ γιγνόμενον, Νέρω A
νι, οἷα τῷ ἑαυτῆς παιδίῳ ἐκ τοῦ προτέρου ἀνδρὸς αὐτῆς Δομι
τίου, πάντα τρόπον προσποιουμένης τὸ κράτος, οὐκ ἠνεῖχε τὸ γι-
γνόμενον, ἀλλ᾽ ἐκείνην τε καταλῦσαι, καὶ τὸν υἱὸν διάδοχον τῆς ἀρ-
χῆς ἀποδεῖξαι παρεσκευάζετο. μαθοῦσα δὲ ταῦτα ἡ Ἀγριππῖ
να ἐφοβήθη, καὶ αὐτὸν προκαταλαβεῖν φαρμάκῳ ἠθέλησεν.
ὡς δὲ ἐκεῖνος οὐδὲν ὑπὸ τοῦ οἴνου, ὃν πολὺν ἀεί ποτε ἔπινε, καὶ
ὑπὸ τῆς ἄλλης διαίτης ᾗ πρὸς φυλακὴν σφῶν οἱ αὐτοκρά-
τορες χρῶνται, κακοῦσθαι ἠδύνατο, Λουκοῦσταν τινὰ φαρμα B
κίδα περιβόητον μετεπέμψατο, καὶ φάρμακόν τι ἄφυκτον
προκατασκευάσασα, ἔς τινα τῶν καλουμένων μυκήτων ἐνέ-
βαλε. καὶ αὐτὴ μὲν ἐκ τῶν ἄλλων ἤσθιεν, ἐκεῖνον δὲ ἐκ τοῦ τὸ
φάρμακον ἔχοντος (καὶ γὰρ μέγιστος καὶ κάλλιστος ἦν) φαγεῖν ἐ-
ποίησε. καὶ ὁ μὲν οὕτως ἐπιβουλευθεὶς, ἐκ μὲν τοῦ συμποσίου,
ὡς καὶ ὑπερκορὴς μέθης σφόδρα ὤν, ἐξεκομίσθη (ὅπερ που
καὶ ἄλλοτε πολλάκις ἐγεγόνει) τῆς δὲ νυκτὸς οὐδὲν οὔτ᾽ εἰπεῖν
οὔτ᾽ ἀκοῦσαι δυνηθεὶς, μετήλλαξε τῇ τρίτῃ καὶ δεκάτῃ τοῦ

ὀκτωβρίου, ζήσας ἑξήκοντα καὶ τρία ἔτη, αὐταρχήσας δὲ ἔτη
C ιγ', καὶ μῆνας ὀκτὼ, καὶ ἡμέρας εἴκοσι. Ταῦτα δὲ δὴ ἡ Ἀγριπ-
πῖνα ποιῆσαι ἠδυνήθη, ὅτι τὸν Νάρκισσον ἐς Καμπανίαν,
προφάσει ὡς καὶ τοῖς ὕδασι τοῖς ἐκεῖ πρὸς τὴν ποδάγραν χρη-
σόμενον, προαπέπεμψε· ἐπεὶ παρόντος γε αὐτοῦ οὐκ ἄν ποτε
αὐτὸ ἐδεδράκει. τοιοῦτός τις φύλαξ τοῦ δεσπότου ἦν. ἐπαπώ-
λετο δὲ καὶ αὐτὸς τῷ Κλαυδίῳ, μέγιστον τῶν τότε ἀνθρώπων δυ-
νηθείς. μυριάδας τε γὰρ πλείους μυρίων εἶχε, καὶ προσεῖχον
αὐτῷ καὶ πόλεις καὶ βασιλεῖς. καὶ δή τι καὶ τότε ἀποσφαγήσεσθαι
μέλλων, λαμπρὸν ἔργον διεπράξατο. τὰ γὰρ γράμματα τὰ τοῦ
D Κλαυδίου ὅσα ἀπόρρητα κατά τε τῆς Ἀγριππίνης καὶ κατ' ἄλ-
λων τινῶν, οἷα τὰς ἐπιστολὰς αὐτοῦ διοικῶν, εἶχε, πάντα κατέ-
καυσεν. οὕτω μὲν ὁ Κλαύδιος μετήλλαξεν, ἐς τοῦτό τι ἀ-
στὴρ κομήτης ἐπὶ πλεῖστον ὀφθεὶς, καὶ ἡ ψακὰς ἡ αἱματώδης, ὅ, τε
σκηπτὸς ὁ ἐς τὰ δορυφορικὰ σημεῖα ἐμπεσὼν, καὶ ἡ αὐτόμα-
τος τοῦ ναοῦ τοῦ Διὸς τοῦ νικαίου ἄνοιξις, τό, τε σμῆνος τὸ ἐν τῷ
στρατοπέδῳ συστραφὲν, καὶ ὅτι ἐξ ἁπασῶν τῶν ἀρχῶν εἷς ἀφ'
ἑκάστης ἐτελεύτησεν, ἔδοξε σημῆναι. ἔτυχε δὲ καὶ τῆς ταφῆς καὶ τῶν
139 ἄλλων ὅσων ὁ Αὔγουστος. Ἀγριππῖνα δὲ καὶ ὁ Νέρων πενθεῖν
A προσεποιοῦντο ὃν ἀπεκτόνεισαν, ἔς τε τὸν οὐρανὸν ἀνήγαγον
ὃν ἐκ τοῦ συμποσίου φοράδην ἐξενηνόχεσαν. ὅθεν περ Λού-
κιος Ἰούλιος Γαλλίων ὁ τοῦ Σενέκα ἀδελφὸς ἀστειότατόν τι ἀ-
πεφθέγξατο. συνέθηκε μὲν γὰρ καὶ ὁ Σενέκας σύγγραμμα, ἀ-
ποκολοκύντωσιν αὐτὸ, ὥσπερ τινὰ ἀθανάτισιν, ὀνομάσας. ἐ-
κεῖνος γὰρ ἐν βραχυτάτῳ πολλὰ εἰπὼν ἀπομνημονεύεται. ἐ-
πειδὴ γὰρ τοὺς ἐν τῷ δεσμωτηρίῳ θανατουμένους ἀγκίστροις τι-
σὶ μεγάλοις οἱ δήμιοι ἔς τε τὴν ἀγορὰν ἀνεῖλκον, κἀνταῦθα
B ἐς τὸν ποταμὸν ἔσυρον, ἔφη τὸν Κλαύδιον ἀγκίστρῳ ἐς τὸν οὐ-
ρανὸν ἀνενεχθῆναι. καὶ ὁ Νέρων δὲ οὐκ ἀπάξιον μνήμης ἔπος
κατέλιπε· τοὺς γὰρ μύκητας, θεῶν βρῶμα ἔλεγεν εἶναι, ὅτι καὶ
ἐκεῖνος διὰ τοῦ μύκητος θεὸς ἐγεγόνει.

ΝΕΡΩΝ.

ΑΠΟΘΑΝΟΝΤΟΣ δὲ τοῦ Κλαυδίου, κατὰ μὲν τὸ δικαιότατον ἡ ἡγεμονία τοῦ Βρεττανικοῦ ἦν, (γνήσιος γὰρ τοῦ Κλαυδίου παῖς ἐπεφύκει, καὶ τῇ τοῦ σώματος ἀκμῇ καὶ ὑπὲρ τὸν τῶν ἐτῶν ἀριθμὸν ἦν) ἐκ δὲ δὴ τοῦ νόμου καὶ τῷ Νέρωνι διὰ τὴν ποίησιν ἐπέβαλλεν. ἀλλ' οὐδὲν γὰρ δικαίωμα τῶν ὅπλων ἰσχυρότερόν ἐστι. πᾶς γὰρ ὁ δυνάμει περιέχων, δικαιότερος ἀεὶ καὶ λέγειν καὶ πράττειν δοκεῖ. Νέρων οὖν τάς τε διαθήκας τοῦ Κλαυδίου ἠφάνισε, καὶ τὴν ἀρχὴν πᾶσαν διεδέξατο, τόν τε Βρεττανικὸν καὶ τὰς ἀδελφὰς αὐτοῦ διεχρήσατο. τί γὰρ ἄν τις καὶ τὰ τῶν ἄλλων παθήματα κατοδύραιτο; σημεῖα δ' αὐτῷ τῆς αὐταρχίας τάδε ἐγένοντο. ἀκτῖνες γὰρ τικτόμενον αὐτὸν ὑπὸ τὴν ἕω ἐξ οὐδεμιᾶς τοῦ ἡλίου φανερᾶς προσβολῆς περιέσχον· καί τις ἀστρολόγος ἔκ τε τούτων, καὶ ἐκ τῆς τῶν ἀστέρων φορᾶς τῆς ἐν ἐκείνῳ τῷ χρόνῳ τε πρὸς ἀλλήλους ὁμιλίας, δύο ἅμα περὶ αὐτοῦ ἐμαντεύσα- D
το, ὅτι τε βασιλεύσει, καὶ ὅτι τὴν μητέρα φονεύσει. ἀκούσασα
δὲ ταῦθ' ἡ Ἀγριππῖνα, παραυτίκα μὲν οὕτως ἐξεφρόνησεν 140
ὡς καὶ αὐτὸ τοῦτο ἀναβοῆσαι, Ἀποκτεινάτω με, μόνον βασι- A
λευσάτω. ὕστερον δὲ καὶ πάνυ μετανοήσειν ἐπὶ τῇ ἀρχῇ ἔμελ-
λεν. ἐς γὰρ τοῦτο μωρίας ἀφικνοῦνταί τινες, ὥστε ἄν τι προσ-
δοκήσωσιν ἀγαθὸν κακῷ μεμιγμένον λήψεσθαι, εὐθὺς μὲν
ἐπιθυμίᾳ τοῦ κρείττονος καταφρονεῖν τοῦ χείρονος· ἐπειδὰν δὲ
καὶ ἐκείνου ὁ καιρὸς ἔλθῃ, δυσκολαίνειν, καὶ μὴ ἂν μηδὲ τὸ βέλτι-
στον εἰληφέναι βεβουλῆσθαι. καίτοι καὶ τὴν πονηρίαν καὶ τὴν ἀσέλγειαν
τὴν τοῦ Νέρωνος καὶ ὁ Δομίτιος ὁ πατὴρ ἱκανῶς οὐκ ἐκ μαντείας,
ἀλλ' ἐκ τῶν τρόπων τῶν τε ἑαυτοῦ καὶ τῶν τῆς Ἀγριππίνης προείδετο, B

καὶ εἰπεῖν ὅτι ἀδύνατόν ἐστιν ἄνδρα τινὰ ἀγαθὸν ἔκ τε ἐμοῦ
καὶ ἐκ ταύτης γεννηθῆναι. προϊόντος δὲ τοῦ χρόνου λεβηρὶς
περὶ τὸν αὐχένα τοῦ Νέρωνος παιδίου ἔτ' ὄντος εὑρεθεῖσα πα-
ρέδωκε τοῖς μάντεσι λέγειν, ὅτι ἰσχὺν παρὰ τοῦ γέροντος μεγά-
λην λήψεται· ἐπειδὴ τὸ γῆρας διὰ ταῦτα οἱ ὄφεις ἐκδύεσθαι νο-
μίζονται. ἑπτὰ δὲ καὶ δέκα ἔτη ἦγεν ὅτ' ἦρξεν. ἔς τε τὸ στρατό-
πεδον ἐσῆλθε, καὶ ἀναγνοὺς ὅσα ὁ Σενέκας ἐγεγράφει, ὑπέ-
σχετο αὐτοῖς ὅσα ὁ Κλαύδιος ἐδεδώκει. τοσαῦτα δὲ καὶ πρὸς
C τὴν βουλὴν πρὸς τοῦ Σενέκου καὶ αὐτὸς γραφέντα ἀνέγνω,
ὥστε καὶ ἐς ἀργυρᾶν στήλην ἐγγραφῆναι, καὶ ἐν ταῖς νέαις τῶν
ἀεὶ ὑπάτων ἀρχαῖς ἀναγινώσκεσθαι ψηφισθῆναι. καὶ οἱ μὲν ἐκ
τούτων, ὡς καὶ κατὰ συγγραφήν τινα καλῶς ἀρχθησόμενοι,
παρεσκευάζοντο. καὶ τὸ μὲν πρῶτον ἡ Ἀγριππῖνα πάντα
αὐτῷ τὰ τῇ ἀρχῇ προσήκοντα διῴκει, καὶ τὰς ἐξόδους ἅμα
ἐποιοῦντο, πολλάκις μὲν καὶ ἐν τῷ αὐτῷ φορείῳ κατακείμενοι,
τὸ δὲ δὴ πλεῖον, ἡ μὲν ἐφέρετο, ὁ δὲ συμπαρείπετο. ταῖς τε πρε-
σβείαις ἐχρημάτιζε, καὶ ἐπιστολὰς καὶ δήμοις καὶ ἄρχουσι καὶ
D βασιλεῦσιν ἐπέστελλεν. ὡς δὲ ἐπὶ πολὺ τοῦτ' ἐγίνετο, ἐδυσχέραι-
νεν ὅ,τε Σενέκας καὶ ὁ Βοῦρος φρονιμώτατοί τε ἅμα καὶ δυνα-
τώτατοι τῶν περὶ τὸν Νέρωνα ὄντες, ὁ μὲν, ἔπαρχος τοῦ δορυφο-
ρικοῦ, ὁ δὲ, διδάσκαλος αὐτοῦ ὤν· καὶ ἔπαυσαν τὸ γινόμενον,
τοιᾶσδε ἀφορμῆς λαβόμενοι· πρεσβείας Ἀρμενίων ἐλθούσης,
καὶ ἡ Ἀγριππῖνα ἐπὶ τὸ βῆμα, ἀφ' οὗ σφίσιν ὁ Νέρων διελέ-
γετο, ἀναβῆναι ἠθέλησεν· ἰδόντες οὖν αὐτὴν ἐκεῖνοι πλησιά-
ζουσαν, ἔπεισαν τὸν νεανίσκον προκαταβῆναι καὶ προαπαντῆ-
141 σαι τῇ μητρί, ὡς καὶ ἀποδεξιώσηταί τινι. πραχθέντος δὲ τού-
A του, οὔτε τότε ἐπανῆλθον, ἐμβαλόντες τινὰ αἰτίαν, ὥστε μὴ καὶ
ἐς τοὺς βαρβάρους τὸ νόσημα τῆς ἀρχῆς ἐκφῆναι, καὶ μετὰ τοῦτ'
ἔπραττον ὅπως μηδὲν ἔτ' αὐτῇ τῶν κοινῶν ἐπιτρέπηται. κα-
τεργασάμενοι δὲ τοῦτο, αὐτοὶ τὴν ἀρχὴν ἅπασαν παρέλαβον,
καὶ διῴκησαν ἐφ' ὅσον ἠδυνήθησαν ἄριστα καὶ δικαιότατα.

ὅ, τε γὰρ Νέρων οὔτ' ἄλλως φιλοπραγματίας ἦν, καὶ ἔχαιρεν ἐν ῥᾳστώνῃ διάγων. καὶ αὐτοὶ τὸν Νέρωνα τρυφᾶν εἴων, ὅπως διακορὴς αὐτῶν μεγάλου τινὸς τῶν κοινῶν πάντων κακοῦ ὧν B
ἐπεθύμει γενόμενος, μεταβάληται· ὥσπερ οὐκ εἰδότες ὅτι ψυχὴ νέα τε καὶ αὐθάδης, ἔν τε τρυφῇ ἀνεπιπλήκτῳ καὶ ἐν ἐξουσίᾳ αὐτοτελεῖ τραφεῖσα οὐχ ὅσον οὐ κόρον αὐτῶν ἴσχει, ἀλλὰ καὶ ἐξ αὐτῶν τούτων προσδιαφθείρεται. ἀμέλει καὶ ὁ Νέρων τὰ μὲν πρῶτα ἁπλῶς πως δεῖπνά τε ἐποίει, καὶ περὶ κώμους ἐχρημάτιζε, καὶ ἐμέθυε, καὶ ἤρα· ἔπειτα δὲ ὡς οὔτε ἐκείνῳ τις ἐπέπληττεν, οὔτε τὰ κοινὰ χεῖρον παρὰ τοῦτο διεχειρίζετο, ἐπίστευσεν ὅτι καὶ καλῶς αὐτὰ ποιεῖ, καὶ δύναται καὶ ἐπὶ πλεῖον σφίσι χρῆσθαι. καὶ μετὰ τοῦτο τὰ μὲν καταφρονήσας, οἷά που συνεχῶς παρὰ τῶν συνόντων ἀκούων, Σὺ γὰρ τούτων αἰσχύνῃ; σὺ δὲ C
τούτους φοβῇ; οὐκ οἶσθα ὅτι Καῖσαρ εἶ; καὶ σὺ ἐκείνων ἐξουσίαν, ἀλλ' οὐκ ἐκεῖνοί σου ἔχουσι; τὰ δὲ καὶ φιλονεικῶν, μήτε τῆς μητρὸς, ὡς καὶ κρείττονος, ἐλαττοῦσθαι, μήτε τοῦ Σενέκου, τοῦ τε Βύρου, ὡς καὶ φρονιμωτέρων, ἡττᾶσθαι· τέλος ἀπηρυθρίασε, καὶ πάντα τὰ παραγγέλματα αὐτῶν συγχέας καὶ καταπατήσας, πρὸς τὸν Γάϊον ἔπνευσεν. ὡς δ' ἅπαξ ζηλῶσαι αὐτὸν ἐπεθύμησε καὶ ὑπερεβάλετο, νομίζων τῆς αὐτοκρατορικῆς καὶ τοῦτ' ἰσχύος ἔργον εἶναι, τὸ μηδὲ ἐν τοῖς κακίστοις μηδενὸς ὑστερίζειν, ἐντεῦθεν πολλὰ μὲν, ὡς εἰκός, χρήματα ἀνηλίσκετο, πολλὰ δὲ D
ἀδίκως ἐπορίζετο, πολλὰ δὲ βιαίως ἡρπάζετο. ἦν μὲν γὰρ οὐδ' ὅλως μικρόφρων. τεκμήριον δέ. δορυφόρῳ τινὶ τὰ τῆς ἀρχῆς αὐτοῦ βιβλία διέποντι πεντήκοντα ἅμα καὶ διακοσίας μυριάδας δοθῆναι κελεύσας, εἶτ' ἐπειδὴ ἡ Ἀγριππῖνα ἐθορύβησεν αὐτάς, ἵνα ἀθρόον τὸ ἀργύριον ἰδὼν μεταβάληται, ἤρετο πόσον εἴη τὸ κείμενον· καὶ μαθὼν, ἐδιπλασίασεν αὐτό, εἰπὼν ὅτι Ἠγνόησα ὀλίγον οὕτω κεχαρισμένος. πολλῷ δὲ δῆ- 142
λον καὶ ἐκ τοῦ πλήθους τῶν δαπανωμένων * χ' ὁ μὲν τοὺς ἐν τῷ βα- A
σιλικῷ κοιτῶνι θησαυροὺς ἐξήντλησε· τάχα δὲ πόρων καινῶν

ἐδιῄθη, καὶ τέλη τε οὐκ εἰθισμένα ἐξελέγετο, καὶ αἱ οὐσίαι τῶν ἐχόντων τι ἐπολυπραγμονοῦντο. καὶ οἱ μὲν ἐκείνας ἐξ ἐπηρείας ἀπέβαλον, οἱ δὲ καὶ αὐτοὶ προσαπώλοντο. τοιοῦτος μὲν τὸ σύμπαν ὁ Νέρων ἐγένετο. λέξω δὲ καὶ καθ' ἕκαστον. περὶ μὲν οὖν τὰς ἱπποδρομίας τοσαύτῃ σπουδῇ ὁ Νέρων ἐκέχρητο, ὥστε καὶ τοὺς ἵππους τοὺς ἀγωνιστάς, τοὺς ἐπιφανεῖς, τοὺς πα-
B ρηβηκότας στολῇ τε ἀγοραίῳ, ὡς ἄνδρας εἶναι, κοσμῆσαι, καὶ χρήμασιν ὑπὲρ σιτηρεσίου τιμῆσαι. ἐπαιρομένων δὲ δὴ καὶ τῶν ἱπποτρόφων καὶ τῶν ἡνιόχων τῇ παρ' αὐτοῦ σπουδῇ, καὶ δεινῶς τούς τε στρατηγοὺς καὶ τοὺς ὑπάτους ὑβριζόντων, Αὖλος Φαβρίκιος στρατηγῶν ἐκείνοις μὲν μὴ βουληθεῖσιν ἐπὶ μετρίοις τισὶν ἀγωνίσασθαι, οὐκ ἐχρήσατο, κύνας δὲ διδάξας ἕλκειν ἅρματα, ἀντὶ ἵππων ἐσήγαγε. γενομένου δὲ τούτου, οἱ μὲν τῇ λευκῇ τῇ τε πυρρᾷ σκευῇ χρώμενοι, τὰ ἅρματα εὐθὺς καθῆκαν· τῶν δὲ δὴ πρασίνων τῶν τε οὐενέτων μηδ' ὣς εἰσελθόντων, ὁ Νέ-
C ρων τὰ ἆθλα τοῖς ἵπποις αὐτὸς ἔθηκε, καὶ ἡ ἱπποδρομία ἐπετελέσθη. ἐλυπεῖτο δὲ καὶ ἡ Ἀγριππῖνα μηκέτι τὴν ἐν τῷ παλατίῳ διὰ τὴν Ἀκτὴν μάλιστα κυριεύουσα. ἡ δὲ δὴ Ἀκτὴ ἐπέπρατο μὲν ἐκ τῆς Ἀσίας, ἀγαπηθεῖσα δὲ ὑπὸ τοῦ Νέρωνος, ἔς τε τὸ τοῦ Ἀττάλου γένος ἐσήχθη, καὶ πολὺ καὶ ὑπὲρ τὴν Ὀκταουΐαν τὴν γυναῖκα αὐτοῦ ἠγαπήθη. ἡ οὖν Ἀγριππῖνα διά τε ἄλλα καὶ διὰ ταῦτ' ἀγανακτοῦσα, τὸ μὲν πρῶτον νουθετεῖν αὐτὸν ἐπειρᾶτο, καὶ τῶν συνόντων αὐτῷ τοὺς μὲν πληγαῖς ᾐκίζετο, τοὺς δὲ ἐκποδὼν ἐποιεῖτο· ὡς δὲ οὐδὲν ἐπέραινεν, ὑ-
D περήλγησε, καὶ εἶπεν αὐτῷ ὅτι Ἐγώ σε αὐτοκράτορα ἀπέδειξα· ὥσπερ ἀφελέσθαι τὴν μοναρχίαν αὐτοῦ δυναμένη. οὐ γὰρ ἠπίστατο ὅτι πᾶσα ἰσχὺς αὐτάρκης παρ' ἰδιώτου δοθεῖσά τῳ, ἐκ τοῦ δόντος αὐτὴν εὐθὺς ἀπαλλάττεται, καὶ τῷ λαβόντι κατ' ἐκείνου προσγίγνεται. τὸν δὲ Βρεττανικὸν φαρμάκῳ δολοφονήσας ὁ Νέρων, ἐπειδὴ πελιδνὸς ὑπὸ τοῦ φαρμάκου ἐγένετο, γύψῳ ἔχρισεν· ὑετὸς δὲ διὰ τῆς ἀγορᾶς αὐτοῦ ἀγομένου πολὺς

ὑγρᾶς ἔτι

ὑγρᾷ ἔτι οὔσης τῆς ψήφου, ἐπιπισὼν, πᾶσαν αὐτὴν ἀπέκλυ- 143
σεν, ὥστε τὸ δεινὸν μὴ μόνον ἀκούεσθαι, ἀλλὰ καὶ ὁρᾶσθαι. μετὰ A
δὲ τοῦτ' ἐκφρονεῖν αὐτίκα ἤρξατο, καὶ πολλὰ μὲν οἴκοι, πολλὰ
δὲ ἐν τῇ ἄλλῃ πόλει καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ἐπικρυπτό-
μενός πῃ ἠσέλγαινεν· ἔς τε τὰ καπηλεῖα ἐσῄει, καὶ πανταχόσε, ὡς
καὶ ἰδιώτης, ἐπλανᾶτο· πληγαί τε ἐκ τούτων καὶ ὕβρεις συχναὶ
ἐγίνοντο· καὶ τῇ μητρὶ δὲ ἤδη φανερῶς ἐκπεπολέμωτο. τὰ μὲν
γὰρ ἄλλα ὅσα καθ' ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν καὶ ἔλεγον ἐς
ἀλλήλους καὶ ἔπραττον, ἐξῄει μὲν ἐκ τοῦ παλατίου, οὐ μέντοι τὰ
πάντα ἐδημοσιεύετο, ἀλλὰ κατείκαζον αὐτὰ καὶ ἐλογοποίουν B
ἄλλα ἄλλως. πρὸς γὰρ δὴ τὴν πονηρίαν τήν τε ἀσέλγειαν σφῶν
τά τε ἐνδεχόμενα γενέσθαι ὡς γεγονότα διεθροεῖτο, καὶ τὰ πι-
θανότητά τινα λελέχθαι ἔχοντα, ὡς καὶ ἀληθῆ, ἐπιστεύετο.
τότε δὲ πρῶτον ἰδόντες αὐτὴν ἄνευ δορυφόρων, οἱ μὲν πολλοὶ
ἐφυλάττοντο μηδ' ἐκ συντυχίας αὐτῇ συμμῖξαι, εἰ δέ που
τις καὶ συνέτυχε, διὰ ταχέων ἂν μηδὲν εἰπὼν ἀπηλλάγη. ἐν
δέ τινι θέᾳ ἄνδρες ταύρους ἀπὸ ἵππων συμπαραθέοντες σφί- C
σι κατέστρεφον, τετρακοσίας τε ἄρκτους καὶ τριακοσίους λέον-
τας οἱ ἱππεῖς οἱ σωματοφύλακες τοῦ Νέρωνος κατηκόντισαν· ὅτε
καὶ ἱππεῖς ἐκ τοῦ τέλους τριάκοντα ἐμονομάχησαν. ἐν μὲν δὴ
οὖν τῷ φανερῷ ταῦτ' ἐποίει· κρύφα δὲ νύκτωρ ἐκώμαζε κατὰ
πᾶσαν τὴν πόλιν, ὑβρίζων ἐς τὰς γυναῖκας, ἀσελγαίνων ἐς
τὰ μειράκια, ἀποδύων τοὺς ἀπαντῶντας, παίων, τιτρώσκων,
φονεύων. καὶ ἐδόκει μέν πως λανθάνειν, (καὶ γὰρ ἐσθῆσι ποικί-
λαις καὶ κόμαις περιθέτοις ἄλλοτε ἄλλως ἐχρῆτο) ἠλέγχετο
δὲ ἔκ τε τῆς ἀκολουθίας, καὶ ἐκ τῶν ἔργων. οὐδεὶς γὰρ ἂν το- D
σαῦτα καὶ τηλικαῦτα ἀδεῶς οὕτως ποιῆσαι ἐτόλμησεν. οὐδὲ
γὰρ οὐδ' οἴκοι μένειν ἀσφαλὲς οὐδενὶ ἐγίγνετο, ἀλλὰ καὶ ἐς
ἐργαστήρια καὶ οἰκίας ἐσεπήδα. Ἰούλιος οὖν τις Μοντανὸς
βουλευτὴς, ἀγανακτήσας ὑπὲρ τῆς γυναικὸς, προσέπεσέ τε
αὐτῷ, καὶ πληγὰς πολλὰς ἐνεφόρησεν, ὥσθ' ὑπὸ τῶν ὑπω-

πίων συχναῖς αὐτὸν ἡμέραις κρυφθῆναι· καὶ ἔπαθεν ἐπὶ
τούτῳ δεινὸν οὐδέν. ὁ γὰρ Νέρων ἐκ συντυχίας ἄλλως ὑβρίσθαι
144 νομίσας, οὐδεμίαν ὀργὴν ἐποιεῖτο, εἰ μὴ ἐπέστειλεν αὐτῷ συγ-
A γνώμην αἰτούμενος. ὡς γὰρ ἀνέγνω ὁ Νέρων τὰ γράμματα
ἔφη, Οὐκοῦν ἤδη Νέρωνα τύπτων αὐτὸν κατεχρήσατο. ὁ δέ
ποτε θεάτρῳ θέας ἐπιτελῶν, εἶτα πληρώσας ἐξαίφνης τὸ θέα-
τρον ὕδατος θαλασσίου, ὥστε καὶ ἰχθύας καὶ κήτη ἐν αὐτῷ νή-
χεσθαι, ναυμαχίαν τε ἐποίησε Περσῶν δή τινων καὶ Ἀθηναίων,
καὶ μετ' αὐτὴν τό, τε ὕδωρ εὐθὺς ἐξήγαγε, καὶ ξηράνας τὸ
δάπεδον, πεζοὺς πάλιν οὐχ ὅπως ἕνα πρὸς ἕνα, ἀλλὰ καὶ
πολλοὺς ἅμα πρὸς ἴσους συνέβαλεν. ἐγένοντο δὲ μετὰ ταῦτα καὶ
δικανικοὶ ἀγῶνες, ἐξ ὧν καὶ αὐτῶν συχνοὶ καὶ ἔφυγον καὶ ἀπέ-
B θανον. ἐνεκλήθη δὲ καὶ ὁ Σενέκας ἄλλα τε καὶ ὅτι τῇ Ἀγριππί-
νῃ συνεγίνετο. οὐ μόνον δὲ καὶ ἐν τούτῳ, ἀλλὰ καὶ ἐν ἄλλοις πάντα
τὰ ἐναντιώτατα οἷς ἐφιλοσόφει ποιῶν ἠλέγχθη. καὶ γὰρ τυραν-
νίδος κατηγορῶν, τυραννοδιδάσκαλος ἐγίνετο· καὶ τῶν συνόντων
τοῖς δυνάσταις κατατρέχων, οὐκ ἀφίστατο τοῦ παλατίου· τούς τε
κολακεύοντάς τινα διαβάλλων, αὐτὸς καὶ τὰς βασιλίδας καὶ
τοὺς ἐξελευθέρους ἐθώπευε, καὶ τινῶν καὶ ἐγκώμια συνετίθει· τοῖς
τε πλουτοῦσιν ἐγκαλῶν, οὐσίαν ἑπτακισχιλίων καὶ πεντακοσίων
μυριάδων ἐκτήσατο· καὶ τὰς πολυτελείας τῶν ἄλλων αἰτιώμε-
C νος, πεντακοσίους τρίποδας κεδρίνου ξύλου ἐλεφαντόποδας ἴ-
σους καὶ ὁμοίους εἶχε, καὶ ἐπ' αὐτῶν εἱστία. τοῦτο γὰρ εἰπὼν καὶ τἆλ-
λα τὰ ἀκόλουθα αὐτῷ δεδήλωκα, τὰς ἀσελγείας ἃς πράτ-
των, γάμον τε τὸν ἐπιφανέστατον ἔγημε, καὶ μειρακίοις ἐξώροις ἔ-
χαιρε, καὶ τοῦτο καὶ τὸν Νέρωνα ποιεῖν ἐδίδαξε· καίτοι τοσαύτῃ
πρόσθεν αὐστηρότητι τῶν τρόπων χρώμενος, ὥστε καὶ αἰτήσασθαι παρ'
αὐτοῦ μήτε φιλεῖν αὐτόν, μήτε συσσιτεῖν αὐτῷ. ἦν δέ τις Μάρ-
κος Σαλούιος Ὄθων, ὃς οὕτως ἔκ τε τῆς ὁμοιότητος τῶν τρόπων
D καὶ τῆς κοινωνίας τῶν ἁμαρτημάτων τῷ Νέρωνι ᾠκείωτο, ὥστε
καὶ εἰπών ποτε πρὸς αὐτόν, Οὕτω με Καίσαρα ἴδοις, οἱ αὐ-

διὰ τοῦτο κακὸν ἔπαθεν, ἀλλὰ τοσοῦτον μόνον ἀντήκουσεν ὅτι Οὐ-
δὲ ὕπατόν σε ὄψομαι. τούτῳ τὴν Σαβῖναν ἐξ εὐπατριδῶν οὖσαν
ἀπὸ τοῦ ἀνδρὸς ἀποσπάσας ἔδωκε, καὶ αὐτῇ ἀμφότεροι ἅμα
ἐχρῶντο. φοβηθεῖσα οὖν ἡ Ἀγριππῖνα μὴ γήμηται τῷ Νέρω-
νι (δεινῶς γὰρ ἤδη αὐτῆς ἐρᾶν ἤρξατο) ἔργον ἀτοπώτατον ἐ-
τόλμησεν. ὥσπερ γὰρ οὐχ ἱκανὸν ἐς μυθολογίαν, ὅτι τὸν θεῖον τὸν
Κλαύδιον ἐς ἔρωτα αὐτῆς ταῖς τε γοητείαις καὶ ἀκολασίαις τε τῶν 145
βλεμμάτων καὶ τῶν φιλημάτων ὑπηγάγετο, ἐπεχείρησε καὶ τὸν A
Νέρωνα ὁμοίως καταδουλώσασθαι. ἀλλ' ἐκεῖνο μὲν εἴτ' ἀλη-
θῶς ἐγένετο, εἴτε πρὸς τὸν τρόπον αὐτῶν ἐπλάσθη, οὐκ οἶδα·
ἃ δὲ δὴ πρὸς πάντων ὁμολογεῖται, λέγω, ὅτι ἑταίραν τινὰ τῇ
Ἀγριππίνῃ ὁμοίαν ὁ Νέρων δι' αὐτὸ τοῦτο ἐς τὰ μάλιστα ἠ-
γάπησε· καὶ αὐτῇ τε ἐκείνῃ προσπαίζων, καὶ τοῖς ἄλλοις ἐν-
δεικνύμενος, ἔλεγεν ὅτι καὶ τῇ μητρὶ ὁμιλοίη. μαθοῦσα δὲ
ταῦθ' ἡ Σαβῖνα, ἀνέπεισε τὸν Νέρωνα ὡς καὶ ἐπιβουλεύουσαν
οἱ αὐτὴν διολέσαι. καὶ αὐτὸν καὶ ὁ Σενέκας, ὡς πολλοῖς καὶ ἀξιο- B
πίστοις ἀνδράσιν εἴρηται, παρώξυνεν, εἴτ' οὖν τὸ ἔγκλημα τὸ καθ'
ἑαυτοῦ ἐπηλυγάσασθαι βουληθείς, εἴτε καὶ τὸν Νέρωνα εἰς μιαι-
φονίαν ἀνόσιον προσαγαγεῖν ἐθελήσας, ἵν' ὡς τάχιστα καὶ
πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων ἀπόληται. ἐπεὶ δὲ καὶ ἐκ τοῦ
προφανοῦς ὤκνουν τὸ ἔργον, καὶ κρύφα διὰ φαρμάκων οὐκ
εἶχον αὐτὴν ἀνελεῖν (πάντα γὰρ ἐκείνη ἰσχυρῶς ἐφυλάσσετο)
ναῦν ἰδόντες ἐν τῷ θεάτρῳ διαλυομένην τε αὐτὴν ἐφ' ἑαυ-
τῆς, καί τινα θηρία ἀφιεῖσαν, καὶ συνισταμένην αὖ πάλιν
ὥστε καὶ ἐρρῶσθαι, τοιαύτην ἑτέραν ταχέως ἐναυπηγήσαντο.
ὡς δὲ ἥ τε ναῦς ἐγεγόνει, καὶ ἡ Ἀγριππῖνα ἐθεραπεύετο. C
(πάντα γὰρ τὸν τρόπον ἐκολάκευεν αὐτὴν ἵνα μή τι ὑποτοπή-
σασα φυλάξηται) ἐν μὲν τῇ Ῥώμῃ οὐδὲν ἐτόλμησε ποιῆσαι,
μὴ καὶ ἐκδημοσιευθῆναι τὸ μίασμα· πόρρω δὲ εἰς τὴν Καμ-
πανίαν ἀπάρας, καὶ παραλαβὼν τὴν μητέρα, ἔπλευσεν
ἐπ' αὐτῆς ἐκείνης τῆς νεὼς λαμπρότατα κεκοσμημένης, ὡς

καὶ ἐπιθυμίαν αὐτῇ ἐμβαλεῖν ἀεί ποτε τῇ νηῒ χρῆσθαι. ἐλ-
θόντι τε εἰς Βαύλους, δεῖπνά τε πολυτελέστατα ἐπὶ πολλὰς ἡ-
μέρας ἐποίησε, καὶ τὴν μητέρα ἐν αὐτοῖς φιλοφρόνως εἱστία-
σεν. ἀπιοῦσάν τε πάνυ ποθεῖν ἐπλάττετο, καὶ παροῦσαν ὑπερησ-
D πάζετο· αἰτεῖν τε ἐκέλευεν ὅ,τι βούλοιτο, καὶ μὴ αἰτούσῃ, πολ-
λὰ ἐχαρίζετο. ἐπεὶ δὲ ἐν τούτῳ οὕτω δὴ ἀπὸ τοῦ δείπνου περὶ
μέσας νύκτας περιλαμβάνει τε αὐτὴν, καὶ πρὸς τὸ στέρνον
προσαγαγὼν, καὶ φιλήσας καὶ τὰ ὄμματα καὶ τὰς χεῖρας, Μῆ-
τέρ τε, εἰπὼν, ἔρρωσό μοι καὶ ὑγίαινε· ἐν γάρ σοι καὶ ἐγὼ ζῶ καὶ
διά σε βασιλεύω· παρέδωκεν αὐτὴν Ἀνικήτῳ ἀπελευθέρῳ,
ὡς καὶ κομιοῦντι οἴκαδε ἐπὶ τοῦ πλοίου οὗ κατεσκευάκει. ἀλλ' (οὐ
146 γὰρ ἠνέσχετο ἡ θάλασσα τὴν μέλλουσαν ἐπ' αὐτῇ τραγῳδίαν
A ἔσεσθαι) οὐδ' ὑπέμεινε τὴν ψευδολογίαν τῆς αἰσχρουργίας ἀνα-
δέξασθαι, διελύθη μὲν ἡ ναῦς, καὶ ἡ Ἀγριππῖνα ἐς τὸ ὕδωρ
ἐξέπεσεν. οὐ μέντοι καὶ ἀπέθανεν, ἀλλὰ (καίτοι καὶ ἐν σκότῳ καὶ
διακορὴς μέθης οὖσα, τῶν τε ναυτῶν ταῖς κώπαις ἐπ' αὐτὴν
χρωμένων, ὥστε καὶ Ἀκερωνίαν Πῶλλαν τὴν σύμπλουν αὐ-
τῆς ἀποκτεῖναι) διεσώθη, καὶ ἐλθοῦσα οἴκαδε, οὔτε προσεποιή-
σατο, οὔτ' ἐξέφηνε τὸ ἐπιβούλευμα, ἀλλὰ καὶ πρὸς τὸν υἱὸν
ἔπεμψε κατὰ τάχος, καὶ τό,τε συμβεβηκὸς αὐτῇ ὡς κατὰ τύχην
συμπεπτωκὸς ἔλεγε, καὶ ὅτι σώζοιτο εὐηγγελίζετο δῆθεν αὐτῷ.
B ἀκούσας δὲ τοῦτο ὁ Νέρων, οὐκ ἐκαρτέρησεν, ἀλλὰ καὶ τὸν πεμ-
φθέντα, ὡς ἐπὶ τῇ αὐτοῦ σφαγῇ ἥκοντα, ἐκόλασε, καὶ ἐπὶ τὴν
μητέρα τὸν Ἀνίκητον εὐθὺς μετὰ τῶν ναυτῶν ἀπέστειλε. τοῖς γὰρ
δορυφόροις οὐκ ἐπίστευσε τὸν θάνατον αὐτῆς. ἰδοῦσα δὲ σφᾶς
ἐκείνη, ἔγνω τε ἐφ' ἃ ἥκουσι, καὶ ἀναπηδήσασα ἐκ τῆς κοίτης,
τήν τε ἐσθῆτα περιερρήξατο, καὶ τὴν γαστέρα ἀπογυμνώσα-
σα, Παῖε ταύτην (ἔφη) Ἀνίκητε, παῖε, ὅτι Νέρωνα ἔτικτεν. οὕτω
μὲν ἡ Ἀγριππῖνα ἡ τοῦ Γερμανικοῦ θυγάτηρ, ἡ τοῦ Ἀγρίππου ἔγ-
γονος, ἡ τοῦ Αὐγούστου ἀπόγονος, ὑπ' αὐτοῦ τοῦ υἱέος ᾧ τὸ κράτος
ἐδεδώκει, δι' ὃν ἄλλους τε καὶ τὸν θεῖον ἀπεκτόνει, κατεσφάγη.

μαθὼν δὲ ὁ Νέρων ὅτι τέθνηκεν, οὐκ ἐπίστευσεν· ὑπὸ γὰρ τοῦ C
μεγέθους τοῦ τολμήματος ἀπιστία αὐτῷ ὑπεχύθη, καὶ διὰ τοῦτο
αὐτόπτης ἐπεθύμησε τοῦ πάθους γενέσθαι. καὶ αὐτήν τε πᾶσαν
εἶδε γυμνώσας, καὶ τὰ τραύματα αὐτῆς ἐπεσκέψατο· καὶ τέ-
λος, πολὺ καὶ τοῦ φόνου ἀνοσιώτερον ἔπος ἐφθέγξατο· εἶπε γὰρ
ὅτι Οὐκ ἤδειν ὅτι οὕτω καλὴν μητέρα εἶχον. καὶ τοῖς τε δορυ
φόροις ἀργύριον ἔδωκεν, ἵνα δηλονότι πολλὰ τοιαῦτα γίγνεσθαι
εὔχωνται· καὶ τῇ γερουσίᾳ ἐπέστειλεν, ἄλλα τε ὅσα συνῄδει αὐ-
τῇ καταλέγων, καὶ ὅτι ἐπεβούλευσέ τε αὐτῷ, καὶ φωραθεῖ- D
σα ἑαυτὴν διεχρήσατο. καὶ τῇ μὲν βουλῇ ταῦτα ἐπέστει-
λεν· αὐτὸς δὲ ταῖς νυξὶν ἐξεπλήττετο. ὥστε καὶ ἐκ τῆς εὐ-
νῆς ἐξαπιναίως ἀναπηδᾶν, καὶ μεθ' ἡμέραν ὑπὸ σαλπίγγων
δή τινων πολεμικόν τι καὶ θορυβῶδες ἐκ τοῦ χωρίου ἐν ᾧ τὰ
τῆς Ἀγριππίνης ὀστᾶ ἔκειτο, ἠχουσῶν, ἐδειματοῦτο. διὸ καὶ ἄλ
λοσε ᾔει· καὶ ἐπειδὴ κἀνταῦθα τὰ αὐτὰ αὐτῷ συνέβαινεν,
ἄλλοσε ἐμπλήκτως μετίστατο. οἱ δὲ ἐν τῇ Ῥώμῃ ἄνθρωποι, ἀκού-
σαντες ταῦτα, καίπερ ἀχθόμενοι, ἔχαιρον, νομίζοντες αὐτὸν 147
ἐκ τούτου γε πάντως ἀπολεῖσθαι. τῶν δὲ βουλευτῶν οἱ μὲν ἄλλοι A
πάντες προσεποιοῦντο χαίρειν ἐπὶ τοῖς γεγονόσι, καὶ συνή-
δοντο δῆθεν τῷ Νέρωνι, καὶ ἐψηφίζοντο πολλὰ οἷς ᾤοντο αὐτῷ
χαριεῖσθαι. ὁ Πούπλιος δὲ δὴ Θρασέας Παῖτος ἦλθε μὲν ἐς
τὸ συνέδριον, καὶ τῆς ἐπιστολῆς ἐπήκουσεν. ἀναγνωσθείσης δὲ αὐ-
τῆς ἐξανέστη τε εὐθὺς, πρὶν καὶ ὁτιοῦν ἀποψηφίσασθαι, καὶ ἐξῆλθε·
διότι ἃ μὲν ἤθελεν εἰπεῖν, οὐκ ἐδύνατο, ἃ δὲ ἐδύνατο, οὐκ ἤθε-
λεν. ἐν δὲ τῷ αὐτῷ τρόπῳ καὶ τὰ ἄλλα πάντα διῆγεν· ἔλεγε γὰρ ὅτι
Εἰ μὲν ἐμὲ μόνον ὁ Νέρων φονεύσειν ἔμελλε, πολλὴν ἂν εἶχον B
τοῖς ἄλλοις ὑπερκολακεύουσιν αὐτῷ συγγνώμην· εἰ δὲ καὶ ἐκεί-
νων τῶν σφόδρα αὐτὸν ἐπαινούντων πολλοὺς, τοὺς μὲν ἀνάλω-
κε, τοὺς δὲ καὶ ἀπολέσει, τί χρὴ μάτην ἀσχημονοῦντα δουλο-
πρεπῶς φθαρῆναι, ἐξὸν ἐλευθερίως ἀποδοῦναι τῇ φύσει τὸ
ὀφειλόμενον; ἐμοῦ μὲν γὰρ πέρι καὶ ἔπειτα λόγος τις ἔσται,

τούτων δὲ, πλὴν κατ' αὐτὸ τοῦτο ὅτι ἐσφάγησαν, οὐδείς. τοιοῦτος μὲν ὁ Θρασέας ἐγένετο, καὶ τοῦτο ἀεὶ πρὸς ἑαυτὸν ἔλεγεν, Ἐμὲ Νέρων ἀποκτεῖναι μὲν δύναται, βλάψαι δὲ οὔ. Νέρωνα δὲ μετὰ τὸν τῆς μητρὸς φόνον εἰσιόντα ἐς τὴν Ῥώμην
C δημοσίᾳ μὲν ἐθεράπευον, ἰδίᾳ δὲ, ἐν ᾧ γε καὶ παῤῥησιάσασθαί τινες ἀσφαλῶς ἐδύναντο, καὶ μάλα αὐτὸν ἐσπάραττον. τοῦτο μὲν γὰρ μολγόν τι τινὰ ἀπ' ἀνδριάντος αὐτοῦ νύκτωρ ἀπεκρέμασαν, ἐνδεικνύμενοι ὅτι ἐς ἐκεῖνον αὐτὸν δέοι ἐμβεβλῆσθαι, τοῦτο δὲ, παιδίον ἐς τὴν ἀγορὰν ῥίψαντες, προσέδησαν αὐτῷ πινάκιον, λέγον, Οὐκ ἀναιροῦμαί σε, ἵνα μὴ τὴν μητέρα ἀποσφάξῃς. καὶ ἦν μὲν καὶ ἀναγινώσκειν πολλαχόθι ὁμοίως γεγραμμένον, Νέρων, Ὀρέστης, Ἀλκμαίων, μητροκτόνοι. ἦν δὲ καὶ ἀκούειν αὐτὸ τοῦτο λεγόντων ὅτι Νέρων τὴν μητέρα ἀνεχρήσατο. συχνοὶ γὰρ ὡς καὶ διηλλακότας τινὰς αὐτὸ εἰσήγγελλον, οὐχ οὕτως ἵν' ἐκείνους ἀπολέσωσιν, ὡς ἵνα τὸν Νέρω-
D να διαβάλωσιν. ὅθεν οὐδεμίαν τοιαύτην δίκην προσίετο, ἤτοι μὴ βουλόμενος ἐπὶ πλεῖον δι' αὐτῆς τὴν φήμην ἐπαυξῆσαι, ἢ καὶ καταφρονῶν ἤδη τῶν λεγομένων. ὁ μέντοι ἥλιος σύμπας ἐν μέσαις ταῖς θυσίαις ταῖς ἐπὶ τῇ Ἀγριππίνῃ κατὰ τὸ ψήφισμα γινομέναις ἐξέλιπεν, ὥστε καὶ ἀστέρας ἐκφῆναι· καὶ οἱ ἐλέφαντες οἱ τὴν τοῦ Αὐγούστου ἁρμάμαξαν ἄγοντες ἐς μὲν τὸν ἱππόδρομον ἐσῆλθον, καὶ μέχρι τῆς τῶν βουλευτῶν ἕδρας ἀφίκοντο· γενόμενοι δὲ ἐνταῦθα ἔστησαν, καὶ περαιτέ-
148 ρω οὐ προσεχώρησαν. καὶ ὃ δὴ καὶ μάλιστα ἄν τις ἐτεκμήρα-
A το ἐκ τοῦ δαιμονίου γεγονέναι, σκηπτὸς ποτὲ τὸ δεῖπνον αὐτοῦ πᾶν ἐσφερόμενόν οἱ κατέφλεξεν, ὥσπερ τις ἅρπυια τὰ σιτία αὐτοῦ ἀφελόμενος. οὐ μὴν ἀλλ' αὐτὸς καὶ Δομιτίαν τὴν τηθίδα φαρμάκῳ δολοφονήσας, τὰ ἐν ταῖς Βαίαις τῇ τε Ῥαβεννίδι θαλάσσῃ κτήματα αὐτῆς ἀφείλετο· ἐν οἷς καὶ οἰκητήρια εὐθὺς μεγαλοπρεπῆ κατεσκεύασεν, ἃ καὶ δεῦρο ἀνθεῖ. ἐπὶ δὲ δὴ τῇ μητρὶ καὶ ἑορτὴν μεγίστην δὴ καὶ πολυτελεστάτην

ἐποίησεν, ὥστε ἐν πέντε καὶ ἓξ ἅμα θεάτροις ἐπὶ πολλὰς ἡμέρας πανηγυρίσαι· ὅτε δὴ καὶ ἐλέφας ἀνήχθη ἐς τὴν ἀνωτάτω τοῦ θεάτρου ἀψῖδα· καὶ ἐκεῖθεν ἐπὶ σχοινίων κατέδραμεν ἀναβάτην φέρων· B
ἐκεῖνο δεῖξαι καὶ αἴσχιστον καὶ δεινότατον ἅμα ἐγένετο, ὅτι καὶ ἄνδρες καὶ γυναῖκες οὐχ ὅπως ἱππικοὶ ἀλλὰ καὶ τοῦ βουλευτικοῦ ἀξιώματος ἐς τὴν ὀρχήστραν, καὶ ἐς τὸν ἱππόδρομον, τό, τε θέατρον τὸ κυνηγετικὸν εἰσῆλθον ὥσπερ οἱ ἀτιμότατοι· καὶ ηὔλησάν τινες αὐτῶν καὶ ὠρχήσαντο, τραγῳδίας τε καὶ κωμῳδίας ὑπεκρίναντο, καὶ ἐκιθαρῴδησαν· ἵππους τε ἤλασαν, καὶ θηρία ἀπέκτειναν, καὶ ἐμονομάχησαν, οἱ μὲν ἐθελονταί, οἱ δὲ καὶ πάνυ ἄκοντες. καὶ εἶδον οἱ τότε ἄνθρωποι τὰ γένη τὰ μεγάλα, τοὺς Φουρίους, τοὺς Φαβίους, τοὺς Πορκίους, τοὺς Οὐαλερίους, τἆλλα πάντα ὧν τὰ τρόπαια, ὧν οἱ ναοὶ ἑωρῶντο, C
κάτω τε ἑστηκότας καὶ τοιαῦτα δρῶντας, ὧν ἔνια οὐδ᾽ ὑπ᾽ ἄλλων γιγνόμενα ἐθεώρουν· καὶ ἐδακτυλοδείκτουν γε αὐτοὺς ἀλλήλοις, καὶ ἐπέλεγον, Μακεδόνες μὲν, Οὗτός ἐστιν ὁ τοῦ Παύλου ἔκγονος· Ἕλληνες δὲ, οὗτος τοῦ Μομμίου· Σικελιῶται, ἴδετε τὸν Κλαύδιον· Ἠπειρῶται, ἴδετε τὸν Ἄππιον· Ἀσιανοὶ, τὸν Λούκιον· Ἴβηρες, τὸν Πούπλιον· Καρχηδόνιοι, Ἀφρικανόν· Ῥωμαῖοι δὲ, πάντας. τοιαῦτα γάρ που προτέλεια τῆς αὐτοῦ ἀσχημοσύνης ποιῆσαι ἠθέλησεν. ὠλοφύροντο δὲ πάντες οἱ νοῦν ἔχοντες καὶ ἐπὶ D
τῷ πλήθει τῶν ἀναλισκομένων. πάντα μὲν γὰρ τὰ πολυτελέστατα ἃ ἄνθρωποι ἐσθίουσι, πάντα δὲ καὶ τὰ ἄλλα τὰ τιμιώτατα, ἵππους, ἀνδράποδα, ζεύγη, χρυσίον, ἀργύριον, ἐσθῆτα ποικίλην ἐδίδου διὰ συμβόλων. σφαίρια γὰρ μικρὰ γεγραμμένα ὡς ἕκαστα αὐτῶν ἔχοντα εἰς τὸν ὅμιλον ἐρρίπτει, καὶ ἐδίδοτο ὅ,τι τις δι᾽ ἐκείνων ἥρπασεν. ἐνενόουν γὰρ ὅτι ὁπότε τοσαῦτα ἀνήλισκεν ἵνα ἀσχημονήσῃ, οὐδενὸς τῶν ἀτοπωτάτων ἀφέξεται 149
ἵνα τι κερδάνῃ. τεράτων δέ τινων γενομένων τότε, οἱ μάντεις A
ὄλεθρον αὐτῷ ταῦτα φέρειν εἶπον, καὶ συνεβούλευσαν ἐς ἑτέρους τὸ δεινὸν ἀποτρέψασθαι. κἂν συχνοὺς εὐθὺς κατεχρήσατο,

εἰ μὴ ὁ Σενέκας ἔφη αὐτῷ ὅτι Ὅσους ἂν ἀποσφάξῃς, οὐ δύνασαι τὸν διάδοχόν σου ἀποκτεῖναι. τότε μὲν δὴ τοσαῦτα σωτήρια, ὡς δὴ ἔλεγεν, ἑώρτασε, καὶ τὴν ἀγορὰν τῶν ὄψων, τὸ μά-
B κελλον ὠνομασμένον, καθιέρωσε. μετὰ δὲ ταῦτα ἕτερον αὖ εἶδος ἑορτῆς ἤγαγεν (ἐπεκλήθη δὲ ἰουβενάλια, ὥσπερ ἵνα νεανισκεύματα) καὶ ἐτελέσθη ἐπὶ τῷ γενείῳ αὐτοῦ. καὶ γὰρ τοῦτο τότε πρῶτον ἐξύρατο, καὶ τάς γε τρίχας ἐς σφαίριόν τι χρυσοῦν ἐμβαλὼν ἀνέθηκε τῷ Διῒ τῷ Καπιτωλίνῳ. καὶ ἐς τὴν ἑορτὴν οἵ τε ἄλλοι καὶ οἱ εὐγενέστατοι πάντως τι ἐπεδείξαντο, τεκμήριον δέ· Αἰλία Κατέλλα, τοῦτο μὲν γένει καὶ πλούτῳ προήκουσα, τοῦτο δὲ καὶ ἡλικίᾳ προφέρουσα (ὀγδοηκοντοῦτις γὰρ ἦν) ὠρχήσατο· οἵ τε λοιποὶ οἱ διὰ γῆρας ἢ νόσον ἰδίᾳ μηδὲν ποιῆσαι δυνάμενοι, ἐχορῴδησαν. ἤσκουν μὲν γὰρ πάντες ὅ, τι τις
C καὶ ὁπωσοῦν οἷός τε ἦν· καὶ ἐς διδασκαλεῖα ἀποδεδειγμένα συνεφοίτων οἱ ἐλλογιμώτατοι ἄνδρες, γυναῖκες, κόραι, μειράκια, γραῖαι, γέροντες· εἰ δέ τις μὴ ἐδύνατο ἐν ἑτέρῳ τῳ θέλων παρασχεῖν ἐς τοὺς χορούς, κατεχωρίζετο. καὶ ἐπειδή γε τινὲς αὐτῶν προσωπεῖα ὑπ' αἰσχύνης, ἵνα μὴ γνωρίζωνται, περιέθεντο, περιεῖλεν αὐτά, τοῦ δήμου δῆθεν ἀξιώσαντος, καὶ ἐπέδειξε καὶ τοῖς ὀλίγον ἔμπροσθεν ὑπ' αὐτῶν ἀρχθεῖσιν ἀνθρώποις. καὶ τότε δὴ μάλιστα καὶ ἐκεῖνοι καὶ οἱ ἄλλοι τοὺς τεθνηκότας ἐμακάριζον. πολλοὶ γὰρ ἄνδρες τῶν πρώτων ἐν τῷ ἔτει τούτῳ ἐτελεύτησαν, ὧν ἐνίους καὶ τῷ Νέρωνι ἐπιβουλεύειν
D αἰτιαθέντας οἱ στρατιῶται περιστάντες ἐλιθοβόλησαν. καὶ (ἔδει γὰρ καὶ τὸν κολοφῶνα ἄξιον τῶν πραττομένων ἐπενεχθῆναι) παρῆλθέ τι καὶ αὐτὸς ὁ Νέρων ἐς τὸ θέατρον ὀνομαστὶ πρὸς τοῦ Γαλλίωνος εἰσκηρυχθείς, καὶ ἔστη τε ἐπὶ τῆς σκηνῆς ὁ Καῖσαρ τὴν κιθαρῳδικὴν σκευὴν ἐνδεδυκώς· καί, κύριοί μου εὐμενῶς μου ἀκούσατε, εἶπεν ὁ αὐτοκράτωρ. ἐκιθαρῴδησέ τε Ἄττιν τινὰ ἢ Βάκχας ὁ Αὔγουστος, πολλῶν μὲν στρατιωτῶν παρεστηκότων, παντὸς δὲ τοῦ δήμου ὅσον αἱ ἕδραι ἐχώρησαν, καθη-

ρθμίου· καίτοι τὸ βραχὺ καὶ μέλαν (ὥς γε παραδέδοται) φώνη-
μα ἔχων, ὥστε καὶ γέλωτα ἅμα καὶ δάκρυα πᾶσι κινῆσαι. καὶ
αὐτῷ καὶ ὁ Βοῦρρος καὶ ὁ Σενέκας, καθάπερ τινὲς διδάσκαλοι, 150
ὑποβάλλοντές τι παρειστήκεσαν· καὶ αὐτοὶ τάς τε χεῖρας καὶ τὰ A
ἱμάτια, ὁπότε φθέγξαιτό τι, ἀνέσειον, καὶ τοὺς ἄλλους προσεπε-
σπῶντο. ἦν μὲν γάρ τι καὶ ἴδιον αὐτῷ σύστημα ἐς πεντακισχιλίους
στρατιώτας παρεσκευασμένον, αὐγούστειοί τε ὠνομάζοντο, καὶ
ἐξῆρχον τῶν ἐπαίνων· ἠναγκάζοντο δὲ σφίσι καὶ ἄλλοι πάντες
καὶ ἄκοντες, πλὴν τοῦ Θρασέα, ἐκβοᾶν. τοῦτο μὲν γὰρ οὐδέποτε
αὐτῷ συγκαθῆκεν· οἱ δὲ δὴ ἄλλοι, καὶ μάλιστα οἱ ἐπιφανεῖς,
σπουδῇ καὶ ὀδυρόμενοι συνελέγοντο, καὶ πάνθ' ὅσα περ οἱ
αὐγούστειοι, ὡς καὶ χαίροντες συνεβόων. καὶ ἦν ἀκούειν πως αὐ- B
τῶν λεγόντων, Ὁ καλὸς Καῖσαρ, ὁ Ἀπόλλων, ὁ αὔγουστος, εἷς
ὡς Πύθιος· μά σε Καῖσαρ, οὐδείς σε νικᾷ. ποιήσας δὲ ταῦτα,
ἐδείπνισε τὸν δῆμον ἐπὶ πλοίων ἐν τῷ χωρίῳ ἐν ᾧ ἡ ναυμαχία
ὑπὸ τοῦ Αὐγούστου ἐγεγόνει· καὶ ἐξ αὐτοῦ νυκτὸς μεσούσης ἐς τὸν
Τίβεριν διὰ τάφρου κατέπλευσε. ταῦτα μὲν ἐπὶ τῷ γενείῳ ψι-
λῶσαι ἔπραξεν. ὑπὲρ δὲ δὴ τῆς σωτηρίας τῆς τε διαμονῆς
τοῦ κράτους αὐτοῦ (οὕτω γάρ που προέγραψεν) ἀγῶνα πενταετη-
ρικὸν κατεστήσατο, Νερώνεια αὐτὸν ὀνομάσας· καὶ ἐπ' αὐτῷ τὸ
τὸ γυμνάσιον ᾠκοδόμησεν. ἔλαιόν τε ἐν τῇ καθιερώσει αὐτοῦ καὶ C
τοῖς βουλευταῖς καὶ τοῖς ἱππεῦσι προῖκα ἔνειμε. τὸν μέντοι
στέφανον τὸν τῶν κιθαρῳδῶν ἀνικεὶ ἔλαβε, πάντων ὡς καὶ ἀ-
ναξίων τῆς νίκης ἐκκληθέντων. κἀκ τούτου καὶ οἱ ἄλλοι αὐτῷ
στέφανοι οἱ τῆς κιθαρῳδίας ἐξ ἁπάντων τῶν ἀγώνων ὡς καὶ
μόνῳ ἀξιονίκῳ ἐπέμποντο. ἐν ᾧ δὲ ταῦτα ἐν τῇ Ῥώμῃ ἐπαί-
ζετο, πάθος ἐν Βρεττανίᾳ δεινὸν συνηνέχθη. δύο τε γὰρ πόλεις
ἐπορθήθησαν, καὶ μυριάδες ὀκτὼ τῶν τε Ῥωμαίων καὶ τῶν συμμά-
χων αὐτῶν ἐφθάρησαν, ἥ τε νῆσος ἠλλοτριώθη. καὶ ταῦτα μέν-
τοι πάντα ὑπὸ γυναικὸς αὐτοῖς συνηνέχθη, ὥστε καὶ κατὰ
τοῦτο πλείστην αὐτοῖς αἰσχύνην συμβῆναι, ὥς που καὶ τὸ θεῖον τὴν D

συμφοραὶ αὐτοῖς προεσήμαινεν. ἔκ τε γὰρ τοῦ βουλευτηρίου
θροῦς νυκτὸς βαρβαρικὸς μετὰ γέλωτος, καὶ ἐκ τοῦ θεάτρου
θόρυβος μετ' οἰμωγῆς ἐξηκούετο, μηδενὸς ἀνθρώπων μήτε
φθεγγομένου μήτε στένοντος. οἰκίαι τέ τινες ἐν τῷ Ταμέσᾳ πο-
ταμῷ ἔνυδροι ἑωρῶντο, καὶ ὁ ὠκεανὸς ὁ μεταξὺ τῆς τε νήσου
καὶ τῆς Γαλατίας αἱματώδης ποτὲ ἐν τῇ πλημμυρίδι ηὐξή-
θη. πρόφασις δὲ τοῦ πολέμου ἐγένετο ἡ δήμευσις τῶν χρημάτων,
ἃ Κλαύδιος τοῖς πρώτοις αὐτῶν ἐδεδώκει· καὶ ἔδει καὶ ἐκεῖ-
να, ὥς γε Δεκιανὸς Κάτος ὁ τῆς νήσου ἐπιτροπεύων ἔλεγεν,
151 ἀναπόμπιμα γενέσθαι. διά τε οὖν τοῦτο, καὶ ὅτι ὁ Σενέκας χι-
A λίας σφίσι μυριάδας ἄκουσιν ἐπὶ χρησταῖς ἐλπίσι τόκων δα-
νείσας, ἔπειτ' ἀθρόας τε ἅμα αὐτὰς καὶ βιαίως εἰσέπρασ-
σεν. ἡ δὲ μάλιστα αὐτοὺς ἐρεθίσασα, καὶ ἐναντία Ῥωμαίων πο-
λεμεῖν ἀναπείσασα, τῆς τε προστασίας αὐτῶν ἀξιωθεῖσα, καὶ
τοῦ πολέμου παντὸς στρατηγήσασα, Βουδουΐκα ἦν, γυνὴ Βρετ-
τανίς, γένους τοῦ βασιλείου, μεῖζον ἢ κατὰ γυναῖκα φρόνημα ἔ-
χουσα. αὕτη γὰρ συνήγαγέ τε τὸ στράτευμα ἀμφὶ δώδεκα μυ-
B ριάδας ὄν, καὶ ἀνέβη ἐπὶ βῆμα ἐκ γῆς ἑλώδους ἐς τὸν Ῥω-
μαϊκὸν τρόπον πεποιημένον. ἦν δὲ καὶ τὸ σῶμα μεγίστη, καὶ τὸ
εἶδος βλοσυρωτάτη, τό τε βλέμμα δριμυτάτη καὶ τὸ φθέγ-
μα τραχὺ εἶχε· τήν τε κόμην πλείστην τε καὶ ξανθοτάτην οὖσαν
μέχρι τῶν γλουτῶν καθεῖτο, καὶ στρεπτὸν μέγαν χρυσοῦν ἐφό-
ρει, χιτῶνά τε παμποίκιλον ἐνεκεκόλπωτο, καὶ χλαμύδα ἐπ'
αὐτῷ παχεῖαν ἐνεπεπόρπητο. οὕτω μὲν ἀεὶ ἐνεσκευάζετο· τότε
δὲ καὶ λόγχην λαβοῦσα, ὥστε καὶ ἐκ τούτου πάντας ἐκπλήτ-
τειν, ἔλεξεν ὧδε, Πέπεισθε μὲν τοῖς ἔργοις αὐτοῖς ὅσον ἐλευθε-
ρία τῆς δουλείας διαφέρει, ὥστ' εἰ καὶ πρότερόν τις ὑμῶν ὑπὸ
C τῆς τοῦ κρείττονος ἀπειρίας ἐπαγωγοῖς ἐπαγγέλμασι τῶν Ῥω-
μαίων ἠπάτητο, ἀλλὰ νῦν γε ἑκατέρου πεπειραμένοι, μεμα-
θήκατε μὲν ὅσον ἡμαρτήκατε, δεσποτείαν ἐπισπαστὸν πρὸ τῆς
πατρίου διαίτης προτιμήσαντες· ἐγνώκατε δὲ ὅσῳ καὶ πενία

ἀδέσποτος πλούτου δουλεύοντος προφέρει. τί μὲν γὰρ οὐ τῶν αἰ-
σχίστων, τί δ' οὐ τῶν ἀλγίστων, ἐξ οὗπερ ἐς τὴν Βρεττανίαν οὗ-
τοι παρέκυψαν, πεπόνθαμεν; οὐ τῶν μὲν πλείστων καὶ μεγίστων
κτημάτων ὅλων ἐστερήμεθα, τῶν δὲ λοιπῶν τέλη καταβάλλο- D
μεν; οὐ πρὸς τῷ τἆλλα πάντα καὶ νέμειν καὶ γεωργεῖν ἐκείνοις,
καὶ τῶν σωμάτων αὐτῶν δασμὸν ἐτήσιον φερόμενοι; καὶ πό-
σῳ κρεῖττον ἦν, ἅπαξ τισὶ πεπρᾶσθαι μᾶλλον, ἢ μετὰ κενῶν ἐ-
λευθερίας ὀνομάτων κατ' ἔτος λυτροῦσθαι; πόσῳ δὲ ἐσφάχθαι
καὶ ἀπολωλέναι μᾶλλον, ἢ κεφαλὰς ὑποτελεῖς περιφέρειν;
καίτοι τί τοῦτο εἶπον; οὐδὲ γὰρ τὸ τελευτῆσαι παρ' αὐτοῖς ἀζήμιόν
ἐστιν, ἀλλ' ἴστε ὅσον καὶ ὑπὲρ τῶν νεκρῶν τελοῦμεν. παρὰ μὲν γὰρ 152
τοῖς ἄλλοις ἀνθρώποις καὶ τοὺς δουλεύοντάς τισιν ὁ θάνατος ἐ- A
λευθεροῖ, Ῥωμαίοις δὲ δὴ μόνοις καὶ οἱ νεκροὶ ζῶσι πρὸς τὰ
λήμματα. τί δ' ὅτι κἂν μὴ ἔχῃ τις ἡμῶν ἀργύριον, (πῶς γὰρ ἢ
πόθεν) ἀποδυόμεθα καὶ σκυλευόμεθα ὥσπερ οἱ φονευόμενοι;
τί δ' ἂν προϊόντος τοῦ χρόνου μετριάσειεν, οὕτως ἡμῖν κατὰ τὴν
πρώτην εὐθὺς (ὅτε πάντες καὶ τὰ θηρία τὰ νεάλωτα θε-
ραπεύουσι) προσενηνεγμένοι; ἡμεῖς δὲ δὴ πάντων τῶν κα- B
κῶν τούτων αἴτιοι (ὥς γε τἀληθὲς εἰπεῖν) γεγόναμεν, οἵτινες αὐ-
τοῖς ἐπιβῆναι τὴν ἀρχὴν τῆς νήσου ἐπετρέψαμεν, καὶ οὐ πα-
ραχρῆμα αὐτούς, ὥσπερ καὶ τὸν Καίσαρα τὸν Ἰούλιον ἐκεῖ-
νον, ἐξηλάσαμεν· οἵτινες οὐ πόρρωθεν σφίσιν, ὥσπερ καὶ τῷ
Αὐγούστῳ καὶ τῷ Γαΐῳ τῷ Καλιγόλᾳ, φοβερὸν τὸ πειρᾶ-
σαι τὸν πλοῦν ἐποιήσαμεν. τοιγαροῦν νῆσον τηλικαύτην, μᾶλ-
λον δὲ ἤπειρον τρόπον τινὰ περίρρυτον νεμόμενοι, καὶ ἰδίαν οἰ-
κουμένην ἔχοντες, καὶ τοσοῦτον ὑπὸ τοῦ ὠκεανοῦ ἀφ' ἁπάν-
των τῶν ἄλλων ἀνθρώπων ἀφωρισμένοι, ὥστε καὶ γῆν ἄλλην
καὶ οὐρανὸν ἄλλον οἰκεῖν πεπιστεῦσθαι, καὶ τινας αὐτῶν καὶ τοὺς
σοφωτάτους γε μηδὲ τὸ ὄνομα ἡμῶν ἀκριβῶς πρότερον ἐ- C
γνωκέναι, καταπεφρονήμεθα καὶ καταπεπατήμεθα ὑπ' ἀν-
θρώπων μηδὲν ἄλλο ἢ πλεονεκτεῖν εἰδότων. ἀλλ' εἰ καὶ μὴ

πρότερον, νῦν ἔτι, ὦ πολῖται καὶ φίλοι καὶ συγγενεῖς (πάντας γὰρ ὑμᾶς συγγενεῖς, ἅτε καὶ μιᾶς νήσου οἰκήτορας ὄντας, καὶ ἓν ὄνομα κοινὸν κεκτημένους νομίζω) τὰ προσήκοντα πράξωμεν, ὡς ἔτι τῆς ἐλευθερίας μνημονεύομεν, ἵνα καὶ τὸ πρόσρημα καὶ τὸ ἔργον αὐτῆς τοῖς παισὶ καταλίπωμεν. ἂν γὰρ ἡμεῖς
D τῆς συντρόφου εὐδαιμονίας παντελῶς ἐκλαθώμεθα, τί ποτε ἐκεῖνοι ποιήσουσιν ἐν δουλείᾳ τραφέντες; λέγω δὲ ταῦτα οὐχ ἵνα μισήσητε τὰ παρόντα (μεμισήκατε γὰρ) οὐδ' ἵνα φοβηθῆτε τὰ μέλλοντα (πεφόβησθε γὰρ) ἀλλ' ἵνα ἐπαινέσω τε ὑμᾶς ὅτι καὶ καθ' ἑαυτοὺς πάνθ' ὅσα δεῖ προαιρεῖσθε, καὶ χάριν ὑμῖν γνῶ ὅτι καὶ ἐμοὶ καὶ ἑαυτοῖς ἑτοίμως συναίρεσθε. φοβεῖσθε δὲ
153 μηδαμῶς τοὺς Ῥωμαίους· οὔτε γὰρ πλείους ὑμῶν εἰσιν, οὔτ' ἀν-
A δρειότεροι· τεκμήριον δέ, ὅτι καὶ κράνεσι καὶ θώραξι καὶ κνημῖσιν ἐσκέπασθε, καὶ προσέτι καὶ σταυρώμασι καὶ τείχεσι καὶ τάφροις ἐσκεύασθε, πρὸς τὸ μηκέτι πάσχειν ἐξ ἐπιδρομῆς τῶν πολεμίων. τοῦτο γὰρ αἱροῦνται μᾶλλον ὑπὸ τῶν φόβων, ἢ τὸ καὶ δρᾶσαί τι προχείρως ὥσπερ ἡμεῖς. τοσαύτῃ γὰρ περιουσίᾳ ἀνδρίας χρώμεθα, ὥστε καὶ τὰς σκηνὰς ἀσφαλεστέρας τῶν τειχῶν, καὶ τὰς ἀσπίδας πολυαρκεστέρας τῆς ἐκείνων πανοπλίας νομίζειν. ἐξ οὗπερ ἡμεῖς μὲν καὶ κρατοῦντες αἱροῦμεν
B αὐτοὺς καὶ βιασθέντες ἐκφεύγομεν. κἂν ἄρα καὶ ἀναχωρῆσαί ποι προελώμεθα, ἐς τοιαῦτα ἕλη καὶ ὄρη καταδυόμεθα, ὥστε μήτε εὑρεθῆναι μήτε ληφθῆναι. ἐκεῖνοι δὲ οὔτε διῶξαί τινα ὑπὸ τοῦ βάρους, οὔτε φυγεῖν δύνανται· κἂν ἄρα καὶ ἐκδράμωσί ποτε, ἔς τε χωρία ἀποδεδειγμένα καταφεύγουσι, κἀνταῦθα ὥσπερ ἐς γαλεάγρας κατακλείονται. ἔν τε οὖν τούτοις παρὰ πολὺ ἡμῶν ἐλαττοῦνται, καὶ ἐκείνοις, ὅτι οὔτε λιμὸν, οὔτε δίψος, οὐ ψῦχος, οὐ καῦμα ὑποφέρουσιν ὥσ-
C περ ἡμεῖς, ἀλλ' οἱ μὲν καὶ σκιᾶς καὶ σκέπης, σίτου τε μεμαγμένου καὶ οἴνου καὶ ἐλαίου δέονται, κἂν ἄρα τι τούτων αὐτοὺς ἐπιλίπῃ διαφθείρονται· ἡμῖν δὲ δὴ πᾶσα μὲν πόα καὶ ῥίζα,

σῖτός ἐστι· πᾶς δὲ χυμός, ἔλαιον· πᾶν δὲ ὕδωρ, οἶνος· πᾶν δὲ
δένδρον, οἰκία. καὶ μὴν καὶ τὰ χωρία ταῦτα, ἡμῖν μὲν συνή-
θη καὶ σύμμαχα, ἐκείνοις δὲ δὴ καὶ ἄγνωστα καὶ πολέμια. καὶ
τοὺς ποταμοὺς ἡμεῖς μὲν γυμνοὶ διανεόμεν, ἐκεῖνοι δὲ οὐδὲ
πλοίοις ῥαδίως περαιοῦνται. ἀλλ' ἴωμεν ἐπ' αὐτοὺς ἀγαθῇ τύ-
χῃ θαῤῥοῦντες, δείξωμεν αὐτοῖς ὅτι λαγωοὶ καὶ ἀλώπεκες ὄν-
τες κυνῶν καὶ λύκων ἄρχειν ἐπιχειροῦσι. Ταῦτα εἰποῦσα, λα- D
γὼν μὲν ἐκ τοῦ κόλπου προήκατο μαντείᾳ τινὶ χρωμένη, καὶ ἐ-
πειδὴ ἐν αἰσίῳ σφίσιν ἔδραμε, τό, τε πλῆθος πᾶν ἡσθὲν ἀνεβόη-
σε, καὶ ἡ Βουνδουΐκα τὴν χεῖρα ἐς τὸν οὐρανὸν ἀνατείνασα
εἶπε, Χάριν τε σοι ἔχω, ὦ Ἀνδράστη, καὶ προσεπικαλοῦμαί σε γυ-
νὴ γυναῖκα, οὐκ Αἰγυπτίων ἀχθοφόρων ἄρχουσα, ὡς Νίτω-
κρις, οὐδ' Ἀσσυρίων τῶν ἐμπόρων, ὡς Σεμίραμις, (καὶ γὰρ
ταῦτ' ἤδη παρὰ τῶν Ῥωμαίων μεμαθήκαμεν) οὐ μὴν οὐδὲ
Ῥωμαίων αὐτῶν, (ὡς πρότερον μὲν Μεσσαλῖνα, ἔπειτ' Ἀγριπ-
πῖνα, νῦν δὲ καὶ Νέρων, ὄνομα μὲν ἀνδρὸς ἔχει, ἔργον δὲ γυ- 154
νή ἐστι· σημεῖον δὲ, ᾄδει καὶ κιθαρίζει, καὶ καλλωπίζεται) ἀλλὰ A
ἀνδρῶν Βρεττανῶν, γεωργεῖν μὲν ἢ δημιουργεῖν οὐκ εἰδότων, πο-
λεμεῖν δὲ ἀκριβῶς μεμαθηκότων, καὶ τά τε ἄλλα πάντα κοι-
νὰ, καὶ παῖδας καὶ γυναῖκας κοινὰς νομιζόντων, καὶ διὰ τοῦτο
καὶ ἐκείνων τὴν ἴσην τοῖς ἄῤῥεσιν ἀρετὴν ἐχουσῶν. τοιούτων
οὖν ἀνδρῶν καὶ τοιούτων γυναικῶν βασιλεύουσα προσεύχο-
μαί τέ σοι καὶ αἰτῶ νίκην καὶ σωτηρίαν καὶ ἐλευθερίαν κατ'
ἀνδρῶν ὑβριστῶν, ἀδίκων, ἀπλήστων, ἀνοσίων· εἴ γε καὶ ἄνδρας B
χρὴ καλεῖν ἀνθρώπους ὕδατι θερμῷ λουομένους, ὄψα σκευαστὰ
ἐσθίοντας, οἶνον ἄκρατον πίνοντας, μύρῳ ἀλειφομένους, μαλθα-
κῶς κοιμωμένους, μετὰ μειρακίων καὶ τούτων ἐξώρων καθεύ-
δοντας, κιθαρῳδῷ, καὶ τούτῳ κακῷ δουλεύοντας. μὴ γάρ τοι
μήτ' ἐμοῦ, μήθ' ὑμῶν ἔτι βασιλεύσειεν ἡ Νερωνὶς, ἡ Δομιτία,
ἀλλ' ἐκείνη μὲν Ῥωμαίων ᾄδουσα δεσποζέτω. καὶ γὰρ ἄξιοι τοι-
αύτῃ γυναικὶ δουλεύειν, ἧς τοσοῦτον ἤδη χρόνον ἀνέχονται

τυραννούσης. ὑμῶν δὲ σύ, ὦ δέσποινα, ἀεὶ μόνη προστατοίης.
C τοιαῦτα ἄττα ἡ Βουνδουίκα δημηγορήσασα, ἐπῆγε τοῖς Ῥωμαίοις τὴν στρατιάν. ἔτυχον γὰρ ἄναρχοι ὄντες, διὰ τὸ Παυλῖνον τὸν ἡγεμόνα σφῶν εἰς νῆσόν τινα Μῶναν ἀγχοῦ τῆς Βρεττανίας κειμένην ἐπιστρατεῦσαι. διὰ τοῦτο πόλεις τε δύο Ῥωμαϊκὰς ἐξεπόρθησε καὶ διήρπασε, καὶ φόνον ἀμύθητον, ὡς ἔφην, εἰργάσατο· τοῖς τε ἁλισκομένοις ἀνθρώποις ὑπ' αὐτῶν οὐδὲν τῶν δεινοτάτων ἔστιν ὅ,τι οὐκ ἐγίνετο. καὶ ὃ δὴ δεινότατον καὶ θηριωδέστατον ἔπραξαν· τὰς γὰρ γυναῖκας τὰς εὐγενεστάτας καὶ εὐπρε-
D πεστάτας γυμνὰς ἐκρέμασαν, καὶ τούς τε μαστοὺς αὐτῶν περιέτεμον, καὶ τοῖς στόμασι σφῶν προσέρραπτον, ὅπως ὡς καὶ ἐσθίουσαι αὐτοὺς ὁρῷντο· καὶ μετὰ τοῦτο πασσάλοις ὀξέσι διὰ παντὸς τοῦ σώματος κατὰ μῆκος ἀνέπειραν· καὶ ταῦτα πάντα θύοντές τε ἅμα καὶ ἑστιώμενοι, ὑβρίζοντες, ἔν τε τοῖς ἄλλοις σφῶν ἱεροῖς καὶ ἐν τῷ τῆς Ἀνδάτης μάλιστα ἄλσει ἐποίουν. οὕτω γὰρ τὴν νίκην ὠνόμαζον, καὶ ἔσεβον αὐτὴν περιττότατα. ὁ δὲ Παυλῖνος ἔτυχε μὲν ἤδη τὴν Μῶναν παραστησάμενος, πυθόμενος δὲ τὴν Βρεττανικὴν συμφοράν, ἀπέπλευσεν εὐθὺς ἐς αὐτὴν ἐκ τῆς Μώνης, καὶ διακινδυνεῦσαι μὲν αὐτίκα πρὸς τοὺς
155 βαρβάρους οὐκ ἤθελε, τό,τε πλῆθος αὐτῶν καὶ τὴν ἀπόνοιαν
A φοβούμενος, ἀλλ' ἐς ἐπιτηδειότερον καιρὸν τὴν μάχην ὑπερετίθετο. ἐπεὶ δὲ σίτου τε ἐσπάνιζε, καὶ οἱ βάρβαροι ἐγκείμενοι οὐκ ἀνίεσαν, ἠναγκάσθη καὶ παρὰ γνώμην αὐτοῖς συμβαλεῖν. ἡ μὲν οὖν Βουνδουίκα ἐς τρεῖς καὶ εἴκοσι μυριάδας ἀνδρῶν στράτευμα ἔχουσα, αὐτὴ μὲν ἐφ' ἅρματος ὠχεῖτο, τοὺς δὲ ἄλλους ὡς ἑκάστους διέταξεν. ὁ δὲ δὴ Παυλῖνος μήτε ἀντιπαρατεῖναί οἱ τὴν φάλαγγα δυνηθεὶς (οὐδὲ γὰρ οὐδ' εἰ ἐφ' ἕνα ἐτετάχθησαν,
B ἐξικνοῦντο· τοσοῦτον ἡλαττοῦντο τῷ πλήθει) μήτ' αὖ καθ' ἕνα συμβαλεῖν, μὴ καὶ περιστοιχισθεὶς κατακοπῇ, τολμήσας, τριχῇ τε ἔνειμε τὸν στρατόν, ὅπως πολλαχόθεν ἅμα μάχοιντο, καὶ ἐπύκνωσεν ἕκαστον τῶν μερῶν, ὥστε δύσρηκτον εἶναι. συντάττων δ'

αὐτοὺς δὲ καθίσας, προσπαρῄει, λέγων, Ἄγετε ἄνδρες συστρατιῶται, ἄγετε ἄνδρες Ῥωμαῖοι, δείξατε τοῖς ὀλέθροις τούτοις ὅσον καὶ δυστυχοῦντες αὐτῶν προφέρομεν. αἰσχρὸν γάρ ἐστιν ὑμῖν, ἃ μικρῷ πρόσθεν ὑπ' ἀρετῆς ἐκτήσασθε, νῦν ἀκλεῶς ἀπολέσαι. πολλάκις τοι τῶν νῦν παρόντων ἐλάττους ὄντες πολὺ
πλείονας ἀντιπάλους καὶ ὑμεῖς αὐτοὶ καὶ οἱ πατέρες ὑμῶν ἐνί- C
κησαν. μήτ' οὖν τὸ πλῆθος αὐτῶν φοβηθῆτε καὶ τὴν νεωτεροποιΐαν (ἐκ γὰρ ἀόπλου καὶ ἀμελετήτου προπετείας θρασύνονται) μήθ' ὅτι πόλεις τινὰς ἐμπεπρήκασιν. οὐ γὰρ κατὰ κράτος οὐδὲ ἐκ μάχης, ἀλλὰ τὴν μὲν προδοθεῖσαν, τὴν δὲ ἐκλειφθεῖσαν εἷλον. αὐθ' ὧν νῦν τὴν προσήκουσαν παρ' αὐτῶν δίκην λάβετε, ἵνα καὶ τοῖς ἔργοις αὐτοῖς ἐκμάθωσιν, οἵους ὄντας ὑμᾶς οἷοι ὄντες ἠδικήκασι. ταῦτά τισιν εἰπών, ἐφ' ἑτέρους ἦλθε, καὶ ἔφη,
Νῦν καιρός, ὦ συστρατιῶται, προθυμίας, νῦν τόλμης· αὐθή- D
μερον ἄνδρες ἀγαθοὶ γένοισθε, καὶ τὰ προσειλημμένα ἀναλήψεσθε. ἂν τούτων κρατήσητε, οὐκ ἔτ' οὐδεὶς ὑμῖν οὐδὲ τῶν ἄλλων ἀντιστήσεται. διὰ μιᾶς τοιαύτης μάχης, καὶ τὰ ὑπάρχοντα βεβαιώσεσθε, καὶ τὰ λοιπὰ προσκαταστρέψεσθε. πάντες γὰρ καὶ οἱ ἄλλοθί που ὄντες στρατιῶται ζηλώσουσιν ὑμᾶς, καὶ ἐχθροὶ φοβηθήσονται. ὥστε ἐν ταῖς χερσὶν ἔχοντες ἢ πάντων
ἀνθρώπων ἀδεῶς ἄρχειν ὧν καὶ οἱ πατέρες ὑμῶν κατέλιπον, 156
καὶ αὐτὰ ὑμεῖς προσεπεκτήσασθε, ἢ πάντως αὐτῶν στερηθῆ- A
ναι, ἕλεσθε ὄλεθροι εἶναι, ἄρχειν, πλουτεῖν, εὐδαιμονεῖν μᾶλλον, ἢ τἀναντία αὐτῶν ῥᾳθυμήσαντες παθεῖν. τοιαῦτα δὲ καὶ τούτοις εἰπών, ἐπὶ τοὺς τρίτους ἐπιπαρῆλθε, καὶ ἔλεξε καὶ ἐκείνοις, Ἠκούσατε μὲν οἷα ἡμᾶς οἱ κατάρατοι οὗτοι δεδράκασι, μᾶλλον δὲ ἔνια αὐτῶν καὶ εἴδετε· ὥσθ' ἕλεσθε πότερον καὶ αὐτοὶ τὰ αὐτὰ ἐκείνοις παθεῖν, καὶ προσέτι γε ἐκπεσεῖν παντελῶς ἐκ τῆς Βρεττανίας, ἢ κρατήσαντες καὶ τοῖς ἀπολωλόσι τιμωρῆσαι, καὶ τοῖς ἄλλοις ἀνθρώποις ἅπασι παράδειγμα ποιῆ-
σαι καὶ πρὸς τὸ πειθαρχοῦν εὐμενοῦς ἐπιεικείας, καὶ πρὸς τὸ B

νεωτερίζειν ἀνάγκαις τραχύτητος. μάλιστα μὲν οὖν ἔγωγε
νικήσειν ὑμᾶς ἐλπίζω καὶ τῇ παρὰ τῶν θεῶν συμμαχίᾳ (τοῖς
γὰρ ἀδικουμένοις ὡς τὸ πολὺ συναίρονται) καὶ τῇ πατρῴᾳ ὑ-
μῶν ἀνδρίᾳ, Ῥωμαίους τε ὄντας, καὶ ταῖς ἀρεταῖς ἁπάντων
ἀνθρώπων κεκρατηκότας καὶ ταῖς ἐμπειρίαις. καὶ γὰρ αὐ-
τοὺς τούτους τοὺς νῦν ἀντικαθεστῶτας νικήσαντες κεχειρώμε-
θα τῷ τε ἀξιώματι. οὐ γὰρ ἀντιπάλοις τισὶν ἀλλὰ δούλοις ἡ-
C μετέροις συμβαλοῦμεν, οὓς καὶ ἐλευθέροις καὶ αὐτονόμοις
ὄντας εἰάσαμεν· ἂν δὲ δὴ παρ' ἐλπίδα τι συμβῇ (οὐδὲ γὰρ
τοῦτ' εἰπεῖν ὀκνήσω) ἄμεινόν ἐστι μαχομένους ἡμᾶς ἀνδρείως
πεσεῖν, ἢ ζῶντας ἀνασκολοπισθῆναι, τὰ σπλάγχνα τὰ ἑαυτῶν
ἐκτμηθέντα ἰδεῖν πασσάλοις διαπύροις ἀναπαρῆναι, καὶ
ὕδατι ζέοντι τηκομένους ἀπολέσθαι, καθάπερ ἐς θηρία τινὰ
ἄγρια, ἄνομα, ἀνόσια ἐμπεπτωκότας. ἢ οὖν περιγενώμεθα
αὐτῶν, ἢ ἐνταῦθα ἀποθάνωμεν· καλὸν τὸ μνημεῖον τὴν Βρετ-
τανίαν ἕξομεν, κἂν πάντες οἱ λοιποὶ Ῥωμαῖοι ἐξ αὐτῆς ἐκπέ-
D σωσι. τοῖς γὰρ σώμασι τοῖς ἡμετέροις πάντως αὐτὴν ἀεὶ κα-
θέξομεν. τοιαῦτα δὲ καὶ παραπλήσια τούτοις εἰπὼν, ἤρετο τὸ ση-
μεῖον τῆς μάχης· κἀκ τούτου συνῆλθον οἱ μὲν βάρβαροι κραυ-
γῇ τε πολλῇ καὶ ᾠδαῖς ἀπειλητικαῖς χρώμενοι, οἱ δὲ Ῥω-
μαῖοι σιγῇ καὶ κόσμῳ, μέχρις οὗ ἐς ἀκοντίου βολὴν ἀφίκον-
το. ἐνταῦθα δὲ ἤδη καὶ βάδην τῶν πολεμίων προσιόντων σφί-
σιν ἐπιρράξαντες ἅμα ἀπὸ συνθήματος, ἐπέδραμον αὐτοῖς
ἀνὰ κράτος· καὶ ἐν μὲν τῷ προσμίξει ῥᾳδίως τὴν ἀντίταξιν
σφῶν διέρρηξαν· περισχεθέντες δὲ τῷ πλήθει, πανταχόθεν ἅμα
ἐμάχοντο· καὶ ἦν ὁ ἀγωνισμὸς αὐτῶν πολύτροπος. τοῦτο μὲν
157 γὰρ οἱ ψιλοὶ τοὺς ψιλοὺς ἀντέβαλλον, τοῦτο δὲ οἱ ὁπλῖται τοῖς ὁ-
A πλίταις ἀνθίσταντο. οἵ τε ἱππῆς τοῖς ἱππεῦσι συνεφέροντο. καὶ
πρὸς τὰ ἅρματα τῶν βαρβάρων οἱ τοξόται τῶν Ῥωμαίων ἀντη-
γωνίζοντο. τούς τε γὰρ Ῥωμαίους οἱ βάρβαροι ῥύμῃ τοῖς ἅρμασι
προσπίπτοντες ἀνέτρεπον, καὶ αὐτοὶ ὑπὸ τῶν τοξευμάτων, ἅτε καὶ
δίχα

διχῇ θ᾽ ὥσπερ εἴρηκον μαχόμενοι, ἀνέστελλον τὸ ἱππικὸν τὸ πεζὸν αἰὲ
τρέπε, καὶ πρὸς ἱππέα κατέβαλλε· πρός τε τὰ ἅρματα συμ-
φραξάμενοί τινες ἐχώρουν, καὶ ἄλλοι ὑπ᾽ αὐτῶν ἐσκεδάν-
νυντο· τούς τε τοξότας οἱ μὲν ὁμόσε σφίσιν ἰόντες ἔτρεπον, οἱ δὲ
πόρρωθεν ἐφυλάσσοντο· καὶ ταῦτα οὐ καθ᾽ ἓν, ἀλλὰ πανταχῇ πάνθ᾽ B
ὁμοίως ἐγίνετο. ἠγωνίσαντο δὲ ἐπὶ πολὺ ὑπὸ τῆς αὐτῆς ἀμ-
φότεροι προθυμίας καὶ τόλμης. τέλος δὲ ὀψέ ποτε οἱ Ῥωμαῖοι
ἐνίκησαν, καὶ πολλοὺς μὲν ἐν τῇ μάχῃ καὶ πρὸς ταῖς ἁμάξαις
τῇ τε ὕλῃ κατεφόνευσαν, πολλοὺς δὲ καὶ ζῶντας εἷλον· συχνοὶ
δὴ οὖν καὶ διέφυγον, καὶ παρεσκευάζοντο μὲν ὡς καὶ αὖθις
μαχούμενοι. ἀποθανούσης δὲ ἐν τούτῳ τῆς Βουνδουίκης νόσῳ,
ἐκείνην μὲν δεινῶς ἐπένθησαν, καὶ πολυτελῶς ἔθαψαν· αὐτοὶ δὲ
ὡς καὶ τότε ὄντως ἡττηθέντες διεσκεδάσθησαν. καὶ τὰ μὲν Βρεττανι-
κὰ ἐπὶ τοσοῦτον. ἔν τε τῇ Ῥώμῃ ὁ Νέρων Ὀκταουίαν τὴν Αὐ-
γοῦσταν ἀπεπέμψατο μὲν πρότερον διὰ Σαβῖναν τὴν παλλακί-
δα, ὕστερον δὲ καὶ ἀπέκτεινε· καίτοι τοῦ Βούρρου ἐναντιουμένου C
αὐτῷ καὶ κωλύοντος ἀποπέμψασθαι, καί ποτε εἰπόντος, οὐκοῦν
καὶ τὴν προῖκα αὐτῇ (τουτέστι τὴν ἡγεμονίαν) ἀπόδος. οὕτω
γάρ πως ἐρρωμένως αὐτῇ ἐχρῆτο, ὥστε ποτὲ δεύτερον ἐρωτη-
θεὶς ὑπ᾽ αὐτοῦ γνώμην περὶ ὧν ἀπεφήνατο, εἶπεν ἀντικρὺς
ὅτι περὶ ὧν ἂν ἅπαξ τι εἴπω, μηκέτι μου αὖθις πύθῃ. τοῦτον
μὲν οὖν φαρμάκῳ διώλεσε· Τιγελλῖνον δέ τινα Σωφρόνιον ἀ-
σελγείᾳ τε καὶ μιαιφονίᾳ πάντας τοὺς καθ᾽ ἑαυτὸν ἀνθρώ-
πους ὑπεράραντα, σὺν ἑτέρῳ ἑνὶ ἐπὶ τὴν τῶν δορυφόρων ἀρ-
χὴν κατέστησε. πρὸς τοῦτον καὶ τὸ τῆς Πυθιάδος ἀπόφθεγμα D
γενέσθαι λέγεται· ἐπεὶ γὰρ τῶν περὶ τὴν Ὀκταουίαν ὄντων οἱ
ἄγγελοι πάντες, πλὴν Πυθιάδος, συνεπέθεντο μετὰ τῆς Σαβίνης
αὐτῇ, τῆς μὲν, ὅτι ἐδυστύχει, καταφρονήσαντες, τὴν δὲ ὅτι ἴσχυε
κολακεύοντες· μόνη δὴ ἡ Πυθιὰς οὔτε τι κατεψεύσατο αὐτῆς,
καίτοι πικρότατα βασανισθεῖσα, καὶ τέλος ὡς ὁ Τιγελλῖνος
ἐνέκειτο αὐτῇ, προσέπτυσέ τε αὐτῷ καὶ εἶπε, Καθαρώτερον, ὦ

Τιγελλῖνε, τὸ αἰδοῖον ἡ δέσποινά μου ἐκ τοῦ στόματος ἔχει. ὁ δὲ δὴ Νέρων ἐς γέλωτα καὶ σκώμματα τὰ τῶν γυναικῶν κακὰ ἐποιεῖτο.
158 τὸν γοῦν Πλαῦτον ἀποκτείνας, ἔπειτα τὴν κεφαλὴν αὐτοῦ
A προσενεχθεῖσάν οἱ ἰδὼν, Οὐκ ᾔδειν, ἔφη, ὅτι μεγάλην ῥῖνα εἶχεν. ὥσπερ φεισάμενος ἂν αὐτοῦ εἰ τοῦτο προηπίστατο. πάντα δὲ ὡς εἰπεῖν τὸν βίον ἐν καπηλικῇ διαίτῃ ποιούμενος, ἀπεῖπε τοῖς ἄλλοις μηδὲν ἑφθὸν ἐν καπηλείῳ, πλὴν λαχάνων καὶ ἔτνους, πιπράσκειν. τὸν δὲ Πάλλαντα διεχρήσατο ὅτι καὶ πλοῦτον πολὺν ἐκέκτητο, ὥστε καὶ ἐς μυρίας μυριάδας αὐτὸν ἀριθμεῖσθαι· καὶ δυσκολίᾳ τρόπων πολλῇ ἐχρῆτο, ὥστε μήτε τοῖς οἰκέταις μήτε τοῖς ἐξελευθέροις διαλέγεσθαί τι, ἀλλ' ἐς γραμματεῖα παντὶ ὅσα
B ἐβούλετο καὶ προσέταττε σφίσιν, ἐσγράφειν. τοσαύτη δέ τις ἡ τοῦ Νέρωνος ἀκολασία, ὥστε καὶ ἅρματα δημοσίᾳ ἤλαυνε. καί ποτε θηρία ἀποκτείνας, ὕδωρ τε εὐθὺς ἐς τὸ θέατρον ἐπωχέτευσε, καὶ ναυμαχίαν ἀπετέλεσε. καὶ μετὰ τοῦτο, τὸ ὕδωρ ἀφεὶς, μονομαχίαν ἐπιδιέθηκε. τέλος εἰσαγαγὼν αὐτὸ αὖθις, δεῖπνον δημοσίᾳ πολυτελὲς ἐδείπνισεν. ἑστιάτωρ μὲν ὁ Τιγελλῖνος ἀποδέδεικτο, καὶ παρασκευὴ πᾶσα πολλὴ ἐπεπόριστο. ἐσκευάσθη δὲ τόνδε τὸν τρόπον. ἐν μὲν τῷ μέσῳ, καὶ ἐπὶ τῷ ὕδατι τά τε σκάφη τὰ οἰνηρὰ τὰ ξύλινα τὰ μεγάλα προκαθεῖτο, καὶ ἐπ' αὐτῶν σανίδες ἐπεπήγεσαν. πέριξ δὲ περὶ αὐτὸ καπηλεῖα καὶ οἰκήμα-
C τα ἐπεποίητο, ὥστε τὸν Νέρωνα καὶ τὸν Τιγελλῖνον τούς τε συσσίτους αὐτῶν τὸ μέσον ἔχοντας, ἐπί τε ταπήτων πορφυρῶν καὶ ἐπὶ στρωμάτων ἁπαλῶν ἐπευωχεῖσθαι, τοὺς δὲ δὴ ἄλλους πάντας ἐν τοῖς καπηλείοις εὐθυμεῖσθαι. ἔς τε τὰ πορνεῖα ἐσῄεσαν, καὶ συνεγίνοντο πάσαις αἰδῶ ἁπλῶς τῶν ἐνταῦθα καθημέναις. ἦσαν δὲ αὗται περικαλλέσταται καὶ ἐκφανέσταται, δοῦλαί τε καὶ ἐλεύθεραι, ἑταῖραι, παρθένοι, γαμεταί τινων, οὐχ ὅπως δημώδεις, ἀλλὰ καὶ αὐταὶ αἱ εὐγενέσταται, καὶ κόραι, καὶ γυναῖκες. καὶ ἦν ἐξουσία παντὶ τῷ βουλομένῳ ἔχειν ἣν ἤθελεν· οὐ γὰρ ἐξῆν αὐταῖς οὐδένα ἀπαρνήσασθαι. ὥστε, οἷα συρφετώδης

ὅμιλος, ἀπλήστως τε καὶ ἅμα ἔπινον, καὶ ἀσελγῶς ὕβριζον. καί τις D
καὶ δοῦλος τῇ δεσποίνῃ, παρόντος τοῦ δεσπότου, καὶ μονομάχος
ἀγενεῖ κόρῃ ὁρῶντος τοῦ πατρὸς συνεγίνοντο. ὠθισμοί τε καὶ πλη-
γαὶ καὶ θόρυβοι, τοῦτο μὲν, ἀπ' αὐτῶν τῶν εἰσιόντων, τοῦτο δὲ, καὶ ἐκ
τῶν ἔξωθεν περιεστηκότων, αἰσχροὶ συνέβαινον καὶ ἄνδρες ἐκ τῶν
τούτων συχνοὶ ἐφθάρησαν, καὶ γυναῖκες, αἱ μὲν ἀποπνιγεῖσαι,
αἱ δὲ διαρπαγεῖσαι. μετὰ δὲ ταῦτα ἐπεθύμησεν (ὅπερ που ἀεὶ
ηὔχετο) τήν τε πόλιν ὅλην καὶ τὴν βασιλείαν ζῶν ἀναλῶ- 159
σαι. τὸν γοῦν Πρίαμον καὶ αὐτὸς θαυμαστῶς ἐμακάριζεν, A
ὅτι καὶ τὴν πατρίδα ἅμα καὶ τὴν ἀρχὴν ἀπολομένας εἶ-
δεν. λάθρα γάρ τινας ὡς καὶ μεθύοντας, ἢ καὶ κακουργοῦν-
τάς τι ἄλλως, διαπέμπων, τὸ μὲν πρῶτον, ἕν που καὶ δύο καὶ
πλείονα, ἄλλα ἄλλοθι ὑπεπίμπρα, ὥστε τοὺς ἀνθρώπους ἐν
παντὶ ἀπορίας γενέσθαι, μήτ' ἀρχὴν τοῦ κακοῦ ἐξευρεῖν μήτε τέ-
λος ἐπαγαγεῖν δυναμένους, ἀλλὰ πολλὰ μὲν ὁρῶντας, πολλὰ
δὲ ἀκούοντας ἄτοπα. οὔτε γὰρ θεάσασθαι ἄλλο τι ἦν ἢ πυρὰ B
πολλὰ, ὥσπερ ἐν στρατοπέδῳ· οὔτε ἀκοῦσαι λεγόντων τινῶν, ἢ
ὅτι τὸ καὶ τὸ καίεται. ποῦ; πῶς; ὑπὸ τίνος; βοηθεῖτε. θόρυβός
τε οὖν ἐξαίσιος πανταχοῦ πάντας κατελάμβανε, καὶ διέθε-
ον, οἱ μὲν, τῇ, οἱ δὲ, τῇ, ὥσπερ ἔμπληκτοι. καὶ ἄλλοις τινὲς ἐ-
παμύνοντες ἐπυνθάνοντο τὰ οἴκοι καιόμενα. καὶ ἕτεροι πρὶν
καὶ ἀκοῦσαι ὅτι τῶν σφετέρων τι ἐμπέπρησται, ἐμάνθανον ὅτι
ἀπόλωλεν. οἵ τε ἐκ τῶν οἰκιῶν, ἐς τοὺς στενωποὺς ἐξέτρεχον, ὡς
καὶ ἔξωθεν αὐταῖς βοηθήσοντες, καὶ οἱ ἐκ τῶν ὁδῶν εἴσω
ἐσέθεον, ὡς καὶ ἔνδον τι ἀνύσοντες. καὶ ἦν ἥ τε κραυγὴ καὶ ὀλο-
λυγὴ παίδων ὁμοῦ, γυναικῶν, ἀνδρῶν, γερόντων, ἄπλετος, ὥσ- C
τε μήτε συνιδεῖν μήτε συνεῖναί τι ὑπὸ τοῦ καπνοῦ καὶ τῆς
κραυγῆς δύνασθαι. καὶ διὰ ταῦτ' ἦν ὁρᾶν τινας ἀφώνους ἑστῶ-
τας ὥσπερ ἐνεοὺς ὄντας. κἀν τούτῳ πολλοὶ μὲν καὶ τὰ σφέτερα
ἐκκομιζόμενοι, πολλοὶ δὲ καὶ τὰ ἀλλότρια ἁρπάζοντες, ἀλλή-
λοις τε ἐνεπλάζοντο, καὶ περὶ τοῖς σκεύεσιν ἐσφάλλοντο. καὶ οὔτε

περιϊέναι ποι, οὐδ' ἑστάναι εἶχον, ἀλλ' ὤθουν, ὠθοῦντο, ἀνέ-
τρεπον, ἀνετρέποντο· καὶ συχνοὶ μὲν ἀπεπνίγοντο, συχνοὶ δὲ συνε-
τρίβοντο, ὥστε σφίσι μηδὲν ὅ,τι τῶν δυναμένων ἀνθρώποις
ἐν τῷ τοιούτῳ πάθει κακῶν συμβῆναι, μὴ συνενεχθῆναι. οὐ-
δὲ γὰρ οὔτ' ἀποφυγεῖν που ῥᾳδίως ἠδύναντο. κἂν ἐκ τοῦ πα-
D ρόντος τις περιεσώθη, εἰς ἕτερον ἐμπεσὼν ἐφθείρετο. καὶ ταῦ-
τα οὐκ ἐν μιᾷ μόνον ἀλλ' ἐπὶ πλείους καὶ ἡμέρας καὶ νύκτας
ὁμοίως ἐγίγνετο. καὶ πολλοὶ μὲν οἶκοι ἔρημοι τοῦ βοηθήσοντος
σφίσιν ἀπώλοντο, πολλοὶ δὲ καὶ ὑπ' αὐτῶν τῶν ἐπικουρούντων
προσκατεπρήσθησαν. οἵ γε στρατιῶται, οἵ τε ἄλλοι, καὶ οἱ νυκτο-
φύλακες, πρὸς τὰς ἁρπαγὰς ἀφορῶντες, οὐχ ὅσον οὐ κατε-
σβέννυσάν τινα, ἀλλὰ καὶ προσεξέκαιον. τοιούτων δὲ δὴ ἄλλων
ἀλλαχόθι συμβαινόντων, ὑπέλαβέ ποτε τὸ πῦρ ἄνεμος, καὶ ἐπὶ
160 τὰ λοιπὰ ὁμοῦ πάντα ἤγαγεν· ὥστε σκευῶν μὲν πέρι ἢ οἰκιῶν
A μηδένα μηδὲν ἔτι φροντίσαι, πάντας δὲ τοὺς λοιποὺς ἑστῶτάς
που ἐν ἀσφαλεῖ τινι ὁρᾶν ὥσπερ νήσους τινὰς καὶ πόλεις ἅμα
πολλὰς φλεγομένας· καὶ ἐπὶ μὲν τοῖς σφετέροις μηδὲν ἔτι λυ-
πεῖσθαι, τὸ δὲ δημόσιον ὀδυρομένους, ἀναμιμνήσκεσθαι ὅτι καὶ
πρότερόν ποτε οὕτως ὑπὸ τῶν Γαλατῶν τὸ πλεῖον τῆς πό-
λεως διεφθάρη. πάντων δὲ δὴ τῶν ἄλλων οὕτω διακειμένων,
καὶ πολλῶν καὶ ἐς αὐτὸ τὸ πῦρ ὑπὸ τοῦ πάθους ἐμπηδώντων,
ὁ Νέρων ἔς τε τὸ ἄκρον τοῦ παλατίου (ὅθεν μάλιστα σύνοπτα
B τὰ πολλὰ τῶν καιομένων ἦν) ἀνῆλθε, καὶ τὴν σκευὴν τὴν κι-
θαρῳδικὴν λαβὼν, ᾖσεν ἅλωσιν, ὡς μὲν αὐτὸς ἔλεγεν, Ἰλίου,
ὡς δὲ ἑωρᾶτο, Ῥώμης. τοιούτῳ μὲν δὴ πάθει τότε ἡ πόλις ἐ-
χρήσατο οἵῳ οὔτε πρότερόν ποτε οὔθ' ὕστερον, πλὴν τοῦ Γαλα-
τικοῦ. τό, τε γὰρ παλατῖνον ὄρος σύμπαν, καὶ τὸ θέατρον τοῦ Ταύ-
ρου, τῆς τε λοιπῆς πόλεως τὰ δύο που μέρη ἐκαύθη· καὶ ἄν-
θρωποι ἀναρίθμητοι διεφθάρησαν. ὁ μέντοι δῆμος οὐκ ἔστιν ὅ,τι
οὐ κατὰ τοῦ Νέρωνος ἠρᾶτο, τὸ μὲν ὄνομα αὐτοῦ μὴ ὑπολέγων,
ἄλλως δὲ δὴ τοῖς τὴν πόλιν ἐμπρήσασι καταρώμενοι, καὶ

μάλισθ' ὅτι αὐτοὺς ἡ μνήμη τοῦ λογίου κατὰ τὸν Τιβέριον ποτὲ C
ᾀσθέντος ἐθορύβει· ἦν δὲ τοῦτο,

Τρὶς δὲ τριηκοσίων περιπλομένων ἐνιαυτῶν,

Ῥωμαίους ἔμφυλος ὀλεῖ στάσις. ἐπειδή τε ὁ Νέρων
παραμυθούμενος αὐτοὺς, οὐδαμοῦ ταῦτα τὰ ἔπη εὑρίσκεσθαι
ἔλεγε, μεταβαλόντες ἕτερον λόγιον, ὡς καὶ Σιβύλλειον ὄντως
ὂν, ᾖδον. ἔστι δὲ τοῦτο,

Ἔσχατος Αἰνεαδῶν μητροκτόνος ἡγεμονεύσει. καὶ ἔσχεν D
οὕτως, εἴτε καὶ ὡς ἀληθῶς θεομαντείᾳ τινὶ προλεχθὲν, εἴτε
καὶ τότε ὑπὸ τοῦ ὁμίλου πρὸς τὰ παρόντα θειασθέν. τελευ-
ταῖος γὰρ τῶν Ἰουλίων τῶν ἀπὸ Αἰνείου γενομένων ἐμονάρχησε.
χρήματα δὲ ὁ Νέρων παμπληθῆ καὶ παρὰ τῶν ἰδιωτῶν καὶ
παρὰ τῶν δήμων, τὰ μὲν βίᾳ ἐπὶ τῇ προφάσει τοῦ ἐμπρησμοῦ,
τὰ δὲ παρ' ἑκόντων δῆθεν ἠργυρολόγησεν, καὶ τῶν Ῥωμαίων αὐ-
τῶν τὸ σιτηρέσιον παρεσπάσατο. προσάγοντι δὲ αὐτῷ ταῦτα ἀγ-
γελία ἐξ Ἀρμενίας καὶ δάφνη ἐπὶ τῇ νίκῃ αὖθις ἦλθεν. ὁ γὰρ
τοι Κορβούλων, συστήσας τά τε στρατιωτικὰ ἐσκεδασμένα, καὶ 161
ἀσκήσας ἠμελημένα, τόν τε Οὐολόγαισον τὸν βασιλέα τῶν Πάρ- A
θων, καὶ τὸν Τιριδάτην τὸν τῆς Ἀρμενίας ἡγούμενον καὶ ἀγ-
γελθεὶς μόνον ἐξεφόβησεν. ὅμοια γὰρ δὴ τοῖς πρώτοις Ῥω-
μαίων οὐχ ὅτι τῷ γένει λαμπρὸς, ἢ τῷ σώματι ἰσχυρὸς, ἀλλὰ
καὶ τῇ ψυχῇ ἀρτίφρων ἦν· καὶ πολὺ μὲν τὸ ἀνδρεῖον, πολὺ δὲ
καὶ τὸ δίκαιον τό, τε πιστὸν ἐς πάντας καὶ τοὺς οἰκείους καὶ τοὺς
πολεμίους εἶχεν. ὑφ' οὗπερ καὶ ὁ Νέρων ἐπὶ τὸν πόλεμον αὐτὸν
ἀνθ' ἑαυτοῦ ἀπέστειλε, καὶ δύναμιν αὐτῷ ὅσην ἄλλῳ οὐδενὶ ἐ-
πέτρεψε, πιστεύσας ὁμοίως καὶ τοὺς βαρβάρους αὐτὸν κατεργά- B
σεσθαι, καὶ αὐτῷ μὴ ἐπαναστήσεσθαι. καὶ ὁ μὲν οὐδέτερον τούτων ἐ-
ψεύσθη, ὡς μέντοι ἄλλοις ἀνθρώποις καθ' ἓν τοῦτο μόνον ὁ Κορ-
βούλων ἐλύπησεν, ὅτι τὴν πρὸς τὸν Νέρωνα πίστιν ἐτήρησεν. οὔ-
τω γὰρ αὐτὸν αὐτοκράτορα ἀντ' ἐκείνου λαβεῖν ἤθελον, ὥστε καὶ
κακὸν τὸ μέρος τοῦτο μόνον γενέσθαι ἠξίουν. ἀλλ' οὖν ὁ Κορβούλων

ἀκονιτὶ τὰ Ἀρτάξατα λαβὼν, τὴν πόλιν κατέσκαψε. πρά-
ξας δὲ τοῦτο, πρὸς τὰ Τιγρανόκερτα ἤλασε, πάσης μὲν τῆς τῶν
ἐνδιδόντων σφᾶς χώρας φειδόμενος, πάντα δὲ τὰ τῶν ἀνθι-
σταμένων πορθῶν, καὶ ἔλαβε καὶ ἐκεῖνα ἐθελούσια· ἄλλα τε
C ἔπραξε λαμπρὰ καὶ ἐπίδοξα. ἐφ' οἷς καὶ τὸν Οὐολόγαι-
σον, καίτοι φοβερὸν ὄντα, ἐς διαλλαγὰς ἁρμοζούσας τῷ Ῥω-
μαίων ἀξιώματι ὑπηγάγετο. Κορβούλων μὲν οὖν, καίτοι ἰ-
σχὺν μεγάλην καὶ δόξαν οὐκ ἐλαχίστην ἔχων, καὶ δυνηθεὶς ἂν ῥᾷ-
στα αὐτοκράτωρ (ἅτε καὶ τῶν ἀνθρώπων τῷ τε Νέρωνι δεινῶς
ἀχθομένων, καὶ ἐκεῖνον ἐς πάντα δὴ πάντων θαυμαστῶν ὄν-
των) ἀποδειχθῆναι, οὔτ' ἐνεωτέρισέ τι, οὔτε ᾐτιάθη, ἀλλ' ἔτι καὶ
μᾶλλον ἐμιστείαζεν. ὁ δὲ δὴ Σενέκας καὶ ὁ Ροῦφος ὁ ἔπαρ-
χος, ἄλλοι τέ τινες τῶν ἐπιφανῶν ἐπεβούλευσαν τῷ Νέρωνι·
D οὔτε γὰρ τὴν ἀσχημοσύνην, οὔτε τὴν ἀσέλγειαν, οὔτε τὴν ὠ-
μότητα αὐτοῦ ἔτι φέρειν ἠδύναντο. αὐτοί τε οὖν ἅμα τῶν κα-
κῶν τούτων ἀπαλλαγῆναι, κἀκεῖνον ἐλευθερῶσαι ἠθέλησαν, ὥσ-
περ αἰτίκρυς Συλπίκιός τε Ἄσπρος ἑκατόνταρχος καὶ Σούβριος
Φλάβιος χιλίαρχος, ἐκ τῶν σωματοφυλάκων ὄντες, καὶ πρὸς
αὐτὸν τὸν Νέρωνα ὡμολόγησαν. ἐκεῖνός τε γὰρ ἐρωτηθεὶς ὑπ'
αὐτοῦ τὴν αἰτίαν τῆς ἐπιθέσεως, εἶπεν ὅτι ἄλλως σοι βοηθῆ-
σαι οὐκ ἠδυνάμην. καὶ ὁ Φλάβιος, Καὶ ἐφίλησά σε, εἶπε, παν-
τὸς μᾶλλον, καὶ ἐμίσησα· ἐφίλησα μὲν, ἢν ἐλπίσας ἀγαθὸν αὐτοκρά-
162 τορα ἔσεσθαι· ἐμίσησα δὲ, ὅτι τὰ καὶ τὰ ποιεῖς. οὔτε γὰρ ἁρμα-
A τηλάτῃ οὔτε κιθαρῳδῷ δουλεύειν δύναμαι. μηνύσεως οὖν
γενομένης, οὗτοί τε ἐκολάσθησαν, καὶ ἄλλοι δι' αὐτοὺς πολλοί.
πᾶν γὰρ ὅ,τι τις ἐσκαλέσαι τῳ ἐκ περιχαρείας καὶ λύπης, ῥη-
μάτων τε καὶ νευμάτων, οἷός τε ἦν, καὶ ἐπεφέρετο καὶ ἐπιστεύετο·
οὐδ' ἔστιν ὅ,τι τῶν ἐγκλημάτων, εἰ καὶ ἐπέπλαστο, ἀπιστηθῆναι διὰ
τὴν ἀλήθειαν τῶν τοῦ Νέρωνος ἔργων ἠδύνατο. καὶ διὰ τοῦτ'
ἐς τὰ μάλιστα οἵ τε φίλοι οἱ πονηροὶ καὶ οἰκέται τινῶν ὠνήθη-
σαν. τοὺς μὲν γὰρ ἀλλοτρίους τούς τε ἐχθροὺς ὑποπτεύοντες,

ἐφυλάσσοντο, πρὸς δὲ δὴ τοὺς συνόντας καὶ ἄκοντες ἐγυμνοῦν-
το. περὶ μὲν οὖν τῶν ἄλλων τῶν ἀπολωλότων πολὺ ἔργον εἰπεῖν· B
ὁ δὲ δὴ Σενέκας ἠθέλησε μὲν καὶ τὴν γυναῖκα Παυλῖναν
ἀποκτεῖναι, λέγων πεπεικέναι αὐτὴν τοῦ τε θανάτου καταφρο-
νῆσαι, καὶ τῆς σὺν αὐτῷ μεταλλαγῆς ἐπιθυμῆσαι· καὶ ἔσχισε καὶ
τὰς ἐκείνου φλέβας· διαιτατήσας δὲ δή, καὶ πρὸς τὸν ὄλε-
θρον ὑπὸ τῶν στρατιωτῶν ἐπειχθείς, προαπηλλάγη αὐτῆς, καὶ
οὕτως ἡ Παυλῖνα περιεγένετο. οὐ μέντοι πρότερον ἑαυτῆς ἥ-
ψατο, πρὶν τό, τε βιβλίον ὃ συνέγραφεν, ἐπανορθῶσαι, καὶ τἆλ-
λα (ἐδεδίει γὰρ μὴ καὶ ἐς τὸν Νέρωνα ἐλθόντα φθαρῇ) παρα-
καταθέσθαι τισί. καὶ ὁ μὲν οὕτως ἐτελεύτησε, καίπερ τὴν τε συνου- C
σίαν τὴν πρὸς αὐτόν, ὡς καὶ ἀθῴαν, προφερόμενος, καὶ πᾶσαν
αὐτῷ τὴν οὐσίαν ἐπὶ τῇ τῶν οἰκοδομουμένων προφάσει κεχα-
ρισμένος. καὶ οἱ ἀδελφοὶ ὕστερον ἐπαπώλοντο. ὁ δὲ δὴ Θρασέας
καὶ ὁ Σωρανός, καὶ γένους καὶ πλούτου τοῦ τε συμπάσης ἀρετῆς
τὰ πρῶτα ἀνήκοντες, ἐπιβουλῆς μὲν αἰτίαν οὐκ ἔσχον, ἀπέθανον
δὲ καὶ αὐτοί ποτε, ὅτι τοιοῦτοι ἦσαν. καὶ τοῦ γε Σωρανοῦ Πούπλιος
Ἐγνάτιος Κέλωρ φιλόσοφος κατεψευδομαρτύρησε. δύο γὰρ ἀν-
δρῶν συνόντων αὐτῷ, Κασσίου τοῦ Ἀσκληπιοδότου Νικαέως καὶ D
ἐκείνου Βηρυτίου, ὁ μὲν Ἀσκληπιόδοτος οὐχ ὅπως κατεῖπέ τι
αὐτοῦ, ἀλλὰ καὶ τοὐναντίον καλοκαγαθίαν οἱ προσεμαρτύρη-
σε· καὶ διὰ τοῦτο τότε μὲν ἔφυγεν, ὕστερον δὲ ἐπὶ Γάλβου κα-
τήχθη. ὁ δὲ δὴ Πούπλιος ἐπὶ μὲν τῇ συκοφαντίᾳ καὶ χρήμα-
τα καὶ τιμὰς ἔλαβε, καθάπερ οἱ ἄλλοι οἱ τοιοῦτόν τι ποιήσαντες,
μετὰ δὲ τοῦτο ἐξωρίσθη. Σωρανὸς μὲν οὖν, ὡς καὶ μαγεύματί τινι
διὰ τῆς θυγατρὸς κεχρημένος, ἐπειδὴ νοσήσαντος αὐτοῦ θυσίαν 163
τινὰ ἐθύσατο, ἐσφάγη. Θρασέας δὲ ὅτι οὔτε ἐς τὸ βουλευτή- A
ριον συνεχῶς, ὡς οὐκ ἀρεσκόμενος τοῖς ψηφιζομένοις, ἀπήν-
τα, οὔτ' ἤκουσέ ποτε αὐτοῦ κιθαρῳδοῦντος, οὔτε ἔθυσε τῇ ἱερᾷ
αὐτοῦ φωνῇ, ὥσπερ οἱ ἄλλοι, οὔτε ἐπεδείξατο οὐδέν· καίτοι ἐν
Γοταμίᾳ τῇ πατρίδι τραγῳδίαν κατά τι πάτριον ἐν ἑορτῇ

τινὶ τεσσαρακονταετεῖ ἐπειδὴ ὑποκρινάμενος ἐντεμὼν οὐ τὴν φλέ-
βα, ἀνέτεινε τὴν χεῖρα, καὶ ἔφη, Σοὶ τοῦτο τὸ αἷμα, ὦ Ζεῦ
B ἐλευθέριε, ἀπένδω. καὶ τί ἂν τις θαυμάσοι εἰ τοιαῦτα αὐτοῖς ἐ-
πήχθη, ὁπότε τις ὅτι πρὸς τῇ ἀγορᾷ ᾤκει, καὶ ἐργαστήρια ἐξε-
μίσθου, ἢ καὶ φίλοις τισὶν ἐς αὐτὰ ὑπεδέχετο, καὶ ἄλλος ὅτι τοῦ
Κασσίου τοῦ τὸν Καίσαρα ἀποκτείναντος εἰκόνα εἶχε, καὶ ἐκρίθη
σαν καὶ ἐφονεύθησαν. ἄξιον δὲ μνημονεῦσαι καὶ γυναικός τινος
Ἐπιχάριτος. αὕτη γὰρ ἔν τε τῇ συνωμοσίᾳ ἐξετασθεῖσα, καὶ πᾶ-
σαν αὐτὴν ἀκριβῶς πιστευθεῖσα, οὐδὲν τούτων ἐξεῖπε, καίπερ πολ-
λάκις ὑπὸ τῆς Τιγελλίνου δεινότητος βασανισθεῖσα, ἐξέφηνε.
C τί δ' ἂν τις καταλέγοι ὅσα ἐπὶ τῇ ἐπιβουλῇ ταύτῃ ἢ τοῖς δο-
ρυφόροις ἐδόθη, ἢ τῷ τε Νέρωνι καὶ τοῖς αὐτοῦ φίλοις ὑπέρογκα
ἐψηφίσθη; Ροῦφος μέντοι Μουσώνιος ὁ φιλόσοφος ἐπὶ τούτοις
ἐφυγαδεύθη, καὶ ἡ Σαβίνη ὑπὸ τοῦ Νέρωνος τότε ἀπέθανε.
κυούσῃ γὰρ αὐτῇ λὰξ εἴτε ἑκὼν εἴτε ἄκων ἐνέθορεν. ἡ δὲ δὴ
Σαβίνη αὕτη οὕτως ὑπερετρύφησεν (ἐκ γὰρ τῶν βραχυτά-
των πᾶν δηλωθήσεται) ὥστε τάς τε ἡμιόνους τὰς ἀγούσας αὐ-
τὴν ἐπίχρυσα σπάρτια ὑποδεῖσθαι, καὶ ὄνους πεντακοσίας
ἀρτιτόκους καθ' ἡμέραν ἀμέλγεσθαι, ἵν' ἐν τῷ γάλακτι αὐτῶν
D λούηται. τήν τε γὰρ ὥραν καὶ τὴν λαμπρότητα τοῦ σώματος λαμ-
πρῶς ἐσπουδάκει, καὶ διὰ τοῦτο ἐν ἀπρεπεῖ ποτε αὐτὴν ἐν
κατόπτρῳ ἰδοῦσα, ηὔξατο τελευτῆσαι πρὶν παρηβῆσαι. καὶ
οὕτως γε αὐτὴν ὁ Νέρων ἐπόθησεν, ὥστε καὶ παῖδα ἀπε-
λεύθερον, ὃν Σπόρον ὠνόμαζεν, ἐκτεμὼν, ἐπειδὴ τῇ Σαβίνῃ
προσεῴκει, τά τε ἄλλα ὡς γυναικὶ αὐτῷ ἐχρῆτο, καὶ προϊόν-
τος τοῦ χρόνου καὶ ἔγημεν αὐτόν. καίπερ Πυθαγόρᾳ τινὶ ἐξελευ-
θέρῳ γεγαμημένῳ καὶ προῖκα αὐτῷ κατὰ συγγραφὴν ἔνειμε,
164 καὶ τοὺς γάμους σφῶν δημοσίᾳ οἵ τε ἄλλοι καὶ αὐτοὶ οἱ Ῥω-
A μαῖοι ἑώρτασαν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο. τότε δὲ πολ-
λοὶ μὲν, ὥσπερ εἶπον, ἐθανατώθησαν, πολλοὶ δὲ καὶ μεγάλων
χρημάτων τὴν σωτηρίαν παρὰ τοῦ Τιγελλίνου ἐκπριάμενοι,

ἀπελύθησαν. ὁ δὲ Νέρων ἄλλα τε γελοῖα ἔπραττε, καί ποτε
καὶ ἐπὶ τὴν τοῦ θεάτρου ὀρχήστραν ἐν πανδήμῳ τινὶ θέᾳ κα-
τέβη, καὶ ἀνέγνω Τρωϊκά τινα ἑαυτοῦ ποιήματα· καὶ ἐπ' αὐ-
τοῖς θυσίαι πολλαὶ, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοις ἅπασιν οἷς ἔ-
πραττεν, ἐγένοντο. παρεσκευάζετο δὲ ὡς καὶ τὰς τῶν Ῥωμαίων
πράξεις ἁπάσας συγγράψων ἐν ἔπεσι. καίπερ γε τοῦ πλήθους
τῶν βιβλίων, πρὶν καὶ ὁποσοῦν αὐτῶν συνθεῖναι, ἐσκέψατο, B
παραλαβὼν ἄλλους τε καὶ Ἀνναῖον Κορνοῦτον εὐδοκιμοῦντα
τότε ἐπὶ παιδείᾳ. καὶ αὐτὸν ὀλίγου μὲν καὶ ἀπέκτεινεν, ἐς
νῆσον δ' οὖν ἐνέβαλεν, ὅτι τινῶν τετρακοσίων ἀξιούντων
αὐτὸν βιβλίων γράψαι, πολλά τε αὐτὰ εἶναι ἔφη, καὶ μηδένα
αὐτὰ ἀναγνώσεσθαι. καί τινος εἰπόντος, καὶ μὴν Χρύσιππος
ὃν ἐπαινεῖς καὶ ζηλοῖς, πολὺ πλείω συνέθηκεν, ἀπεκρίνατο ὅ-
τι ἀλλ' ἐκεῖνα χρήσιμα τῷ τῶν ἀνθρώπων βίῳ ἐστίν. ὁ μὲν οὖν
Κορνοῦτος φυγὴν ἐπὶ τούτῳ ὦφλεν. ὁ δὲ δὴ Λουκανὸς ἐκω- C
λύθη ποιεῖν, ἐπειδὴ ἰσχυρῶς ὑπὸ τῇ ποιήσει ἐπῃνεῖτο. ἐπὶ δὲ
Γαΐου Τελεσίνου καὶ ἐπὶ Σουητωνίου Παυλίνου ὑπάτων, ἐνδοξό-
τατόν τε ἅμα ἔργον καὶ ἕτερον αἴσχιστον ἐγένετο. ὅτε γὰρ ὁ Νέρων
ἐν τοῖς κιθαρῳδοῖς ἠγωνίσατο, καὶ νικητήρια αὐτῷ μὲν ἐκρότουν,
δὲ τῆς κιθαρῳδίας διδασκάλου ἐν τῷ ἱπποδρόμῳ ποιήσαντος
ἡνιόχησε. καὶ ὁ Τηριδάτης ἐς τὴν Ῥώμην οὐχ ὅτι τοὺς ἑαυ-
τοῦ παῖδας, ἀλλὰ καὶ τοὺς τοῦ Οὐολογαίσου, τοῦ τε Πακόρου καὶ
τοῦ Μονοβάζου ἄγων, ἀνήχθη· καὶ ἐγένετο αὐτῶν πομπὴ διὰ
πάσης τῆς ἀπὸ τοῦ Εὐφράτου γῆς ὥσπερ ἐν ἐπινικίοις. αὐτός
τε γὰρ ὁ Τηριδάτης καὶ ἡλικίᾳ καὶ κάλλει καὶ γένει καὶ D
φρονήματι ἤνθει, καὶ ἡ θεραπεία ἥτε παρασκευὴ ἡ βασι-
λικὴ πᾶσα αὐτῷ συνηκολούθει· τρισχίλιοί τε ἱππεῖς τῶν Παρ-
θων καὶ χωρὶς ἕτεροι Ῥωμαίων συχνοὶ συνείποντο. καὶ αὐ-
τοὺς αἵ τε πόλεις λαμπρῶς κεκοσμημέναι, καὶ οἱ δῆμοι πολλὰ
καὶ χαρίεντα ἀναβοῶντες ὑπεδέχοντο· τά τε ἐπιτήδεια πάντα
προῖκα εἶχον, ὥστε εἴκοσι μυριάδας τὸ ἡμερήσιον ἀνάλωμα

τῷ δημοσίῳ λογισθῆναι· καὶ τοῦτο ἐπ' ἐννέα μῆνας οἷς ὡδοι-
165 πόρησεν, ὁμοίως ἐγένετο. ἱππεύων δὲ πανταχῆ μέχρι τῆς Ἰτα-
A λίας, καὶ αὐτῷ καὶ γυνὴ συμπαρίππευε, κράνος χρυσοῦν ἀντὶ
καλύπτρας ἔχουσα, ὥστε μὴ ὁρᾶσθαι παρὰ τὰ πάτρια. ἐν
δὲ τῇ Ἰταλίᾳ ζεύγεσι πεμφθεῖσιν ὑπὸ τοῦ Νέρωνος ἐκομίσθη,
καὶ διὰ Πικεντῶν ἐς Νέαν πόλιν πρὸς αὐτὸν ἀφίκετο. οὐ μέντοι
καὶ τὸν ἀκινάκην, ὅτι προσῄει αὐτῷ, καταλῦσαι, καίπερ κελευ-
σθεὶς, ἠθέλησεν, ἀλλ' ἥλοις αὐτὸν τῷ κολεῷ προσέπηξε· καί-
τοι καὶ ἐς γῆν τὸ γόνυ καθεὶς, καὶ τὰς χεῖρας ἐπαλλάξας,
δεσπότην τε αὐτὸν ὀνομάσας καὶ προσκυνήσας. ὁ οὖν Νέ-
ρων καὶ ἐπὶ τούτῳ αὐτὸν θαυμάσας τοῖς ἄλλοις ἐδεξιώσατο,
B καὶ μονομαχίας ἐν Ποτιόλοις ἔθετο. ἠγωνοθέτησε δὲ Πατρό-
βιος ἐξελεύθερος αὐτοῦ· καὶ τοσαύτῃ γε τῇ λαμπρότητι καὶ
τῇ δαπάνῃ ἐχρήσατο ὥστε ἐν μιᾷ ἡμέρᾳ μηδένα ἄλλον πλὴν
Αἰθιόπων καὶ ἀνδρῶν καὶ γυναικῶν καὶ παίδων, εἰς τὸ θέα-
τρον εἰσελθεῖν. καὶ (ἔδει γε τῷ Πατροβίῳ τιμήν τινα διὰ τοῦτο
γενέσθαι) ἐτόξευσεν ὁ Τηριδάτης ἄνωθεν ἐκ τῆς ἕδρας θηρία.
καὶ δύο γε ταύρους μιᾷ ἅμα βολῇ (εἴ γε τῳ πιστόν) διέπειρε καὶ
ἀπέκτεινε. μετὰ δὲ τοῦτο ἔς τε τὴν Ῥώμην αὐτὸν ὁ Νέρων ἀνήγαγε,
καὶ τὸ διάδημα αὐτῷ ἐπέθηκε. καὶ πᾶσα μὲν ἡ πόλις ἐκεκόσμη-
C το καὶ φωσὶ καὶ στεφανώμασιν, οἵ τε ἄνθρωποι πολλοὶ πανταχόθεν
ἑωρῶντο. μάλιστα δὲ ἡ ἀγορὰ ἐπεπλήρωτο. τὸ μὲν γὰρ μέσον
αὐτῆς ὁ δῆμος λευχειμονῶν καὶ δαφνηφορῶν κατὰ τέλη εἶχε,
τὰ δ' ἄλλα οἱ στρατιῶται, λαμπρότατα ὡπλισμένοι ὥστε καὶ
τὰ ὅπλα αὐτῶν καὶ τὰ σημεῖα ἀστράπτειν. οἵ τε κέραμοι καὶ
αὐτοὶ πάντων τῶν τῇδε οἰκοδομημάτων ἐκρύπτοντο ὑπὸ τῶν
ἀναβεβηκότων. τούτων δ' οὕτως ἐκ νυκτὸς προπαρασκευα-
σθέντων, εἰσῆλθεν εἰς τὴν ἀγορὰν ὁ Νέρων ἅμα τῇ ἡμέρᾳ,
τὴν ἐσθῆτα τὴν ἐπινίκιον ἐνδεδυκὼς, σύν τε τῇ βουλῇ καὶ
σὺν τοῖς δορυφόροις· καὶ ἐπί τε τὸ βῆμα ἀνέβη, καὶ ἐπὶ δί-
D φρου ἀρχικοῦ ἐκαθέζετο. καὶ μετὰ τοῦτο ὅ, τε Τηριδάτης καὶ οἱ

μετ' αὐτοῦ διὰ τῶν στοίχων ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων διῆλθον, καὶ πρὸς τῷ βήματι προσστάντες, προσεκύνησαν αὐτὸν, ὥσπερ καὶ πρότερον. κραυγῆς τε ἐπὶ τούτῳ πολλῆς συμβάσης, ἐξεπλάγη τε ὁ Τηριδάτης, καὶ ἄφωνος χρόνον τινὰ, ὡς καὶ ἀπολούμενος, ἐγένετο. ἔπειτα σιωπῆς κηρυχθείσης ἐπεθάρρησέ τι, καὶ ἐκβιασάμενος τὸ φρόνημα, τῷ τε καιρῷ καὶ τῇ χρείᾳ ἐδούλευσε, μηδὲν φροντίσας εἴ τι ταπεινὸν φθέγξαιτο, πρὸς τὴν ἐλπίδα ὧν τεύξαιτο. εἶπε γὰρ οὕτως, Ἐγὼ, δέσποτα, Ἀρσάκου μὲν ἔκγονος, Οὐολογαίσου δὲ καὶ Πακόρου τῶν 166
βασιλέων ἀδελφὸς, σὸς δὲ δοῦλός εἰμι, καὶ ἦλθόν τε πρός A
σε τὸν ἐμὸν θεὸν προσκυνήσων σε, ὡς καὶ τὸν Μίθραν· καὶ ἔσομαι τοῦτο ὅ,τι ἂν σὺ ἐπικλώσῃς. σὺ γάρ μοι καὶ μοῖρα εἶ καὶ τύχη. ὁ δὲ Νέρων ἠμείψατο αὐτὸν ὧδε, Ἀλλ' εὖ τοι ἐποίησας αὐτὸς δεῦρο ἐλθὼν, ἵνα καὶ παρὼν παρόντος μου ἀπολαύσῃς. ἃ γάρ σοι οὔτε ὁ πατὴρ κατέλιπεν, οὔτε οἱ ἀδελφοὶ δόντες ἐτήρησαν, ταῦτα ἐγὼ χαρίζομαι· καὶ βασιλέα σε Ἀρμενίας ποιῶ, ἵνα καὶ σὺ καὶ ἐκεῖνοι μάθωσιν ὅτι καὶ ἀφαιρεῖσθαι βασιλείας καὶ δωρεῖσθαι δύναμαι. ταῦτ' εἰπὼν ἀνελθεῖν τε αὐτὸν κατὰ τὴν B
ἄνοδον τὴν ἐπ' αὐτοῦ τούτῳ ἔμπροσθεν τοῦ βήματος πεποιημένην ἐκέλευσε, καὶ καθιζηθέντι αὐτῷ ὑπὸ τὸν πόδα τὸ διάδημα ἐπέθηκε. βοαί τε καὶ ἐπὶ τούτῳ πολλαὶ καὶ παντοδαπαὶ ἐγένοντο. ἐγένετο δὲ κατὰ ψήφισμα καὶ πανήγυρις θεατρικὴ, καὶ τὸ θέατρον οὐχ ὅτι ἡ σκηνὴ, ἀλλὰ καὶ ἡ περιφέρεια αὐτοῦ πᾶσα ἔνδοθεν ἐκεχρύσωτο· καὶ τἆλλα ὅσα ἐσῄει, χρυσῷ ἐκεκόσμητο. ἀφ' οὗ καὶ τὴν ἡμέραν αὐτὴν χρυσῆν ἐπωνόμασαν. τάγε μὴν παραπετάσματα τὰ διὰ τοῦ ἀέρος διαπαθέντα, ὅπως τὸν ἥλιον ἀπερύκει, ἁλουργὰ ἦν, καὶ ἐν μέσῳ αὐ- C
τῶν ἅρμα ἐλαύνων ὁ Νέρων ἐνέστικτο· πέριξ δὲ ἀστέρες χρυσοῖ ἐπέλαμπον. ταῦτα μὲν οὕτως ἐγένετο, καὶ δηλονότι καὶ συμποσίῳ πολυτελεῖ ἐχρήσαντο· ὁ δὲ Νέρων ἐπὶ τούτοις καὶ ἐκιθαρῴδησε δημοσίᾳ, καὶ ἡρματηλάτησε, τήν τε στολὴν τὴν πρασίνην

ἐνδεδυμένος, καὶ τὸ κράνος τὸ ἡνιοχικὸν περικείμενος. ἐφ' οἷς
ὁ Τηριδάτης αὐτὸν μὲν δυσχεραίνων, τὸν δὲ Κορβούλωνα
ἐπαινῶν, ἓν αὐτῷ τοῦτο μόνον ᾐτιᾶτο, ὅτι τοιοῦτον δεσπότην ἔ-
χων ἔφερεν. οὐκοῦν οὐδὲ πρὸς αὐτὸν τὸν Νέρωνα ἀπεκρύψα-
το, ἀλλ' εἶπέ ποτε αὐτῷ, Ἀγαθόν, ὦ δέσποτα, ἀνδράποδον Κορ
D βούλωνα ἔχεις. ταῦτα μὲν οὐδὲ συνιέντι αὐτῷ ἔλεγεν. ἐν δὲ
δὴ τοῖς ἄλλοις καὶ ἐκολάκευσεν αὐτὸν καὶ ὑπέδραμε δεινότατα·
καὶ διὰ τοῦτο δῶρά τε παντοδαπὰ πεντακισχιλίων μυριάδων
ἄξια, ὥς φασιν, ἔλαβε, καὶ Ἀρτάξατα ἀνοικοδομῆσαι ἐπε-
τράπη δημιουργούς τε πρὸς τούτοις πολλούς, τοὺς μὲν παρ' ἐκεί-
νου λαβών, τοὺς δὲ καὶ χρήμασι πείσας, ἐκ τῆς Ῥώμης ἐξήγα-
167 γεν. οὐ μέντοι καὶ πᾶσιν αὐτοῖς ὁ Κορβούλων ἐς τὴν Ἀρμενίαν
A διαβῆναι ἐφῆκεν, ἀλλὰ μόνοις ὑπὸ τοῦ Νέρωνος αὐτῷ δοθεῖ-
σιν. ὅθεν καὶ ἔτι μᾶλλον ὁ Τηριδάτης τοῦτόν τε ἐθαύμασε, καὶ
ἐκείνου κατέγνω. ἀνεκομίσθη δὲ οὐχ ᾗπερ ἦλθε διὰ τοῦ Ἰλλυ-
ρικοῦ, καὶ ὑπὲρ τὸν Ἰόνιον, ἀλλ' ἐς τὸ Δυρράχιον ἐκ τοῦ Βρεν-
τεσίου πλεύσας. καὶ εἶδε καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις, ὥστε καὶ
ἐξ ἐκείνων τὴν τῶν Ῥωμαίων ἀρχὴν καταπλαγῆναι καὶ ἰσχύος
ἕνεκα καὶ κάλλους. ὁ μὲν δὴ Τηριδάτης τὰ Ἀρτάξατα ἀνοι-
κοδομήσας, Νερώνεια προσηγόρευσεν. ὁ δὲ δὴ Οὐολόγαισος,
ὅτι ἐλθεῖν πρὸς τὸν Νέρωνα καίτοι πολλάκις μεταπεμφθεὶς,
οὐκ ἠθέλησε, καὶ τέλος, ὡς ὀχληρὸς αὐτῷ ἐγίνετο, ἀντεπέστειλέν
οἱ ὅτι Πολὺ σοὶ ῥᾷον ἢ ἐμοὶ δεῖ τοσαύτην θάλασσαν πλεῦσαι.
B ἂν οὖν εἰς τὴν Ἀσίαν ἔλθῃς, τότε συνθησόμεθα συμβαλεῖν
ἀλλήλοις. Νέρων δὲ ἐπὶ μὲν ἐκεῖνον οὐκ ἔπλευσε, καίπερ ὀρ-
γὴν αὐτῷ ἔχων, οὐ μὴν οὐδὲ ἐπὶ τοὺς Αἰθίοπας, ἢ τὰς Πύ-
λας τὰς Κασπίας, ὥσπερ ἐνενόει. τά τε γὰρ ἄλλα καὶ κατασκό-
πους ἑκατέρωσε ἔπεμψεν. ἐς δὲ δὴ τὴν Ἑλλάδα ἐπεραιώθη, οὔτι
γε ὡς Φλαμίνιος, οὐδ' ὡς Μέμμιος, ἢ καὶ Ἀγρίππας καὶ Αὔ-
γουστος οἱ πρόγονοι αὐτοῦ, ἀλλ' ἐπὶ τῷ ἡνιοχῆσαι καὶ κιθαρῳ-
δῆσαι, κηρῦξαί τε καὶ τραγῳδίας ὑποκρίνασθαι. οὐ γὰρ ἤρκει αὐτῷ

ἡ Ῥώμη, οὐδὲ τὸ τοῦ Πομπηίου θέατρον, οὐδ' ὁ μέγας ἱππόδρο-
μος, ἀλλ' ἐδεήθη καὶ ἐκστρατείας τινός, ἵνα καὶ περιοδονίκης,
ὡς ἔλεγε, γένηται. τοσοῦτόν γε πλῆθος οὐχ ὅτι τῶν αὐγουστείων C
ἀλλὰ καὶ τῶν ἄλλων ἀνθρώπων ἐπηγάγετο, ὅσον, εἴπερ ἐμπο-
λέμιον ἦν, καὶ Πάρθους ἂν καὶ τὰ ἄλλα ἔθνη ἐχειρώσατο. ἀλλ'
ἦσαν οἷοι Νερώνειοι ἂν στρατιῶται γένοιντο, καὶ ὅπλα κιθάρας
τε καὶ πλῆκτρα, πρόσωπά τε καὶ ἐμβάτας ἔφερον, καὶ ἐνίκησε
νίκας οἵας στρατοπέδῳ τοιούτῳ ἔπρεπε, καὶ κατέλυσε Τέρπνον,
καὶ Διόδωρον, καὶ Παμμένην, ὡς οἷα Φίλιππον, ἢ Περσέα, ἢ Ἀν-
τίοχον. καὶ διὰ τοῦτο, ὡς ἔοικε, καὶ τὸν Παμμένην ἐκεῖνον ἐπὶ
τοῦ Γαΐου ἀκμάσαντα κατηνάγκασε, καίτοι γέροντα ὄντα,
ἀγωνίσασθαι, ἵνα αὐτοῦ τοὺς ἀνδριάντας κρατήσας αἰκίσηται.
καὶ εἰ μὲν μόνα ταῦτα ἐπεπράχει, γέλωτα ἂν ὠφλήκει. καίτοι D
πῶς ἄν τις καὶ ἀκοῦσαι μὴ ὅτι ἰδεῖν ὑπομείνειεν αὐτοκράτο-
ρα Αὔγουστον ἔς τε τὸ λεύκωμα ἐν τοῖς ἀγωνισταῖς ἐγγραφό-
μενον, καὶ τὴν φωνὴν ἀσκοῦντα, μελετῶντά τέ τινας ᾠδάς,
καὶ τὴν μὲν κεφαλὴν κομῶντα, τὸ δὲ γένειον ψιλιζόμενον· ἱ-
μάτιον ἀναβαλλόμενον ἐν τοῖς δρόμοις, μεθ' ἑνὸς ἢ δύο ἀκο-
λούθων βαδίζοντα, τοὺς ἀντιπάλους ὑποβλέποντα, καὶ ἀεί τι
πρὸς αὐτοὺς μετ' ἀψιμαχίας λέγοντα· τοὺς ἀγωνοθέτας τούς
τε μαστιγοφόρους φοβούμενον, καὶ χρήματα αὐτοῖς κρύφα ἅ-
πασιν ἀναλίσκοντα, μὴ καὶ ἐλεγχθεὶς μαστιγωθῇ· καὶ ταῦτα 168
μέντοι πάντα ποιοῦντα ἵνα τὸν τῶν κιθαρῳδῶν ἀγῶνα νική- A
σας ἡττηθῇ τὸν τῶν Καισάρων. καὶ τί ἄν τις ταῦτα αὐτοῦ μό-
να ὀδύραιτο, ὁπότε καὶ ἐπὶ τοὺς ἐμβάτας ἀναβαίνων κατέπι-
πτεν ἀπὸ τοῦ κράτους, καὶ τὸ προσωπεῖον ὑποδυόμενος ἀπέβαλ-
λε τὸ τῆς ἡγεμονίας ἀξίωμα, ἐδεῖτο ὡς δραπέτης, ἐποδηγεῖτο
ὡς τυφλός, ἐκύει, ἔτικτεν, ἐμαίνετο· τόν τε Οἰδίποδα καὶ τὸν Θυέ-
στην, τόν τε Ἡρακλέα καὶ τὸν Ἀλκμαίωνα, τόν τε Ὀρέστην ὡς πλή-
θει ὑποκρινόμενος. καὶ τά γε πρόσωπα ποτὲ μὲν αὐτοῖς ἐκείνοις,
ποτὲ δὲ καὶ ἑαυτῷ εἰκασμένα ἔφερε. τὰ γὰρ τῶν γυναικῶν πάντα

B πρὸς τὴν Σαβῖναν ἐσκευάσατο. χρυσαῖς μέντοι ἁλύσεσιν ἐδε-
σμεύετο· καὶ γὰρ οὐκ ἔπρεπεν, ὡς ἔοικεν, αὐτοκράτορι Ῥω-
μαίων σιδηραῖς δεῖσθαι. καὶ ταῦτα μέντοι πάντα οἵ τε ἄλλοι
πάντες καὶ οἱ στρατιῶται ὁρῶντες ἔφερον, ἐπῄνουν, πυθιονίκην
τέ αὐτὸν καὶ ὀλυμπιονίκην καὶ περιοδονίκην, παντονίκην πρὸς
τοῖς ἄλλοις οἷς εἰώθεσαν, ἀπεκάλουν. συμμιγνύντες δηλονό-
τι αὐτοῖς καὶ τὰ τῆς ἀρχῆς ὀνόματα, ὥστε ἐφ' ἑκάστῳ τόν τε
Καίσαρα καὶ τὸν Αὔγουστον ἀκροτελεύτιον εἶναι. οὐδὲ ἐτόλμη-
σεν οὐδεὶς αὐτὸν οὔτε ἐλεῆσαι τὸν κακοδαίμονα, οὔτε μισῆ-
σαι, ἀλλ' εἷς μέν τις στρατιώτης ἰδὼν αὐτὸν δεδεμένον, ἠγανά-
C κτησε, καὶ προσδραμὼν ἔλυσεν. ἕτερος δὲ, ἐρομένου τινὸς,
τί ποιεῖ ὁ αὐτοκράτωρ, ἀπεκρίνατο ὅτι τίκτει· καὶ γὰρ τὴν Κα-
νάκην ὑπεκρίνετο. ἔργον δ' οὐδὲν ἄξιον Ῥωμαίων οὐδεὶς σφῶν
ἐποίησε. τοσαῦτα γάρ που χρήματα διελάγχανον, ὥστε καὶ εὔχε-
σθαι αὐτὸν πολλὰ τοιαῦτα δρᾶν, ἵν' ὅτι πλείονα λαμβάνωσιν.
ἀλλ' εἰ μὲν ταῦτα μόνα οὕτως ἐγεγόνει, αἰσχύνη τε ἅμα καὶ
χλευασία τὸ πρᾶγμα ἀκίνδυνον ἐνενόμιστο· νῦν δ' ὡς ἀλη-
θῶς, ὥσπερ ἐπὶ πολέμῳ σταλεὶς, πᾶσαν μὲν τὴν Ἑλλάδα
ἐλεηλάτησε, καίπερ ἐλευθέραν ἀφεὶς, παμπληθεῖς δὲ ἐφόνευ-
D σεν, ἐπεὶ τάς γε οὐσίας ὅσας καὶ ζώντων τινῶν ἐδήμευσε, καὶ
τὰ ἀναθήματα ὅσα καὶ ἐξ αὐτῶν τῶν ἐν τῇ Ῥώμῃ ναῶν ἐσύ-
λησεν, οὐδὲ ἐξαριθμήσειεν ἄν τις. τοὺς μέντοι ἐν τῇ Ῥώμῃ καὶ τῇ
Ἰταλίᾳ πάντας Ἡλίῳ τινὶ Καισαρείῳ ἐκδότους παρέδωκε.
πάντα γὰρ ἁπλῶς αὐτῷ ἐπετέτραπτο, ὥστε καὶ δημεύειν, καὶ
φυγαδεύειν, καὶ ἀποκτιννύναι (καὶ πρὶν δηλῶσαι τῷ Νέρωνι)
καὶ ἰδιώτας ὁμοίως, καὶ ἱππέας, καὶ βουλευτάς. οὕτω μὲν δὴ τότε ἡ τῶν
Ῥωμαίων ἀρχὴ δύο αὐτοκράτορσιν ἅμα ἐδούλευσε, Νέρωνι
169 καὶ Ἡλίῳ. οὐδ' ἔχω εἰπεῖν ὁπότερος αὐτῶν χείρων ἦν. τὰ μὲν γὰρ
A ἄλλα ἐκ τοῦ ὁμοίου πάντα ἔπραττον, ἐν ἑνὶ δὲ τούτῳ διήλλασ-
σον, ὅτι ὁ μὲν τοῦ Αὐγούστου ἀπόγονος κιθαρῳδοὺς, ὁ δὲ τοῦ
Κλαυδίου ἀπελεύθερος Καίσαρας ἐζήλου. τὸν γὰρ Τιγελλῖνον ἐν

προσθήκης μέρει τοῦ Νέρωνος, ὅτι σὺν αὐτῷ ἦν, τέθνηκε. χωρὶς δὲ ὅ,τι Πολύκλειτος, καὶ Καλουΐα Κρισπινίλλα ἦγον, ἐπόρθουν, ἐσύλων πάνθ' ὅσα ἐνεδέχετο, ἐκεῖνος μὲν μετὰ τοῦ Ἡλίου ἐν τῇ Ῥώμῃ, αὕτη δὲ μετά τε τοῦ Νέρωνος, καὶ μετὰ τῆς Σαβίνης τοῦ Σπόρου. τήν τε γὰρ φυλακὴν αὐτοῦ, καὶ τὴν ἐπιτροπίαν τὴν περὶ ἐσθῆτα, καίπερ γυνὴ καὶ ἐπιφανὴς οὖσα, ἐπεπίστευτο, καὶ δι' αὐτῆς πάντες ἀπεδύοντο. ὠνόμασε δὲ Σαβῖναν τὸν Σπόρον, οὐ κατὰ τοῦτο μόνον ὅτι διὰ τὴν ὁμοιότητα αὐτῆς ἐξετέτμητο, ἀλλ' ὅτι καὶ ἐγήματο αὐτῷ, ὥσπερ καὶ ἐκείνη, ἐν τῇ Ἑλλάδι κατὰ συμβόλαιον, ἐκδόντος αὐτὸν τοῦ Τιγελλίνου, ὥσπερ ὁ νόμος ἐκέλευε. καὶ ἐπὶ τοῖς γάμοις αὐτῶν πάντες οἱ Ἕλληνες ἑώρτασαν, τά τε ἄλλα οἷα εἰκὸς ἦν ἐπιλέγοντες, καὶ γνησίους σφίσι παῖδας γεννηθῆναι ἀρχόμενοι. κἀκ τούτου συνεγίνοντο ἅμα τῷ Νέρωνι, Πυθαγόρας μὲν ὡς ἀνήρ, Σπόρος δὲ ὡς γυνή. πρὸς γὰρ τοῖς ἄλλοις καὶ κυρία, καὶ βασιλίς, καὶ δέσποινα ὠνομάζετο. καὶ τί τοῦτο θαυμάσειεν ἄν τις, ὁπότε καὶ μειράκια καὶ κόρας σταυροῖς γυμνὰς προσδέων, θηρίου τε τινὸς δορὰν ἀνελάμβανε, καὶ προσπίπτων σφίσιν, ἠσέλγαινεν ὥσπερ τι ἐσθίων. τοιαῦτα μὲν ὁ Νέρων ἠσχημόνει. τοῖς δὲ βουλευταῖς, χιτώνιόν τι ἐνδεδυκὼς ἀνθινόν, καὶ σινδόνιον περὶ τὸν αὐχένα ἔχων, ἠσπάζετο. καὶ γὰρ ἐν τούτοις ἤδη παρενόμει, ὥστε καὶ ἀζώστους χιτῶνας ἐν τῷ δημοσίῳ ἐνδύεσθαι. λέγεται δὲ ὅτι καὶ οἱ ἱππῆς οἱ ἐκ τοῦ τέλους ἐπὶ αὐτοῦ πρῶτον ἐφιππίοις ἐν τῇ ἐτησίᾳ σφῶν ἐξετάσει ἐχρήσαντο. ἐν δὲ τοῖς Ὀλυμπίοις ἅρμα ἐλάσας, καὶ πεσὼν ἐξ αὐτοῦ, καὶ ὀλίγου δεῖν συντριβείς, ὅμως ἐστεφανώθη, καὶ διὰ τοῦτο καὶ τοῖς Ἑλλανοδίκαις τὰς πέντε καὶ εἴκοσι μυριάδας, ἃς ὕστερον Γάλβας παρ' αὐτῶν ἀπῄτησεν, ἔδωκε. τοῦ δὲ δὴ Ἀπόλλωνος, (εἴτ' οὖν ἀγανακτήσας ὅτι λυπηρά τινα προεῖπεν αὐτῷ, εἴτε καὶ ἄλλως μανείς) τήν τε χώραν τὴν Κερραίαν ἀφείλετο, καὶ στρατιώταις ἔδωκε, καὶ τὸ μαντεῖον κατέλυσεν, ἀνθρώπους ἐς τὸ στόμιον ἐξ οὗ τὸ ἱερὸν πνεῦμα ἀνῄει, σφάξας.

170 ἠγωνίσατο δὲ ἐν πάσῃ ὁμοίως πόλει ἀγῶνα ἐχούσῃ, κήρυκι
A πρὸς πάντα τὰ κηρύξεως δεόμενα Κλουβίῳ Ῥούφῳ ἀνδρὶ
ὑπατευκότι χρησάμενος, πλὴν Ἀθηνῶν καὶ Λακεδαιμονίων.
ταύταις γὰρ μόναις οὐδὲ ἐπεφοίτησε τὴν ἀρχὴν, τῇ μὲν διὰ
τοὺς Λυκούργου νόμους, ὡς ἐναντίους τῇ προαιρέσει αὐτοῦ ὄν-
τας, τῇ δὲ διὰ τὸν περὶ τῶν Ἐριννύων λόγον. τὸ δὲ δὴ κήρυγμα
ἦν, Νέρων Καῖσαρ νικᾷ τόνδε τὸν ἀγῶνα, καὶ στεφανοῖ τόν τε
τῶν Ῥωμαίων δῆμον καὶ τὴν ἰδίαν οἰκουμένην. ἔχων γὰρ ὡς ἔ-
B λεγεν οἰκουμένην, ἐκιθαρῴδει τε καὶ ἐκήρυττε καὶ ἐτραγῴδει.
τὴν δὲ γερουσίαν οὕτως δεινῶς ἐμίσει ὥστε καὶ τῷ Οὐατι-
νίῳ ὡς μάλιστα χαίρειν, ὅτι ἔλεγεν ἀεί ποτε πρὸς αὐτὸν, Μι-
σῶ σε Καῖσαρ ὅτι συγκλητικὸς εἶ. χρήσομαι γὰρ αὐτῷ τῷ λεχθέν-
τι ὑπ' αὐτοῦ ῥήματι. ἐτηροῦντο δὲ ἀκριβῶς καὶ τούτων καὶ τῶν
ἄλλων ἀεί ποτε καὶ αἱ εἴσοδοι καὶ αἱ ἔξοδοι, τά τε σχήματα, νεύ-
ματα, καὶ ἐπιβοήματα. καὶ οἱ μὲν ἀεὶ συνόντες αὐτῷ καὶ σπουδαίως
ἀκροώμενοι, ἱδρῶτάς τε ἐκβοῶντες ἐπῃνοῦντο καὶ ἐτιμῶντο, οἱ
C δὲ λοιποὶ καὶ ἠτιμάζοντο καὶ ἐκολάζοντο, ὥστε τινὰς μὴ δυ-
ναμένους ἐπὶ πολὺ ἀντέχειν (πολλάκις γὰρ καὶ μέχρι τῆς ἑσπέ-
ρας ἐξ ἑωθινοῦ παρετείνοντο) προσποιεῖσθαί τε ἐκθνήσκειν,
καὶ νεκρῶν δίκην ἐκ τῶν θεάτρων ἐκφέρεσθαι. πάρεργον δὲ
δὴ τῆς ἐπιδημίας τῆς ἐν τῇ Ἑλλάδι ἐποιήσατο, τὸν ἰσθμὸν τῆς
Πελοποννήσου διορύξαι ἐπιθυμήσας, καὶ ἤρξατο τοῦ ἔργου,
καίτοι τῶν ἀνθρώπων ὀκνούντων· αἷμά τε γὰρ τοῖς πρώτοις
ἁψαμένοις τῆς γῆς ἀνέβλυσεν, καὶ οἰμωγαὶ, μυκηθμοί τέ τι-
νες ἐξηκούοντο, καὶ εἴδωλα πολλὰ ἐφαντάζετο. λαβὼν δὲ
D αὐτὸς δίκελλαν, καί τι καὶ ἀνασκάψας, ἔπεισε καὶ τοὺς ἄλλους
ἀνάγκῃ αὐτὸν μιμήσασθαι· καὶ πολὺ πλῆθος ἀνθρώπων ἐπὶ
τοῦτο τὸ ἔργον καὶ ἐκ τῶν ἄλλων ἐθνῶν μετεπέμψατο. ἔς τε
οὖν τἆλλα καὶ ἐς ταῦτα χρημάτων πολλῶν δεόμενος, καὶ με-
γαλοπράγμων καὶ μεγαλόδωρος ὁμοίως ὤν, καὶ ἅμα φοβού-
μενος τοὺς δυνατωτάτους μὴ ἐπιθῶνταί οἱ τοιαῦτα ποιοῦντι,

πολλούς

πολλούς τε καὶ ἀγαθοὺς ἄνδρας ἔφθειρεν. ὧν ἐγὼ τοὺς μὲν ἄλλους
ἐάσω (πᾶσί τε γὰρ παρ' αὐτῷ δημόσιον ἔγκλημα ἦν ἀρετή τε
καὶ πλοῦτος καὶ γένος, καὶ πάντες ἢ ἑαυτοὺς ἀπεκτίννυσαν, ἢ ὑπ' 171
ἄλλων ἐφονεύοντο) τοῦ δὲ δὴ Κορβούλωνος καὶ Σουλπικίων A
καὶ Σκριβωνίων, Ρούφου τε καὶ Πρόκλου μνημονεύσω. τούτων μὲν, ὅτι ἀδελφοί τε καὶ ἡλικιῶται τρόπον τινὰ ὄντες, καὶ μηδὲν μηδέποτε αὐτοὶ ἀλλήλων πράξαντες, ἀλλ' ὥσπερ τῇ φύσει, οὕτω καὶ τῇ προαιρέσει τῇ τε οὐσίᾳ συμπεφυκότες, καὶ τὰς Γερμανίας δὲ ἀμφοτέρας ἐπὶ πολὺ ἅμα διῴκησαν, ἦλθόν τε εἰς τὴν Ἑλλάδα μετάπεμπτοι, ὥστε αὐτῶν τοῦ Νέρωνος δεομένου, καὶ ἐγκλήματος οἷα ὁ καιρὸς ἐκεῖνος ἔφερε λαβόντες, καὶ μήτε λόγου τυγχάνοντες, μήτε ἐς ὀφθαλμοὺς τοῦ
Νέρωνος ἀφικνούμενοι· καὶ διὰ τοῦθ' ὑφ' ἁπάντων ὁμοίως ἀτι- B
μαζόμενοι, ἀποθανεῖν τ' ἐπεθύμησαν, καὶ ἐτελεύτησαν τὰς φλέβας αὐτῶν σχάσαντες. τοῦ δὲ δὴ Κορβούλωνος, ὅτι καὶ ἐκεῖνον ἐντιμότατα μεταπεμψάμενος, καὶ τά τ' ἄλλα καὶ πατέρα καὶ εὐεργέτην αὐτὸν ἀεὶ ὀνομάζων. ἔπειτ' ἐπειδὴ τῇ Κεγχρεᾷ προσέσχε, σφαγῆναι, πρὶν καὶ ἐς ὄψιν αὐτῷ ἐλθεῖν, προσέταξε. κιθαρῳδήσειν γὰρ ἤμελλεν, ὥς τινες λέγουσι, καὶ οὐχ ὑπέμεινεν αὐτῷ τὸ ὀρθοστάδιον ἔχων ὀφθῆναι. καὶ ὅς, ἐπειδὴ τάχιστα τὸ προστεταγμένον ἔγνω, ξίφος τε ἔλαβε, καὶ
ἑαυτὸν ἐρρωμένως παίων, ἔλεγεν, Ἄξιος. τότε γὰρ δή ποτε C
πρῶτον ἐπίστωσεν ὅτι κακῶς ἐπεποιήκει καὶ φεισάμενος τοῦ κιθαρῳδοῦ, καὶ πρὸς αὐτὸν ἐλθὼν ἄνοπλος. ἐν μὲν δὴ τῇ Ἑλλάδι ταῦτ' ἐπράττετο. τί γὰρ δεῖ λέγειν ὅτι καὶ τὸν Πάριν τὸν ὀρχηστὴν ἀποθανεῖν ἐκέλευσεν, ὅτι ὀρχεῖσθαι παρ' αὐτοῦ μαθεῖν ἐθελήσας οὐκ ἠδυνήθη; τί δ' ὅτι καὶ Κίνναν Τοῦσκον ὑπερώρισεν, ὅτι τῆς Αἰγύπτου ἄρχων ἐλούσατο ἐν τῷ βαλανείῳ ὃ ἐκείνῳ ὡς καὶ ἐς τὴν Ἀλεξάνδρειαν ἥξοντι ἐποιήθη. ἐν δὲ τῇ Ῥώμῃ κατὰ τὸν αὐτὸν χρόνον ὁ Ἥλιός τε πολλὰ καὶ δεινὰ
εἰργάσατο, καὶ Σουλπίκιον Καμερῖνον ἄνδρα τῶν πρώτων D

μετὰ τοῦ γένος ἀπέκλεισεν, εἰκάσας σφίσιν ὅτι Πυθικοὶ ἐκ
προγόνων ἐπικαλούμενοι οὐκ ἐπαύσαντο τὸ πρόσρημα τοῦτ᾽
ἔχοντες, ἀλλ᾽ ἐς τὰς τοῦ Νέρωνος νίκας τὰς Πυθικὰς ἐκ τῆς ὁ-
μωνυμίας ἠσέβουν. τῶν δ᾽ Αὐγουστείων ἄγαλμα αὐτοῦ χιλίων
λιτρῶν ποιήσειν ὑποσχομένων, πᾶν τὸ ἱππικὸν ἠναγκάσθη
συντελέσαι σφίσι τὸ ἀνάλωμα. τὰ δὲ δὴ τῆς γερουσίας ἔργα
καθ᾽ ἕκαστον ἐπεξελθεῖν. τοσαῦται γὰρ θυσίαι καὶ ἱερομηνίαι
172 ἐπηγγέλθησαν ὥστε μηδ᾽ ὅλον τὸν ἐνιαυτὸν ἐξαρκέσαι. ὁ δὲ
A Ἥλιος πολλάκις μὲν καὶ πρότερον ἐπιστείλας αὐτῷ, παραινῶν
ὅτι τάχιστα ἀνακομισθῆναι· ὡς δ᾽ οὐκ ἐπείθετο, ἦλθεν αὐτὸς εἰς
τὴν Ἑλλάδα ἑβδόμῃ ἡμέρᾳ, καὶ ἐφόβησεν αὐτὸν εἰπὼν με-
γάλην τινὰ ἐπιβουλὴν ἐν τῇ Ῥώμῃ παρασκευάζεσθαι κατ᾽
αὐτοῦ· ὥστε παραυθὺς εἰς τὴν Ἰταλίαν ἀποπλεῦσαι. καὶ ἐ-
γένετο μέν τις ἐλπὶς ὑπὸ χειμῶνος αὐτὸν φθαρήσεσθαι, μά-
την δὲ πολλοὶ ἥσθησαν· ἐσώθη γάρ. καί τισι καὶ αὐτὸ τοῦτο ὀ-
λέθρου αἴτιον ἐγένετο, ὅτι καὶ ηὔξαντο καὶ ἤλπισαν αὐτὸν
ἀπολέσθαι. ἐπεὶ δ᾽ οὖν ἐς τὴν Ῥώμην ἐσήλασε, τοῦ τε τείχους
τι καθῃρέθη καὶ τῶν πυλῶν παρερράγη, νενομίσθαι τινῶν
B λεγόντων ἑκάτερον τοῖς ἐκ τῶν ἀγώνων στεφανηφόροις γίγνε-
σθαι. καὶ εἰσεφοίτησαν πρῶτοι μὲν οἱ τοὺς στεφάνους οὓς ἀνῄ-
ρητο, κομίζοντες, καὶ μετ᾽ αὐτοὺς ἕτεροι σανίδιά τε ἐπὶ δο-
ράτων ἀνατείνοντες, ἐφ᾽ οἷς ἐπεγέγραπτο τό, τε ὄνομα τοῦ ἀγῶ-
νος, καὶ τὸ εἶδος τοῦ ἀγωνίσματος, ὅτι τε Νέρων Καῖσαρ πρῶ-
τος πάντων τῶν ἀπὸ τοῦ αἰῶνος Ῥωμαίων ἐνίκησεν αὐτὸ. ἔπειτα
αὐτὸς ἐφ᾽ ἅρματος ἐπινικίου, ἐν ᾧ ποτε ὁ Αὔγουστος τὰ πολλὰ
ἐκεῖνα νικητήρια ἐπεπόμφει, ἁλουργίδα χρυσόπαστον ἔχων,
καὶ κότινον ἐστεφανωμένος, τὴν Πυθικὴν δάφνην προτείνων.
C καὶ αὐτῷ ὁ Διόδωρος ὁ κιθαρῳδὸς παρωχεῖτο, καὶ οὕτω
διά τε τοῦ ἱπποδρόμου καὶ διὰ τῆς ἀγορᾶς, μετά τε τῶν στρα-
τιωτῶν καὶ μετὰ τῶν ἱππέων τῆς τε βουλῆς διελθὼν, ἐς τὸ Κα
πιτώλιον ἀνέβη, καὶ ἐκεῖθεν ἐς τὸ παλάτιον, πάσης μὲν τῆς

πόλεως ἐστεφανωμένης καὶ λυχνοκαιούσης καὶ θυμιώσης.
πάντων δὲ τῶν ἀνθρώπων, καὶ αὐτῶν τῶν βουλευτῶν ὅτι μά-
λιστα συμβοώντων, Ὀλυμπιονῖκα οὐά, Πυθιονῖκα οὐά, Αὔγου-
στε, Αὔγουστε· Νέρωνι τῷ Ἡρακλεῖ, Νέρωνι τῷ Ἀπόλλωνι, ὡς
εἷς περιοδονίκης, εἷς ἀπ᾽ αἰῶνος· Αὔγουστε, Αὔγουστε, ἱερὰ
φωνή, μακάριοι οἱ σοῦ ἀκούοντες. τί γὰρ δεῖ περιπλέκειν καὶ οὐκ
αὐτὰ τὰ λεχθέντα δηλοῦν; οὐδὲ γὰρ οὐδὲ αἰσχύνην τινὰ τῇ
συγγραφῇ τὰ ῥηθέντα, ἀλλὰ καὶ κόσμον τὸ μηδὲν αὐτῶν ἀπο- D
κρυφθῆναι φέρει. ἐκτελέσας δὲ ταῦτα, ἱπποδρομίας ἐπήγγει-
λε, καὶ τοὺς στεφάνους, τούς τε καὶ τοὺς ἄλλους πάντας ὅσους
ἅρμασι νικήσας εἰλήφει, ἐς τὸν ἱππόδρομον ἐσήνεγκε, καὶ τῷ
ὀβελίσκῳ τῷ Αἰγυπτίῳ περιέθηκε· καὶ ἦσαν ὀκτὼ καὶ ὀκτακό-
σια, καὶ χίλια. ποιήσας δὲ ταῦτα, ἡνιόχησε. Λάρκιος δέ τις Λυ-
δὸς προσῆλθεν αὐτῷ, πέντε καὶ εἴκοσι μυριάδας προσφέ-
ρων ἵνα κιθαρῳδήσῃ. καὶ ὃς τὸ μὲν ἀργύριον οὐκ ἔλαβεν, ἀπα-
ξιώσας μισθοῦ τι ποιῆσαι· καὶ διὰ τοῦτο Τιγελλῖνος αὐτῷ ἐσέ- 173
πραξεν, ἵνα μὴ αὐτὸν ἀποκτείνῃ. ἐς μέντοι τὸ θέατρον καὶ ὣς A
εἰσελθὼν, καὶ ἐκιθαρῴδησε καὶ ἐτραγῴδησεν· ἐπὶ τοῖς γε ἵπ-
ποις οὐκ ἔστιν ὅτι οὐχ ἡμιλλᾶτο, ἔστι δ᾽ ὅτι καὶ ἑκὼν ἡττᾶτο, ὅπως
τά γε ἄλλα τὰ πλείω πιστεύηται ἐπ᾽ ἀληθείας κρατεῖν. ὁ μὲν οὖν
Νέρων οὕτως τε ἔζη, καὶ ἕως ἐμονάρχει. λέξω δὲ καὶ ὅπως
κατελύθη, καὶ ἐκ τῆς ἀρχῆς ἐξέπεσεν. ἦν τις Γαλάτης ἀνὴρ
Γάϊος Ἰούλιος Βίνδιξ, ἐκ μὲν προγόνων τοῦ βασιλικοῦ γένους,
κατὰ δὲ τὸν πατέρα βουλευτὴς τῶν Ῥωμαίων· τό, τε σῶμα ἰσχυ-
ρὸς, καὶ τὴν ψυχὴν συνετὸς, τῶν τε πολεμικῶν ἔμπειρος, καὶ B
πρὸς πᾶν ἔργον μέγα εὔτολμος. οὗτος ὁ Βίνδιξ συναθροίσας
τοὺς Γαλάτας πολλὰ πεπονθότας τε ἐν ταῖς συχναῖς ἐσπρά-
ξεσι τῶν χρημάτων, καὶ ἔτι πάσχοντας ὑπὸ Νέρωνος· καὶ ἀ-
ναβὰς ἐπὶ βῆμα, μακρὰν διεξῆλθε κατὰ τοῦ Νέρωνος ῥῆσιν,
λέγων δεῖν ἀποστῆναί τε αὐτοῦ καὶ ἅμα οἱ ἐπαναστῆναι, ὅτι, φησί,
πᾶσαν τὴν τῶν Ῥωμαίων οἰκουμένην σεσύληκεν, ὅτι πᾶν τὸ ἄνθος

τῆς βουλῆς αὐτῶν ἀπολώλεκεν, ὅτι τὴν μητέρα τὴν ἑαυτοῦ
C καὶ ἤχμασε καὶ ἀπέκτεινε, καὶ οὐδ᾽ αὐτὸ τὸ σχῆμα τῆς ἡγεμο-
νίας σώζει. σφαγαὶ μὲν γὰρ καὶ ἁρπαγαὶ καὶ ὕβρεις καὶ ὑπ᾽
ἄλλων πολλαὶ πολλάκις ἐγένοντο. τὰ δὲ δὴ λοιπὰ πῶς ἄν τις
κατ᾽ ἀξίαν εἰπεῖν δυνηθείη; εἶδον, ὦ ἄνδρες φίλοι καὶ σύμμα-
χοι, πιστεύσατέ μοι, εἶδον τὸν ἄνδρα ἐκεῖνον (εἴγε ἀνὴρ ὁ Σπό-
ρον γεγαμηκώς, ὁ Πυθαγόρᾳ γεγαμημένος) ἐν τῷ τοῦ θεάτρου
κύκλῳ καὶ ἐν τῇ ὀρχήστρᾳ, ποτὲ μὲν κιθάραν ἔχοντα καὶ ὀρθο-
στάδιον καὶ κοθόρνους, ποτὲ δὲ ἐμβάτας καὶ προσωπεῖον. ἤ-
κουσα αὐτοῦ πολλάκις ᾄδοντος, ἤκουσα κηρύττοντος, ἤκουσα
D τραγῳδοῦντος· εἶδον αὐτὸν δεδεμένον, εἶδον συρόμενον, κύον-
τα δή, τίκτοντα δή, πάντα, ὅσα μυθολογεῖται, καὶ λέγοντα καὶ
ἀκούοντα, καὶ πάσχοντα καὶ δρῶντα. εἶτα τίς τὸν τοιοῦτον, καί-
σαρα καὶ αὐτοκράτορα καὶ αὔγουστον ὀνομάσει; μηδαμῶς μη-
δεὶς ὑβριζέτω τὰ ἱερὰ ἐκεῖνα ὀνόματα. ταῦτα μὲν γὰρ Αὔγου-
στος καὶ Κλαύδιος εἶχον· οὗτος δὲ δή, Θυέστης τε καὶ Οἰδίπους, Ἀλ-
κμαίων τε καὶ Ὀρέστης δικαιότατ᾽ ἂν καλοῖτο. τούτους γὰρ ὑπο-
κρίνεται, καὶ ταύτας ἀντ᾽ ἐκείνων τὰς ἐπιθυμίας ἀντιτίθησι).
174 ἀνάστητε οὖν ἤδη ποτέ, καὶ ἐπικουρήσατε μὲν ὑμῖν αὐτοῖς,
A ἐπικουρήσατε δὲ τοῖς Ῥωμαίοις, ἐλευθερώσατε πᾶσαν τὴν οἰ-
κουμένην. τοιαῦτά τινα τοῦ Βίνδικος εἰπόντος ἅπαντες συνε-
φρόνησαν. οὐχ ἑαυτῷ δὲ τὴν ἀρχὴν περιέπων ὁ Βίνδιξ, τὸν
Γάλβαν τὸν Σερούιον τὸν Σουλπίκιον, ἐπιεικείᾳ τε καὶ ἐμπει-
ρίᾳ πολέμων διαπρέποντα, καὶ τῆς Ἰβηρίας ἄρχοντα, δύνα-
μίν τε οὐ μικρὰν ἔχοντα, εἰς τὴν ἡγεμονίαν προεχειρίσατο,
κἀκεῖνος ὑπὸ τῶν στρατιωτῶν αὐτοκράτωρ ἀνηγορεύθη. λέ-
γεται δὲ ὅτι τοῦ Νέρωνος διακοσίας καὶ πεντήκοντα μυριάδας
B ἐπικηρύξαντος τῷ Βίνδικα ἀποκτείναντι, ἀκούσας ὁ Βίνδιξ
ἔφη ὅτι ὁ Νέρωνα ἀποκτείνας, τήν τε κεφαλὴν αὐτοῦ κομίσας
ἐμοί, τὴν ἐμὴν ἀντιλήψεται. τοιοῦτος μέν τις ὁ Βίνδιξ ἐγένετο. Ῥοῦ-
φος δὲ ἄρχων τῆς Γερμανίας ὥρμησε μὲν ὡς καὶ τὸν Βίνδικα

πολεμήσων, γενόμενος δὲ ἐν Βεσοντίωνι, ταύτην ἐπολιόρκει,
πρόφασιν ὅτι μὴ ἐδέξατο αὐτόν. τοῦ δὲ Βίνδικος πρὸς βοή-
θειαν τῆς πόλεως ἀντεπιόντος αὐτῷ, καὶ οὐ πόῤῥω στρατοπεδεύ-
σαντος, ἀντεπέστειλαν μὲν ἀλλήλοις τινά, καὶ τέλος καὶ εἰς λό-
γους ἦλθον μόνοι· καὶ μηδενὸς σφίσι τῶν ἄλλων παρόντος, καὶ
κατὰ τοῦ Νέρωνος, ὡς εἰκάζετο, συνέθεντο πρὸς ἀλλήλους. μετὰ
δὲ τοῦτο ὁ Βίνδιξ ὥρμησε μετὰ τοῦ στρατοῦ, ὡς τὴν πόλιν κατα- C
ληψόμενος· καὶ αὐτοὺς οἱ τοῦ Ῥούφου στρατιῶται προσιόντας
αἰσθόμενοι, καὶ νομίσαντες ἐφ' ἑαυτοὺς ἀντικρὺς χωρεῖν, αὐ-
τεξορμῆς αὐτοκέλευστοι, καὶ προσπεσόντες σφίσιν ἀπροσ-
δοκήτοις τε καὶ ἀσυντάκτοις οὖσι, παμπόλλους κατέκοψαν. ἰ-
δὼν δὲ τοῦτο καὶ περιαλγήσας ὁ Βίνδιξ, αὐτὸς ἑαυτὸν ἔσφαξε.
καὶ τὸ μὲν ἀληθὲς οὕτως ἔχει. πολλοὶ δὲ δὴ μετὰ ταῦτα τὸ σῶ-
μα αὐτοῦ κατατρώσαντες, δόξαν τισὶ ματαίαν, ὡς καὶ αὐτοὶ ἀ-
πεκτονότες αὐτόν, παρέσχον. Ῥοῦφος δὲ τοῦτον μὲν ἰσχυρῶς ἐπέν-
θησε. τὴν δὲ αὐτοκράτορα ἀρχήν, καίτοι τῶν στρατιωτῶν πολ- D
λάκις αὐτῷ ἐγκειμένων, οὐκ ἠθέλησε δέξασθαι, δυνηθεὶς ἂν
ῥᾳδίως ἐπιτυχεῖν αὐτῆς. δραστήριός τε γὰρ ἀνὴρ ἦν, καὶ ἰσχὺν
μεγάλην καὶ πρόθυμον εἶχε. καὶ οἱ στρατιῶται τὰς μὲν τοῦ
Νέρωνος εἰκόνας καθεῖλον καὶ συνέτρεψαν, αὐτὸν δὲ, καί-
σαρα καὶ αὔγουστον ὠνόμαζον. ὡς δ' οὐκ ἐπείθετο, ἐνταῦθα
τῶν στρατιωτῶν τις ἐνὶ τῶν σημείων αὐτοῦ ταῦτα διὰ ταχέων ἐ-
πέγραψε. καὶ ὃς ἐκεῖνά τε ἀπήλειψε, καὶ μόλις ποτὲ αὐτοὺς
καταστήσας ἔπεισεν ἐπὶ τῇ βουλῇ καὶ τῷ δήμῳ ποιήσασθαι·
εἴτ' οὖν ὅτι οὐκ ἠξίου τοὺς στρατιώτας τινὶ τὸ κράτος διδόναι (τῇ
τε γὰρ γερουσίᾳ καὶ τῷ δήμῳ προσήκειν τοῦτ' ἔλεγεν) εἴτε καὶ 175
παντελῶς μεγαλογνωμόνως, ὡς οὐδὲν τῆς αὐτοκρατορικῆς ἀρ- A
χῆς, ὑπὲρ ἧς καὶ οἱ πάντες ἐσπάραττον, καὶ αὐτὸς δεόμε-
νος. Νέρων δὲ ἐπειδὴ τὴν ἀρχὴν ἤκουσε ταῦτα, προσεποιεῖ-
το καταφρονεῖν αὐτῶν, καὶ διὰ τοῦτ' ἐτρύφα καὶ ἔπαιζε τὰ
συνήθη. καὶ ποτε νύκτωρ τοὺς πρώτους τῶν βουλευτῶν καὶ τῶν

ἱππίων ἐξαπίνης σπουδῇ, ὡς καὶ περὶ τῶν παρόντων σφίσι κοινωνήσων, μεταπεμψάμενος, Ἐξεύρηκα, ἔφη, πῶς ἡ ὕδραυλις (αὐτὸ γὰρ τὸ ῥηθὲν γραφήσεται) καὶ μεῖζον καὶ ἐμμελέστερον
B φθέγξεται. διὰ ταῦτα δὲ τότε ἤθυρεν τέως· οὐδὲ ἔμελεν αὐτῷ ὅτι αἱ θύραι ἀμφότεραι, αἵ τε τοῦ μνημείου τοῦ αὐγουστείου καὶ αἱ τοῦ κοιτῶνος τοῦ ἐκείνου, αὐτόμαται ἐν τῇ αὐτῇ νυκτὶ ἀνεῴχθησαν· οὐδ' ὅτι ἐν τῷ Ἀλβανῷ τοσούτῳ δή τινι αἵματι ὗσεν ὥστε καὶ ποταμοὺς ῥυῆναι· οὐδ' ὅτι ἐκ τῆς Αἰγύπτου ὑπαναχωρήσασα ἐπὶ πολὺ ἡ θάλασσα, μέρος μέγα τῆς Λυκίας κατέλαβεν. ἐπεὶ δὲ περί τε τοῦ Γάλβα ἤκουσεν ὅτι αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη, περί τε τοῦ Ῥούφου ὅτι αὐτοῦ ἀπέστη, ἐν δέει τε μεγάλῳ ἐγένετο, καὶ αὐτός τι ἐν Ῥώμῃ παρεσκευάζετο, καὶ ἐπ' ἐκείνους Ῥούβριον Γάλλον καὶ ἄλλους τινὰς ἔπεμψεν. ὑπὸ πάντων δὲ ὁμοίως ἐγκαταλειφθεὶς, ἐβουλεύσατο μὲν τούς τε βουλευτὰς ἀποκτεῖναι, καὶ τὴν πόλιν κα-
C ταπρῆσαι, ἔς τε τὴν Ἀλεξάνδρειαν πλεῦσαι, ὑπειπὼν ὅτι ἂν καὶ τῆς ἀρχῆς ἐκπέσωμεν, ἀλλὰ τό γε τέχνιον ἡμᾶς ἐκεῖ διαθρέψει. ἐς τοῦτο γὰρ ἀνοίας ἐληλύθει ὥστε καὶ πιστεῦσαι ὅτι ἄλλως τε ἰδιωτεῦσαι καὶ προσέτι καὶ κιθαρῳδεῖν δυνήσεται. ἐπεὶ δὲ ᾔσθετο ὅτι καὶ ὑπὸ τῶν σωματοφυλάκων ἐγκαταλέλειπται (ἐν κήποις δέ τις ἔτυχε καθεύδων) φεύγειν ἐπεχείρησεν. ἐσθῆτά τε οὖν φαύλην ἔλαβε, καὶ ἐπὶ ἵππον οὐδὲν βέλτιον ἀνέβη· καὶ ἐπ' αὐτοῦ κατακεκαλυμμένος, πρὸς χωρίον τι Φάωνος Καισαρείου μετά τε αὐτοῦ ἐκείνου, καὶ μετ' Ἐπαφροδίτου τοῦ τε Σπόρου, νυκτὸς ἐπιούσης ἤλασε. καὶ αὐτοῦ ταῦτα
D πράσσοντος σεισμὸς ἐξαίσιος ἐγένετο, ὥστε καὶ δόκησιν παρασχεῖν ὅτι ἥ τε γῆ πᾶσα διαρρήγνυται, καὶ αἱ τῶν πεφονευμένων ὑπ' αὐτοῦ ψυχαὶ πᾶσαι ἅμα ἐπ' αὐτὸν ἀναθορνύουσι. γνωρισθεὶς οὖν καὶ ὣς ὑπό τινος, ὥς φασι, τῶν ἀπαντησάντων, καὶ αὐτοκράτωρ προσαγορευθεὶς, ἔκ τε τῆς ὁδοῦ ἀπέβη, καὶ ἐς καλαμώδη τόπον τινὰ κατεκρύφθη, καὶ ἐνταῦθα μέχρι τῆς

ἡμέρας ὑπέμεινεν ἐῤῥιμμένος, ὅπως ὡς ἥκιστα διορῷτο. καὶ πάντα μὲν τὰ παρόντα, ὡς καὶ ἐφ' ἑαυτὸν ἥκοντα, ὑποπτεύων, πᾶσαν δὲ φωνὴν, ὡς καὶ ἀναζητούντων αὐτὸν, ὑποβλέπων· εἴ τέ που κυνίδιον ὕλαξεν, ἢ καὶ ὀρνίθιον ἐφθέγξατο, ῥώπιόν τι καὶ κλά- 176
δος ὑπ' αὔρας ἐσείσθη, δεινῶς ἐταράττετο. καὶ οὔθ' ἡσυχάζειν A
ὑπ' αὐτῶν ἠδύνατο, οὔτ' αὖ λαλεῖν περὶ τῶν παρόντων, μὴ καὶ ἕτερός τις ἀκούσῃ, ἐτόλμα, ἀλλ' αὐτὸς καθ' ἑαυτὸν τῇ ψυχῇ καὶ ἐθρήνει καὶ ὠλοφύρετο. ἐλογίζετο γὰρ τά τε ἄλλα, καὶ προσέτι ὅτι πολυανθρωποτάτῃ ποτὲ θεραπείᾳ γαυρωθεὶς, μετὰ τριῶν ἐξελευθέρων ἐκύπταζε. τοιοῦτον γὰρ δρᾶμα τότε τὸ δαιμόνιον αὐτῷ παρεσκεύασεν, ἵνα μηκέτι τοὺς ἄλλους μητροφόνους καὶ ἀλήτας, ἀλλ' ἤδη καὶ ἑαυτὸν ὑποκρίνηται. καὶ τότε μετεγίνωσκεν B
ἐφ' οἷς ἐτετολμήκει, καθάπερ ἄπρακτόν τι αὐτῶν ποιῆσαι δυνάμενος. Νέρων μὲν δὴ τοιαῦτα ἐτραγῴδει, καὶ τὸ ἔπος ἐκεῖνο συνεχῶς ἐνενόει,

Οἰκτρῶς θανεῖν μ' ἄνωγε σύγγαμος, πατήρ. ὀψὲ δ' οὖν ποτε, ἐπειδὴ μηδεὶς αὐτὸν ἀναζητῶν ἑωρᾶτο, μετῆλθον εἰς τὸ ἄντρον, κἀνταῦθα καὶ ἔφαγε πεινήσας ἄρτον ὁποῖον οὐδὲ πώποτε ἐβεβρώκει· καὶ ἔπιε διψήσας ὕδωρ ὁποῖον οὐδὲ πώποτε πεπώκει. ἐφ' ᾧ δυσαναχετήσας εἶπε, Τοῦτό ἐστιν ἐκεῖνο τὸ ποτὸν τὸ ἐμὸν τὸ ἄφθονον. καὶ ὁ μὲν ἐν τούτοις ἦν, ὁ δὲ δῆμος τῶν Ῥωμαίων ἐβουθύτει καὶ ὑπερέχαιρε, καί τινες καὶ πί- C
λα ὡς ἠλευθερωμένοι ἔφερον, καὶ τῷ Γάλβᾳ τὰ τῇ αὐτοκράτορι ἀρχῇ προσήκοντα ἐψηφίσαντο. παρὰ πάντα δὲ ζήτησιν αὐτοῦ τοῦ Νέρωνος ἐποιοῦντο, καὶ χρόνον μέν τινα ἠπόρησαν ὅπου ποτὲ ἀπεληλυθὼς εἴη· ἔπειτα μαθόντες, ἔπεμψαν ἐπ' αὐτὸν ἱππέας. καὶ οὕτως ἐκεῖνος προσιόντων αὐτῶν αἰσθόμενος, προσέταξε τοῖς παροῦσιν αὐτὸν ἀποκτεῖναι. ἐπεὶ δὲ οὐχ ὑπήκουσαν, ἀνεστέναξέ τε καὶ ἔφη, Ἐγὼ μόνος οὔτε φίλον οὔτε ἐχθρὸν ἔχω. καὶ τούτῳ πελα- D
σάντων αὐτῷ τῶν ἱππέων, αὐτὸς ἑαυτὸν ἀπέκτεινε, τὸ θρυλλούμενον ἐκεῖνο εἰπὼν, Ὦ Ζεῦ οἷος τεχνίτης παραπόλλυμαι. καὶ αὐτ

διεθανατοῦτο ὁ Ἐπαφρόδιτος προσκατειργάσατο. ἐβίω δὲ ἔτη τριάκοντα, καὶ μῆνας ἐννέα· ἀφ' ὧν ἦρξεν ἔτη δεκατρία, καὶ μῆνας ὀκτώ, ἔσχατος τῶν ἀπὸ τοῦ Αἰνείου καὶ ἀπὸ τοῦ Αὐγούστου γεγονότων. καίπερ που σαφῶς καὶ αἱ δάφναι αἱ ὑπὸ τῆς Λιβίας φυτευθεῖσαι, τό,τε γένος τῶν λευκῶν ὀρνίθων προδιαφθαρέντα αὐτοῦ ἐσήμανεν.

ΓΑΛΒΑΣ.

177 A ΟΥΤΩ μὲν οὖν ὁ Γάλβας αὐτοκράτωρ ἀπεδείχθη, ὥσπερ που προεῖπε μὲν αὐτῷ καὶ ὁ Τιβέριος, φήσας ὅτι καὶ αὐτὸς τῆς ἡγεμονίας παραγεύσεται· προεῖπε δὲ καὶ σημεῖα ἐναργέστατα. τήν τε γὰρ τύχην ἔδοξεν αὐτῷ λέγειν, ὅτι χρόνον ἤδη συχνὸν αὐτῷ παραμένοι, καὶ ὅτι οὐδεὶς αὐτὴν ἐς τὴν οἰκίαν αὐτοῦ εἰσδέχοιτο. καὶ δὴ ἐὰν ἐπὶ πλεῖον εἰρχθῇ, πρὸς ἕτερόν τινα μεταστήσεται. καὶ πλοῖα ὅπλων μεστὰ πρὸς Ἰβηρίαν ὑπ' αὐτὰς ἐκείνας τὰς ἡμέρας αὐτόματα, μηδενὸς ἀνθρώπων ἄγοντος αὐτά, προσωρμίσθη. ἡμίονός τε ἔτικεν, ὅπερ αὐτῷ σύμβολον τοῦ κράτους ἔσεσθαι ἐπεθέσπιστο· καὶ
B παῖς λιβανωτὸν αὐτῷ θύοντι προσφέρων, πολιὰς ἐξαίφνης ἔφυσε, καὶ οἱ μάντεις τὴν τοῦ νεωτέρου ἀρχὴν πρὸς τὸ γῆρας αὐτοῦ μεταστήσεσθαι ἔφησαν. ταῦτα μὲν ἐς τὴν ἡγεμονίαν αὐτῷ φέροντα προεδείχθη. αὐτὸς δὲ τὰ μὲν ἄλλα μετρίως ἦρχε καὶ ἀνεπαχθὴς ἦν, νομίζων οὐκ εἰληφέναι τὴν ἀρχὴν, ἀλλὰ δεδόσθαι αὐτῷ. τοῦτο γὰρ συνεχῶς ἔλεγε. πλὴν ὅτι χρήματά γε ἄπληστος, ἅτε καὶ πολλῶν δεόμενος, ἤθροιζε, καὶ ἀπ' αὐτῶν ἐλάχιστα ἀνήλισκεν, ὥστε μηδὲ δραχμὰς ἔστιν οἷς ἀλλ' ὀβολοὺς
C χαρίζεσθαι, οἵ τε ἐξελεύθεροι αὐτοῦ πάμπολλα ἐπλημμέλουν,

ὥστε καὶ εἰς ἐκεῖνον αὐτὰ ἀναφέρεσθαι. τοῖς μὲν γὰρ ἰδιώταις
ἀπόχρη μηδὲν ἀδικεῖν, τοῖς δὲ δὴ τὰς ἡγεμονίας ἔχουσιν ἀνάγ-
κη προνοεῖν ὅπως μηδ' ἄλλος κακουργῇ. οὐδὲ γὰρ διαφέρει τι
τοῖς κακῶς πάσχουσιν ὑφ' ὅτου ἂν καὶ κακῶνται. ὥστ' εἰ καὶ
ἔξω τοῦ τι δεινὸν ποιεῖν ὁ Γάλβας ἦν, ἀλλ' ὅτι ἐκείνοις ἀδικεῖν
ἐπέτρεπεν, ἢ ὅτι ἠγνόει τὰ γινόμενα, οὐ καλῶς ἤκουε. Νυμφί-
διος δέ τις καὶ Καπίτων οὕτως ἐξεφρόνησαν ὑπ' αὐτοῦ, ὥς-
τε ὁ Καπίτων, ἐφέντος τινὸς ἀπ' αὐτοῦ ποτὲ δικάζοντος, με-
τεπήδησέ τε ἐπὶ δίφρον ὑψηλὸν, καὶ ἔφη, Λέγε τὴν δίκην παρὰ D
τῷ Καίσαρι διαγνούς τε ἀπέκτεινεν αὐτόν. τούτοις μὲν δὴ διὰ
ταῦτα ὁ Γάλβας ἐπεξῆλθεν. ὡς δὲ ἐπλησίασε τῇ πόλει, ἀ-
πήντησαν αὐτῷ οἱ δορυφόροι τοῦ Νέρωνος, καὶ ἠξίουν ἐν τῇ 178
αὐτῇ στρατείᾳ φυλαχθῆναι. καὶ ὃς τὰ μὲν πρῶτα ἀνεβάλε- A
το ὡς καὶ σκεψόμενος περὶ τούτου· ὡς δ' οὐκ ἐπείθοντο, ἀλλ'
ἐθορύβουν, ἐφῆκε σφίσι τὸ στράτευμα. καὶ οἱ μὲν παραχρῆμα
ἐς ἑπτακισχιλίους ἀπέθανον, οἱ δὲ καὶ μετὰ τοῦτο δεκατευθέντες.
οὕτως, εἰ καὶ τῇ ἡλικίᾳ τῇ τε νόσῳ ἐξεκεκμήκει, ἀλλὰ τῇ δια-
νοίᾳ ἤκμαζεν, οὐδ' ἠξίου τὸν αὐτοκράτορα ἀναγκάζεσθαί
τι ποιεῖν. ἀμέλει καὶ τοῖς δορυφόροις αἰτοῦσι χρήματα οὐκ ἔ-
δωκε, καὶ ἔφη γε ὅτι καταλέγειν στρατιώτας ἀλλ' οὐκ ἀγορά-
ζειν εἴωθε. τῷ δὲ δήμῳ σφόδρα ἀξιοῦντι τὸν Τιγελλῖνον καὶ B
ἄλλους τινὰς τῶν περιυβρισάντων ἀποθανεῖν, οὐχ ὑπεῖ-
ξε, τάχα ἂν ἀποκτείνας αὐτοὺς, εἰ μὴ ἐκεῖνοι τότ' ὑπήκεισαν.
τὸν μέντοι Ἥλιον, καὶ τὸν Νάρκισσον, τόν τε Πατρόβιον, καὶ τὴν
Λοκοῦσταν τὴν φαρμακίδα, καὶ ἄλλους τινὰς τῶν ἐπὶ τοῦ Νέ-
ρωνος ἐπιπολασάντων, κατὰ τὴν πόλιν πᾶσαν δεδεμένους
περιαχθῆναι, καὶ μετὰ τοῦτο κολασθῆναι ἐκέλευσε. καὶ ἐπὶ μὲν
τούτοις ἐπῃνεῖτο· ὅτι δὲ ξίφος διὰ πάσης τῆς ὁδοῦ ἐξηρτᾶτο
καὶ γέρων καὶ ἀσθενὴς τὰ νεῦρα ὢν, καὶ πάνυ πολὺν γέλωτα
ὠφλίσκανε. λέξω δὲ καὶ ὅπως αὐτῷ τὸ τέλος συνέβη. οἱ ἐν τῇ C
Γερμανίαις στρατιῶται, οἷς εἶχε Ροῦφος, μηδεμίαν ὀργὴν

ὑπὸ δὲ Γάλβα ἀδικούμενοι, ἐπὶ πλεῖον ἐφλέγμηναν. τὸ δὲ δὴ τέ-
λος τῆς ἐπιθυμίας σφῶν ἁμαρτόντες ἐπὶ τοῦ Ῥούφου, ἐζήτουν
αὐτὴν ἐφ᾽ ἑτέρου τινὸς ἀποπληρῶσαι, καὶ ἐποίησαν τοῦτο. προ-
στησάμενοι γὰρ Αὖλον Βιτέλλιον τῆς κάτω Γερμανίας ἄρχοντα,
ἐπανέστησαν πρὸς μόνην τὴν εὐγένειαν αὐτοῦ ἀπιδόντες· ἐπεὶ
ὅτι γε παιδικὰ τοῦ Τιβερίου ἐγεγόνει, καὶ ὅτι ἀκολούθως τῇ
ἀσελγείᾳ ταύτῃ ἔζη, οὐκ ἐνενόησαν· ἢ καὶ μᾶλλον δι᾽ αὐτὸ τοῦτο
ἁρμόζειν σφίσιν αὐτὸν ἐνόμισαν. ἀμέλει οὕτως οὐδ᾽ αὐτὸς λό-
D γου τινὸς ἄξιον ἑαυτὸν ἔκρινεν εἶναι, ὥστε διασκώπτων τοὺς ἀ-
στρολόγους, τεκμηρίῳ κατ᾽ αὐτῶν ἐχρῆτο, λέγων ὅτι Οὐδὲν
ἐπίστανται, οἵ γε καὶ ἐμὲ αὐτοκράτορα φασὶ γενήσεσθαι, καὶ
αὐτὸ καὶ ὁ Νέρων ἀκούσας ἐγέλασε, καὶ καταφρονήσαν αὐτοῦ,
ὥστε μηδὲν δεινὸν αὐτὸν ἐργάσασθαι. ὁ οὖν Γάλβας τὴν ἐπα-
νάστασιν αὐτοῦ πυθόμενος, Λούκιον Πείσωνα νεανίσκον εὐγε-
νῆ, ἐπιεικῆ, φρόνιμον, ἐποιήσατο, καὶ καίσαρα ἀπέδειξεν. ὁ δὲ
179 δὴ Ὄθων Μάρκος ὁ Σαλούϊος ἀγανακτήσας μὴ αὐτὸς ὑπὸ
A τοῦ Γάλβα ἐπεποίητο, ἀρχὴν αὖθις μυρίων τοῖς Ῥωμαίοις κα-
κῶν παρέσχε· καὶ οὕτως ὑπ᾽ αὐτοῦ ἐτιμᾶτο, ὥστε καὶ ἐν ἐκεί-
νῃ τῇ ἡμέρᾳ ἐν ᾗ ἀπέθανε, θυομένῳ τι αὐτῷ μόνος τῶν βουλευ-
τῶν παρέστη, ὑφ᾽ οὗπερ καὶ τὰ μάλιστα συνετύγχανεν. ἐπεὶ γὰρ
ὁ ἱερόπτης ἐπιβουλευθήσεσθαι αὐτὸν ἔφη, καὶ διὰ τοῦτ᾽ αὐτὸν
μηδαμῆ μηδαμῶς προελθεῖν παρῄνεσεν, ἀκούσας τοῦτ᾽ ἐ-
κεῖνος κατέδραμέ τε εὐθὺς ὡς καὶ ἐπ᾽ ἄλλο τι, καὶ ὑπό τι-
νων στρατιωτῶν ὀλίγων, οἳ συνωμόκεσαν αὐτῷ, ἐς τὸ τεῖχος
B ἐσήχθη· κἀνταῦθα ἐς τοὺς ἄλλους, ἅτε καὶ ἀχθομένους τῷ Γάλ-
βᾳ, προσαναπείσας, μᾶλλον δὲ ἐκπριάμενος, παρά τε ἐκείνων
τὴν ἀρχὴν παραχρῆμα ἔλαβε, καὶ μετὰ τοῦτο καὶ παρὰ τῶν
δήμων. μαθὼν δὲ ὁ Γάλβας τὰ πρασσόμενα, ἔπεμψέ τινας ἐς
τὸ στρατόπεδον, ὡς καὶ μεταπεῖσαι σφᾶς δυνησόμενος. κἀν τού-
τῳ στρατιώτης τις γυμνὸν τὸ ξίφος καὶ ᾑμαγμένον ἀνατείνων,
προσῆλθεν αὐτῷ, καὶ ἔφη, Θάρσει αὐτοκράτορ· Ὄθωνα γὰρ

ἀπέκτεινα, καὶ ἔστι σοι δεινὸν ἔτι οὐδέν. πιστεύσας οὖν ὁ Γάλβας πρὸς μὲν ἐκεῖνον εἶπε, Καὶ τίς σοι τοῦτο ποιῆσαι ἐκέλευσεν; αὐτὸς δὲ ἐς τὸ Καπιτώλιον ὡς καὶ θύσων ὥρμησε· καὶ αὐτῷ ἐν C
μέσῃ τῇ Ῥωμαίων ἀγορᾷ ἀπαντήσαντες ἱππεῖς καὶ πεζοί, ἔσφαξαν τὸν γέροντα, τὸν ἀρχιερέα, τὸν αὐτοκράτορα, πολλῶν μὲν βουλευτῶν, παμπόλλων δὲ δημοτῶν παρόντων, κατέκοψαν, καὶ τά τε ἄλλα τῷ σώματι αὐτοῦ ἐλυμήναντο, καὶ τὴν κεφαλὴν ἀποκόψαντες περὶ κοντὸν ἐνέπειραν. καὶ ὁ μὲν οὕτως ἀκοντισθεὶς ἐς αὐτὸν τὸν δίφρον ἐν ᾧ ἐφέρετο, καὶ προκύψας ἐξ αὐτοῦ ἐτρώθη, τοῦτο μόνον εἰπών, Καὶ τί κακὸν ἐποίησα; καὶ αὐτῷ Σεμπρώνιος Δῆνσος ἑκατόνταρχος ἐπαμυνάς ἐς ὅσον ἠδυνήθη, τέλος, ὡς οὐδὲν ἤνυσεν, ἐπεσφάγη. καὶ διὰ τοῦτό γε καὶ τὸ ὄνομα αὐτοῦ ἀνέγραψα ὅτι ἀξιώτατός ἐστι μνημονεύε- D
σθαι. ἀπέθανε μὲν γὰρ καὶ ὁ Πείσων, καὶ ἄλλοι συχνοί, οἱ μέντοι καὶ ἐπικουροῦντες τῷ αὐτοκράτορι. ἔζησε δὲ Γάλβας ἔτη δύο καὶ ἑβδομήκοντα, ἀφ' ὧν ἦρξε μῆνας ἐννέα, καὶ ἡμέρας δεκατρεῖς. καὶ αὐτῷ καὶ ὁ Πείσων προσαπώλετο, τιμωρίαν ὑποσχὼν ὅτι καῖσαρ ἀπεδείχθη.

ΟΘΩΝ.

ΓΑΛΒΑ μὲν δὴ τοῦτο τὸ τέλος ἐγένετο· ἔ- 180
μελλε δὲ ἄρα καὶ τὸν Ὄθωνα ἡ δίκη οὐκ A
ἐς μακρὰν μεθήξειν, ὥς που παραχρῆμα ἔμαθε. θύοντί τε γὰρ αὐτῷ τὰς θυσίας πρώτην τὰ ἱερὰ πονηρὰ ὤφθη, ὥστ' αὐτὸν μεταγνόντα ἐπὶ τοῖς πεπραγμένοις εἰπεῖν, Τί γάρ με ἔδει μακροῖς αὐλοῖς αὐλεῖν; ἔστι δὲ τοῦτο δημῶδες ἐς παροιμίαν φέρον ἐπὶ τῶν ἔξω τι τοῦ προσφόρου σφίσι ποιούντων. καὶ μετὰ τοῦτο τῆς

νυκτὸς οὕτω δὴ ἐν τοῖς ὕπνοις ἐταράχθη ὥστε καὶ ἐκ τῆς εὐ-
νῆς ἐκπεσεῖν, τούς τε προκοιτοῦντας ἐκπλῆξαι. ἐσπηδήσαν-
B τες οὖν εὗρον αὐτὸν χαμαὶ κείμενον. ἀλλ' οὐ γὰρ εἶχεν, ἅπαξ
ἐπὶ τὴν ἀρχὴν εἰσελθὼν, ἀναδῦναι, καὶ ἐνέμεινεν ἐν αὐτῇ
καὶ δίκην ἔδωκε, καίτοι πολλὰ καὶ μέτρια πρὸς θεραπείαν
τῶν ἀνθρώπων ποιήσας· οὐχ ὅτι οὕτως ἐπεφύκει, ἀλλ' ὅτι οἰ-
δούντων αὐτῷ διὰ τὸν Βιτέλλιον τῶν πραγμάτων, οὐκ ἤθελε
καὶ τοὺς ἄλλους ἐκπολεμῶσαι. ἡ μέντοι βουλὴ πάντα τὰ πρὸς
τὴν ἀρχὴν φέροντα ἐψηφίσατο. βεβιάσθαι μὲν γὰρ καὶ ἐς τὸ
τεῖχος ἄκων ἐσῆχθαι, κἀνταῦθα ἀντιλέγων κεκινδυνευκέναι
C ἔλεγε. καὶ τά τε ἄλλα ἐπιεικῶς ἐφθέγγετο, καὶ τῇ ὑποκρίσει τοῦ σχή-
ματος ἐμαβίαζε· φιλήματά τε ὡς ἑκάστοις διὰ τῶν δακτύλων
ἔπεμπε, καὶ ὑπισχνεῖτο πολλά. οὐκ ἠσθάνετο δὲ ὡς καὶ ἀσελγέστερον
καὶ πικρότερον τοῦ Νέρωνος ἄρξειν ἔμελλε. τό γ' οὖν ὄνομα αὐτοῦ
αὐτῷ εὐθὺς ἐπέθετο. πλὴν τότε καὶ τῶν βουλευτῶν συχνοῖς, τοῖς
μὲν κατὰ δίκας ἀφίει, τοῖς δὲ ἄλλα ἄττα ἐχαρίζετο. καὶ ἐς τὰ
θέατρα συνεχῶς ἐσεφοίτα θωπεύων τὸ πλῆθος· τοῖς τε ξένοις
πολιτείαν ἀνεδίδου, καὶ ἄλλα πολλὰ ἐπηγγέλλετο. οὐ μὴν ἐς
D οἰκειώσασθαι οὐδένα πλὴν ὀλίγων τινῶν ἠδυνήθη ὁμοίων
αὐτῷ. ὅ, τε γὰρ βίος αὐτοῦ καὶ ἡ δίαιτα, τό, τε τῷ Σπόρῳ συνεῖ-
ναι καὶ τὸ τοῖς λοιποῖς τοῖς Νερωνείοις χρῆσθαι, πάνυ πάντας
181 ἐξεφόβει. τοὺς μέντοι στρατιώτας ἐς τοσοῦτον τόλμης καὶ παρα-
A νομίας προήγαγεν, ἔκ τε ὧν ἐδίδου καὶ ὧν καθ' ὑπερβολὴν
ἐκολάκευσεν, ὥστε καὶ ἐς τὸ παλάτιόν ποτε, ὥσπερ εἶχον, ἐβιά-
σαντο· ἐπειδὴ συχνοὶ τῶν βουλευτῶν ἐνταῦθα τῷ Ὄθωνι
συνεδείπνουν. καὶ τέλος καὶ ἐς αὐτὸ τὸ συμπόσιον, προα-
ποκτείναντες τοὺς εἴργοντας σφᾶς, ἐσεπήδησαν· καὶ πάντας ἂν
τοὺς ἔνδον ὄντας ἐφόνευσαν, εἰ μὴ φθάσαντες ἐξανέστησαν καὶ
κατεκρύφθησαν. καὶ οἱ μὲν καὶ ἐπὶ τούτῳ χρήματα, ὡς καὶ
δι' εὔνοιαν αὐτὸ τοῦ Ὄθωνος πεποιηκότες, ἔλαβον. ἑάλω δέ τις
καὶ Νέρων εἶναι πλασσάμενος κατὰ τόνδε τὸν καιρὸν, οὗ τὸ ὄνομα τῷ

Δίωνι ἡγεῖται)· καὶ τὸ τέλος καὶ δίκην ἔδωκεν. ὁ δὲ Ὄθων, ἐ- B
πειδὴ καὶ μὴ ἔπειθε τὸν Βιτέλλιον, ἐς κοινωνίαν αὐτὸν τῆς ἀρ-
χῆς πολλάκις παρακαλῶν, εἰς πόλεμον λοιπὸν φανερὸν καθί-
στατο. καὶ στρατιώτας ἔπεμπεν, ἡγεμόσιν αὐτοὺς πλείοσι παρα-
δούς· ὃ δὴ καὶ αἰτιώτατοι τῶν σφαλμάτων αὐτῷ ἐγένετο. ἔπε-
σον δὲ τέσσαρες μυριάδες ἀνδρῶν ἑκατέρωθεν ἐν ταῖς μάχαις
ταῖς πρὸς τῇ Κρεμώνῃ γενομέναις· ὅπου τι φασὶ πρὸ τῆς μάχης
ἄλλα τε φανῆναι σημεῖα, καί τινα ὄρνιν ἐξαίσιον, ὁποῖον οὐ πώ-
ποτε ἑωράκασιν, ἐπὶ πολλὰς ἡμέρας ὀφθῆναι. ἐπεὶ δὲ οἱ τοῦ
Ὄθωνος ἐκρατήθησαν, ἤγγειλε μὲν ἱππεύς τε τὸ πάθος τῷ Ὀ- C
θωνι, καὶ ἐπειδή γε ἠπιστεῖτο πρὸς τῶν παρόντων (ἔτυχον γὰρ
πολλοὶ κατὰ τύχην ἠθροισμένοι) καὶ οἱ μὲν δραπέτην, οἱ δὲ, καὶ
πολέμιον αὐτὸν ἀπεκάλουν, Εἴθε γὰρ, ἔφη, ψευδῆ ταῦτα Καῖ-
σαρ ἦν· ἥδιστα γὰρ ἂν νικῶντός σου ἐτελεύτησα· νῦν δὲ ἐγὼ μὲν
πάντα οἰχήσομαι, ἵνα μή τις ἐπὶ σωτηρίᾳ καταπεφευγέναι
δόξῃ. σὺ δὲ βουλεύου, ὡς τῶν πολεμίων οὐκ ἐς μακρὰν ἡξόν-
των, ὅ, τι χρὴ πρᾶξαι. καὶ ὁ μὲν ταῦτ' εἰπὼν, ἑαυτὸν διεχρή-
σατο. πιστευσάντων δ' αὐτῷ ἐκ τούτου πάντων, καὶ ἑτοίμως ἐ-
χόντων ἀναμαχέσασθαι (αὐτοί τε γὰρ συχνοὶ ἦσαν, καὶ ἕτεροι ἐκ D
Παννονίας παρῆσαν· ὅ, τι μέγιστον ἐν τοῖς τοιούτοις ἐστὶν, ἐφίλουν
τε τὸν Ὄθωνα, καὶ πᾶσαν αὐτῷ εὔνοιαν οὐκ ἀπὸ τῆς γλώττης
μόνον ἀλλὰ καὶ ἀπὸ τῆς ψυχῆς εἶχον) ἐπέσχε, μέχρις οὗ καὶ οἱ
λοιποὶ πρὸς τὴν ἀγγελίαν συνέδραμον. καί τι πρὸς ἑαυτὸν
διαλογήσας, ἔπειτα πρὸς τοὺς στρατιώτας ἐδημηγόρησεν ἄλλα
τε πολλὰ καὶ ταῦτα, Ἀρκεῖ τὰ γεγονότα, ἀρκεῖ. μισῶ πόλεμον 182
ἐμφύλιον· κἂν κρατῶ, φιλῶ πάντας Ῥωμαίους, κἂν μὴ ὁμολο- A
γῶσί μοι. νικάτω Βιτέλλιος, ἐπεὶ τοῦτο τοῖς θεοῖς ἔδοξε· σωζέ-
σθωσαν καὶ οἱ ἐκείνου στρατιῶται, ἐπεὶ τοῦτ' ἐμοὶ δοκεῖ. πολὺ
γάρ που καὶ κρεῖττον καὶ δικαιότερόν ἐστιν ἕνα ὑπὲρ πάντων,
ἢ πολλοὺς ὑπὲρ ἑνὸς ἀπολέσθαι. καὶ γὰρ ἐγὼ Μούκιος καὶ Δέ-
κιος καὶ Κούρτιος καὶ Ῥηγοῦλος μᾶλλον ἂν εἶναι βουλοίμην, ἢ Μάριος

καὶ Κίνναν καὶ Σύλλαν (ἵνα μὴ καὶ τοὺς ἄλλους εἴπω) γενέσθαι. μὴ οὖν βιάσησθέ με ἕνα τούτων, ὧν μισῶ, γενέσθαι· μήτε φθονή- B σητέ μοι ἕνα ἐκείνων ὧν ἐπαινῶ, μιμήσασθαι. ἀλλ' ὑμεῖς μὲν ἐπὶ τὸν κεκρατηκότα ἄπιτε, καὶ ἐκεῖνον θεραπεύετε· ἐγὼ δ' αὐτὸς ἐμαυτὸν ἐλευθερώσω, ὅπως καὶ τῷ ἔργῳ ἅπαντες ἄνθρωποι μάθωσιν ὅτι τοιοῦτον αὐτοκράτορα εἵλεσθε ὅστις οὐχ ὑμᾶς ὑπὲρ ἑαυτοῦ, ἀλλ' ἑαυτὸν ὑπὲρ ὑμῶν ἔδωκε. τοιαῦτα μὲν Ὄθων εἶπεν. οἱ δὲ δὴ στρατιῶται ἐξ ὧν ἤκουον, καὶ ἐθαύμαζον ἅμα καὶ ἠλέουν εἴ τι πείσοιτο, καὶ δάκρυσί τι ἔκλαιον καὶ ἐθρήνουν, πατέρα τε ἀνακαλοῦντες, καὶ παίδων καὶ γονέων φίλτερον ὀνομάζοντες. καὶ ταῦτα μὲν οὕτως ἐπὶ πλεῖστον τῆς ἡμέρας ἐγένετο, C τοῦ τε Ὄθωνος τελευτῆσαι δεομένου, καὶ ἐκείνων μὴ ἐφιέντων αὐτῷ τοῦτο ποιῆσαι· πρὶν δὴ σιγήσας αὐτοῖς ἔφη, Ἐγὼ μὲν οὐκ ἔστιν ὅπως χείρων τοῦ στρατιώτου τούτου γενήσομαι, ὃν αὐτοὶ ἑωράκατε ὅπως ἑαυτὸν διὰ τοῦτο μόνον ἀπέσφαξεν ὅτι τὴν ἧτταν τῷ ἑαυτοῦ αὐτοκράτορι ἤγγειλεν· ἀλλ' ἀκολουθήσω πάντως αὐτῷ, ἵνα μηδὲν ἔτι τοιοῦτον μήτε ἴδω μήτε ἀκούσω. ὑμεῖς δὲ, εἴπερ ὄντως φιλεῖτέ με, ἐάσατέ με ἀποθανεῖν ὡς βούλομαι· καὶ μή με ζῆσαι ἄκοντα ἀναγκάσητε, ἀλλὰ πρός τε τὸν κεκρατηκότα ἄπιτε, καὶ ἐκεῖνον κολακεύετε. ταῦτ' εἰπὼν, ἔς τε τὸ δωμάτιον ἀνεχώρησε, καί τι ξιφίδιον λαβὼν, ἑαυτὸν διε- D χρήσατο. καὶ αὐτοῦ τὸ σῶμα οἱ στρατιῶται ἀνείλοντο πενθοῦντες καὶ ἔθαψαν, καί τινες ἑαυτοὺς ἐπέσφαξαν αὐτῷ. τοῦτο τὸ τέλος τῷ Ὄθωνι ἐγένετο· ζήσαντι μὲν ἑπτὰ καὶ τριάκοντα ἔτη, ἕνδεκα ἡμερῶν δέοντα· ἄρξαντι δὲ ἡμέρας ἐνενήκοντα· κάκιστα γε μὴν ἀνθρώπων ζήσας, κάλλιστα ἀπέθανε· καὶ κακουργότατα τὴν ἀρχὴν ἁρπάσας, ἄριστα αὐτῆς ἀπηλλάγη.

ΟΙ Δ' ΕΝ τῇ Ῥώμῃ ὡς ἤκουσαν τὸ τοῦ A
Ὄθωνος πάθος, παραχρῆμα, ὥσπερ εἰκὸς
ἦν, μετεβάλλοντο. τόν τε γὰρ Ὄθωνα ὃν πρό-
τερον ἐπῄνουν καὶ νικᾶν ηὔχοντο, ἐλοιδόρουν
ὡς πολέμιον, καὶ τὸν Βιτέλλιον ᾧ κατηρῶν-
το, καὶ ἐπῄνουν καὶ αὐτοκράτορα ἀνηγόρευον. οὕτω που οὐδὲν πά-
γιόν ἐστι τῶν ἀνθρωπίνων, ἀλλ' ὁμοίως οἵ τε ἐς τὰ μάλιστα ἀν-
θοῦντες, καὶ οἱ ἐν τῷ ταπεινοτάτῳ ὄντες, ἀστάθμητά τε αἱροῦν-
ται, καὶ πρὸς τὰς τύχας σφῶν καὶ τοὺς ἐπαίνους καὶ τοὺς ψόγους, τάς
τε τιμὰς καὶ τὰς ἀτιμίας λαμβάνουσι. Βιτέλλιος δὲ, ἐπεὶ ἐν τῇ B
Ῥώμῃ ἐγένετο, τἄλλα τε διῴκει ὥσπου καὶ ἐδόκει αὐτῷ, καὶ πρό-
γραμμα ἔθετο, δι' οὗ τοὺς ἀστρολόγους ἐξήλασε, προειπὼν σφί-
σιν, ἐντὸς τῆσδε τῆς ἡμέρας (ῥητὴν τινα τάξας) ἐξ ἁπάσης τῆς
Ἰταλίας χωρῆσαι, καὶ αὐτῷ ἐκεῖνοι νυκτὸς ἀντιπροθέντες
γράμματα, ἀντιπαρεισήγγειλαν ἀπαλλαγῆναι ἐκ τοῦ βίου
ἐντὸς τῆς ἡμέρας ἐν ᾗ ἐτελεύτησε. καὶ οἱ μὲν οὕτως ἀκριβῶς
τὸ γενησόμενον προέγνωσαν· αὐτὸς δὲ τῇ τε τρυφῇ καὶ τῇ ἀ-
σελγείᾳ προσκείμενος, οὐδὲν ἔτι τῶν ἄλλων οὔτε τῶν ἀνθρω-
πίνων οὔτε τῶν θείων ἐφρόντιζεν. ἦν μὲν γὰρ καὶ ἀπ' ἀρχῆς τοιοῦ-
τος, ἐπεὶ περί τε τὰ καπηλεῖα καὶ περὶ τὰ κυβευτήρια, τούς C
τε ὀρχηστὰς καὶ τοὺς ἁρματηλάτας ἐσπουδακέναι. καὶ ἀμύθη-
τα εἰς τὰ τοιαῦτα ἀνήλισκε, καὶ διὰ τοῦτο καὶ δανειστὰς πολλοὺς
εἶχε· τότε δὲ καὶ μᾶλλον, ἅτε ἐν τοσαύτῃ ἐξουσίᾳ καθεστὼς, ὕβρι-
ζε, καὶ τὸ πλεῖστον καὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἐδαπάνα, ἀπλήστως τε
ἐμφορούμενος, καὶ συνεχῶς πάντα ἐξεμῶν, ὡς μόνῃ τῇ παρό-
δῳ τῶν σιτίων τρέφεσθαι. ἀφ' οὗπερ καὶ ἀνταρκεῖν ἠδύνατο· ἐ-
πεὶ οἵ γε, συνδειπνοῦντες αὐτῷ πάντες κακῶς ἀπήλλασσον.

ὅτι χαριέστατον λόγον εἷς τις αὐτῶν Οὐΐβιος Κρίσπος ἀρ-
D ῥωστήσας, καὶ διὰ τοῦτο ἡμέρας τινὰς ἀπολειφθεὶς τοῦ συσσιτίου,
εἶπεν, ὅτι Εἰ μὴ ἐνενοσήκειν, πάντως ἂν ἀπολώλειν. καὶ ἐγένετο
ὁ χρόνος ὁ τῆς ἀρχῆς αὐτοῦ σύμπας οὐδὲν ἄλλο ἢ μέθαι τε καὶ
184 κῶμοι. πάντα τε γὰρ τὰ τιμιώτατα καὶ ἀπ᾽ αὐτοῦ τοῦ ὠκεανοῦ,
A (ἵνα μηδὲν εἴπω πλέον) καὶ ἐκ τῆς γῆς καὶ ἐκ τῆς θαλάσσης
συνήγετο, καὶ πολυτελῶς οὕτως ἐσκευάζετο ὥστε Βιτελλια-
νά καὶ νῦν ἐξ ἐκείνου καὶ πέμματα καὶ τἆλλα τινὰ βρώ-
ματα ὀνομάζεσθαι. καὶ τί ἄν τις καθ᾽ ἕκαστον αὐτῶν καταλέ-
γοι; ὁπότε περὶ πάντων ὁμοίως ὁμολογῆται) δύο τε αὐτὸν μυ-
ριάδας μυριάδων καὶ δισχιλίας πεντακοσίας ἐν τῷ τῆς ἀρ-
χῆς χρόνῳ ἐς τὰ δεῖπνα δεδαπανηκέναι. ἐπέλιπέ τε γὰρ πάντα
τὰ πολυτίμητα δι᾽ ὀλίγου, καὶ ἔδει πάντως αὐτὰ εἶναι. μίαν γοῦν
B ποτε λοπάδα πέντε καὶ εἴκοσι μυριάδων ἐσκεύασε, γλώττας
τε καὶ ἐγκεφάλους καὶ ἥπατα καὶ ἰχθύων καὶ ὀρνίθων τινῶν
ἐμβαλών. καὶ ἐπειδὴ ἀδύνατον ἦν κεραμέαν τηλικαύτην
γενέσθαι, ἀργυρᾶ τε ἐποιήθη, καὶ ἔμεινε πολὺν χρόνον, ὥσ-
περ τι ἀνάθημα, μέχρις οὗ Ἀδριανὸς αὐτὴν ἰδὼν συνεχώ-
νευσεν. ἐπειδὴ δ᾽ ἅπαξ τούτων ἐμνημόνευσα, καὶ ἐκεῖνο προσ-
θήσω, ὅτι οὐδὲ τῇ οἰκίᾳ τῇ τοῦ Νέρωνος τῇ χρυσῇ ἠρκεῖτο, ἀλλὰ
καίτοι σφόδρα καὶ τὸ ὄνομα καὶ τὸν βίον τά τε ἐπιτηδεύμα-
τα αὐτοῦ πάντα ἀγαπῶν καὶ ἐπαινῶν, ὅμως ᾐτιᾶτο αὐτὸν
κακῶς τε ᾠκηκέναι, καὶ σκευῇ ὀλίγῃ καὶ ταπεινῇ χρῆσθαι λέ-
C γων· ἡ γυνὴ δὲ αὐτοῦ Γαλλερία, ὡς ὀλίγου ἐν τῷ βασιλικῷ
κόσμου εὑρεθέντος, κατεγέλα. ἀλλ᾽ οὗτοι μὲν ἐκ τῶν ἀλλο-
τρίων ἀναλίσκοντες, οὐδ᾽ ἀριθμόν τι ἐκ τῶν δαπανωμέ-
νων· οἱ δὲ δειπνίζοντες σφᾶς, ἐν μεγάλῳ κακῷ ἐγίγνοντο. καὶ
γὰρ οὐδ᾽ ὅλης τῆς ἡμέρας οἱ αὐτοὶ εἱστίων αὐτὸν, ἀλλ᾽ οἱ μὲν
ἀκρατίσασθαι παρεῖχον, ἄλλοι δὲ ἀριστῆσαι, ἕτεροι δὲ δεῖπνον,
ἕτεροι μεταδόρπιά τινα πλησμονῆς παραμύθια. ὥστε, ὀλίγων
ἡμερῶν διελθουσῶν, ἑκατὸν ἐς τὸ δεῖπνον μυριάδας ἀναλῶσαι.

γέλωτα

γέλωτα μέντοι ὁ Βιτέλλιος πολλοῖς παρεῖχεν. ἑώρων γὰρ ἄν- D
δρα σμικροπροσωποῦντα ἐν ταῖς δημοσίαις προόδοις, ἐν ἡ-
δίσαις πεπορνευκότα καὶ ἐφ' ἵππου βασιλικοῦ τε ἐν χλαμύ-
δι πορφυρᾷ, ὃν ἠπίσταντο τοὺς ἀγωνιστὰς ἵππους ἐν τῇ οὐενε-
τίῳ ἐσθῆτι ψήχοντα· μετὰ τοῦ ὄχλου στρατιωτῶν τοσούτου ἐς τὸ
Καπιτώλιον ἀνιόντα, ὃν οὐδεὶς οὐδὲ ἐν τῇ ἀγορᾷ πρότερον
διὰ τὸ τῶν δανειστῶν πλῆθος ἰδεῖν ἐδύνατο· καὶ προσκυνούμενον
πρὸς πάντων ὃν οὐδεὶς οὐδὲ φιλῆσαί ποτε ἡδέως ἤθελεν·
οὐκ εἶχον ὅπως τὸν γέλωτα κατάσχωσιν. οἵ γε μὴν δεδανεικό- 185
τες τι αὐτῷ, ἐξορμῶντος μὲν αὐτοῦ ἐς τὴν Γερμανίαν, ἐπελά- A
βοντο, καὶ μόλις ποτὲ κατεγγυηθέντα αὐτὸν ἀπέλυσαν· τότε δὲ
οὐχ ὅπως οὐ κατεγέλων, ἀλλὰ καὶ ἐδεδίεσαν καὶ κατεκρύπτοντο.
καὶ αὐτοὺς ἀναζητῶν, τήν τε σωτηρίαν σφίσιν ἀντὶ τῶν ὀφειλομένων
ἀποδιδόναι ἔλεγε, καὶ τὰ συμβόλαια ἀπῄτει. ἐπεφοίτα δὲ καὶ
τοῖς θεάτροις συνεχῶς, ὥστε καὶ τὸν ὅμιλον ἀπ' αὐτῶν ἀναρ-
τᾶσθαι. συνεσίτει δὲ καὶ τοῖς δυνατωτάτοις ἁπλοϊζόμενος,
ὥστε αὐτοὺς ἔτι καὶ μᾶλλον προσεταιρίζεσθαι. τῶν τε ἀρχαίων B
συμβιωτῶν ἰσχυρῶς ἐμέμνητο, καὶ πάνυ αὐτοὺς ἐτίμα, οὐκ
ἀπαξιῶν γνωρίζειν τινὰ αὐτῶν δοκεῖν, ὥσπερ ἕτεροι. πολλοὶ γὰρ
ἐπὶ μέγα παραλόγως ἀρθέντες μισοῦσι τοὺς συνειδότας σφί-
σι τὴν ἐν τῷ πρὶν ταπεινότητα. προϊόντι δ' αὐτῷ ταῦτα, ση-
μεῖα πονηρὰ ἐγίγνετο. καὶ γὰρ κομήτης ἀστὴρ ἐφαντάσθη, καὶ ἡ
σελήνη παρὰ τὸ καθεστηκὸς δὶς ἐκλελοιπέναι ἔδοξε· καὶ γὰρ
τεταρταία καὶ ἑβδομαία ἐσκιάσθη. καὶ ἡλίους δύο ἅμα ἔκ
τε τῆς ἀνατολῆς καὶ ἐκ τῆς δυσμῆς, τὸν μὲν ἀσθενῆ καὶ ὠ- C
χρὸν, ἐκεῖνον δὲ λαμπρὸν καὶ ἰσχυρὸν εἶδον. ἔν τε τῷ Καπιτω-
λίῳ ἴχνη πολλὰ καὶ μεγάλα δαιμονίων τινῶν ὡς καὶ κατεληλ-
λυθότων ἀπ' αὐτοῦ, ἑωράθη· καὶ ἔλεγον οἱ στρατιῶται, οἱ τὴν νύ-
κτα ἐκείνην αὐτῷ ἐγκεκοιτηκότες, ὅτι ὁ τοῦ Διὸς ναὸς αὐτόμα-
τος σὺν πολλῷ κτύπῳ ἀνεῴχθη, ὥστε τινὰς τῶν φυλάκων ἐκ-
πλαγέντας ἀποψύξαι. ἐταράχθη δὲ ταῦτα, καὶ ὁ Οὐεσπασιανὸς

Ἰουδαίοις πολεμῶν, πυθόμενος τήν τε τοῦ Βιτελλίου καὶ τὴν τοῦ
Ὄθωνος ἐπανάστασιν, ἐβουλεύετο ὅ,τι χρὴ πρᾶξαι. οὔτε γὰρ τῶν
D ἀνθρώπων εὔνοια πολλὴ ἦν πρὸς αὐτόν. ἡ γὰρ ἐκ τῆς Βρεττα-
νίας δόξα, καὶ ἡ ἐκ τοῦ ἐν χερσὶ πολέμου εὔκλεια, τό,τε ἐπιεικὲς
καὶ φρόνιμον αὐτοῦ πρὸς ἐπιθυμίαν σφᾶς ἦγεν τῆς παρ'
αὐτοῦ προστασίας. καὶ ὁ Μουκιανὸς ἰσχυρῶς προσέκειτο, ἐλ-
πίσας τὸ μὲν ὄνομα τῆς ἀρχῆς ἐκεῖνον ἕξειν, καὶ αὐτὸς δὲ διὰ τὴν
ἐπιείκειαν αὐτοῦ ἰσομοιρήσειν. αἰσθόμενοι δὲ οἱ στρατιῶται τού-
των καὶ περιστάντες τὴν σκηνὴν αὐτοῦ, ἀνεῖπον αὐτὸν αὐτο-
κράτορα. ἐγεγόνει μὲν οὖν καὶ σημεῖα καὶ ὄνειροι τῷ Οὐεσπα-
186 σιανῷ τὴν μοναρχίαν ἐκ πολλοῦ δηλοῦντα, ἃ καὶ ἐν τῷ αὐτοῦ
A βίῳ λελέξεται. τηνικαῦτα δὲ τὸν μὲν Μουκιανὸν ἐς τὴν Ἰ-
ταλίαν ἐπὶ τὸν Βιτέλλιον ἔπεμψεν, αὐτὸς δὲ τά τε ἐν τῇ Συ-
ρίᾳ ἐπιδὼν, καὶ τὸν πόλεμον τὸν πρὸς Ἰουδαίους ἄλλοις τισὶ
προστάξας, ἐς τὴν Αἴγυπτον ἐκομίσθη καὶ συνῆγε χρήματα,
ὧν που καὶ τὰ μάλιστα ἐχρῄζε, καὶ σῖτον, ἵν' ὅτι πλεῖστον ἐς τὴν
Ῥώμην ἀποστείλῃ. οἱ δ' ἐν τῇ Μυσίᾳ στρατιῶται τὰ κατ' αὐ-
B τὸν πεπυσμένοι οὐδ' ἀνέμειναν τὸν Μουκιανὸν (ἐπυνθάνοντο
γὰρ ἐν ὁδῷ εἶναι) ἀλλ' Ἀντώνιον Πρίμον φυγόντα μὲν ἐκ κατα-
δίκης ἐπὶ τοῦ Νέρωνος, καταχθέντα δὲ ὑπὸ τοῦ Γάλβα, καὶ τοῦ
Γαυονικοῦ στρατοπέδου ἄρχοντα εἵλοντο στρατηγόν. καὶ ἔσχεν οὗτος
τὴν αὐτοτελῆ ἀρχὴν μήθ' ὑπὸ τοῦ αὐτοκράτορος μήθ' ὑπὸ τῆς
γερουσίας αἱρεθείς. τοσαύτη τῶν στρατιωτῶν ἦν πρός τε τὸν Βι-
τέλλιον ὀργὴ, καὶ πρὸς τὰς ἁρπαγὰς ὁρμή. οὐ γάρ που καὶ ἐπ' ἄλλο
τι ταῦτα ἐστράτευον, ἢ ἵνα τὴν Ἰταλίαν διαρπάσωσιν· ὃ καὶ ἐγένε-
το. ἀκούσας ταῦτα ὁ Βιτέλλιος, αὐτὸς μὲν κατὰ χώραν ἔμεινε, τῇ
C τε ἄλλῃ τρυφῇ καὶ ποτῷ χρώμενος, καὶ ἀγῶνας μονομαχίας τιθείς,
ἐν οἷς καὶ ὁ Σπόρος μέλλων ἐν κόρης ἁρπαζομένης σχήματι ἐς τὸ
θέατρον εἰσαχθῆναι, οὐχ ὑπέμεινε τὴν ὕβριν, ἀλλ' ἑαυτὸν προα-
πέσφαξε. τῷ δὲ δὴ Ἀλιηνῷ τὸν πόλεμον μεθ' ἑτέρων προσέτα-
ξεν. Ἀλιηνὸς δὲ ἐς μὲν τὴν Κρεμῶνα ἀφίκετο, καὶ προκατέσχεν

αὐτὴν ὁρῶν· τοὺς δὲ στρατιώτας τοὺς μὲν ἑαυτοῦ ἔκ τε τῆς τρυφῆς τῆς
ἐν τῇ Ῥώμῃ ἐκδεδιῃτημένους, καὶ ἐκ τῆς ἀγυμνασίας διατεθραμ-
μένους, τοὺς δὲ ἑτέρους καὶ τοῖς σώμασι γεγυμνασμένους καὶ ταῖς ψυ-
χαῖς ἐρρωμένους, ἐφοβεῖτο. καὶ μετὰ τοῦτο ἐπειδὴ καὶ λόγοι αὐτῷ
παρὰ τοῦ Πρίμου φίλιοι ἦλθον, συνεκάλεσε τοὺς στρατιώτας, καὶ
τήν τε τοῦ Βιτελλίου ἀσθένειαν, καὶ τὴν τοῦ Οὐεσπασιανοῦ ἰσχὺν, D
τόν τε ἑκατέρου τρόπον εἰπὼν, μεταστῆναι ἔπεισε. καὶ τότε μὲν τὰς
τοῦ Βιτελλίου εἰκόνας ἀπὸ τῶν σημείων καθεῖλον, καὶ ὑπὸ τοῦ Οὐε-
σπασιανοῦ ἄρχεσθαι ὤμοσαν. διαλυθέντες δὲ καὶ ἐς τὰς σκη-
νὰς ἀναχωρήσαντες, μετενόησαν, καὶ ἐξαίφνης σπουδῇ καὶ θο-
ρύβῳ πολλῷ συστραφέντες, τὸν Βιτέλλιον αὐτοκράτορα αὖθις
ἀνεκάλουν· καὶ τὸν Αλιηνὸν, ὡς καὶ προδιδόντα σφᾶς, ἔδη-
σαν, οὐδὲν οὐδὲ τῆς ὑπατείας αὐτοῦ προτιμήσαντες. τοιαῦτα
γὰρ τὰ τῶν πολέμων τῶν ἐμφυλίων μάλιστα ἔργα ἐστί. ταραχῆς 187
οὖν καὶ μετὰ τοῦτο πολλῆς ἐν τῷ τοῦ Βιτελλίου στρατοπέδῳ οὔ- A
σης, ἐπηύξησεν αὐτὴν ἡ σελήνη τῆς νυκτὸς ἐκλιποῦσα, οὐχ
ὅτι καὶ ἐσκιάσθη (καίτοι τοῖς θορυβουμένοις καὶ τὰ τοιαῦτα
φόβον φέρει) ἀλλ' ὅτι καὶ αἱματώδης καὶ μέλαινα, ἄλλα
τε τινὰ χρώματα φοβερὰ ἀφιεῖσα ὤφθη. οὐ μέντοι καὶ παρὰ
τοῦτο οὔτε μετέθεντο οὔτε ἐνέδοσαν, ἀλλ' ἐς χεῖρας ἀλλήλοις
ἐλθόντες, προθυμότατα ἠγωνίσαντο, καίπερ ἄναρχοι, ὥσ-
περ εἶπον, οἱ Βιτέλλειοι ὄντες. ὁ γὰρ Αλιηνὸς ἐν τῇ Κρεμῶνι ἐδέ-
δετο. κἀκ τούτου καὶ ἴση καὶ ἀντίρροπος οὐχ ἐν τῇ ἡμέρᾳ
μόνῃ, ἀλλὰ καὶ ἐν τῇ νυκτὶ ἡ μάχη αὐτῶν ἐγένετο. καὶ νὺξ
αὐτὴν ἐπέλαβε, καὶ οὐδὲ ἐκείνη σφᾶς διέλυσε· τοσαύτῃ που B
καὶ ὀργῇ καὶ προθυμίᾳ, καίπερ καὶ γνωρίζοντες ἀλλήλους καὶ
λαλοῦντες σφίσιν, ἐχρήσαντο. ὅθεν οὔθ' ὁ λιμὸς αὐτοὺς, οὔθ' ὁ
κάματος, οὔτε τὸ ψῦχος, οὔθ' ὁ σκότος, οὐ τὰ τραύματα, οὐχ
οἱ φόνοι, οὐ τὰ λείψανα τῶν νεκρῶν, οὐ τὸ πλῆθος τῶν ἀπολλυ-
μένων ἐτάραττε. τοιαύτη τις μανία ἀμφοτέρους ὁμοίως
κατεῖχεν. οὐκοῦν οὐδὲ τῆς νυκτὸς ἐπελθούσης, ὥσπερ εἶπον,

ἀνέδοσαν· καὶ ἦν ἰδεῖν, ὁσάκις γε καὶ ἡ σελήνη διέλαμψε (νέφη γὰρ αὐτὴν ἔσθ᾽ ὅτε συνέκρυπτεν) ἔστι μὲν ὅτε μαχομένους αὐ-
C τούς, ἔστι δ᾽ ὅτε ἑστηκότας, ἢ καὶ ἐπὶ τὰ δόρατα προσηρεισμένους, ἢ καθημένους. καὶ τοτὲ μὲν κοινῇ συνεβόων, οἱ μὲν τὸν Οὐεσπασιανόν, οἱ δὲ τὸν Βιτέλλιον ὀνομάζοντες, καὶ ἀντιπροεκαλοῦντο ἀλλήλους, λοιδοροῦντές τε καὶ ἐπαινοῦντες ἑκάτερον· τοτὲ δὲ καὶ ἰδίᾳ ἄλλος ἄλλῳ διελάλει, Συστρατιῶτα πολῖτα τί ποιοῦμεν; τί μαχόμεθα; δεῦρ᾽ ἧκε πρὸς ἐμέ. μὴ δῆτα, ἀλλὰ σὺ πρὸς ἐμέ. καὶ τί ἄν τις τοῦτο θαυμάσειεν, ὁπότε καὶ σιτία καὶ ποτὰ αἵ τε γυναῖκες ἐκ τῆς πόλεως τοῖς τοῦ Βιτελλίου στρατιώταις τῆς νυκτὸς ἀνενεγκοῦσαι ἔδωκαν· καὶ ἐκεῖνοι αὐτοί τε ἔφαγον καὶ ἔπιον, καὶ τοῖς ἀντιμαχομένοις ὤρεγον. καί τις αὐτῶν ὀνομαστὶ τὸν ἀντίπαλον ἀνακαλέσας (πάντες γὰρ, ὡς εἰπεῖν, ᾔδεσαν
D ἀλλήλους καὶ ἐγνώριζον) Λαβέ, ἔφη, συστρατιῶτα, καὶ φάγε· οὐ γὰρ ξίφος ἀλλ᾽ ἄρτον σοι δίδωμι. λαβὲ καὶ πίε, οὐ γὰρ ἀσπίδα, ἀλλὰ κύλικά σοι προπίνω, ἵν᾽ ἄν τε σὺ ἀποκτείνῃς ἐμέ, ἄν τε καὶ ἐγώ σε, ῥᾷον ἀπαλλάξωμεν, μηδὲ ἐκ λελυμένης καὶ ἀσθενεῖ τῇ χειρὶ εἰ μήτε σὺ ἐμὲ κατακόψῃς, μήτε ἐγὼ σέ. ταῦτα γὰρ ἡμῖν ζῶσιν ἔτι τὰ ἐναγίσματα καὶ Βιτέλλιος καὶ Οὐεσπασιανὸς διαμάχονται, ἵν᾽ ἡμᾶς τοῖς πάλαι νεκροῖς καταθύσωσι. τοιαῦτα ἄν
188 τινες πρὸς ἀλλήλους εἰπόντες, καὶ ἀναπαυσάμενοι χρόνον τινά,
A καὶ ἐμφαγόντες, πάλιν ἂν ἐμαχέσαντο, εἶτ᾽ ἀνασχόντες αὖθις συνέβαλλον. καὶ τοῦτ᾽ οὕτω δι᾽ ὅλης νυκτὸς μέχρις τῆς ἕω ἐγένετο. ἔνθα δὴ καὶ τοιόνδε τι δύο ἄνδρες τῶν Οὐεσπασιανείων ἔπραξαν· ἐπειδὴ γὰρ ἰσχυρῶς ἐκ μηχανήματός τινος ἐβλάπτοντο, ἀσπίδας τε ἐκ τῶν Βιτελλείων σκύλων ἥρπασαν, καὶ τοῖς ἀντικαθεστηκόσι μιχθέντες, ἔλαθον μέχρι τοῦ μηχανήματος ἐλθόντες ὡς καὶ ἐκείνων ὄντες, καὶ τὰ σχοινία αὐτοῦ διέκοψαν, ὥστε μηδὲν ἔτι βέλος αὐτοῦ ἀφεθῆναι δυνηθῆναι. ἀνατείλαντος δὲ τοῦ ἡλίου, καὶ τῶν
B στρατιωτῶν ἐκ τοῦ τρίτου στρατοπέδου τοῦ Γαλατικοῦ καλουμένου, καὶ ἐν τῇ Συρίᾳ χειμάζοντες, τότε δὲ κατὰ τύχην ἐν τῷ τοῦ Οὐε-

σπασιανοῦ μερίδι ὄντες, ἀσπασάμενοι αὐτὸν ἐξαίφνης, ὥσπερ
εἰώθεσαν, ὑποτοπήσαντες οἱ τοῦ Βιτελλίου τὸν Μουκιανὸν παρεῖ-
ναι, ἠλλοιώθησαν, καὶ ἐκπλαγέντες ὑπὸ τῆς βοῆς, ἔφυγον (οὕτω
που καὶ τὰ βραχύτατα μεγάλως τοὺς προκεκμηκότας ἐκπλήσ-
σει) καὶ ἐς τὸ τεῖχος ἀναχωρήσαντες, χεῖράς τε προετείνοντο καὶ
ἱκέτευον. καὶ ἐπεὶ μηδεὶς αὐτῶν εἰσήκουεν, ἔλυσαν τὸν ὕπατον,
καὶ αὐτὸν τῇ τε ἐσθῆτι τῇ ἀρχικῇ καὶ ταῖς ῥάβδοις κοσμήσαν-
τες, ἔπεμψαν αὐτῷ ἱκετηρίας, καὶ ἔτυχον τῶν σπονδῶν. ὁ γὰρ Ἀ- C
λιῆνος διά τε τὸ ἀξίωμα, καὶ διὰ τὴν ξυμφορὰν ἔπεισε ῥᾳδίως
τὸν Πρῖμον τὴν ὁμολογίαν σφῶν δέξασθαι. ὡς μέντοι αἵ τε
πύλαι ἀνεῴχθησαν, καὶ ἐν ἀδείᾳ πάντες ἐγένοντο, τότε δὴ
ἐξαίφνης πανταχόθεν τε ἅμα εἰσέδραμον, καὶ διήρπασαν πάν-
τα καὶ ἐνέπρησαν· καὶ ἐγένετο καὶ τοῦτο τὸ πάθος οὐδενὸς τῶν
δεινοτάτων σμικρότερον. ἥ τε γὰρ πόλις καὶ μεγέθει καὶ κάλλε-
σιν οἰκοδομημάτων ἤσκητο, καὶ χρήματα παμπληθῆ καὶ τῶν
ἐπιχωρίων καὶ τῶν ξένων ἐς αὐτὴν συνεληλύθει. καὶ τά γε
πλεῖω κακὰ οἱ Βιτέλλειοι ἔδρασαν. ἅτε καὶ τὰς οἰκίας τῶν
πλουσιωτάτων καὶ τὰς διεξόδους τῶν στενωπῶν ἀκριβῶς εἰδό-
τες. οὐδὲ ἔμελεν αὐτοῖς εἰ ὧν ὑπερεμαχέσαντο, τούτους ἀπώλε-
σαν, ἀλλ' ὡς καὶ αὐτοὶ καὶ ἠδικημένοι καὶ κεκρατηκότες ἔ-
παιον, ἔσφαττον, ὥστε καὶ πέντε μυριάδας σὺν τοῖς ἐν τῇ μά-
χῃ πεσοῦσιν ἀπολέσθαι. Βιτέλλιος δὲ ὡς ἐπύθετο τῆς ἥττης,
τέως μὲν ἐθορυβεῖτο, τὸ μέν τι καὶ ὑπὸ σημείων ταραχθεὶς
(θύσαντος γὰρ αὐτοῦ θυσίαν τινὰ, καὶ ἐπ' αὐτῇ δημηγοροῦν-
τος τοῖς στρατιώταις, γῦπες πολλοὶ προσπεσόντες τά τε ἱερὰ
διεσκέδασαν, καὶ ἐκεῖνον ἀπὸ τοῦ βήματος ὀλίγου δεῖν κα- 189
τέβαλον) τὸ δὲ δὴ πλεῖον διὰ τὴν ἀγγελίαν τῆς ἥττης· καὶ τὸν A
μὲν ἀδελφὸν διὰ ταχέων εἰς Ταρακίνας ἔπεμψε, καὶ δι'
αὐτοῦ τὴν πόλιν κατέσχεν ὀχυρὰν οὖσαν. τῶν δὲ δὴ τοῦ Οὐεσπα-
σιανοῦ στρατηγῶν ἐπιόντων τῇ Ῥώμῃ, ἐξεπλάγη τε καὶ ἐξέ-
στη. ἦν μὲν γὰρ οὐδὲν οὔτε ἔπραττεν οὔτε ἐφρόνει, ἐμπλήκτως

τε ἄνω καὶ κάτω ἐφέρετο, ὥσπερ ἐν κλύδωνι. καὶ γὰρ ἀντείχετο τῆς ἡγεμονίας, καὶ πάντως ὡς καὶ πολεμήσων παρεσκευάζετο· καὶ ἑκὼν αὐτὴν ἠφίει, καὶ πάντως ὡς καὶ ἰδιωτεύσων ἡτοιμάζετο·
B καὶ ἔστι μὲν ὅτε τὴν χλαμύδα τὴν πορφυρᾶν ἐφόρει, καὶ ξίφος παρεζώννυτο, ἔστι δ' ὅτε ἐσθῆτα φαιὰν ἀνελάμβανεν· ἐδημιούργει τε καὶ ἐν τῷ παλατίῳ καὶ ἐν τῇ ἀγορᾷ ἄλλοτε ἄλλα, ἐπί τε μάχην καὶ ἐπὶ διαλλαγὰς αὐτοὺς προτρεπόμενος. καὶ ποτὲ μὲν καὶ ἑαυτὸν ὑπὲρ τοῦ κοινοῦ δὴ ἐπεδίδου, ποτὲ δὲ καὶ τὸ παιδίον κατέχων καὶ φιλῶν, προσέβαλλεν αὐτοὺς ὡς ἐλεηθησόμενος. τούς τε δορυφόρους ἀπήλλαττε, καὶ πάλιν μετεπέμπετο. τό, τε παλάτιον ἐκλιπὼν αὖ, καὶ ἐς τὴν τοῦ ἀδελφοῦ οἰκίαν ἀπιών, εἶτα ἀνεκομίζετο· ὥστε ἐκ τούτων καὶ τοὺς ἄλλους τοὺς πλείστους τῆς σπουδῆς παραλῦσαι· ὁρῶντες γὰρ αὐτὸν
C δεῦρο καὶ ἐκεῖσε ἐμμανῶς ἄττοντα, οὔτε τι τῶν προσταττομένων σφίσιν ὁμοίως ἔπραττον, οὔτε τὰ ἐκείνου μᾶλλον ἢ τὰ σφῶν διεσκόπουν· καὶ τά τε ἄλλα αὐτὸν ἐκερτόμουν, καὶ μάλιστα ὁπότε τὸ ξίφος ἐν ταῖς ἐκκλησίαις τοῖς τε ὑπάτοις καὶ τοῖς ἄλλοις βουλευταῖς ὤρεγεν, ὡς καὶ τὴν αὐτοκράτορα ἀρχὴν δι' αὐτοῦ ἀποτιθέμενος. οὔτε γὰρ ἐκείνων τις λαβεῖν αὐτὸ ἐτόλμα, καὶ οἱ προσεστηκότες ἐχλεύαζον. πρὸς οὖν ταῦτα, δήλως τε καὶ πελάζοντος ἤδη τοῦ Πρίμου, συνελθόντες οἵ τε ὕπατοι Γάϊος Κυίντος Ἀττικός, καὶ Γναῖος Κεκίλιος Σίμπλιξ, καὶ Σαβῖνος (συγγενὴς δὲ τοῦ Οὐεσπασιανοῦ) τῶν τε ἄλλων οἱ πρῶτοι γνώμας ἐ-
D ποιήσαντο, καὶ εἰς τὸ παλάτιον ὥρμησαν σὺν τοῖς ὁμογνωμονοῦσι σφίσι στρατιώταις, ὡς ἢ πείσοντες ἢ καταναγκάσοντες τὸν Βιτέλλιον τῆς ἀρχῆς ἀποστῆναι· καὶ περιπεσόντες τοῖς Κελτοῖς τοῖς φρουροῦσιν αὐτόν, κακῶς ἀπήλλαξαν. κἀκ τούτου ἔς τε τὸ Καπιτώλιον ἀνέφυγον· κἀνταῦθα τὸν Δομιτιανὸν τὸν τοῦ Οὐεσπασιανοῦ υἱὸν καὶ τοὺς συγγενεῖς αὐτοῦ μεταπεμψάμενοι, ἐν φυλακῇ ἐποιήσαντο. τῇ δ' ὑστεραίᾳ προσβαλόντων σφίσι τῶν ἐναντίων, χρόνον μέν τινα ἀπεκρούσαντο αὐτούς, ἐμπρησθέν-

των δὲ τῶν περὶ τὸ Καπιτώλιον, ἀπεκόπησαν ὑπὸ τοῦ πυρός. καὶ 190
οὕτως ἐπαναβάντες οἱ τοῦ Βιτελλίου στρατιῶται, ἐκείνων τε συ- A
χνοὺς ἐφόνευσαν, καὶ διαρπάσαντες πάντα τὰ ἀνακείμενα, κα-
τέπρησαν, ἄλλα τε καὶ τὸν ναὸν τὸν μέγαν· τόν τε Σαβῖνον καὶ τὸν
Ἀττικὸν συλλαβόντες, πρὸς τὸν Βιτέλλιον ἔπεμψαν. Δομιτια-
νὸς δὲ καὶ Σαβῖνος ὁ τοῦ Σαβίνου παῖς ἐν τῷ πρώτῳ θορύβῳ
διαφυγόντες ἐκ τοῦ Καπιτωλίου, καὶ ἐς οἰκίας τινὰς κατακρυ-
φθέντες ἐλελήθεσαν· ὡς δὲ οἱ Οὐεσπασιάνειοι στρατιῶται
πλησίον ἐγένοντο, οἷς ὅ, τε Κοΐντος Πετίλιος Κερεάλιος βου-
λευτὴς τῶν πρώτων, καὶ τῷ Οὐεσπασιανῷ κατ' ἐπιγαμίαν
τινὰ προσήκων, καὶ ὁ Πρίσκος ὁ Ἀντώνιος ἦγον (ὁ γὰρ Μου- B
κιανὸς οὔπω ἐπεφθάκει) ἐν παντὶ δέους ὁ Βιτέλλιος ἐγένετο.
ἔπεμπε γὰρ πρότερον μὲν δι' ἀγγέλων τινῶν, ἔς τε λάρνακας μετὰ τῶν
νεκρῶν, καὶ ἐς θρίγκους ὀπώρας ἔχοντας, ἢ καὶ καλάμους ὀρνιθο-
τῶν, τὰ γράμματα ἐμβιβάζοντες, πάντα τὰ ἐν τῇ πόλει δρώ-
μενα ἐμάνθανον, καὶ πρὸς ἐκεῖνα ἐβουλεύοντο. τότε δὴ ἰδόν-
τες τὸ πῦρ ἐκ τοῦ Καπιτωλίου ὥσπερ ἐκ φρυκτωρίας ὁρώμε-
νον, ἐπείχθησαν· καὶ πρότερον τῇ πόλει μετὰ τοῦ ἱππικοῦ Κερεά-
λιος προσέβαλλεν. ὁ δὲ Βιτέλλιος τὴν βουλὴν συναγαγὼν, πρέ-
σβεις παρ' αὐτῶν μετὰ τῶν ἀειπαρθένων πρὸς τὸν Κερεάλιον C
ἔπεμψεν. ὡς δ' οὐδεὶς αὐτῶν εἰσήκουσεν, ἀλλ' ὀλίγου καὶ ἀ-
πέθανον, πρός τε τὸν Πρίμον καὶ αὐτὸν ἤδη προσπελάζοντα ἦλ-
θον, καὶ λόγου μὲν ἔτυχον, ἔπραξαν δὲ οὐδέν. οἱ γὰρ στρατιῶται
ἐπ' αὐτὸν ὀργῇ ἐχώρησαν, καὶ τήν τε φυλακὴν τῆς τοῦ Τιβέ-
ριδος γεφύρας ῥᾳδίως ἔλυσαν. ἐπειδὴ γὰρ ἐνστάντες ἐς αὐτὴν
ἐκώλυσαν σφᾶς διελθεῖν, διενήξαντο τὸν ποταμὸν οἱ ἱππεῖς, καὶ
κατὰ τοῦ νώτου σφίσιν ἐπέπεσον. καὶ μετὰ τοῦτο δίχα δὴ ἐσβαλόν-
τες, οὐδὲν ὅ, τι τῶν δεινοτάτων οὐκ ἐποίησαν. πάντα γὰρ ὅσα τῷ Βι- D
τελλίῳ καὶ τοῖς σὺν αὐτῷ οὖσιν ἐπεκάλουν, καὶ δι' ἃ καὶ πολε-
μεῖν σφίσιν ἐσκήπτοντο, ἔδρασαν· καὶ ἀπέκτειναν πολλούς· συχνοὶ
δὲ καὶ αὐτῶν ἀπὸ τῶν στεγῶν τῷ κεράμῳ βαλλόμενοι, καὶ ἐν

ταῖς στενοχωρίαις ὑπὸ τοῦ πλήθους τῶν ἀνθισταμένων ὠθούμενοι ἐκόπτοντο, ὥστε πέντε μυριάδας ἀνθρώπων ὅλας ἐν ταῖς ἡμέραις ἐκείναις φθαρῆναι. τῆς οὖν πόλεως πορθουμένης, καὶ τῶν ἀνθρώπων τῶν μὲν μαχομένων, τῶν δὲ φευγόντων, καὶ ἤδη καὶ αὐτῶν ἐκείνων (ὅπως τῶν ἐσεληλυθότων δόξαντες εἶναι σωθῶσι) καὶ ἁρπαζόντων τινὰ καὶ φονευόντων, ὁ Βιτέλ-

191 λιος φοβηθεὶς, χιτωνίσκον τε ῥακώδη καὶ ῥυπαρὸν ἐνέδυ, καὶ ἐς

A οἴκημα σκοτεινὸν ἐν ᾧ ἐστρέφοντο κύνες, ἐκρύφθη, γνώμην ἔχων τῆς νυκτὸς ἐς τὴν Ταρρακίναν πρὸς τὸν ἀδελφὸν ἀποδρᾶναι· καὶ αὐτὸν ἀναζητήσαντες οἱ στρατιῶται καὶ ἐξευρόντες (οὐ γάρ που καὶ ἐπὶ πολὺ λαθεῖν ἀκριβῶς ἠδύνατο, ἅτε αὐτοκράτωρ γεγονώς) συνέλαβον ὑφαντοῦ καὶ αἵματος ἀναπεπλησμένον (ὑπὸ γὰρ τῶν κυνῶν ἠλκύσμενος) κἀκ τούτου τὴν μὲν ἐσθῆτα αὐτοῦ περιρρήξαντες· καὶ τὼ χεῖρε εἰς τοὐπίσω δήσαντες, τῷ τε αὐχένι σχοινίον περιθέντες, κατήγαγον ἐκ τοῦ παλατίου τοῦ καίσαρος τὸν ἐν αὐτῷ ἐντρυφήσαντα· καὶ διὰ τῆς ἱερᾶς ὁδοῦ ἔσυραν τὸν αὐτοκράτορα τὸν ἐν τῷ βασιλικῷ δίφρῳ πολλάκις

B σοβήσαντα· ἔς τε τὴν ἀγορὰν ἐσεκόμισαν τὸν αὔγουστον, ἐν ᾗ πολλάκις ἐδημηγόρησε. καὶ οἱ μὲν ἐρράπιζον αὐτόν, οἱ δὲ τοῦ γενείου ἔτιλλον, πάντες δὲ ἔσκωπτον, καὶ πάντες ὕβριζον, τά τε ἄλλα καὶ τὴν ἀσωτίαν αὐτοῦ ἐπιλέγοντες, ἐπειδὴ καὶ γαστροπίων ἦν. αἰσχυνομένου τε ἐπὶ τούτοις αὐτοῦ καὶ κάτω βλέποντος, οἱ στρατιῶται ξιφιδίοις αὐτὸν ὑπὸ τὸ γένειον ὑπέκεντον, ἵνα καὶ ἄκων ἄνω βλέπῃ. ἰδὼν δὲ τοῦτο Κελτός τις οὐκ ἤνεγκεν, ἀλλ' ἐλεήσας αὐτόν, Ἐγώ σοι, ἔφη, βοηθήσω ὡς μόνος δύνα-

C μαι. καὶ ὁ μὲν ἐκεῖνόν τε ἔτρωσε, καὶ ἑαυτὸν ἔσφαξεν· οὐ μέντοι καὶ ὁ Βιτέλλιος ἀπέθανεν ἐκ τοῦ τραύματος, ἀλλ' ἐσύρετο ἐς τὸ δεσμωτήριον, ὥσπερ καὶ οἱ ἀνδριάντες αὐτοῦ, πολλῶν μὲν γελοίων, πολλῶν δὲ καὶ αἰσχρῶν ἐπιλεγομένων σφίσιν. ἐπειδὴ τε καὶ ὑπεραλγήσας καὶ οἷς ἔπαθε καὶ οἷς ἤκουεν, Ἀλλ' ἔγωγε, ἔφη, αὐτοκράτωρ ποτὲ ὑμῶν ἐγενόμην, ὀργισθέντες οἱ στρατιῶται πρός τε

τοὺς ἀναβαθμοὺς αὐτὸν ἤγαγον, κἀνταῦθα κατέκοψαν. τήν τε κεφαλὴν αὐτοῦ ἀποτεμόντες, κατὰ πᾶσαν τὴν πόλιν περιήγαγον. καὶ τοῦτον μὲν ὕστερον ἡ γυνὴ ἔθαψε, ζήσαντα μὲν ἐπὶ πέντε ἔτη καὶ πεντήκοντα, ἄρξαντα δὲ ἐνιαυτὸν ἡμερῶν δέκα D
ἀποδέοντα. ὁ δὲ ἀδελφὸς αὐτοῦ ὥρμησε μὲν ἐκ τῆς Ταρρακίνης ὡς καὶ βοηθήσων αὐτῷ, μαθὼν δὲ κατὰ τὴν ὁδὸν ὅτι τέθνηκε, καὶ περιπεσὼν ἅμα τοῖς ὑπ' αὐτὸν πεμφθεῖσιν, ὡμολόγησε μὲν σφίσιν ὡς καὶ συνθησόμενος, ἐσφάγη δ' οὐ πολλῷ ὕστερον καὶ αὐτῷ καὶ ὁ τοῦ Βιτελλίου παῖς ἐπαπώλετο, καίτοι τοῦ Βιτελλίου μηδένα μήτε τῶν τοῦ Ὄθωνος μήτε τῶν τοῦ Οὐεσπασιανοῦ συγγενῶν ἀποκτείναντος. πεπραγμένων δὲ τούτων ἤδη ὡς ἑκάστων ὁ Μουκιανὸς ἐπῆλθε, καὶ τά τε ἄλλα συνδιῴκει τῷ Δομιτιανῷ, καὶ ἐς τοὺς στρατιώτας αὐτὸν παραγαγὼν δη- 192
μηγορῆσαι ἐποίησε, καίπερ καὶ παιδίσκον ὄντα, καὶ πέντε καὶ εἴκοσι A
δραχμὰς τῶν στρατιωτῶν ἕκαστος ἔλαβεν.

ΟΥΕΣΠΑΣΙΑΝΟΣ.

ΤΑΥΤΑ μὲν οὕτως ἔσχεν. αὐτοκράτωρ δὲ ὑπ' αὐτῆς ὁ Οὐεσπασιανὸς καὶ πρὸς τῆς βουλῆς ἀπεδείχθη, καὶ καίσαρες ὅ,τε Τίτος καὶ ὁ Δομιτιανὸς ἐπεδείχθησαν, τήν τε ὕπατον ἀρχὴν ὁ Οὐεσπασιανὸς καὶ ὁ Τίτος ἔλαβον, ὁ μὲν ἐν τῇ Αἰγύπτῳ, ὁ δὲ ἐν τῇ Παλαιστίνῃ ὤν. ἐγεγόνει μὲν οὖν καὶ σημεῖα καὶ ὀνείρατα τῷ Οὐεσπασιανῷ τὴν μοναρχίαν ἐκ πολλοῦ προδηλοῦντα. βοῦς τε γὰρ ἐν τῷ ἀγρῷ B
ἐν ᾧ τὴν δίαιταν ὡς πλήθει ἐποιεῖτο, δειπνοῦντι προσελθὼν ὤκλασε, καὶ τὴν κεφαλὴν ὑπὸ τοὺς πόδας ὑπέθηκε. καὶ κύων αὖθις, σῖτον αὐτοῦ καὶ τότε αἱρουμένου, χεῖρα ἀνθρωπίνην

ὑπὸ τὴν βάτιζαν ὑπέβαλε. κυπάρισσός τε περιφανὴς πρόῤ-
ῥιζος ὑπὸ σφοδροῦ πνεύματος ἀναβαπτισθεῖσα, ἔπειτα τῇ ὑστε-
ραίᾳ ὑφ' ἑαυτῆς ἀνέστη, καὶ ἀκμάζουσα διετέλεσε. καὶ παρ' ὀ-
νείρατος ἔμαθεν ὅτι, ὅταν ὁ Καῖσαρ Νέρων ὀδόντα ἀποβάλῃ,
αὐταρχήσει, καὶ τοῦτό τε τὸ κατὰ τὸν ὀδόντα τῇ ἐπιούσῃ ἡμέρᾳ
συνηνέχθη· καὶ αὐτὸς ὁ Νέρων ἔδοξέ ποτε ἐν τοῖς ὕπνοις τὸν
τοῦ Διὸς ὄχον ἐς τὴν τοῦ Οὐεσπασιανοῦ οἰκίαν εἰσαγαγεῖν. ἀλ-
C λὰ ταῦτα μὲν ἑρμηνεύσεως ἐχρῆζεν. Ἰώσηπος δὲ ἀνὴρ Ἰου-
δαῖος ἀχθείς τε ὑπ' αὐτοῦ πρότερον καὶ δεθείς, ἐγέλασε καὶ ἔ-
φη, Νῦν μέν με δήσεις, μετ' ἐνιαυτὸν δὲ λύσεις αὐτοκράτωρ
γενόμενος. οὕτω μὲν οὖν καὶ ὁ Οὐεσπασιανὸς εἰς τὴν ἀρχήν,
ὡς καὶ ἄλλοι τινές, ἐγεγόνητο. ἀπόντος δὲ αὐτοῦ ἔτι ἐν τῇ Αἰγύ-
πτῳ, ὁ Μουκιανὸς τὰ τοῦ κράτους πάντα μετὰ τοῦ Δομιτιανοῦ διῴ-
κει. μέγα γάρ τι, ὡς καὶ αὐτὸς τὴν ἡγεμονίαν τῷ Οὐεσπα-
σιανῷ δεδωκὼς ἠγάλλετο· διά τε τἆλλα καὶ ὅτι ἀδελφὸς ὑπ'
αὐτοῦ ὠνομάζετο, καὶ ὅτι ἐξουσίαν εἶχε πάνθ' ὅσα ἐβούλετο καὶ
D ἄνευ τῆς αὐτοῦ προστάξεως διοικεῖν, καὶ γράφειν, τὸ ὄνομα αὐτοῦ
μόνον ἐπιγραφόμενος. καὶ διὰ τοῦτό γε καὶ δακτύλιον πεμφθέντα
193 ἐφόρει, ἵνα τὸ αὐτοκρατορικὸν σφράγισμα τὰ σημαινόμενα
A λαμβάνῃ. τό, τε σύμπαν οὕτω πάντα αὐτοὶ ὡς αὐταρχοῦν-
τες ἐποίουν, ὥστε τὸν Οὐεσπασιανὸν ἐπιστεῖλαί ποτε τῷ Δομι-
τιανῷ ὅτι Χάριν ἔχω σοι τέκνον ὅτι με ἐᾷς ἄρχειν, καὶ οὐδέ-
πω με καταλέλυκας. ὁ δὲ Μουκιανὸς καὶ χρήματα ἀμύθητα
πανταχόθεν, ὅθεν ἐνεδέχετο, εἰς τὸ δημόσιον, ἤθροιζεν ἑτοιμό-
τατα, τὴν ἐπ' αὐτῷ ἐπηγορίαν εἰς ἑαυτὸν ἀντὶ τοῦ Οὐεσπα-
σιανοῦ ἀναδεχόμενος. νεῦρα γὰρ τῆς ἡγεμονίας τὰ χρήματα
ἀεί ποτε εἶναι ἔλεγε· καὶ κατὰ τοῦτο καὶ ἐκεῖνον πανταχόθεν πορί-
B ζειν παρῄνει, καὶ αὐτὸς ἀπ' ἀρχῆς ἀργυρολογῶν διετέλεσε, καὶ
μεγάλα μὲν καὶ τῇ βασιλείᾳ χρήματα παρεσκεύασε, μεγά-
λα δὲ καὶ αὐτὸς ἐκτήσατο. ἐν δὲ τῇ Γερμανίᾳ ἄλλαι τε κατὰ
Ῥωμαίων ἐπαναστάσεις ἐγένοντο, οὐδὲν ἐς μνήμην ἐμοὶ χρονο-

ὅ φῆγος φέρουσιν, καί τι συνηνέχθη καὶ θαύματος ἄξιον. Ἰούλιος
γάρ τις Σαβῖνος, ἀνὴρ πρῶτος τῶν Λιγγόνων, δύναμιν καὶ αὐτὸς
ἰδίαν ἤθροιζε, καὶ Καῖσαρ ἐπωνομάσθη, λέγων ἔγγονος τοῦ Καίσα-
ρος τοῦ Ἰουλίου εἶναι. ἡττηθεὶς δὲ μάχαις τισὶν, ἔφυγεν εἰς ἀγρόν τινα,
κἀνταῦθα εἰς μνημεῖον ὑπόγαιον, προκαταπρήσας αὐτὸ, κα-
τέδυ· καὶ οἱ μὲν ᾤοντο κἀκεῖνον ἀπολωλέναι, αὐτὸς δὲ ἐκρύφθη C
τε ἐν αὐτῷ ἐννέα ἔτη μετὰ τῆς γυναικὸς, καὶ παῖδας ἐξ αὐτῆς δύο
ἄρρενας ἐκύησε. καὶ τὰ μὲν ἐν Γερμανίᾳ Κερεάλιος μάχαις πολ-
λαῖς κατεστήσατο, ὧν ἐν μιᾷ τοσοῦτον πλῆθος τῶν τε Ῥωμαίων
καὶ τῶν βαρβάρων κατεκόπη, ὥστε τὸν παραρρέοντα ποταμὸν ὑπὸ
τῶν πεπτωκότων ἐπισχεθῆναι. ὁ δὲ Δομιτιανὸς ἐξ ὧν ἔδρασε, καὶ
πολλῷ μᾶλλον ἐξ ὧν ἐπεχείρησεν (οὐδὲν γὰρ μικρὸν ἐπενόει) φο-
βηθεὶς τὸν πατέρα, πρός τε τῷ Ἀλβανῷ τῷ ὄρει τὰ πολλὰ
διατρίβων, καὶ τῷ ἔρωτι τῆς Δομιτίας τῆς Κορβούλωνος θυγατρὸς
προσέχων ἐτύγχανε. ταύτην γὰρ Λουκίου Λαμίου Αἰμιλιανοῦ
τοῦ ταύτης ἀνδρὸς ἀποσπάσας, τότε μὲν ἐν ταῖς ἐρωμέναις ἐ- D
πεποίητο, ὕστερον δὲ καὶ ἔγημεν. ὁ δὲ Τίτος τῷ πρὸς Ἰουδαίους
πολέμῳ ἐπιταχθεὶς, τὰ Ἱεροσόλυμα εἷλε, καὶ τὸν ναὸν ἀνέπρη-
σε. τοῖς δὲ Ἰουδαίοις οὐχ ὅτι ὄλεθρος, ἀλλὰ καὶ νίκη καὶ σωτηρία
καὶ εὐδαιμονία τὸ εἶναι ἐδόκει ὅτι τῷ ναῷ συναπώλοντο. ἑάλωσαν
δ᾽ οὖν καὶ ὣς ἄλλοι τε καὶ ὁ Βαργιορᾶς ὁ ἄρχων αὐτῶν, καὶ μό-
νος γε οὗτος ἐν ἐπινικίοις ἐκολάσθη. οὕτω μὲν τὰ Ἱεροσόλυμα ἐν
αὐτῇ τῇ τοῦ Κρόνου ἡμέρᾳ ἣν μάλιστα ἔτι καὶ νῦν Ἰουδαῖοι σέβου-
σιν, ἐξώλετο, καὶ ἀπ᾽ ἐκείνου δίδραχμον ἐτάχθη τοὺς τὰ πάτρια 194
αὐτῶν ἔθη περιστέλλοντας τῷ Καπιτωλίῳ Διῒ κατ᾽ ἔτος ἀπο- A
φέρειν. καὶ ἐπ᾽ αὐτοῖς τὸ μὲν αὐτοκράτορος ὄνομα ἀμφότεροι
ἔλαβον, τὸ δὲ δὴ τοῦ Ἰουδαϊκοῦ οὐδέτερος ἔσχε, καίτοι τά τε
ἄλλα αὐτοῖς, ὅσα ἐπὶ τηλικαύτῃ νίκῃ εἰκὸς ἦν, καὶ ἀψῖδες
τροπαιοφόροι ἐψηφίσθησαν. τοῦ Οὐεσπασιανοῦ δὲ εἰς τὴν Ἀλε-
ξάνδρειαν εἰσελθόντος, ὁ Νεῖλος παλαιστῇ πλέον παρὰ τὸ καθε-
στηκὸς ἐν μιᾷ ἡμέρᾳ ἐπλεόνασεν· ὅπερ οὔπω ποτὲ, πλὴν ἅπαξ,

γεγονέναι ἐλέγετο. καὶ Οὐεσπασιανὸς δὲ αὐτὸς τυφλόν τε ἕ-
B να καὶ ἕτερον οὐκ ἀρτίχειρα προσελθόντας οἱ ἐξ ὄψεως ὀνει-
ράτων, τοῦ μὲν τὴν χεῖρα πατήσας, τοῦ δὲ τοῖν ὀφθαλμοῖν προσ-
πτύσας, ὑγιεῖς ἀπέφηνε. τὸ μὲν θεῖον τούτοις αὐτὸν ἐσέμνυνεν.
οὐ μέντοι καὶ οἱ Ἀλεξανδρεῖς ἔχαιρον αὐτῷ, ἀλλὰ καὶ πάνυ
ἤχθοντο· ὥστε μὴ μόνον ἰδίᾳ, ἀλλὰ καὶ δημοσίᾳ, καὶ σκώπτειν
αὐτὸν καὶ λοιδορεῖν. προσδοκήσαντες γὰρ μέγα τι παρ' αὐτοῦ λή-
ψεσθαι, ὅτι πρῶτοι αὐτὸν αὐτοκράτορα πεποιήκεσαν, οὐ μό-
νον οὐδὲν εὕροντο, ἀλλὰ καὶ προσεπράσσοντο χρήματα. πολ-
C λὰ μὲν γὰρ καὶ ἄλλως παρ' αὐτῶν ἐξέλεξε, μηδένα πόρον, μη-
δ' εἰ ἐπαίτιος τις ἦν, παραλιπών, ἀλλὰ καὶ ἐκ τῶν ἄλλων καὶ
ἐκ τῶν ἱερῶν ὁμοίως χρηματιζόμενος. πολλὰ δὲ καὶ τέλη, τὰ μέν
τινα ἐκλελειμμένα ἀνενεώσατο, τὰ δὲ καὶ νομιζόμενα προσε-
πηύξησε. τὸ δ' αὐτὸ τοῦτο καὶ ἐν τῇ ἄλλῃ ὑπηκόῳ· ἔν τε τῇ Ῥώμῃ
μετὰ τοῦτ' ἐποίησεν. οἱ γοῦν Ἀλεξανδρεῖς ἄλλα τέ ἐς αὐτὸν ἀ-
πέρριπτον, καὶ ὅτι ἓξ ὀβολοὺς προσαιτεῖς· ὥστε καὶ τὸν Οὐε-
σπασιανόν, καίπερ ἐπιεικέστατον ὄντα, χαλεπῆναι, καὶ κελεῦσαι
μὲν καὶ τοὺς ἓξ ὀβολοὺς κατ' ἄνδρα εἰσπραχθῆναι, βουλεύ-
D σασθαι δὲ καὶ τιμωρίαν αὐτῶν ποιήσασθαι. τοῦ γοῦν Τίτου
ἐξαιτησαμένου αὐτούς, οὐδὲν αὐτῶν ἐφείσατο. ἐκεῖνοι δ' αὐτοῦ
οὐκ ἀπέσχοντο, ἀλλὰ μέγα πάνυ ἀθρόοι ἐν συνόδῳ τινὶ κοινῇ
πρὸς τὸν Τίτον ἐξεβόησαν, εἰπόντες αὐτὸ τοῦτο, Συγγινώσκομεν
αὐτῷ. οὐ γὰρ οἶδε καισαρεύειν. καὶ οἱ μὲν οὕτω τότ' ἐρριψοκιν-
δύνουν, καὶ τῆς ἀσελγείας, ἐφ' ἧς ἀεί ποτε κακῶς ἀπαλλάτ-
τουσιν, ἄδην ἐνεφοροῦντο, τῇ τοῦ αὐτοκράτορος ἐπιεικείᾳ ἀπο-
χρώμενοι. ὁ δὲ Οὐεσπασιανὸς μετὰ ταῦτα ἐς τὴν Ῥώμην ἐ-
ληλύθει, καὶ Μουκιανῷ μὲν ἄλλοις τε τῶν πρώτων ἐν τῷ Βρεντε-
195 σίῳ ἐνέτυχε, Δομιτιανῷ δὲ ἐν Βενεβέντῳ. ὑπὸ γὰρ τοῦ συνειδότος
A ὧν τε ἐφρόνει καὶ ὧν ἐπεποιήκει, οὔτι ἐθάρσει, καὶ προσέτι καὶ
μωρίαν ἔστιν ὅτε προσεποιεῖτο. ἐν γοῦν τῷ Ἀλβανῷ χωρίῳ
τὰ πλεῖστα διάγων, ἄλλα τε πολλὰ καὶ γελοῖα ἔπραττε, καὶ τὰς

μυίας γραφείοις κατεκέντα. τοῦτο γὰρ εἰ καὶ ἀνάξιον τῷ τῆς ἱστορίας ὄγκου ἐστὶν, ἀλλ' ὅτι γε ἱκανῶς τὸν τρόπον αὐτοῦ ἐνδείκνυται, ἀναγκαίως ἔγραψα· καὶ μάλισθ' ὅτι καὶ μοναρχήσας ὁμοίως αὐτὸ ἐποίει. ὅθεν οὐκ ἀχαρίτως τις εἶπε πρὸς τὸν ἐρωτῶντα τί πράττει Δομιτιανὸς, ὅτι ἰδιάζει τε, καὶ οὐδὲ μυῖα αὐτῷ παρακάθηται. ὁ δὲ Οὐεσπασιανὸς ἐκείνου μὲν ἐταπείνου τὸ φρόνημα, τοὺς δὲ ἄλλους πάντας οὐχ ὡς αὐτοκράτωρ, B ἀλλ' ὡς ἰδιώτης, μνήμῃ τῆς προτέρας αὐτοῦ τύχης ἐδεξιοῦτο. τόν τε νεὼν τὸν ἐν Καπιτωλίῳ εὐθὺς οἰκοδομεῖν ἤρξατο, αὐτός τι τοῦ χοῦ πρῶτος ἐκφορήσας. καὶ δηλονότι καὶ τοῖς ἄλλοις τοῖς ἐπιφανεστάτοις τὰ αὐτὰ ὑποποιῆσαι κελεύσας, ἵνα καὶ τῷ λοιπῷ πλήθει ἀπαραίτητον τὸ διακόνημα γένηται. μεγαλοφρονέστατα δὲ ἀεί ποτε ἐς τὸ κοινὸν ὅσα ἐχρῆν ἀναλώσας, καὶ τὰς πανηγύρεις πολυτελέστατα διαθεὶς, ἀτελέστατα διὰ τοῦτο καὶ οὐδὲν ἔξω τῶν πάνυ ἀναγκαίων ἐδαπάνα. καὶ διὰ τοῦτο οὐδὲ ἐν τοῖς καπηλείοις ἑφθόν τι πλὴν ὀσπρίων πιπράσκεσθαι ἐπέτρεπε. κἀκ τούτου καὶ τὰ μάλιστα διέδειξεν ὅτι C τὰς συλλογὰς τῶν χρημάτων οὐκ εἰς τὰς ἑαυτοῦ ἡδονὰς, ἀλλ' ἐς τὰς τοῦ δήμου χρείας ἐποιεῖτο. καταστάσει δὲ τοῦ βίου τοιᾶδε ἐχρῆτο· ὀλίγα μὲν ἐν τῷ παλατίῳ ᾤκει, τὸ δὲ δὴ πλεῖστον ἐν τοῖς κήποις τοῖς καλουμένοις Σαλουστίοις διέτριβεν· κἀνταῦθα τὸν βουλόμενον οὐχ ὅτι τῶν βουλευτῶν, ἀλλὰ καὶ τῶν ἄλλων, ἐσεδέχετο. καὶ τοῖς πάνυ φίλοις καὶ πρὸ τῆς ἕω ἔν τε τῇ εὐνῇ κείμενος συνεγίνετο, καὶ ἕτεροι ἐν ταῖς ὁδοῖς αὐτὸν ἠσπάζοντο. αἵ τε θύραι τῶν βασιλείων ἀνεῳγμέναι διὰ πάσης τῆς ἡμέρας ἦσαν, καὶ φρουρὸς οὐδεὶς ἐν αὐταῖς ἐγκαθειστήκει. ἔς τε τὸ συνέ- D δριον διὰ παντὸς ἐφοίτα, καὶ περὶ πάντων αὐτοῖς ἐπεκοίνου, καὶ τῇ ἀγορᾷ πολλάκις ἐδίκαζεν. ὅσα τε μὴ ἐδυνάτο αὐτὸς ὑπὸ τοῦ γήρως ἀναλέγεσθαι, ἢ καὶ ὅσα ἀπὼν ἐπέστελλε τῇ βουλῇ, διὰ τῶν υἱέων αὐτοῦ ὡς τὸ πολὺ ἐκέλευεν ἀναγινώσκεσθαι, τιμῶν καὶ τούτῳ αὐτήν. συσσίτους τε ἔκ τε αὐτῶν ἐκείνων καὶ

ἐκ τῶν ἄλλων καθ' ἑκάστην ἡμέραν συχνοὺς ἐποιεῖτο, καὶ πολ-
196 λάκις καὶ αὐτὸς παρὰ τοῖς πάνυ φίλοις ἐδείπνει. τό, τε σύμπαν
A τῇ προνοίᾳ τῶν κοινῶν αὐτοκράτωρ ἐνομίζετο, ἐς δὲ δὴ τἆλλα
πάντα κοινὸς καὶ ἰσοδίαιτος σφίσιν ἦν. καὶ γὰρ ἔσκωπτε δημο-
τικῶς καὶ ἀντεσκώπτετο ἡδέως· εἴ τε τινὰ γράμματα, οἷα εἰώ-
θει, ἀνώνυμα εἰς τοὺς αὐτοκράτορας προπηλακισμὸν αὐτῷ
φέροντα ἐξετέθη ποτέ, ἀντεξετίθει τὰ πρόσφορα μηδὲν τα-
ραττόμενος. τοῦ τε Φοίβου προσελθόντος αὐτῷ καὶ ἀπολογου-
μένου ὅτι ἐπὶ τοῦ Νέρωνος ἐσκυθρωπακότα ποτὲ ἐπὶ τοῦ θεά-
τρου ἐν τῇ Ἑλλάδι, ἐφ' οἷς ἀσχημονοῦντα ἑώρα τὸν αὐτοκράτο-
B ρα, ἐκέλευσε πρὸς ὀργὴν ἀπελθεῖν· τοῦ δὲ ἐρομένου, Ὅποι; Ἐς
κόρακας, εἶπεν. ὑπὲρ τούτου οὖν ἀπολογουμένου τοῦ Φοίβου,
οὔτε τι κακὸν αὐτὸν εἰργάσατο, οὔτ' ἀπεκρίνατο αὐτῷ ἄλλο οὐ-
δέν, πλὴν αὐτὸ τοῦτο ὅτι Ἐς κόρακας ἄπελθε. τοῦ δὲ Οὐολο-
γαίσου ἐπιστείλαντος αὐτῷ οὕτως, Βασιλεὺς βασιλέων Ἀρσά-
κης Φλαβίῳ Οὐεσπασιανῷ χαίρειν, οὔτε τι αὐτὸν ᾐτιάσατο,
καὶ ἀντέγραψε τὸν αὐτὸν τρόπον, μηδὲν τῶν τῆς ἀρχῆς ὀνομά-
των προσθείς. ἐπεὶ δὲ Πρίσκος Ἑλουίδιος ὁ τοῦ Θρασέου γαμ-
βρός, τοῖς τε Στωϊκοῖς δόγμασιν ἐντραφείς, καὶ τὴν τοῦ Θρα-
C σέου παρρησίαν οὐ σὺν καιρῷ μιμούμενος, στρατηγῶν δὲ τηνι-
καῦτα, οὔτε τι πρὸς τιμὴν αὐτοκράτορος ἔδρα, καὶ προσέτι
καὶ βλασφημῶν αὐτὸν οὐκ ἐπαύετο· καί ποτε διὰ τοῦτο οἱ δή-
μαρχοι συλλαβόντες αὐτὸν, τοῖς ὑπηρέταις παρέδοσαν· συνε-
χύθη τε ὁ Οὐεσπασιανός, καὶ δακρύσας ἐκ τοῦ βουλευτηρίου
ἐξῆλθε· τοσοῦτον μόνον εἰπών, ὅτι ἐμὲ μὲν υἱὸς διαδέξεται, ἢ
οὐδεὶς ἄλλος. ὡς δ' οὖν καὶ ἄλλοι πολλοὶ ἐκ τῶν Στωϊκῶν κα-
λουμένων λόγων προαχθέντες, μεθ' ὧν καὶ Δημήτριος ὁ κυ-
νικός, συχνὰ καὶ οὐκ ἐπιτήδεια τοῖς παροῦσι δημοσίᾳ, τῷ τῆς φι-
λοσοφίας προσχήματι καταχρώμενοι, διελέγοντο, κἀκ τού-
D του καὶ ὑποδιέφερόν τινας, ἔπεισεν ὁ Μουκιανὸς τὸν Οὐεσπα-
σιανὸν πάντας τοὺς τοιούτους ἐκ τῆς πόλεως ἐκβαλεῖν, εἰπὼν

ὀργῇ μᾶλλον ἢ φιλολογίᾳ χρώμενοι πολλὰ κατ' αὐτῶν. καὶ πάντας
αὐτίκα τοὺς φιλοσόφους ὁ Οὐεσπασιανός, πλὴν τοῦ Μουσω-
νίου, ἐκ τῆς Ῥώμης ἐξέβαλε, τὸν δὲ Δημήτριον καὶ τὸν Ὁστί-
λιον καὶ ἐς νήσους κατέκλεισε· καὶ ὁ μὲν Ὁστίλιος, εἰ καὶ τὰ μά-
λιστα μὴ ἐπαύσατο περὶ τῆς φυγῆς ἀκούσας (ἔτυχε γὰρ διαλεγό-
μενός τινι) ἀλλὰ καὶ πολλῷ πλείω κατὰ τῆς μοναρχίας κατέδρα-
μεν, ὅμως παραχρῆμα μετέστη· τῷ δὲ Δημητρίῳ μηδ' ὡς
ὑπείκοντι, ἐκέλευσεν ὁ Οὐεσπασιανὸς λεχθῆναι ὅτι Σὺ μὲν 197
πάντα ποιεῖς ἵνα σε ἀποκτείνω, ἐγὼ δὲ κύνα ὑλακτοῦντα οὐ A
φονεύω. τότε δὲ καὶ Καινὶς ἡ τοῦ Οὐεσπασιανοῦ παλλακὴ με-
τήλλαξεν. ἐμνημόνευσα δὲ αὐτῆς ὅτι τε πιστοτάτη ἦν, καὶ ὅτι
μνήμης ἄριστα ἐπεφύκει· πρὸς γοῦν τὴν δέσποιναν τὴν Ἀν-
τωνίαν τὴν τοῦ Κλαυδίου μητέρα κρύφα τι δι' αὐτῆς τῷ Τι-
βερίῳ περὶ τοῦ Σιάνου γράψασαν, καὶ αὐτὸ ἀπαλειφθῆναι
εὐθύς, ὅπως μηδεὶς αὐτοῦ ἔλεγχος ὑπολειφθῇ, κελεύσασαν,
Μάτην, ὦ δέσποινα, ἔφη, τοῦτο προσέταξας. πάντα γὰρ καὶ
ταῦτα καὶ τὰ ἄλλα ὅσα ὑπαγορεύσῃς μοι, ἔν τε τῇ ψυχῇ ἀεὶ φέ-
ρω, καὶ οὐδέποτε ἐξαλειφθῆναι δύναται. τοῦτό τε οὖν αὐτῆς B
ἐθαύμασα, καὶ προσέτι ὅτι καὶ ὁ Οὐεσπασιανὸς αὐτῇ ὑπερέ-
χαιρε. πλεῖστόν τε διὰ τοῦτο ἴσχυσε, καὶ πλοῦτον ἀμύθητον ἤθροι-
σεν, ὥστε καὶ νομισθῆναι ὅτι δι' αὐτῆς ἐκείνης ἐχρηματίζετο.
πάμπολλα γὰρ παρὰ πολλῶν ἐλάμβανε, τοῖς μὲν ἀρχάς, τοῖς
δὲ ἐπιτροπείας, στρατείας, ἱερωσύνας, ἤδη δέ τισι καὶ ἀπο-
φάσεις αὐτοῦ πιπράσκουσα. ἀπέκτεινε μὲν γὰρ ὁ Οὐεσπασι-
ανὸς χρημάτων ἕνεκα οὐδένα, ἔσωσε δὲ πολλοὺς τῶν δι-
δόντων· καὶ ἡ μὲν λαμβάνουσα ἐκείνη ἦν, ὑπωπτεύετο δὲ C
ὁ Οὐεσπασιανὸς ἑκὼν αὐτῇ ἐπιτρέπειν τοῦτο ποιεῖν ἐκ τῶν
ἄλλων ὧν ἔπραττεν, ὧν ὀλίγα δείγματος ἕνεκα διηγήσομαι.
ἀνδριάντα γὰρ πέντε καὶ εἴκοσι μυριάδων στήσειν οἱ ψηφισαμέ-
νων τινῶν, προέτεινε τὴν χεῖρα καὶ ἔφη, Δότε μοι τὸ ἀργύ-
ριον· ἡ γὰρ βάσις αὐτοῦ αὕτη ἐστί. καὶ πρὸς τὸν Τίτον ἀγανα-

καὶ ταῦτα τῷ τοῦ οὔρου τέλει, ὃ καὶ αὐτὸ μετὰ τῶν ἄλλων κατε-
δείχθη, εἶπε λαβὼν ἐξ αὐτοῦ χρυσοῦς πεπορισμένους, καὶ δεί-
ξας αὐτῷ, Ἰδοὺ τέκνον εἴ τι ὄζουσιν. ἐπὶ δὲ τοῦ Οὐεσπασιανοῦ
ἕκτον καὶ ἐπὶ τοῦ Τίτου τέταρτον ἀρχόντων, τὸ τῆς εἰρήνης τέ-
D μενος καθιερώθη· ὅ, τε κολοσσὸς ὠνομασμένος ἐν τῇ ἱερᾷ ὁδῷ
ἱδρύθη. φασὶ δὲ αὐτὸν τό, τι ὕψος ἑκατὸν ποδῶν, καὶ τὸ εἶδος, οἱ
μὲν τὸ τοῦ Νέρωνος, οἱ δὲ τὸ τοῦ Τίτου ἔχειν. σφαγὰς δὲ ὁ Οὐεσπα-
σιανὸς θηρίων μὲν ἐποιεῖτο ἐν τοῖς θεάτροις· μονομαχίαις δὲ
ἀνδρῶν οὐ πάνυ τι ἔχαιρε, καίτοι τοῦ Τίτου ἐν ταῖς τῶν νεανί-
σκων παιδιαῖς τῆς ἐν τῇ πατρίδι αὐτοῦ τελουμέναις σκιαμα-
χήσαντός ποτε πρὸς τὸν Ἀλλιηνὸν ὅπλοις. τοῖς δὲ Πάρθοις πολε-
μωθεῖσι πρός τινας, καὶ τῆς παρ' αὐτοῦ συμμαχίας δεηθεῖσιν
198 οὐκ ἐβοήθησεν, εἰπὼν ὅτι οὐ προσήκει αὐτῷ τὰ ἀλλότρια πο-
A λυπραγμονεῖν. Βερονίκη δὲ ἰσχυρῶς τε ἤνθει, καὶ διὰ τοῦτο καὶ ἐς
τὴν Ῥώμην μετὰ τοῦ ἀδελφοῦ τοῦ Ἀγρίππα ἦλθε· καὶ ὁ μὲν
στρατηγικῶν τιμῶν ἠξιώθη, ἡ δὲ ἐν τῷ παλατίῳ ᾤκησε, καὶ τῷ
Τίτῳ συνεγίγνετο. προσεδοκᾶτο δὲ γαμηθήσεσθαι αὐτῷ, καὶ
πάντα ἤδη ὡς καὶ γυνὴ αὐτοῦ οὖσα ἐποίει, ὥστ' ἐκεῖνον δυσ-
χεραίνοντας τοὺς Ῥωμαίους ἐπὶ τούτοις ᾐσθημένον ἀποπέμψα-
σθαι αὐτήν. ἄλλως τε γὰρ πολλὰ ἐθρυλλεῖτο, καί τινες καὶ τότε σο-
B φισταὶ κύνειοι ἐς τὸ ἄστυ πως παρεδεδυκότες, Διογένης μὲν πρό-
τερος ἐς τὸ θέατρον πλῆρες ἀνδρῶν ἐσῆλθε, καὶ πολλὰ αὐτοὺς
λοιδορήσας, ἐμαστιγώθη· Ἡρᾶς δὲ μετ' αὐτὸν ὡς οὐδὲν πλεῖον
πεισόμενος, πολλὰ καὶ ἄτοπα κυνηδὸν ἐξέκραγε, καὶ διὰ τοῦτο
καὶ τὴν κεφαλὴν ἀπετμήθη. καθ' ὃν δὴ καιρὸν καὶ ταῦτα ἐ-
γένετο· οἶνός τε γὰρ ἐν καπηλείῳ τινὶ τοσοῦτος ὑπὲρ τὸ ἀγγεῖον
ὑπερεχύθη, ὥστε καὶ ἐς τὴν ὁδὸν προσχωρῆσαι. καὶ ὁ Σαβῖνος
ἐκεῖνος ὁ Γαλάτης ὁ Καίσαρά ποτε ἑαυτὸν ὀνομάσας, καὶ ἐς
C ὅπλα χωρήσας, ἡττηθείς τε καὶ ἐς τὸ μνημεῖον κατακρυφθείς,
ἐφανερώθη τε καὶ ἐς τὴν Ῥώμην ἀνήχθη. συναπέθανε δὲ αὐ-
τῷ καὶ ἡ γυνὴ Πεπονίλα, ἥπερ που καὶ διεσεσώκει αὐτόν· καίτοι

καὶ τὰ

καὶ τὰ παιδία τῷ Οὐεσπασιανῷ προσβαλοῦσα, καὶ ἐλεεινό-
τατον ἐπ' αὐτοῖς λόγον εἰποῦσα ὅτι Ταῦτα, Καῖσαρ, καὶ ἐγέννη-
σα ἐν τῷ μνημείῳ καὶ ἔθρεψα, ἵνα σε πλείονες ἱκετεύσωμεν.
δακρῦσαι μὲν γὰρ αὐτόν καὶ τοὺς ἄλλους ἐποίησεν, οὐ μέντοι καὶ
ἠλεήθησαν. καὶ τούτῳ ἐπεβουλεύθη μὲν ὑπό τε τοῦ Ἀλιηνοῦ
καὶ ὑπὸ τοῦ Μαρκέλλου, καίπερ φίλους τε αὐτοὺς ἐν τοῖς μά-
λιστα νομίζων, καὶ πάσῃ εἰς αὐτοὺς ἀφθονωτάτῃ τιμῇ χρώμε-
νος· οὐ μὴν καὶ ὑπ' ἐκείνων ἀπέθανε. φωραθέντες γὰρ, Ἀλιη- D
νὸς μὲν γὰρ αὐτοῦ ἐν τῷ βασιλείῳ ἐξαναστὰς ἐκ τοῦ συσσιτίου, εὐ-
θὺς ἀπεσφάγη τοῦ Τίτου κελεύσαντος, μὴ καὶ φθάσῃ τι τῆς νυκτὸς
νεοχμῶσαι, τῶν γὰρ στρατιωτῶν συχνοὺς προπαρεσκεύαστο· Μάρ-
κελλος δὲ κριθεὶς ἐν τῷ συνεδρίῳ καὶ καταδικασθεὶς, ἀπέτε-
με τὸν λαιμὸν αὐτὸς ἑαυτοῦ ξυρῷ. οὕτω που τοὺς φύσει κακοὺς
οὐδὲ αἱ εὐεργεσίαι νικῶσιν, ὁπότε κἀκεῖνοι τὸν τοσαῦτα εὐηργε-
τηκότα σφᾶς ἐπεβούλευσαν. ταῦτα μὲν οὕτως ἐγένετο. Οὐεσπα-
σιανὸς δὲ, ὡς μὲν ἡ ἀλήθεια ἔχει, νοσήσας οὐ τῇ ποδάγρᾳ τῇ
συνήθει, ἀλλὰ πυρετοῖς, μετήλλαξεν ἐν τοῖς ὕδασι τῶν Σαβί- 199
νων τοῖς Κουτιλίοις ὠνομασμένοις· ὡς δέ τινες καταψευδόμε- A
νοι τοῦ Τίτου ἄλλοι τε καὶ ὁ Ἀδριανὸς ἐφήμισαν, φάρμακον ἐν
συμποσίῳ τινὶ λαβών. ἐνεγεγόνει δὲ σημεῖα αὐτῷ φέροντα εἰς
τοῦτο, ὅ, τε ἀστὴρ κομήτης ἐπὶ πολὺ φαντασθεὶς, καὶ τὸ μνη-
μεῖον τὸ τοῦ Αὐγούστου αὐτόματον ἀνοιχθέν. τῶν δὲ ἰατρῶν ἐπι-
τιμώντων αὐτῷ ὅτι τῇ τε ἄλλῃ διαίτῃ ὁμοίᾳ νοσῶν ἐχρῆτο, καὶ
πάντα τὰ προσήκοντα τῇ ἀρχῇ ἔπραττεν, αὐτοκράτορα δ'
ἔφη ἑστῶτα ἀποθνήσκειν. καὶ πρὸς τοὺς περὶ τοῦ κομήτου τι
διαλαλοῦντας, Οὐκ ἔμοιγε, εἶπεν, ἀλλὰ τῷ τῶν Πάρθων B
βασιλεῖ προσημαίνει· ἐκεῖνος γὰρ κομᾷ, ἐγὼ δὲ φαλακρός εἰμι.
ἐπειδή τε ἐπίστευσεν ὅτι τελευτήσει, ἔφη, Θεὸς ἤδη γίνο-
μαι. ἔζησε δὲ ἔτη ἐννέα καὶ ἑξήκοντα, καὶ μῆνας ὀκτώ· ἐμο-
νάρχησε δὲ ἔτη δέκα ἡμερῶν ἓξ δέοντα. κἀκ τούτου συμβαί-
νει ἐνιαυτόν τε καὶ δύο καὶ εἴκοσιν ἡμέρας ἀπὸ τοῦ θανάτου τοῦ

Νέρωνος μέχρι τῆς τοῦ Οὐεσπασιανοῦ ἀρχῆς διελθεῖν. ἔγραψα δὲ τοῦτο τοῦ μή τινας ἀπατηθῶσι, τὴν ἐξαρίθμησιν τοῦ χρόνου πρὸς τοὺς τὴν ἡγεμονίαν ἔχοντας ποιουμένους. ἐκεῖνοι μὲν
C γὰρ οὐ διεδέξαντο ἀλλήλους, ἀλλὰ ζῶντές τε καὶ ἐπ' ἄρχοντος ἑτέρου, ἕκαστος αὐτῶν ἐπίστευσεν αὐτοκράτωρ, ἀφ' οὗ γε καὶ ἐς τοῦτο παρέκυψεν, εἶναι. δεῖ δή οὐ πάσας σφᾶς τὰς ἡμέρας, ὡς καὶ ἐφεξῆς ἀλλήλαις ἐκ διαδοχῆς γινομένας ἀριθμεῖν, ἀλλ' ἐφάπαξ πρὸς τὴν ἀκρίβειαν τοῦ χρόνου, καθάπερ εἴρηταί μοι, λογίζεσθαι.

ΤΙΤΟΣ.

Ο ΔΕ δὴ Τίτος οὐδὲν οὔτε φονικὸν, οὔτε ἐρωτικὸν μοναρχήσας ἔπραξεν, ἀλλὰ χρηστὸς, καίπερ ἐπιβουλευθεὶς, καὶ σώφρων, καίτοι καὶ τῆς Βερονίκης εἰς Ῥώμην αὖθις ἐλθούσης, ἐγένετο. τάχα μὲν γὰρ καὶ μετεβάλετο. οὐ γὰρ ὁ-
D μοίως δή τινες παραδυναστεύουσι καὶ αὐτοὶ αὐταρχοῦσιν, ἀλλ' ἐκεῖνοι μὲν ἀφροντιστοῦντες τῆς ἐκ τοῦ κράτους δόξης, τῇ τε ἐξου-
200 σίᾳ αὐτοῦ ἀπλήστως ἀποχρῶνται, καὶ πολλὰ ἐπί τε φθόνῳ καὶ
A διαβολῇ αὐτοῦ ποιοῦσιν· οἱ δὲ ἐπ' αὐτοῖς πάντα ἀνακείμενα εἰδότες, φροντίζουσί τι καὶ τῆς εὐδοξίας. ὥσπερ που καὶ ὁ Τίτος πρός τινα, ὃν πρότερον ἐσπουδάκει, ἔφη ὅτι Οὐχ ὅμοιόν ἐστιν ἑτέρου τι δεῖσθαι, καὶ αὐτὸν δικάζειν, οὐδὲ παρ' ἄλλου τι αἰτεῖν, καὶ αὐτὸν διδόναι τινί. ἤδη δὲ καὶ ὅτι ἐπὶ βραχύτατον, ὥς γε ἐς ἡγεμονίαν εἰπεῖν, ἐπεβίω, ὥστε μηδ' ἁμαρτίαν τινὰ αὐτοῦ ἐξελεγχθῆναι. δύο τε γὰρ αὐτοῦ ἔτη μετὰ τοῦτο καὶ μῆνας δύο, ἡμέρας τε εἴκοσιν ἔζησεν, καὶ ἐπ' ἐννέα καὶ τεσσαράκοντα ἔτεσι, καὶ μησὶ πέντε, καὶ ἡμέραις πέντε καὶ εἴκοσι. καὶ αὐτὸν ἐξίσου κατὰ τὸ

τῇ τοῦ Αὐγούστου πολυετίᾳ ἄγουσι, λέγοντες ὅτι οὔτ' ἂν ἐκεῖνος B
ἐφιλήθη ποτέ, εἰ ἐλάττω χρόνον ἐζήκει, οὔτ' ἂν οὗτος, εἰ πλείο-
να· ὁ μὲν, ὅτι τραχύτερος καὶ ἀρχὰς διά τε τοὺς πολεμίους καὶ
διὰ τὰς στάσεις γενόμενος, ἠδυνήθη μετὰ ταῦτα εὐεργεσίαις ἐν
τῷ χρόνῳ λαμπρυνέσθαι, ὁ δ', ὅτι ἐπιεικῶς ἄρξας ἐν ἀκμῇ τῆς
δόξης ἀπέθανε· τάχα ἂν ἐλεγχθεὶς εἴη ἐπὶ μακρὸν ἐβεβιώ-
κει, ὅτι εὐτυχίᾳ πλείονι ἢ ἀρετῇ ἐχρήσατο. οὐ μὴν ἀλλ' ὁ Τίτος
οὐδένα τῶν βουλευτῶν ἐν τῇ αὐτοῦ ἡγεμονίᾳ ἀπέκτεινεν, ἀλλ' C
οὐδὲ ἄλλος τις αὐτοῦ ἐπὶ τῆς αὐτοῦ ἀρχῆς ἐτελεύτησε. τάς τε δί-
κας τὰς τῆς ἀσεβείας οὔτ' αὐτός ποτε ἐδέξατο, οὔτ' ἄλλοις ἐ-
πέτρεψε, λέγων ὅτι Ἐγὼ μὲν οὐδὲν οὐδ' ὑβρισθῆναι, οὔτε
προπηλακισθῆναι δύναμαι. οὔτε γὰρ ἄξιόν τι ἐπιτιμίας ποιῶ,
οὔτε μοι μέλει τῶν ψευδῶς λεγομένων. οἱ δὲ μεταλλάξαντες τῶν
αὐτοκρατόρων, αὐτοὶ ἑαυτοῖς, ἄνπερ ὡς ἀληθῶς ἥρωές τε ὦσι
καὶ δύναμίν τινα ἔχωσι, τιμωρήσουσιν, ἄν τίς τι αὐτοὺς ἀδική-
σῃ. πολλὰ δὲ καὶ ἄλλα πρός τε τὸ ἀσφαλὲς καὶ πρὸς τὸ ἄλυ-
πον τῶν ἀνθρώπων κατεστήσατο. καὶ γὰρ γράμματα ἐξέθηκε βε- D
βαιῶν πάντα τὰ ὑπὸ τῶν προτέρων αὐτοκρατόρων βεβαιω-
θέντα τισὶν, ὥστε μὴ καθ' ἑκάστους σφᾶς αἰτοῦντας αὐτὸν πρά-
γματα ἔχειν. τούς τε μηνυτὰς ἐξήλασεν ἐκ τῆς πόλεως. κἀν
τούτῳ πολέμου αὖθις ἐν τῇ Βρεττανίᾳ γενομένου, τά τε τῶν
ἐκεῖ πολεμίων Γναῖος Ἰούλιος Ἀγρικόλας πάντα κατέδραμε,
καὶ πρῶτός γε Ῥωμαίων ὧν ἡμεῖς ἴσμεν, ἔγνω τοῦθ' ὅτι ἡ
Βρεττανία περίρρυτός ἐστι. στρατιῶται γάρ τινες στασιάσαντες,
καὶ ἑκατοντάρχους χιλίαρχόν τε φονεύσαντες, ἐς πλοῖα κα- 201
τέφυγον· καὶ ἐξαναχθέντες περιέπλευσαν τὰ πρὸς ἑσπέ- A
ραν αὐτῆς, ὥς που τό, τε κῦμα καὶ ὁ ἄνεμος αὐτοὺς ἔφερε·
καὶ ἔλαθον ἐκ τοῦ ἐπὶ θάτερα, πρὸς τὰ στρατόπεδα τὰ
ταύτῃ ὄντα προσσχόντες. κἀκ τούτου καὶ ἄλλους ὁ Ἀγρικόλας
πειράσοντας τὸν περίπλουν πέμψας, ἔμαθε καὶ παρ' ἐκεί-
νων ὅτι νῆσός ἐστιν. ἐν μὲν τῇ Βρεττανίᾳ ταῦτ' ἐγένετο, καὶ ἀπ'

αὐτῶν ὁ μὲν Τίτος αὐτοκράτωρ τὸ πεντεκαιδέκατον ἐπικλή-
θη· ὁ δὲ Ἀγρικόλας ἔν τε ἀτιμίᾳ τὸ λοιπὸν τοῦ βίου καὶ ἐν ἐν-
B δείᾳ, ἅτε καὶ μείζονα ἢ κατὰ στρατηγὸν καταπράξας, ἔζησε·
καὶ τέλος ἐσφάγη διὰ ταῦτα ὑπὸ Δομιτιανοῦ, καίπερ τὰς
ἐπινικίους τιμὰς παρὰ τοῦ Τίτου λαβών. ἐν δὲ τῇ Καμπα-
νίᾳ φοβερά τινα καὶ θαυμαστὰ συνηνέχθη. πῦρ γὰρ μέγα
κατ' αὐτὸ τὸ φθινόπωρον ἐξαπιναίως ἐξήφθη. τὸ γὰρ ὄρος τὸ
Βέσβιον ἔστι μὲν πρὸς τῇ θαλάσσῃ κατὰ Νέαν πόλιν, ἔχει δὲ πυ-
ρὸς πηγὰς ἀφθόνους. καὶ ἦν μέν ποτε πᾶν ὁμοίως ὑψηλὸν, καὶ
ἀπ' αὐτοῦ μέσου τὸ πῦρ ἀνέτελλε (ταύτῃ γὰρ πεπύρωται μό-
C νον) τὰ δὲ ἔξωθεν αὐτοῦ πάντα ἄπυρα καὶ νῦν ἔτι διαμένει.
ἐκ δὲ τούτου ἐκείνων μὲν ἀκαύστων ἀεὶ ὄντων, τῶν δὲ ἐν τῷ μέ-
σῳ κραυρουμένων καὶ τεφρουμένων, αἱ πέριξ κορυφαὶ τὸ ἀρ-
χαῖον ὕψος ἐς δεῦρο ἔχουσι· τὸ δὲ ἔμπυρον πᾶν, δαπανηθὲν ἐν
τῷ χρόνῳ, κοῖλον ἐκ τοῦ συνιζάνειν γέγονεν, ὥστε κυνηγετικῷ τινὶ
θεάτρῳ τὸ ὄρος σύμπαν (ὡς μικρὰ μεγάλοις εἰκάσαι) ἐοικέ-
ναι· καὶ αὐτοῦ τὰ μὲν ἄκρα καὶ δένδρα καὶ ἀμπέλους πολλὰς ἔ-
χει, ὁ δὲ δὴ κύκλος ἀνεῖται τῷ πυρὶ, καὶ ἀναδίδωσι τῆς μὲν ἡμέ-
D ρας καπνὸν, τῆς δὲ νυκτὸς φλόγα, ὥστε δόξαι πολλὰ ἐν αὐτῷ
καὶ παντοδαπὰ θυμιᾶσθαι θυμιάματα. καὶ τοῦτο μὲν οὕτως
ἀεὶ, ποτὲ μὲν ἐπὶ μᾶλλον, ποτὲ δὲ ἐπὶ ἧττον γίνεται· πολλάκις
δὲ τέφραν ἀναβάλλει ὅταν ἀθρόον τι ὑφιζήσῃ, καὶ λίθους ἀνα-
πέμπει ὅταν ὑπὸ πνεύματος ἐκβιασθῇ. ἠχεῖ τε καὶ βοᾷ,
ἅτε μὴ συμπεπιλημένας, ἀλλὰ ἀραιὰς καὶ λαθραίας τὰς ἀνα-
πνοὰς ἔχον. τοιοῦτον μὲν τὸ Βέσβιόν ἐστι, καὶ ταῦτα ἐν αὐτῷ καθ'
ἔτος ὡς πλήθει γίνεται. ἀλλὰ τὰ μὲν ἄλλα ὅσα ἐκείνῳ τῷ χρό-
202 νῳ συνηνέχθη, εἰ καὶ μεγάλα παρὰ τὸ καθεστηκὸς τοῖς ἀεὶ ὁ-
A ρῶσιν αὐτὰ εἶναι ἔδοξε, σμικρὰ ἂν πρὸς τὰ τότε συμβάντα, καὶ
τὰ πάντα εἰς ἓν συναχθέντα νομισθείη. ἐγένετο γὰρ οὕτως· ἄνδρες
πολλοὶ καὶ μεγάλοι πᾶσαν τὴν ἀνθρωπίνην φύσιν ὑπερβε-
βληκότες, οἷοι οἱ γίγαντες γράφονται, τοῦτο μὲν ἐν τῷ ὄρει, τοῦτο

δὲ ἐν τῇ περὶ αὐτὸ χώρᾳ ταῖς τε πόλεσι, μεθ' ἡμέραν καὶ νύκτωρ ἐν τῇ γῇ περινοστοῦντες, καὶ ἐν τῷ ἀέρι διαφοιτῶντες ἐφαντάζοντο. καὶ μετὰ τοῦτ' αὐχμοί τε δεινοὶ καὶ σεισμοὶ ἐξαίφνης σφοδροὶ ἐγίνοντο, ὥστε καὶ τὸ πεδίον ἐκεῖνο πᾶν ἀναβράττεσθαι, καὶ τὰ ἄκρα ἀναπηδᾶν. ἠχαί τε αἱ μὲν ὑπόγειοι, βρονταῖς B ἐοικυῖαι, αἱ δὲ ἐπίγειοι, μυκηθμοῖς ὅμοιαι συνέβαινον· καὶ ἥ τε θάλασσα συνέβρεμε, καὶ ὁ οὐρανὸς συνεπήχει, κἀκ τούτου κτύπος τε ἐξαίσιος ἐξαπιναίως, ὡς καὶ τῶν ὀρῶν συμπιπτόντων, ἐξηκούσθη, καὶ ἀνέθορον πρῶτον μὲν λίθοι ὑπερμεγέθεις, ὥστε καὶ ἐς αὐτὰ τὰ ἄκρα ἐξικέσθαι· ἔπειτα πῦρ πολὺ καὶ καπνὸς ἄπλετος, ὥστε πάντα μὲν τὸν ἀέρα συσκιασθῆναι, πάντα δὲ τὸν ἥλιον συγκρυφθῆναι, καθάπερ ἐκλελοιπότα. νύξ τ' οὖν ἡμέρας, καὶ σκότος ἐκ φωτὸς ἐγένετο· καὶ ἐδόκουν οἱ μὲν τοὺς γίγαντας ἐπανίστασθαι (πολλὰ γὰρ καὶ τότε εἴδωλα αὐτῶν ἐν τῷ καπνῷ διεφαίνετο, καὶ προσέτι καὶ σαλπίγγων τις βοὴ ἠκούε- C το) οἱ δὲ καὶ ἐς χάος ἢ καὶ πῦρ τὸν κόσμον πάντα ἀναλίσκεσθαι. καὶ διὰ ταῦτ' ἔφευγον, οἱ μὲν ἐκ τῶν οἰκιῶν ἐς τὰς ὁδούς, οἱ δὲ ἔξωθεν, εἴσω· ἔκ τε τῆς θαλάσσης ἐς τὴν γῆν, καὶ ἐξ ἐκείνης ἐς τὴν θάλασσαν· οἱ ἄλλοι τε ταραττόμενοι, καὶ πᾶν τὸ ἀπὸ σφῶν ἀπὸν ἀσφαλέστερον τοῦ παρόντος ἡγούμενοι. ταῦτά τε ἅμα ἐγίγνετο, καὶ τέφρα ἀμύθητος ἐφυσήθη, καὶ τήν τε γῆν τήν τε θάλασσαν καὶ τὸν ἀέρα πάντα κατέσχε. καὶ πολλὰ μὲν καὶ ἄλλα, ὥς που καὶ ἔτυχε, καὶ ἀνθρώποις καὶ χώραις καὶ βοσκήμασιν ἐλυμήνατο, τοὺς δὲ δὴ ἰχθύας τά τε ὄρνεα πάντα D διέφθειρε· καὶ προσέτι καὶ πόλεις δύο ὅλας, τό τε Ἡρκουλάνεον καὶ τοὺς Πομπηίους, ἐν θεάτρῳ τοῦ ὁμίλου αὐτῆς καθημένου κατέχωσε. τοσαύτη γὰρ ἡ πᾶσα κόνις ἐγένετο ὥστ' ἀπ' αὐτῆς ἦλθε μὲν καὶ ἐς Ἀφρικὴν καὶ Συρίαν καὶ ἐς Αἴγυπτον, ἐσῆλθε δὲ καὶ ἐς τὴν Ῥώμην, καὶ τόν τε ἀέρα τὸν ὑπὲρ αὐτῆς ἐπλήρωσε, καὶ τὸν ἥλιον ἐπεσκίασε. καὶ συνέβη κἀνταῦθα δέος οὐ μικρὸν ἐπὶ πολλαῖς ἡμέραις, οὔτ' εἰδόσι τοῖς ἀνθρώποις τὸ γεγονός, οὔτ' εἰκάσαι

203 δυναμένοις· ἀλλ' ἐνόμιζον καὶ ἐκεῖνοι πάντα ἄνω τε καὶ κάτω
A καταστρέφεσθαι, καὶ τὸν μὲν ἥλιον ἐς τὴν γῆν ἀφανίζεσθαι, τὴν
δὲ γῆν ἐς τὸν οὐρανὸν ἀνιέναι. ἡ μὲν οὖν τέφρα αὕτη οὐδὲν
μέγα τότε κακὸν αὐτοὺς εἰργάσατο· ὕστερον γὰρ νόσον σφίσι λοι-
μώδη δεινὴν ἐνέβαλε. πῦρ δὲ δὴ ἕτερον ἐπίγειον τῷ ἑξῆς ἔτει
πολλὰ πάνυ τῆς Ῥώμης, τοῦ Τίτου πρὸς τὸ πάθημα τὸ ἐν τῇ
Καμπανίᾳ γενόμενον ἐκδημήσαντος, ἐπενείματο. καὶ γὰρ τὸ
Σεραπεῖον, καὶ τὸ Ἰσεῖον, τά τε Σεπτὰ, καὶ τὸ Ποσειδώνειον,
τό, τε βαλανεῖον τὸ τοῦ Ἀγρίππου, καὶ τὸ Πάνθεον, τό, τε Διρι-
βιτώριον, καὶ τὸ τοῦ Βάλβου θέατρον, καὶ τὴν τοῦ Πομπηίου
σκηνὴν, καὶ τὰ Ὀκταουΐα οἰκήματα καὶ μετὰ τῶν βιβλίων, τόν
B τε νεὼν τοῦ Διὸς τοῦ Καπιτωλίου μετὰ τῶν συννάων αὐτοῦ κατέ-
καυσεν. οὕτω τε τὸ κακὸν οὐκ ἀνθρώπινον, ἀλλὰ δαιμόνιον
ἐγένετο. πάρεστι γὰρ ἐκ τούτων ὧν κατέλεξα, παντί τῳ τεκμή-
ρασθαι καὶ τἆλλα τὰ ἀπολλύμενα. ὁ δ' οὖν Τίτος τοῖς μὲν Καμ-
πανοῖς δύο ἄνδρας ἐκ τῶν ὑπατευκότων οἰκιστὰς ἔπεμψε, καὶ
χρήματα ἄλλα τε, καὶ τὰ χρήματα τῶν ἄνευ κληρονόμων τεθνη-
κότων ἐδωρήσατο· αὐτὸς δὲ οὐδὲν οὔτε παρ' ἰδιώτου, οὔτε παρὰ
πόλεως, οὔτε παρὰ βασιλέως, καίτοι πολλῶν πολλὰ διδόντων
αὐτῷ καὶ ὑπισχνουμένων, ἔλαβεν. ἀνέστησέ τοι καὶ ἐκ τῶν ὑπαρ-
C χόντων πάντα. καὶ ἐπὶ μὲν τοῖς ἄλλοις οὐδὲν ἐξαίρετον ἔπραξε,
τὸ δὲ δὴ θέατρον τὸ κυνηγετικὸν, τό, τε βαλανεῖον τὸ ἐπώνυμον
αὐτοῦ ἱερώσας, πολλὰ καὶ θαυμαστὰ ἐποίησε. γέρανοί τε γὰρ ἀλ-
λήλοις ἐμαχέσαντο, καὶ ἐλέφαντες τέσσαρες· ἄλλα τε ἐς ἐνα-
κισχίλια καὶ βοτὰ καὶ θηρία ἀπεσφάγη, καὶ αὐτὰ καὶ γυναῖκες οὐ
μέντοι ἐπιφανεῖς συγκατειργάσαντο. ἄνδρες τε πολλοὶ μὲν ἐμο-
νομάχησαν, πολλοὶ δὲ καὶ ἀθρόοι ἔν τε πεζομαχίαις καὶ ἐν ναυ-
μαχίαις ἠγωνίσαντο. τὸ γὰρ θέατρον αὐτὸ ἐκεῖνο ὕδατος ἐξαί-
φνης πληρώσας, εἰσήγαγε μὲν καὶ ἵππους καὶ ταύρους καὶ ἄλλα
D τινὰ χειροήθη δεδιδαγμένα πάνθ' ὅσα ἐπὶ τῆς γῆς πράττειν,
καὶ ἐν τῷ ὑγρῷ. εἰσήγαγε δὲ καὶ ἀνθρώπους ἐπὶ πλοίων. καὶ οὕτως

μὲν ἐκεῖ, ὡς οἱ μὲν Κερκυραῖοι, οἱ δὲ Κορίνθιοι ὄντες, ἐναυμάχη-
σαν· ἄλλοι δὲ ἔξω ἐν τῷ ἄλσει τῷ τοῦ Γαΐου τοῦ τε Λουκίου, ὅ ποτε
ὁ Αὔγουστος ἐπ' αὐτὸ τοῦτ' ὠρύξατο. καὶ γὰρ ἐνταῦθα τῇ μὲν πρώ-
τῃ ἡμέρᾳ μονομαχία καὶ θηρίων σφαγὴ καταικοδομηθείσης
σανίσι τῆς κατὰ πρόσωπον τῶν εἰκόνων λίμνης, καὶ ἰκρία πέριξ
λαβούσης· τῇ δὲ δευτέρᾳ ἱπποδρομία, καὶ τῇ τρίτῃ ναυμα-
χία τρισχιλίων ἀνδρῶν, καὶ μετὰ τοῦτο καὶ πεζομαχία ἐγένετο. 204
νικήσαντες γὰρ οἱ Ἀθηναῖοι τοὺς Συρακουσίους (τούτοις γὰρ τοῖς A
ὀνόμασι χρησάμενοι ἐναυμάχησαν) ἐπεξῆλθον ἐς τὸ νησίδιον,
καὶ προσβαλόντες τείχει τινὶ περὶ τὸ μνημεῖον πεποιημένῳ,
εἷλον αὐτό. ταῦτα μὲν ἐς ὄψιν ἥκοντα καὶ ἐφ' ἑκατὸν ἡμέρας
ἐγένετο· παρέσχε δέ τινα καὶ ἐς ὠφέλειαν φέροντα αὐτοῖς.
σφαίρια γὰρ ξύλινα μικρὰ ἄνωθεν ἐς τὸ θέατρον ἐρρίπτει, σύμ-
βολον ἔχοντα, τὸ μὲν ἐδωδίμου τινός, τὸ δὲ ἐσθῆτος, τὸ δὲ ἀρ-
γυροῦ σκεύους, ἄλλο χρυσοῦ, ἵππων, ὑποζυγίων, βοσκημάτων,
ἀνδραπόδων· ἃ ἁρπάσαντάς τινας ἔδει πρὸς τοὺς δοτῆρας B
αὐτῶν ἀπενεγκεῖν, καὶ λαβεῖν τὸ ἐπιγεγραμμένον. διαπλέσας
δὲ ταῦτα, καὶ τῇ γε τελευταίᾳ ἡμέρᾳ καταδακρύσας, ὥστε
πάντα τὸν δῆμον ἰδεῖν, οὐδὲν ἔτι μέγα ἔπραξεν, ἀλλὰ τῷ
ἐπιγιγνομένῳ ἔτει ἐπί τε τοῦ Φλαβίου καὶ ἐπὶ τοῦ Πωλίωνος τῶν
ὑπάτων καθιερώσας ὅσα εἴρηται, μετήλλαξεν ἐν τοῖς ὕδασιν,
ἐν οἷς καὶ ὁ πατὴρ αὐτοῦ, ὡς μὲν ἡ φήμη λέγει, πρὸς τοῦ ἀδελφοῦ,
ἄλλως τε ὅτι καὶ πρότερον ἐπεβουλεύθη ὑπ' αὐτοῦ· ὡς δέ τι-
νες γράφουσι, νοσήσας. ἔμπνουν γὰρ ἔτι αὐτὸν ὄντα καὶ τάχα
περισωθῆναι δυνάμενον, ἐς λάρνακα χιόνος πολλῆς γέ-
μουσαν ὁ Δομιτιανὸς ἐνέβαλεν, ἵνα θᾶσσον ἀποθάνῃ. ἔτι C
γοῦν ζῶντος αὐτοῦ ἔς τε τὴν Ῥώμην ἀφίππευσε, καὶ ἐς τὸ
στρατόπεδον εἰσῆλθε, τήν τε ἐπίκλησιν καὶ τὴν ἐξουσίαν τοῦ
αὐτοκράτορος ἔλαβε, δοὺς αὐτοῖς ὅσον περ καὶ ὁ ἀδελφὸς
αὐτοῦ ἐδεδώκει. ὁ δ' οὖν Τίτος ἀποψύχων, εἶπε μὲν ὅτι ἓν μό-
νον ἐπλημμέλησα· τί δὲ δὴ τοῦτο ἦν, οὐ διεσάφησεν, ἀλλ' οὐδὲ

ἄλλος οὐδεὶς ἀκριβῶς ἀνέγνω· οἱ μὲν γὰρ τί, οἱ δὲ τὸ κατείκα-
σαν. κρατεῖ δ' οὖν, ὡς μέν τινες λέγουσιν, ὅτι τὴν Δομιτίαν
τὴν τοῦ ἀδελφοῦ γυναῖκα ἔσχεν, οἱ δὲ ἕτεροι (οἷς ἐγὼ πείθο-
μαι) ὅτι τὸν Δομιτιανὸν σαφῶς ἐπιβουλεύσαντά οἱ λαβὼν,
D οὐκ ἀπέκτεινεν, ἀλλ' αὐτός τι ὑπ' ἐκείνου παθεῖν τοῦτο μᾶλ-
λον εἵλετο, καὶ τὴν τῶν Ῥωμαίων ἀρχὴν ἀνδρὶ τοιούτῳ ἐξέ-
δωκεν ὁποῖον ἡ διέξοδος τοῦ λόγου δηλώσει. ἦρξε δὲ δύο ἔτη καὶ
μῆνας δύο, ἡμέρας τε εἴκοσιν, ὡς προείρηται.

ΔΟΜΙΤΙΑΝΟΣ.

205 ΔΟΜΙΤΙΑΝΟΣ δὲ ἦν μὲν καὶ θρα-
A σύς καὶ ὀργίλος, ἦν δὲ καὶ ἐπίβουλος καὶ
κρυψίνους· ὥστε ἀφ' ἑκατέρων τῶν μὲν τὸ
προπετὲς, τῶν δὲ τὸ δόλιον ἔχων, πολλὰ μὲν
ὡς σκηπτὸς ὀξέως ἐμπίπτων τισὶν, ἐλυμαί-
νετο, πολλὰ δὲ καὶ ἐκ παρασκευῆς ἐκακούργει. θεὸν μὲν γὰρ τὴν
Ἀθηνᾶν ἐς τὰ μάλιστα ἤγαλλε, καὶ διὰ τοῦτο καὶ τὰ Παναθή-
ναια μεγάλως ἑώρταζε· καὶ ἐν αὐτοῖς ἀγῶνας καὶ ποιητῶν καὶ
λογογράφων μονομάχων τε κατ' ἔτος, ὡς εἰπεῖν, ἐν τῷ Ἀλβα-
νῷ ἐποίει. τοῦτο γὰρ τὸ χωρίον ὑπὸ τὸ ὄρος τὸ Ἀλβανὸν, ἀφ' οὗ-
B περ οὕτως ὠνομάσθη, ὃν, ὥσπερ τινὰ ἀκρόπολιν ἐξείλετο. ἄν-
θρωπον δὲ ἐφίλησε μὲν ἀληθῶς οὐδένα, πλὴν γυναικῶν τινων,
ἐπλάττετο δὲ ἀγαπᾶν ἀεὶ ὃν ἀεὶ μάλιστα ἀποσφάξαι ἤθε-
λεν. οὕτω γὰρ ἄπιστος καὶ πρὸς αὐτοὺς τοὺς χαριζομένους τι, ἔς τε
δεινότητα ὑπηρετοῦντας αὐτῷ, ἐγίνετο, ὥσθ' ὁπότε τινὲς ἢ
χρήματα αὐτῷ πολλὰ πορίσειαν, ἢ ἀνθρώπους πολλοὺς συκοφαν-
τήσειαν, πάντως αὐτοὺς ἔφθειρε, καὶ μάλιστα τοὺς δούλους τοὺς
κατὰ δεσποτῶν μηνύσαντας. τοιοῦτος δὲ δὴ πρὸς πάντας παρ'

ὅλην τὴν ἡγεμονίαν γενόμενος, πολὺ καὶ ἑαυτὸν ὑπερεβάλετο ἐν C
τῇ τοῦ πατρὸς τοῦ τε ἀδελφοῦ φίλων ἀτιμίᾳ τε καὶ ὀλεθρίῳ μετα-
χειρίσει. ἐμίσει τε γὰρ αὐτοὺς ὅτι μὴ πάνθ' ὅσα ᾔτει, πολλά τε καὶ
οὐ προσήκοντα ὄντα, παρέσχον αὐτῷ· καὶ ὅτι ἐν τιμῇ τινὶ ἐγεγέ-
νηντο. καὶ διὰ τοῦτο δὲ αὐτὸς Εαρίνου τινὸς εὐνούχου ἐρῶν, ὅμως
ἐπειδὴ καὶ ὁ Τίτος ἰσχυρῶς περὶ τὰς ἐκτομίας ἐσπουδάκει,
ἀπηγόρευσεν ἐπὶ ἐκείνου ὕβρει μηδένα ἔτι ἐν τῇ τῶν Ῥωμαίων
ἀρχῇ ἐκτέμνεσθαι. τὸ δ' ὅλον ἔλεγε τοὺς αὐτοκράτορας τοὺς μὴ
πολλοὺς κολάζοντας, οὐκ ἀγαθούς, ἀλλ' ἀτυχεῖς εἶναι. καί τι δὲ D
σχηματοποιΐᾳ τινὶ ἐοικὸς ἐγένετο· αὐτός τε γὰρ καὶ φιλεῖν τὸν ἀδελ-
φὸν καὶ πενθεῖν προσεποιεῖτο, δὲ τοῖς τε ἐπαίνοις τοῖς ἐπ' αὐτῷ
μετὰ δακρύων ἔλεξε, πάντα τὰ ἐναντιώτατα ὧν ἠβούλετο
σκηπτόμενος. ἀμέλει καὶ τὴν ἱπποδρομίαν τὴν τῶν γενεσίων αὐτοῦ κα- 206
τέλυσε, καὶ οἱ ἄλλοι οὐδ' ὅπως συνάχθοιντο, οὐδ' ὅπως συνήδειντο, A
ἀσφαλῶς εἶχον, τὸ μὲν, ὅτι τὴν γνώμην αὐτοῦ λυπεῖν, τὸ δὲ, ὅτι τὴν
προσποίησιν ἐλέγχειν ἔμελλε. τὴν δὲ γυναῖκα τὴν Δομιτίαν
ἐβουλεύσατο μὲν σφάξαι ἐπὶ μοιχείᾳ, παρακληθεὶς δὲ ὑπὸ
τοῦ Οὔρσου, ἀπεπέμψατο, τὸν Γάριν τὸν ὀρχηστὴν ἐν μέσῃ τῇ ὁδῷ
δι' αὐτὴν φονεύσας. ἐπειδὴ δὲ πολλοὶ καὶ ἄνθεσι καὶ μύροις
τὸν τόπον ἐκεῖνον ἐτίμων, ἐκέλευσε τούτους σφάττεσθαι. κἀκ τού-
του τῇ ἀδελφιδῇ τῇ ἰδίᾳ, ἤγουν τῇ Ἰουλίᾳ, ἀπαρακαλυπτό-
τερον ὡς γαμετῇ συνῴκει. πολλοὺς δὲ τῶν πρώτων ἀνδρῶν B
κατὰ πολλὰς προφάσεις φόνοις τε καὶ ὑπερορίαις ἐκποδὼν
ποιούμενος, οὐδὲ τῶν ἀειπαρθένων ἐφείσατο, ἀλλ' ὡς καὶ ἠνδρω-
μένας ἐτιμωρήσατο. ὅτε δὲ λέγεται, σκληρᾶς καὶ βαρείας τῆς
περὶ αὐτὰς ἐξετάσεως γενομένης, καὶ πολλῶν αἰτιαθέντων καὶ
κολαζομένων, οὐκ ἐνεγκὼν εἷς τῶν ποντιφίκων Ἑλύϊος Ἀγρίπ-
πας, ἀλλ' ἐκπλαγεὶς αὐτοῦ ἐν τῷ συνεδρίῳ, ὥσπερ εἶχεν, ἀπο-
ψύξαι. ἐκστρατεύσας δὲ εἰς τὴν Γερμανίαν, καὶ μηδ' ἑωρα-
κώς που πόλεμον, ἐπανῆκε. τί γὰρ δεῖ καὶ λέγειν ἃ διὰ τοῦτο
καὶ ἐκείνῳ τότε καὶ τοῖς ἄλλοις τοῖς ὁμοίοις αὐτῷ αὐτοκράτορσιν C

ἀεὶ ἐδόθη, ἵνα μὴ προσυποπτεύοντες ἔκ τι τῆς ὀλιγότητος καὶ
ἐκ τῆς σμικρότητος τῶν τιμῶν ἐλέγχεσθαι χαλεπαίνωσι. καί-
τοι καὶ τοῦτο δεινότατον εἶχεν, ὅτι καὶ κολακεύεσθαι ἤθελε, καὶ ἀμ-
φοτέροις ὁμοίως ἤχθετο, καὶ τοῖς θεραπεύουσι καὶ τοῖς μή· τοῖς
μὲν, ὅτι θωπεύειν, τοῖς δὲ, ὅτι καταφρονεῖν ἐδόκουν. οὐ μὴν
ἀλλ' ἐπὶ πλεῖον ἐπαρθεὶς ὑπ' ἀνοίας, ὕπατος μὲν ἔτη δέκα
ἐφεξῆς, τιμητὴς δὲ διὰ βίου πρῶτος δὴ καὶ μόνος καὶ ἰδιωτῶν
καὶ αὐτοκρατόρων ἐχειροτονήθη. ῥαβδούχοις τε τέσσαρσι καὶ εἴ-
D κοσι καὶ τῇ στολῇ τῇ ἐπινικίῳ, ὅταν ἐς τὸ βουλευτήριον ἐσίῃ,
χρῆσθαι ἔλαβε. τόν τε Ὀκτώβριον Δομιτιανὸν ἀντωνόμασεν,
ὅτι ἐν αὐτῷ ἐγεγένητο. τοῖς δὲ ἁρματηλάταις δύο γένη ἔτι,
τὸ μὲν χρυσοῦν, τὸ δὲ ἀργυροῦν ὀνομάσας, προσκατέστησε. τοῖς
τε θεωμένοις συχνὰ διὰ τῶν σφαιρίων ἐδίδου· καί ποτε καὶ ἐ-
δείπνισεν αὐτοὺς κατὰ χώραν καθημένους, οἶνόν τε σφίσι πολλα-
χῇ ῥέοντα νυκτὸς παρέσχεν. ἃ δὴ τοῖς μὲν πολλοῖς ἐν ἡδονῇ, ὡς
207 εἰκὸς ἦν, τοῖς δὲ δυνατοῖς ὀλέθρου αἰτία καθίστατο. οὐ γὰρ ἔ-
A χων ὁπόθεν ἀναλώσῃ, συχνοὺς ἐφόνευε, τοὺς μὲν εἰσάγων ἐς τὸ
βουλευτήριον, τῶν δὲ καὶ ἀπόντων κατηγορῶν· ἤδη δὲ καὶ ἐξ
ἐπιβουλῆς ἐνίους λαθραίοις φαρμάκοις ἀπήλλαττε. μέγιστος
δὲ δὴ πόλεμος Ῥωμαίοις τότε πρὸς τοὺς Δάκους ἐγένετο, ὧν
τότε Δεκέβαλος ἐβασίλευε, δεινὸς μὲν συνεῖναι τὰ πολέμια,
δεινὸς δὲ καὶ πρᾶξαι, ἐπελθεῖν εὔστοχος, ἀναχωρῆσαι καί-
ριος, ἐνέδρας τεχνίτης, μάχης ἐργάτης· καὶ καλῶς μὲν νίκῃ
B χρήσασθαι, καλῶς δὲ καὶ ἧτταν διαθέσθαι εἰδώς· ἀφ' οὗ δὴ καὶ
ἀνταγωνιστὴς ἀξιόμαχος ἐπὶ πολὺ τοῖς Ῥωμαίοις ἐγένετο.
Δάκους δὲ αὐτοὺς προσαγορεύω, ὥσπερ που καὶ αὐτοὶ ἑαυ-
τοὺς καὶ οἱ Ῥωμαῖοι σφᾶς ὀνομάζουσιν· οὐκ ἀγνοῶν ὅτι Ἑλλήνων
τινὲς Γέτας αὐτοὺς λέγουσιν, εἴτ' ὀρθῶς, εἴτε καὶ μὴ λέγοντες.
ἐγὼ γὰρ οἶδα Γέτας τοὺς ὑπὲρ τοῦ Αἵμου παρὰ τὸν Ἴστρον οἰκοῦν-
τας. ὁ Δομιτιανὸς μὲν οὖν ἐξεστράτευσε μὲν ἐπ' αὐτούς, οὐ
μέντοι καὶ τοῦ πολέμου προσήψατο (οὐ γὰρ ὅτι τι, τὸ σῶμα ἄπονος,

καὶ τὴν ψυχὴν ἄτολμος, ἀλλὰ καὶ ἀσωτότατος καὶ ἀσελγέστα-
τος καὶ πρὸς γυναῖκας καὶ πρὸς μειράκια ἦν) ἄλλους δὲ πέμ-
πων εἰς τὸν πόλεμον στρατηγοὺς τὰ πλείω κακῶς ἀπήλλασσεν·
ἐς δὲ τὴν Ῥώμην ὡς καὶ κεκρατηκὼς ἐπέστελλε, καὶ τοσαῦτα αὐτῷ
ἐψηφίσθη, ὥστε πᾶσαν ὀλίγου δεῖν τὴν οἰκουμένην τὴν ὑπ'
αὐτὸν οὖσαν εἰκόνων αὐτοῦ καὶ ἀνδριάντων καὶ ἀργυρῶν καὶ
χρυσῶν ἐμπλησθῆναι. ἐποίησε δὲ καὶ θέαν πολυτελῆ, ἐν ᾗ ἄλ
λο μὲν οὐδὲν ἐς ἱστορίαν ἐπίσημον παρελάβομεν, πλὴν ὅτι καὶ
παρθένοι τῷ δρομικῷ ἠγωνίσαντο· μετὰ δὲ ταῦτα ἑορτάς τινας
νικητηρίους ἐπιτελῶν, ἀγῶνας συχνοὺς ἐποίησε. τοῦτο μὲν γὰρ ἐν
τῷ ἱπποδρόμῳ μάχας καὶ πεζῶν πρὸς ἀλλήλους καὶ ἱπ- D
πέων αὖ συνέβαλε, τοῦτο δὲ καὶ ἐν καινῷ τινὶ χωρίῳ ναυ-
μαχίαν ἐπετέλεσε. καὶ ἀπέθανον ἐν αὐτῇ πάντες μὲν ὀλίγου
δεῖν οἱ ναυμαχήσαντες, συχνοὶ δὲ καὶ ἐκ τῶν θεωμένων. ὑετοῦ
γὰρ πολλοῦ καὶ χειμῶνος σφοδροῦ ἐξαίφνης γενομένου, οὐδενὶ
ἐπέτρεψεν ἐκ τῆς θέας ἀπαλλαγῆναι, ἀλλ' αὐτὸς μανδύας
ἀλλασσόμενος, ἐκείνοις οὐδὲν εἴασε μεταβαλεῖν· καὶ ἐκ τού-
του νοσήσαντες οὐκ ὀλίγοι καὶ ἐτελεύτησαν. ἐφ' ᾧ που παρα-
μυθούμενος αὐτούς, δεῖπνον σφίσι δημοσίᾳ διὰ πάσης τῆς 208
νυκτὸς παρέσχε. πολλάκις δὲ καὶ τοὺς ἀγῶνας νύκτωρ ἐποίει, A
καὶ ἔστιν ὅτε καὶ νάννους καὶ γυναῖκας συνέβαλλε. τὸ μὲν οὖν
πλῆθος οὕτω τότε εἱστίασεν, αὖθις δὲ τοὺς πρώτους τῆς γε-
ρουσίας καὶ τῶν ἱππέων, τόνδε τὸν τρόπον. οἶκον μελαίνοντα ἀ-
πανταχόθεν ἔκ τε τῆς ὀροφῆς καὶ ἐκ τῶν τοίχων τοῦ τ' ἐδάφους
παρασκευάσας, καὶ κλισίας ἐπ' αὐτοῦ τοῦ δαπέδου γυμνὰς ὁ-
μοίως ἑτοιμάσας, ἐσεκάλεσεν αὐτοὺς μόνους νυκτὸς ἄνευ τῶν
ἀκολούθων. καὶ πρῶτον μὲν στήλην ταφοειδῆ ἑκάστῳ σφῶν B
παρέστησε τό τε ὄνομα αὐτοῦ ἔχουσαν καὶ λυχνοῦχον μικρόν, οἷος ἐν
τοῖς μνημείοις κρεμάννυται)· ἔπειτα παῖδες εὐπρεπεῖς γυμνοί, μέ
λανες καὶ αὐτοὶ κεχρισμένοι εἰσῆλθον ὥσπερ εἴδωλα, καὶ περιελθόν-
τες αὐτοὺς μετ' ὀρχήσεώς τινος φοβερᾶς, πρὸ ποδῶν ἱδρύθησαν.

καὶ μετὰ τοῦτο παῖδας ὅσα περ ἐν τοῖς ἐναγίσμασι καθαγίζεται,
καὶ ἐκείνοις μέλανα ἐν σκεύεσιν ὁμοίοις προσηνέχθη· ὥστε καὶ
φοβεῖσθαι καὶ τρέμειν καθ᾽ ἕκαστον αὐτῶν πάντας, ἀεί τε ὅσον
οὐκ ἤδη σφαγήσεσθαι προσδέχεσθαι. ἄλλως τε καὶ ὅτι παρὰ τῶν
C τῶν ἄλλων σιωπὴ πολλή, ὥσπερ ἐν τεθνηκόσιν, ἤδη ἦν, καὶ αὐ-
τὸς ὁ Δομιτιανὸς πάντα ἔς τε θανάτους καὶ ἐς σφαγὰς φέ-
ροντα διελέγει· τέλος δὲ ἀφῆκε μὲν αὐτούς, προαπαλλάξας δὲ
δὴ τοὺς οἰκέτας σφῶν τοὺς ἐν τοῖς προθύροις ἑστηκότας, δι᾽ ἑτέ-
ρων τινῶν ἀγνώστων τοὺς μὲν ὀχήμασι, τοὺς δὲ φορείοις παρα-
δούς, πολὺ πλέον δέος αὐτοῖς ἐνέβαλε. ἄρτι δὲ ἕκαστος σφῶν
οἴκαδε εἰσεληλύθει, καὶ τρόπον τινὰ ἀναπνεῖν ἤρχετο, καὶ αὐτῷ
ἐσηγγέλθη ὅτι παρὰ τοῦ Αὐγούστου τις ἥκοι· προσδοκώντων δὲ
D ἐκ τούτου τότε δὴ πάντως ἀπολεῖσθαι, εἰσεκόμισέ τις τὴν στή-
λην ἀργυρᾶν οὖσαν, εἶτ᾽ ἄλλος ἄλλο τι, καὶ ἕτερος ἕτερον τῶν
σκευῶν τῶν ἐν τῷ δείπνῳ παρατεθέντων, πολυτελεστάτου τι-
νὸς ὕλης πεποιημένα, καὶ τέλος ὁ παῖς ἐκεῖνος τὸ δαιμόνιον
ἑκάστῳ λελουμένος τε καὶ κεκοσμημένος. καὶ οὕτω διὰ πάσης τῆς νυ-
κτὸς φοβούμενοι τὰ δῶρα ἔλαβον. ὁ μὲν οὖν Δομιτιανὸς το-
σαῦτα νικητήρια, ἤ, ὥς γε ὁ ὅμιλος ἔλεγε, τοιούτους ἐναγισμοὺς
ἐπί τε τοῖς ἐν τῇ Δακίᾳ, καὶ ἐπὶ τοῖς ἐν τῇ Ῥώμῃ τεθνηκόσιν
ἐποίησε. καί τινας καὶ τότε τῶν πρώτων ἀπέσφαξε· τοῦ τε θά-
ψαντος τὸ σῶμα ἑνὸς αὐτῶν, ὅ,τι ἐν τοῖς ἐκείνου χωρίοις ἐτε-
209 θνήκει, τὴν οὐσίαν ἀφείλετο. ἐν δὲ τῷ Δακικῷ πολέμῳ καὶ
A τάδε συνεκύρησεν ἀξιόλογα. ὁ γὰρ Ἰουλιανὸς ἐπιταχθεὶς ὑπὸ
τοῦ αὐτοκράτορος τῷ πολέμῳ, τά τε ἄλλα παρεσκευάσατο εὖ,
καὶ τοὺς στρατιώτας τά τε ἑαυτῶν ὀνόματα καὶ τὰ τῶν ἑκα-
τοντάρχων ἐπὶ τὰς ἀσπίδας ἐπιγράψαι ἐκέλευσεν, ἵνα ἐκ-
φανέστεροι οἱ τι ἀγαθὸν αὐτῶν ἢ κακὸν ποιοῦντες γένωνται.
συμβαλὼν δὲ ἐν ταῖς Τάπαις τοῖς πολεμίοις, πλείστους αὐτῶν ἀ-
πέκτεινεν. ἐν οἷς καὶ Οὐεζίνας τὰ δεύτερα μετὰ Δεκέβαλον ἔχων,
B ἐπειδὴ οὐκ ἐδυνήθη διαφυγεῖν ζῶν, πέπτωκεν ἐξεπίτηδες ὡς καὶ

τεθνηκὼς, καὶ τούτου λαθὼν τῆς νυκτὸς ἔφυγεν. δείσας
οὖν ὁ Δεκέβαλος μὴ καὶ ἐπὶ τὰ βασίλεια αὐτοῦ οἱ Ῥωμαῖοι
ἅτε κεκρατηκότες ὁρμήσωσι, τά τε δένδρα τὰ ἐν αὐτοῖς ἔνται
ἔκοψεν, καὶ ὅπλα τοῖς στελέχεσι περιέθηκεν, ἵνα φοβηθέντες ὡς
καὶ στρατιωτῶν ὄντων ἀναχωρήσωσιν· ὃ καὶ ἐγένετο. Ἀντώνιος
δέ τις ἐν Γερμανίᾳ ἄρχων κατὰ τοῦτον τὸν χρόνον τῷ Δομιτιανῷ
ἐπανέστη, ὃν Λούκιος Μάξιμος κατηγωνίσατο καὶ καθεῖλεν· ὃς
ἐπὶ μὲν τῇ νίκῃ οὐ πάνυ ἄξιος ἐπαινεῖσθαι, ὅτι δὲ τὰ γράμ-
ματα ὅσα ἐν τοῖς τοῦ Ἀντωνίου κιβωτίοις εὑρέθη, παρὰ βραχὺ
τὴν ἑαυτοῦ ἀσφάλειαν, πρὸς τὸ μηδένα ἐξ αὐτῶν συκο-
φαντηθῆναι, θέμενος, ἔκαυσεν, οὐχ ὁρῶ πῶς ἂν αὐτὸν ἀξίως C
ὑμνήσαιμι. ὁ δὲ Δομιτιανὸς ἀφορμῆς ἐντεῦθεν ἀπορήσας,
ἐπὶ τοὺς φόνους καὶ τῶν γραμμάτων χωρὶς ὁρμήσας, οὐδ' ἂν
εἴποι τις ὅσους ἀπέκτεινεν. εἷς δ' οὖν τις νεανίσκος Ἰούλιος
Κλυάσρος κεχιλιαρχηκὼς ἐς βουλείας ἐλπίδα παραδοξότα-
τα ἐσώθη. ἐπειδὴ γὰρ πολλάκις κατὰ μόνας συμμεμιχὼς ἠλέγ-
χετο, καὶ οὐκ εἶχεν ὅπως ἄλλως τὴν αἰτίαν τῆς συνωμοσίας ἀπο-
λύσηται, ἔφη κατ' ἐρωτικὴν χρείαν αὐτῷ συγγεγονέναι· καὶ
γὰρ ἦν οἷος ἐρασθῆναι δύνασθαι. καὶ ὁ μὲν οὕτως ἀφείθη. ἔτι D
ἐπὶ τούτῳ εἰπὼν περὶ τῶν τότε γινομένων παύσομαι. Λουκιανὸς
Πρόκλος βουλευτὴς γέρων ἐν ἀγρῷ τὰ πολλὰ διατρίβων, συν-
εξῆλθε μὲν αὐτῷ ἐκ τῆς Ῥώμης καταναγκάσαντι, ἵνα μὴ δό-
ξῃ κινδυνεύοντα αὐτὸν προλιπεῖν, καὶ διὰ τοῦτο καὶ ἀποθανεῖν·
τῆς δ' ἀγγελίας ἐλθούσης, ἔφη τε, Ἐνίκησας αὐτοκράτορ,
ὥσπερ ηὐχόμην· ἀπόδος οὖν με τῷ ἀγρῷ. καὶ ἐγκαταλιπὼν
αὐτὸν ἀπῆλθεν εἰς τὸ χωρίον καὶ οὐκέτι μετὰ τοῦτο, καίτοι πολλὺν 210
ἐπιζήσας χρόνον, προσῆλθεν αὐτῷ. ἐν δὲ τῷ χρόνῳ τούτῳ ἐπε- A
τήδευσάν τινες, φαρμάκῳ βελόνας χρίοντες, κεντεῖν αὐταῖς
οὓς ἐβούλοντο· καὶ πολλοὶ μὲν ἐκείνων μηδὲ αἰσθόμενοι ἔθνησκον,
πολλοὶ δὲ καὶ μηνυθέντες ἐτιμωρήθησαν. καὶ τοῦτο οὐκ ἐν τῇ Ῥώ-
μῃ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ ὡς εἰπεῖν τῇ οἰκουμένῃ ἐγένετο.

Τραϊανῷ δὲ δὴ τῷ Οὐλπίῳ καὶ Ἀκουλίῳ Γλαβρίωνι ὑπα-
τεύσασι τότε τὰ αὐτὰ σημεῖα λέγεται γενέσθαι· καὶ ἀπ' αὐ-
τῶν τῷ μὲν Γλαβρίωνι ὄλεθρος, τῷ δὲ Τραϊανῷ ἡ τῆς αὐ-
B τοκρατορείας ἀρχὴ προερρέθη. γυνὴ δέ τις ἀποδύσατο ἐναν-
τίον εἰκόνος τοῦ Δομιτιανοῦ, ἐκρίθη τε καὶ ἀπώλετο. ἐν δὲ τοῖς
τότε τελευτήσασι πολλοῖς οὖσι καὶ Μέτιος Πομπουσιανὸς ἐγέ-
νετο, ὃν ὁ μὲν Οὐεσπασιανὸς μαθὼν ἐκ φήμης τινὸς ὅτι μο-
ναρχήσει, οὐδὲν κακὸν εἰργάσατο, ὅτι καὶ ἐτίμα λέγων ὅτι πάν-
τως μου μνημονεύσει, καὶ πάντως με ἀντιτιμήσει. ἐκεῖνος δὲ
πρότερον μὲν ἐς Κύρνον ἐξώρισε, τότε δὲ καὶ ἐφόνευσεν ἐγκλη-
θέντα ἄλλα τε, καὶ ὅτι τὴν οἰκουμένην ἐν τοῖς τοῦ κοιτῶνος τοί-
C χοις εἶχεν ἐγγεγραμμένην, καὶ τὰς δημηγορίας τὰς τῶν βα-
σιλέων τῶν τε ἄλλων ἀνδρῶν τῶν πρώτων τὰς παρὰ τῷ Λι-
βίῳ γεγραμμένας ἐξελόγει τε καὶ ἀνεγίνωσκε. Μάτερνον δὲ
σοφιστήν, ὅτι κατὰ τυράννων εἶπέ τι ἀσκῶν, ἀπέκτεινε. συνεγίνε-
το δὲ καὶ αὐτὸς τοῖς κατηγορήσουσι καὶ καταμαρτυρήσουσι, καὶ συνέ-
πλαττε καὶ συνετίθει τά τε ὅσα λεχθῆναι ἔδει· καὶ πολλάκις καὶ
τοῖς δεσμώταις κατὰ μόνας ἐλάλει, τὰ δεσμὰ αὐτῶν ἐν ταῖς
χερσὶ κατέχων (οὔτε γὰρ ἄλλοις τὰ λεχθησόμενα ἐπίστευε) καὶ ἐ-
D κείνους καὶ δεδεμένους ἐδεδίει. ἔσχαζε δέ τι καὶ τιμητὴς ἀξιό-
λογος. Κεκίλιον γὰρ Ῥουφῖνον ἀπήλασεν ἐκ τοῦ συνεδρίου ὅτι
ὠρχεῖτο. Κλαύδιόν τε Γακάτον τῷ δεσπότῃ καίπερ ἑκατον-
ταρχηκότα ἀπέδωκεν, ὅτι ἠλέγχθη δοῦλος ὤν. οὐ μὴν καὶ τὸ μᾶλ-
λον ῥηθῆναι τούτοις ὅμοιόν ἐστιν, ὅσαπερ ὡς αὐτοκράτωρ ἐπε-
ποιήκει. τὸν γὰρ δὴ Ῥούστικον τὸν Ἀρουλῖνον ἀπέκτεινεν ὅτι ἐφιλο-
σόφει, καὶ ὅτι τὸν Θρασέαν ἱερὸν ὠνόμαζε, καὶ Ἑρέννιον Σενεκίω-
211 να, ὅτι τε οὐδεμίαν ἀρχὴν ἐν πολλῷ βίῳ μετὰ τὴν ταμιείαν ᾐτή-
A κει, καὶ ὅτι τοῦ Γρίσκου τοῦ Ἑλουϊδίου τὸν βίον συνέγραψεν. ἄλλοι τε
ἐκ τῆς αὐτῆς ταύτης τῆς κατὰ τὴν φιλοσοφίαν αἰτίας συχνοὶ διώ-
λοντο, καὶ οἱ λοιποὶ πάντες ἐξηλάθησαν αὖθις ἐκ τῆς Ῥώ-
μης. Ἰουβέντιος μέντοι τις Κέλσος συνομόσας τι ἀνὰ πρώτοις

μετά τινων ἐπ' αὐτῷ, καὶ κατηγορηθεὶς ἐπὶ τούτῳ, θαυμαστῶς
ἐσώθη. μέλλων γὰρ ἁλίσκεσθαι, ὑπέσχετο δι' ἀπορρήτων εἰπεῖν τι
αὐτῷ· κἂν τούτῳ προσκυνήσας αὐτόν, δεσπότην τε καὶ θεὸν (ἃ
παρὰ τῶν ἄλλων ἤδη προσηγορεύετο) πολλάκις ὀνομάσας, Οὐ- B
δὲν μὲν, ἔφη, πεποίηκα τοιοῦτον· ἂν δ' ἀναβολὴν λάβω, πο-
λυπραγμονήσω πάντα, καὶ συχνούς σοι καὶ μηνύσω καὶ ἐξε-
λέγξω. ἀφεθεὶς τε ἐπὶ τούτῳ οὔτε ἐνέδειξέ τινα, καὶ ἄλλοτε
ἄλλας προφάσεις προτείνων, διήγαγε, μέχρις οὗ Δομιτιανὸς
ἀπέθανεν. ἐν τούτῳ τῷ χρόνῳ ἡ ὁδὸς ἡ ἀπὸ Σινοέσσης ἐς Πυ-
τιόλους ἄγουσα λίθοις ἐστορέσθη. κἀν τῷ αὐτῷ ἔτει ἄλλους τε
πολλοὺς καὶ τὸν Φάβιον Κλήμεντα ὑπατεύοντα, καίπερ ἀνεψιὸν
ὄντα, καὶ γυναῖκα καὶ αὐτὴν συγγενῆ ἑαυτοῦ Φλαβίαν Δομι- C
τίλλαν ἔχοντα, κατέσφαξεν ὁ Δομιτιανός. ἐπηνέχθη δὲ ἀμ-
φοῖν ἔγκλημα ἀθεότητος· ὑφ' ἧς καὶ ἄλλοι ἐς τὰ τῶν Ἰουδαίων
ἤθη ἐξοκέλλοντες πολλοὶ κατεδικάσθησαν. καὶ οἱ μὲν ἀπέθανον, οἱ
δὲ τῶν γοῦν οὐσιῶν ἐστερήθησαν· ἡ δὲ Δομιτίλλα ὑπερωρίσθη μό-
νον εἰς Πανδατέριαν. τὸν δὲ δὴ Γλαβρίωνα τὸν μετὰ τοῦ Τραϊα-
νοῦ ἄρξαντα, κατηγορηθέντα τά τε ἄλλα καὶ οἷα οἱ πολλοὶ,
καὶ ὅτι καὶ θηρίοις ἐμάχετο, ἀπέκτεινεν. ἐφ' ᾧ που καὶ τὰ μά-
λιστα ὀργὴν αὐτῷ ὑπὸ φθόνου ἔσχεν, ὅτι ὑπατεύοντα αὐ-
τὸν ἐς τὸν Ἀλβανὸν ἐπὶ τὰ νεανισκεύματα ὠνομασμένα
καλέσας, λέοντα ἀποκτεῖναι μέγαν ἠνάγκασε· καὶ ὃς οὐ μό-
νον οὐδὲν ἐλυμάνθη, ἀλλὰ καὶ εὐστοχώτατα αὐτὸν κατειργάσα-
το. ὑποπτεύων οὖν ἐκ τούτων πάντας ἀνθρώπους, οὐκέτι οὐδὲ
ἐν τοῖς ἐξελευθέροις, ὡς γὰρ οὐδὲ ἐν τοῖς ἐπάρχοις, οὕς γε καὶ παρ'
αὐτὴν τὴν ἡγεμονίαν κρίνεσθαι ἐποίει, ἐλπίδας ἀσφαλείας εἶχε.
καὶ τὸν Ἐπαφρόδιτον δὲ τὸν τοῦ Νέρωνος πρότερον μὲν ἐξεδίωξε,
τότε δὲ καὶ ἔσφαξεν, ἐπικαλέσας αὐτῷ ὅτι μὴ ἤμυνε τῷ Νέ-
ρωνι· ἵν' ἐκ τῆς τιμωρίας ἣν ὑπὲρ ἐκείνου ἐποιεῖτο, πόρρωθεν
τοὺς ἰδίους ἐλευθέρους ἐκφοβήσῃ μηδὲν τοιοῦτον τολμῆσαι. οὐ 212
μὴν ὠφελήθη τι ἐκ τούτου, ἀλλὰ καὶ ἐπεβουλεύθη τῷ ἑξῆς A

ἔτει ἐπί τε Γαΐου Οὐάλεντος (ὃς ἐνενηκοστῷ ἔτει ὑπατεύσας
ἐτελεύτησε) καὶ ἐπὶ Γαΐου Ἀντιστίου ὑπάτων ἀπώλετο. ἐπέ-
θεντο δὲ αὐτῷ καὶ συνεσκευάσαντο τὴν πρᾶξιν, Παρθένιός
τε ὁ πρόκοιτος αὐτοῦ, καίπερ οὕτω τιμώμενος παρ' αὐτοῦ ὡς
καὶ ξιφηφορεῖν, καὶ Σιγηρὸς ἐν τῇ προκοιτίᾳ καὶ αὐτὸς ὤν,
Ἔντελλός τε ὁ τὰ τῆς ἀρχῆς βιβλία διέπων μετὰ Στεφάνου ἀ-
πελευθέρου. καὶ αὐτὸ οὔτε ἡ Δομιτία ἡ γυνὴ αὐτοῦ, οὔτε δὲ ὁ
B Νορβανὸς ὁ ἔπαρχος, ἀλλ' ὁ συνάρχος Πετρώνιος Σεκοῦν-
δος ἠγνόησαν, ὥς γε καὶ λέγονται. ἥ τε γὰρ Δομιτία ἀεί ποτε
ὑπ' αὐτοῦ ἐμισεῖτο, καὶ διὰ τοῦτ' ἐφοβεῖτο μὴ καὶ ἀποθάνῃ.
καὶ οἱ ἄλλοι οὐκέτ' αὐτὸν ἐφίλουν, οἱ μὲν ὅτι ἐνεκαλοῦντό τι-
να, οἱ δ' ὅτι προσεδέχοντο. ἤκουσα δ' ἔγωγε καὶ ἐκεῖνο, ὅτι πάν-
τας ἅμα αὐτοὺς ὁ Δομιτιανὸς ὑποπτεύσας ἀποκτεῖναι ἠθέ-
λησε, καὶ σφῶν τὰ ὀνόματα ἐς σανίδιον φιλύρινον δίθυρον ἐσ-
γράψας, ὑπὸ τὸ προσκεφάλαιον ἐν τῇ κλίνῃ ἐν ᾗ ἀνεπαύετο,
ὑπέθηκε καὶ αὐτὸ παιδίον τι τῶν γυμνῶν τῶν ψιθύρων, καθεύ-
C δοντος αὐτοῦ μεθ' ἡμέραν, ἀφελόμενον εἶχεν, οὐκ εἰδὸς ὅ,τι φέ-
ροι. προστυχοῦσα δὲ αὐτῷ ἡ Δομιτία, τά τε γεγραμμένα ἀ-
νέγνω, καὶ ἐμήνυσε καὶ ἐκείνοις. κἀκ τούτου, καὶ ἄλλως δια-
νοούμενοι, συνετάχυναν τὴν ἐπιβουλήν. οὐ μέντοι πρότε-
ρον ἐπεχείρησαν ἔργῳ, πρὶν τὸν διαδεξόμενον τὴν ἀρχὴν αὐ-
τοῦ βεβαιώσασθαι. διελέξαντο μὲν δὴ καὶ ἄλλοις τισί, μηδε-
νὸς δὲ ἐκείνων δεξαμένου (πάντες γὰρ αὐτοὺς ὡς διαπειρωμέ-
νους σφῶν ἐφοβήθησαν) ἐπὶ τὸν Νέρουαν ἦλθον, ἐπειδὴ καὶ
εὐγενέστατος καὶ ἐπιεικέστατος ἦν, καὶ προσέτι καὶ ἐκινδύνευ-
D σε διαβληθεὶς ὑπ' ἀστρολόγων, ἐξ οὗπερ ῥᾷον ἔπεισαν αὐτὸν
ἀναδέξασθαι τὴν ἡγεμονίαν. πάντως γὰρ καὶ ὁ Δομιτιανὸς
τῶν πρώτων τάς τε ἡμέρας καὶ τὰς ὥρας ἐν αἷς ἐγεγένηντο,
διασκοπῶν, οὐκ ὀλίγους οὐδὲ ἐκ τούτων ἐλπιζόντων ἐν δυνά-
μει τινὶ ἔσεσθαι, προσανήλισκε· καὶ τόν γε Νέρουαν ἀπέ-
σφαξεν ἄν, εἰ μή τις τῶν ἀστρολόγων εὔνοιαν αὐτῷ ἔχων ἔφη ὅτι

αὐτὸς

αὐτὸς ὀλίγων ἡμερῶν τελευτήσει. καὶ (οὐ γάρ ἐστιν οὐδὲ ἓν τῶν τοι-
ούτων ἀπρόοπτον) ἀλλά γε αὐτῷ σημεῖα ἐγένετο, καὶ αὐτὸς
ἐν τῷ ὕπνῳ τόν τε Ῥούστικον ξίφει προσιέναι οἱ, καὶ τὴν Ἀθη-
νᾶν ἣν ἐν τῷ κοιτῶνι ἱδρυμένην εἶχε, τὰ ὅπλα ἀποβεβληκέ- 213
ναι, καὶ ἐπὶ ἅρματος ἵππων μελαίων ἐς χάσμα ἐσπίπτειν ἔ- A
δοξεν. ὃ δὲ δὴ μάλιστα διὰ πάντων ἄξιον θαυμάσαι ἐστὶ, Λαρ-
γῖνός τις Πρόκλος δημοσίᾳ εἰπὼν ἐν Γερμανίᾳ ὅτι τῇ ἡμέρᾳ
ἐκείνῃ ἐν ᾗ ἀπέθανε, τελευτήσει, ἀνεπέμφθη τε ἐς τὴν Ῥώμην
ὑπὸ τοῦ ἄρχοντος, καὶ ἐσαχθεὶς πρὸς τὸν Δομιτιανὸν, ἔφη καὶ
τότε τοῦθ' οὕτως ἕξειν. καὶ καταδικασθεὶς τὴν ἐπὶ θάνατον,
ἀνεβλήθη τε, ὅπως διαφυγόντος αὐτοῦ τὸν κίνδυνον ἀποθάνῃ,
κἀν τούτῳ τοῦ Δομιτιανοῦ σφαγέντος, ἐσώθη, καὶ δέκα μυ- B
ριάδας δραχμῶν παρὰ τοῦ Νέρουα ἔλαβεν. ἑτέρου τέ τινος
πρότερόν ποτε εἰπόντος αὐτῷ καὶ ὁπότε καὶ ὅπως φθαρήσοιτο,
ἔπειτα ἐρωτηθεὶς ὁποίῳ αὐτὸς τέλει τοῦ βίου χρήσεται, καὶ ἀποκρι-
ναμένου ὅτι ὑπὸ κυνῶν ἀναλωθήσεται, ἐκελεύσθη μὲν ζῶν κα-
τακαυθῆναι, καὶ τὸ πῦρ αὐτῷ προσήχθη· ὑετοῦ δὲ ἐν τούτῳ
πολλοῦ καταρρυέντος, ἥ τε πυρὰ ἐσβέσθη, καὶ ἐκεῖνον κύνες ὀπί-
σω τὼ χεῖρε δεδεμένον καὶ ἐπικείμενον ἐπ' αὐτῆς εὑρόντες
διεσπάραξαν. ἔχω δὲ καὶ ἄλλο τι εἰπεῖν παραδοξότατον, ὃ
ἐπειδὰν περὶ τῆς τελευτῆς αὐτοῦ φράσω, σημανῶ. ἐπειδὴ γὰρ C
τάχιστα ἐκ τοῦ δικαστηρίου ἀνέστη, καὶ ἀναπαύσασθαι τὸ μεσημβρι-
νὸν, ὥσπερ εἰώθει, ἔμελλε, πρῶτον μὲν τὸ ξίφος, ὃ ἀεί ποτε
ὑπὸ τῷ προσκεφαλαίῳ αὐτοῦ ἔκειτο, τὸ σιδήρεον ὁ Παρθένιος
ἐξεῖλεν, ὅπως μὴ χρήσηται· ἔπειτα τὸν Στέφανον ἐρρωμενέστε-
ρον τῶν ἄλλων ὄντα ἐσέπεμψε, καὶ ἐκεῖνος ἔπληξε μὲν τὸν Δο-
μιτιανὸν, οὐ μὴν καιρίαν, ἀλλὰ καταβληθεὶς ὑπ' αὐτοῦ ἔκει-
το. οὕτω δὲ δείσας μὴ διαφύγῃ, ἐπεισεπήδησεν, ἢ, ὥς γέ τισι δο-
κεῖ, Μάξιμον ἐξελεύθερον ἐπεισέπεμψε. καὶ ὅ τε Δομιτιανὸς οὕ- D
τω κατεσφάγη, καὶ ὁ Στέφανος, παραχρῆμα συνδραμόντων
ἐπ' αὐτὸν τῶν οὐ συμμετεσχηκότων τῆς συνωμοσίας. ὁ δ' ἔπει-

ὅτι γὰρ παρὰ πάντα τἆλλα θαυμάσαι ἔχω, τόδε ἐστίν· Ἀπολλώνιός τις Τυανεὺς ἔν τε τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τῇ ὥρᾳ αὐτῇ ἐκείνῃ ἐν ᾗ ὁ Δομιτιανὸς ἐσφάττετο (τοῦτο γὰρ ὕστερον ἐκ τῶν ἑκατέρωθεν γινομένων ἠκριβώθη) ἀναβὰς ἐπί τινα λίθον ὑψηλὸν ἐν Ἐφέσῳ, ἢ καὶ ἑτέρωθι, καὶ συγκαλέσας τὸ πλῆθος, τοιαῦτα εἶπε,
214 Καλῶς Στέφανε, εὖγε Στέφανε, παῖε τὸν μιαιφόνον. ἔπλη-
A ξας, ἔτρωσας, ἀπέκτεινας. τοῦτο μὲν οὕτως ἐγένετο, κἂν μυριάκις τις ἀπιστήσῃ. Δομιτιανὸς δὲ ἔζησε μὲν ἔτη τέσσαρα καὶ τεσσαράκοντα, μῆνας δέκα, καὶ ἡμέρας ἓξ καὶ εἴκοσιν· ἐμονάρχησε δὲ ἔτη πεντεκαίδεκα καὶ ἡμέρας πέντε· καὶ αὐτοῦ τὸ σῶμα Φυλλὶς ἡ τροφὸς κλέψασα ἔθαψεν.

ΝΕΡΟΥΑΣ.

ΜΕΤΑ δὲ Δομιτιανὸν, Νέρουαν Κοκκήϊον οἱ Ῥωμαῖοι ἀπέδειξαν αὐτοκράτορα. μίσει δὲ τοῦ Δομιτιανοῦ αἱ εἰκόνες αὐτοῦ πολλαὶ μὲν ἀργυραῖ, πολλαὶ δὲ καὶ χρυσαῖ οὖσαι
B συνεχωνεύθησαν, καὶ ἐξ αὐτῶν μεγάλα χρήματα συνελέγη· καὶ αἱ ἀψῖδες πλεῖσται δὴ ἑνὶ ἀνδρὶ γινόμεναι καθῃρέθησαν. καὶ ὁ Νέρουας τούς τε κρινομένους ἐπ᾽ ἀσεβείᾳ ἀφῆκε, καὶ τοὺς φεύγοντας κατήγαγε· τούς τε δούλους καὶ τοὺς ἐξελευθέρους τοὺς τοῖς δεσπόταις σφῶν ἐπιβουλεύσαντας πάντας ἀπέκτεινε. καὶ τοῖς μὲν τοιούτοις οὐδ᾽ ἄλλο τι ἔγκλημα ἐπιφέρειν ἐπὶ τοὺς δεσπότας ἐφῆκε, τοῖς δὲ δὴ ἄλλοις οὔτ᾽ ἀσεβείας οὔτ᾽ Ἰουδαϊκοῦ βίου καταιτιᾶσθαί τινας συνεχώρησε. πολλοὶ δὲ καὶ τῶν συκοφαντησάντων θάνατον κατεδικά-
C σθησαν, ἐν οἷς καὶ Σέρας ἦν ὁ φιλόσοφος. ταραχῆς οὖν γινομένης οὐ τῆς τυχούσης ἐκ τοῦ πάντας πάντων κατηγορεῖν, λέγεται

Φρόντωνα τὸν ὕπατον εἰπεῖν ὡς κακὸν μέν ἐστιν αὐτοκράτορα
ἔχειν ἐφ' οὗ μηδενὶ μηδὲν ἔξεστι ποιεῖν, χεῖρον δὲ ἐφ' οὗ πᾶσι
πάντα. καὶ ὁ Νέρουας ἀκούσας ταῦτα, ἀπηγόρευσε τὸ λοιπὸν γί-
νεσθαι τὰ τοιαῦτα. ἦν δὲ ὁ Νέρουας ὑπό τε τοῦ γήρως καὶ ὑπ'
ἀρρωστίας (ἀφ' ἧς καὶ τὴν τροφὴν ἀεί ποτε ἤμει) ἀσθενέστερος.
ἀπεῖπε δὲ καὶ ἀνδριάντας αὐτῷ χρυσοῦς ἢ ἀργυροῦς γίνεσθαι.
τοῖς δὲ τὰς οὐσίας ἐπὶ τοῦ Δομιτιανοῦ μάτην ἐστερημένοις πάντα
ἀπέδωκεν ὅσα ἐν τῷ βασιλείῳ ἔτι ὄντα εὑρέθη. τοῖς τε πάνυ D
πένησι τῶν Ῥωμαίων ἐς χιλιάδας καὶ πεντακοσίας μυριάδας
γῆς κτῆσιν ἐχαρίσατο, βουλευταῖς τισι τήν τε αἵρεσιν αὐ-
τῶν καὶ τὴν διανομὴν προστάξας. χρημάτων δὲ ἀπορῶν, πολλὰ 215
μὲν ἱμάτια καὶ σκεύη καὶ ἀργυρᾶ καὶ χρυσᾶ, ἄλλα τε ἔπιπλα καὶ A
ἐκ τῶν ἰδίων καὶ τῶν βασιλικῶν, πολλὰ δὲ καὶ χωρία καὶ οἰ-
κίας, μᾶλλον δὲ πάντα, πλὴν τῶν ἀναγκαίων, ἀπέδοτο. οὐ μέντοι
καὶ περὶ τὰς τιμὰς αὐτῶν ἐμικρολογήσατο, ἀλλὰ καὶ ἐν αὐτῷ
τούτῳ πολλοὺς εὐηργέτησε. καὶ πολλὰς μὲν θυσίας, πολλὰς δὲ
ἱπποδρομίας, ἄλλας τέ τινας θέας κατέλυσε, συστέλλων ὡς οἷόν
τε τὰ δαπανήματα. ὤμοσε δὲ καὶ ἐν τῷ συνεδρίῳ μηδένα τῶν
βουλευτῶν φονεύσειν, ἐβεβαίωσέ τε τὸν ὅρκον, καίπερ ἐπιβου- B
λευθείς. ἔπραξε δὲ οὐδὲν ὅτι μὴ μετὰ τῶν πρώτων ἀνδρῶν.
ἐνομοθέτησε δὲ ἄλλα τε καὶ περὶ τοῦ μὴ ἀνευνουχίζεσθαί τινα,
μήτε ἀδελφιδῆν γαμεῖν. τὸν δὲ Ῥοῦφον τὸν Οὐεργίνιον, καί-
περ πολλάκις αὐτοκράτορα ὀνομασθέντα, οὐκ ὤκνησεν ὑπα-
τεύσας συνάρχοντα προσλαβεῖν ἐφ' οὗ τῷ μνήματι τελευτή-
σαντος ἐπεγράφη ὅτι νικήσας Βίνδικα, τὸ κράτος οὐχ ἑαυτῷ
περιεποιήσατο, ἀλλὰ τῇ πατρίδι. Νέρουας δὲ οὕτως ἦρχε
καλῶς ὥστε ποτὲ εἰπεῖν, Οὐδὲν τοιοῦτον πεποίηκα, ὥστε μὴ
δύνασθαι τὴν ἀρχὴν τε καταθέσθαι, καὶ ἀσφαλῶς ἰδιω- C
τεῦσαι. Κράσσου τε Καλπουρνίου τῶν Κράσσων ἐκείνων ἐγ-
γόνου ἐπιβεβουλευκότος μετὰ καὶ ἄλλων αὐτῷ, παρεκαθίσατό
τε αὐτοὺς ἔν τινι θέᾳ ἀγνοοῦντας ἔτι ὅτι καταμεμήνυνται, καὶ

ἔδωκεν αὐτοῖς ξίφη, λόγῳ μὲν, ἵν' ἐπισκέψωνται αὐτὰ (ὅπερ
εἴωθε γίνεσθαι) εἰ ὀξέα ἐστὶν, ἔργῳ δὲ ἐπιδεικνύμενος ὅτι οὐδὲν
αὐτῷ μέλει, κἂν αὐτοῦ παραχρῆμα ἀποθάνῃ. Αἰλιανὸς δὲ ὁ
Κασπέριος ἄρχων καὶ ὑπ' αὐτοῦ, καθάπερ ὑπὸ τοῦ Δομι-
D τιανοῦ, τῶν δορυφόρων γενόμενος, τοὺς στρατιώτας ἐστασίασε
κατ' αὐτοῦ, παρασκευάσας ἐξαιτῆσαί τινας ὥστε θανατω-
θῆναι. πρὸς οὓς ὁ Νέρουας τοσοῦτον ἀντέσχεν ὥστε καὶ τὴν
κλεῖν ἀπογυμνῶσαι, καὶ τὴν σφαγὴν αὐτοῦ προδεῖξαι. οὐ
μὴν τι καὶ ἤνυσεν, ἀλλ' ἀνῃρέθησαν οὓς ὁ Αἰλιανὸς ἐβουλή-
θη. ὅθεν ὁ Νέρουας διὰ τὸ γῆρας οὕτω καταφρονούμενος, ἀνέ-
βη τε ἐς τὸ Καπιτώλιον, καὶ ἔφη γεγωνήσας, Ἀγαθῇ τύχῃ τῆς
τε βουλῆς καὶ τοῦ δήμου τῶν Ῥωμαίων καὶ ἐμοῦ αὐτοῦ, Μάρ-
216 κον Οὔλπιον Νέρουαν Τραϊανὸν ποιοῦμαι. καὶ μετὰ ταῦτα
A ἐν τῷ συνεδρίῳ καίσαρά τε αὐτὸν ἀπέδειξε, καὶ ἐπέστειλεν
αὐτοχειρία (ἦρχε δὲ τῆς Γερμανίας ἐκεῖνος) Τίσειαν Δαναοὶ
ἐμὰ δάκρυα σοῖσι βέλεσσιν. οὕτω μὲν ὁ Τραϊανὸς καῖσαρ καὶ
μετὰ τοῦτο αὐτοκράτωρ ἐγένετο, καίτοι συγγενῶν τοῦ Νέρουα ὄν-
των τινῶν. ἀλλ' οὐ γὰρ τῆς τῶν κοινῶν σωτηρίας ὁ ἀνὴρ τὴν συγ-
γένειαν προετίμησεν· οὐδ' αὖ ὅτι Ἴβηρ ὁ Τραϊανὸς, ἀλλ' οὐκ
Ἰταλὸς, οὐδ' Ἰταλιώτης ἦν, ἧττόν τι παρὰ τοῦτο αὐτὸς ἐποιή-
σατο, ἐπειδὴ μηδεὶς πρόσθεν ἀλλοεθνὴς τὸ τῶν Ῥωμαίων
B κράτος ἐσχήκει. τὴν γὰρ ἀρετὴν ἀλλ' οὐ τὴν πατρίδα τινὸς
ἐξετάζειν δεῖν ᾤετο. πράξας δὲ ταῦτα μετήλλαξεν, ἄρξας
ἔτει ἑνὶ, καὶ μησὶ τέσσαρσι, καὶ ἡμέραις ἐννέα· προβεβιώκει
πέντε καὶ ἑξήκοντα ἔτη καὶ μῆνας δέκα καὶ ἡμέρας δέκα.

ΤΡΑΙΑΝΟΣ.

ΤΡΑΙΑΝΩ. δὲ ὄναρ ἐγεγόνει πρὶν αὐ-
ταρχῆσαι τοιόνδε· ἐδόκει ἄνδρα πρεσβύ-
την ἐν ἱματίῳ καὶ ἐσθῆτι περιπορφύρῳ, ἔτι δὲ
καὶ στεφάνῳ ἐστολισμένον (οἷά που καὶ τὴν
γερουσίαν γράφουσι) δακτυλίῳ τινὶ σφρα-
γῖδα αὐτῷ ἔς τε τὴν ἀριστερὰν σφαγὴν, καὶ μετὰ τοῦτο καὶ ἐς τὴν C
δεξιὰν ἐπιβεβληκέναι. ὡς δὲ αὐτοκράτωρ ἐγένετο, ἐπέστειλε τῇ
βουλῇ αὐτοχειρίᾳ ἄλλα τε, καὶ ὡς οὐδένα ἄνδρα ἀγαθὸν ἀ-
ποσφάξοι ἢ ἀτιμάσοι. καὶ ταῦτα καὶ ὅρκοις οὐ τότε μόνον ἀλ-
λὰ καὶ ὕστερον ἐπιστώσατο. Αἰλιανὸν δὲ καὶ τοὺς δορυφόρους τοὺς κατὰ
Νέρουα στασιάσαντας, ὡς καὶ χρησόμενός τι αὐτοῖς, μεταπεμ-
ψάμενος, ἐκποδὼν ἐποιήσατο. εἰς δὲ τὴν Ῥώμην εἰσελθὼν,
πολλὰ ἐποίει πρός τε διόρθωσιν τῶν κοινῶν, καὶ πρὸς χάριν τῶν
ἀγαθῶν· ἐκείνων τε διαφερόντως ἐπιμελούμενος, ὡς καὶ ταῖς πό-
λεσι ταῖς ἐν Ἰταλίᾳ πρὸς τὴν τῶν παίδων τροφὴν πολλὰ χαρί-
σασθαι, καὶ τούτους εὐεργετῶν. Πλωτῖνα δὲ ἡ γυνὴ αὐτοῦ ὅτε 217
πρῶτον ἐς τὸ παλάτιον ἐσῄει, ἐπὶ τοὺς ἀναβαθμοὺς καὶ πρὸς A
τὸ πλῆθος μεταστραφεῖσα εἶπε, Τοιαύτη μέντοι ἐνταῦθα
εἰσέρχομαι, οἵα καὶ ἐξελθεῖν βούλομαι. καὶ οὕτω γε ἑαυτὴν
διὰ πάσης τῆς ἀρχῆς διήγαγεν ὥστε μηδεμίαν ἐπηγορείαν
σχεῖν. διατρίψας δὲ ἐν τῇ Ῥώμῃ χρόνον τινὰ, ἐστράτευσεν ἐπὶ
Δάκους, τά τε πραχθέντα αὐτοῖς λογιζόμενος, τοῖς τε χρή-
μασιν, ἃ κατ᾽ ἔτος ἐλάμβανον, βαρυνόμενος· τάς τε δυνά-
μεις αὐτῶν αὐξανομένας καὶ τὰ φρονήματα ὁρῶν. πυθόμε-
νος δὲ ὁ Δεκέβαλος τὴν ὁρμὴν αὐτοῦ, ἐφοβήθη, ἅτε καὶ εὖ B
εἰδὼς ὅτι πρότερον μὲν οὐ Ῥωμαίους, ἀλλὰ Δομιτιανὸν νε-
νικήκει· τότε δὲ ὡς πρός τε Ῥωμαίους καὶ πρὸς Τραϊανὸν

αὐτοκράτορα πολεμήσοι. πλεῖστον γὰρ ἐπί τε δικαιότητι καὶ
ἐπ' ἀνδρίᾳ τῇ τε ἁπλότητι τῶν ἠθῶν διέπρεψε. τῷ τε γὰρ σώ-
ματι ἔρρωτο (δεύτερον γὰρ καὶ τεσσαρακοστὸν ἔτος ἄγων ἦρξε)
καὶ τῇ ψυχῇ ἤκμαζεν, ὡς μήθ' ὑπὸ νεότητος θρασύνεσθαι, μήθ'
ὑπὸ γήρως ἀμβλύνεσθαι. καὶ οὔτ' ἐφθόνει, οὔτε καθῄρει
τινά, ἀλλὰ καὶ πάνυ πάντας τοὺς ἀγαθοὺς ἐτίμα καὶ ἐμεγά-
C λυνε· καὶ διὰ τοῦτο οὔτε ἐφοβεῖτό τινα αὐτῶν, οὔτε ἐμίσει. δια-
βολαῖς τε ἥκιστα ἐπίστευε, καὶ ὀργῇ ἥκιστα ἐδουλοῦτο, τῶν τε
χρημάτων τῶν ἀλλοτρίων ἴσα καὶ φόνων τῶν ἀδίκων ἀπεί-
χετο. καὶ ἐδαπάνα πάμπολλα μὲν ἐς τοὺς πολέμους, πάμ-
πολλα δὲ ἐς τὰ τῆς εἰρήνης ἔργα· καὶ πλεῖστα καὶ ἀναγκαιό-
τατα καὶ ἐν ὁδοῖς καὶ ἐν λιμέσι καὶ ἐν οἰκοδομήμασι δημοσίοις
κατασκευάσας, οὐδενὸς αἷμα εἰς οὐδὲν αὐτῶν ἀνάλωσεν.
οὕτω γάρ που καὶ μεγαλόφρων καὶ μεγαλογνώμων ἔφυ ὥστε καὶ
D τῷ ἱπποδρόμῳ ἐπιγράψαι, ὅτι ἐξαρκοῦντα αὐτὸν τῷ τῶν
Ῥωμαίων δήμῳ ἐποίησεν, ἐπειδὴ διαφθαρέντα πῃ, καὶ μείζω
καὶ περικαλλέστερον ἐξειργάσατο. φιλούμενός τε οὖν ἐπ' αὐτοῖς
μᾶλλον ἢ τιμώμενος ἔχαιρε, καὶ τῷ τε δήμῳ μετ' ἐπιεικείας
συνεγίνετο, καὶ τῇ γερουσίᾳ σεμνοπρεπῶς ὡμίλει· ἀγαπητὸς
μὲν πᾶσι, φοβερὸς δὲ μηδενὶ, πλὴν πολεμίοις, ὤν. καὶ γὰρ θήρας
καὶ συμποσίων, ἔργων τε καὶ βουλευμάτων σκωμμάτων τε συμ-
μετεῖχε σφίσι· καὶ πολλάκις καὶ τέταρτος ὠχεῖτο, ἔς τε τὰς οἰκίας
αὐτῶν καὶ ἄνευ γε φρουρᾶς ἔστιν ὧν ἐσιὼν ἐθυμεῖτο. παι-
δείας μὲν γὰρ ἀκριβοῦς, ὅση ἐν λόγοις, οὐ μετέσχε· τό γε μὴν ἔρ-
218 γον αὐτῆς καὶ ἠπίστατο καὶ ἐποίει· οὐδὲ ἔστιν ὅ,τι οὐκ ἄριστον
A εἶχε· καὶ οἶδα μὲν ὅτι καὶ περὶ μειράκια καὶ περὶ οἶνον ἐσπουδά-
κει, ἀλλ', εἰ μέν τι ἐκ τούτων ἢ αἰσχρὸν ἢ κακὸν ἢ ἐδεδράκει ἢ
ἐπεπόνθει, ἐπηγορίαν ἂν εἶχε· νῦν δὲ τοῦ τε οἴνου διακόρως ἔπι-
νε, καὶ νήφων ἦν, ἔν τε τοῖς παιδικοῖς οὐδένα ἐλύπησεν. εἰ δὲ καὶ
φιλοπόλεμος ἦν, ἀλλὰ τῇ τε κατορθώσει, καὶ τοῦ ἐχθίστου μὲν κα-
θαιρέσει, τοῦ οἰκείου δὲ αὐξήσει ἠρκεῖτο. οὐδὲ γὰρ οὐδ' ὅπερ εἴωθεν ἐν

τοῖς ἰδιώταις γίγνεσθαι, τὸ τοὺς στρατιώτας ἐξοκέλλειν τι καὶ
ὑπερφρονεῖν, συνέβη ποτὲ ἐπ' αὐτοῦ· οὕτως ἐγκρατῶς αὐτῶν ἦρ-
χε. διὰ ταῦτα μὲν οὖν οὐκ ἀπεικότως ὁ Δεκέβαλος αὐτὸν ἐδε- B
δίει. στρατεύσαντι δὲ τῷ Τραϊανῷ κατὰ τῶν Δακῶν, καὶ τοῖς τό-
ποις ἔνθα ἐστρατοπέδευον οἱ βάρβαροι πλησιάσαντι μύκης μέ-
γας προσεκομίσθη, γράμμασι Λατίνοις λέγων, ὅτι ἄλλοι τε τῶν
συμμάχων καὶ Βοῦρροι παραινοῦσι Τραϊανῷ ὀπίσω ἀπιέναι
καὶ εἰρηνῆσαι. συμβαλὼν δὲ αὐτοῖς ὁ Τραϊανὸς, πολλοὺς μὲν
τῶν οἰκείων τραυματίας ἐπεῖδε, πολλοὺς δὲ τῶν πολεμίων ἀ-
πέκτεινεν· ὅτι καὶ ἐπιλειπόντων τῶν ἐπιδέσμων, οὐδὲ τῆς ἑαυτοῦ
ἐσθῆτος λέγεται φείσασθαι, ἀλλ' ἐς τὰ λαμπάδια ταύτην κα- C
τατεμεῖν· τοῖς δὲ τελευτήσασι τῶν στρατιωτῶν ἐν τῇ μάχῃ
βωμόν τε στῆσαι καὶ κατ' ἔτος ἐναγίζειν κελεῦσαι. ὡς δὲ καὶ ἐς
αὐτὰ τὰ ἄκρα ἐπεχείρησεν ἀναβῆναι, λόφους ἐκ λόφων
μετὰ κινδύνων καταλαμβάνων, καὶ τοῖς τῶν Δακῶν βασιλείοις
ἐπέλασε, ὅ,τε Λούσιος ἑτέρωθι προσβαλὼν, καὶ ἐφόνευσε
πολλοὺς καὶ ἐζώγρησε πλείονας. τηνικαῦτα ὁ Δεκέβαλος πρέ-
σβεις πέμψας τοὺς ἀρίστους τῶν πιλοφόρων, καὶ δι' αὐτῶν τῷ
αὐτοκράτορι προσδεηθεὶς, οὐδὲν ὅ,τι οὐχ ἑτοίμως τῶν προσταχ-
θέντων ἔχε συνθέσθαι. τά τε γὰρ ὅπλα καὶ τὰ μηχανήματα
τούς τε μηχανοποιοὺς παραδοῦναι, καὶ τοὺς αὐτομόλους ἀπο- D
δοῦναι, τά τε ἐρύματα καθελεῖν, καὶ τῆς χώρας τῆς ἑαλω-
κυίας ἀποστῆναι, τοὺς αὐτούς τε ἐχθροὺς καὶ φίλους τοῖς Ῥωμαίοις
νομίζειν καὶ ἄκων ὡμολόγησε, πρός τε τὸν Τραϊανὸν εἰσελ-
θὼν, καὶ ἐς τὴν γῆν πεσὼν καὶ προσκυνήσας αὐτόν. Τραϊανὸς
δὲ ἐπὶ τούτοις εἰς τὴν Ἰταλίαν ἀνεκομίσθη, καὶ οἱ παρὰ τοῦ Δεκε-
βάλου πρέσβεις εἰς τὸ συνέδριον ἐσήχθησαν· τά τε ὅπλα καταθέν-
τες, συνῆψαν τὰς χεῖρας ἐν αἰχμαλώτου σχήματι, καὶ εἶπόν τι-
να, καὶ ἱκέτευσαν, καὶ οὕτω τὴν εἰρήνην ἐσπείσαντο, καὶ τὰ ὅπλα 219
ἀπέλαβον. Τραϊανὸς δὲ τά τε νικητήρια ἤγαγε, καὶ Δακι- A
κὸς ἐπωνομάσθη· ἔν τε τῷ θεάτρῳ μονομάχους συνέβαλε.

(καὶ γὰρ ἔχαιρεν αὐτοῖς) καὶ τοὺς ὀρχηστὰς ἐς τὸ θέατρον ἐπανήγα-
γε· καὶ γὰρ ἑνὸς αὐτῶν τοῦ Πυλάδου ἤρα. οὐ μέντοι οἷα πολεμι-
κὸς ἀνὴρ τἆλλα ἧττον διῆγεν, ἢ καὶ ἧττον ἐδίκαζεν, ἀλλὰ τοτὲ
μὲν ἐν τῇ ἀγορᾷ τῇ Αὐγούστου, τοτὲ ἐν τῇ στοᾷ τῇ Ἰουλίᾳ ὠνομα-
σμένῃ, πολλάκις δὲ καὶ ἄλλοθι ἔκρινεν ἐπὶ βήματος. ἐπεὶ δὲ
ὁ Δεκέβαλος πολλὰ παρὰ τὰς συνθήκας ἀπηγγέλλετο αὐτῷ
ποιῶν, καὶ ὅπλά τε κατεσκευάζετο, καὶ τοὺς αὐτομολοῦντας
ἐδέχετο, τά τε ἐρύματα ἐπεσκεύαζε, παρά τε τοὺς ἀστυγείτο-
B νας ἐπρεσβεύετο, καὶ τοὺς τἀναντία οἱ φρονήσαντας πρότερον
ἐλυμαίνετο· καὶ τῶν Ἰαζύγων καὶ χώραν τινὰ ἀπετέμετο, ἣν
μετὰ ταῦτα ἀπαιτήσασιν αὐτοῖς Τραϊανὸς οὐκ ἀπέδωκεν. οὕ-
τω δὴ καὶ αὖθις πολέμιον αὐτὸν ἡ βουλὴ ἐψηφίσατο, καὶ ὁ Τρα-
ϊανὸς δι' ἑαυτοῦ καὶ αὖθις ἀλλ' οὐ δι' ἑτέρων στρατηγῶν, τὸν πρὸς
ἐκεῖνον πόλεμον ἐποιήσατο. καὶ ὁ Δεκέβαλος κατὰ μὲν τὸ ἰσχυρὸν
κακῶς ἔπραττε, δόλῳ δὲ δὴ καὶ ἀπάτῃ ὀλίγου μὲν καὶ τὸν Τρα-
ϊανὸν ἀπέκτεινε, πέμψας εἰς τὴν Μυσίαν αὐτομόλους τινάς,
εἴ πως αὐτὸν δυσπρόσοδον ὄντα καὶ ἄλλως, τότε γὰρ καὶ διὰ τὴν τοῦ πο-
C λέμου χρείαν πάντα ἁπλῶς τὸν βουλόμενον εἰς λόγους δεχό-
μενον, κατεργάσαιντο. ἀλλὰ τοῦτο μὲν οὐκ ἐβουλήθησαν πρᾶ-
ξαι, συλληφθέντος τινὸς ἐξ ὑποψίας, καὶ πᾶν τὸ ἐπιβού-
λευμα αὐτοῦ ἐκ βασάνων ὁμολογήσαντος. Λογγῖνον δέ τινα
στρατοπέδου Ῥωμαϊκοῦ ἐξηγούμενον, καὶ δεινὸν ἐν τοῖς πολε-
μίοις αὐτῷ γεγενημένον προσκαλεσάμενος, καὶ ἀναπείσας
συμμῖξαι οἱ ὡς καὶ τὰ προσταχθησόμενα ποιήσων, συνέλα-
βε, καὶ ἀνέκρινε δημοσίᾳ περὶ τῶν τοῦ Τραϊανοῦ βουλευμάτων·
ἐπειδή τε μηδὲν ὁμολογῆσαι ἠθέλησεν, ἐν ἀδέσμῳ φυλακῇ
D περιεῖπε, καὶ πρὸς τὸν Τραϊανὸν ἐπέστελλεν, ἀξιῶν διαλλα-
γῆναί οἱ ἐπὶ τῷ τὸν Λογγῖνον ἀνακομίσασθαι. ἀποκριναμέ-
νου δέ τινα αὐτῷ τοῦ Τραϊανοῦ μέσα, ἐξ ὧν οὔτ' ἐν μεγάλῳ
οὔτ' ἐν μικρῷ λόγῳ τὸν Λογγῖνον ποιεῖσθαι δόξειν ἔμελλε, τοῦ
μήτ' ἀπολέσθαι αὐτόν, μήτ' ἐπὶ πολλῷ σφίσιν ἀνασωθῆναι,

Δεκέβαλος μὲν αἰεὶ ἦν ἔτι διασκοπῶν ὅ,τι πράξει· Λογγῖνος
δὲ ἐν τούτῳ φαρμάκου ἀπορήσας, ἔπιε καὶ ἀπέθανε. Τραϊα-
νὸς δὲ γέφυραν λιθίνην ἐπὶ τοῦ Ἴστρου κατασκευάσατο, περὶ ἧς
οὐκ ἔχω πῶς ἂν ἀξίως αὐτὸν θαυμάσω. ἔστι μὲν γὰρ καὶ τὰ ἄλλα 220
αὐτοῦ ἔργα διαπρεπέστατα, τοῦτο δὲ καὶ ὑπὲρ ἐκεῖνα. ὡς γὰρ A
κρηπῖδες εἰσὶ λίθου τετραπέδου εἴκοσι, τὸ μὲν ὕψος πεντήκοντα
καὶ ἑκατὸν ποδῶν, πλὴν τῶν θεμελίων, τὸ δὲ πλάτος ἑξήκοντα·
καὶ αὗται ἑβδομήκοντα καὶ ἑκατὸν ἀπ' ἀλλήλων πόδας ἀ-
πέχουσαι ἁψῖσι συνῳκοδόμηνται. πῶς οὖν ἄν τις τὸ ἀνάλω-
μα τὸ ἐς αὐτὰς δαπανηθὲν θαυμάσειε; πῶς δ' οὐκ ἄν τις τὸν
τρόπον ὃν ἕκαστα αὐτῶν ἔν τε ποταμῷ πολλῷ καὶ ἐν ὕδατι δι-
νώδει ἐδάφει τε ἰλυώδει ἐγένετο; οὐ γάρ τι καὶ ἐπιβρέψαι που
τὸ ῥεῦμα ἠδυνήθη. τὸ δὲ δὴ πλάτος τοῦ ποταμοῦ εἶπον, οὐχ
ὅτι διὰ τοσούτου ῥεῖ (καὶ γὰρ ἐπὶ διπλάσιον ἔστιν οὗ καὶ ἐπὶ τρι- B
πλάσιον αὐτοῦ πελαγίζει) ἀλλ' ὅτι τό, τε στενώτατον καὶ τὸ ἐπι-
τηδειότατον ἐς τὸ γεφυρωθῆναι τῶν ἐκείνῃ χωρίων τοσοῦτόν ἐστιν·
ὅσῳ δὲ δὴ ἐς στενὸν ταύτῃ ἐκ πελάγους μεγάλου καταβαί-
νων, καὶ ἐς πέλαγος αὖθις μεῖζον προχωρῶν κατακλύεται,
τόσῳ που καὶ ῥοωδέστατος καὶ βαθύτατος γίγνεται, ὥστε καὶ
τοῦτο ἐς τὴν χαλεπότητα τῆς κατασκευῆς τῆς γεφύρας
τείνει. ἡ μὲν οὖν μεγαλόνοια τοῦ Τραϊανοῦ καὶ ἐκ τούτων δεί-
κνυται· οὐ μέντοι καὶ ὠφέλειάν τινα ἡμῖν ἡ γέφυρα παρέχεται,
ἀλλ' ἑστᾶσιν αἱ κρηπῖδες ἄλλως δίοδον οὐκ ἔχουσαι, καθάπερ
ἐπ' αὐτῷ τούτῳ μόνον γενόμεναι ἵν' ἐπιδείξωσι τῇ ἀνθρωπί- C
νῃ φύσει οὐδὲν ὅ,τι οὐ δυναμένη ἐξεργάσασθαι. ὁ μὲν γὰρ
Τραϊανός, δείσας μή ποτε παγέντος τοῦ Ἴστρου, πόλεμος τοῖς
πέραν Ῥωμαίοις γένηται, ἐποίησε τὴν γέφυραν, ἵνα αἱ ἐπιβασίαι
ῥᾳδίως δι' αὐτῆς διεξίωσιν· Ἀδριανὸς δὲ τοὐναντίον φοβηθεὶς
μὴ καὶ τοῖς βαρβάροις τοὺς φρουροὺς αὐτῆς βιαζομένοις ῥᾳδία
διάβασις ἐς τὴν Μυσίαν ᾖ, ἀφεῖλε τὴν ἐπιπολῆς κατα-
σκευήν. Τραϊανὸς δὲ διὰ ταύτης τῆς γεφύρας τὸν Ἴστρον περαιω-

θεὶς, καὶ δι' ἀσφαλείας μᾶλλον ἢ διὰ σπουδῆς τὸν πόλεμον ποιούμενος, σὺν χρόνῳ καὶ μόλις ἐκράτησε τῶν Δακῶν, πολλὰ μὲν
D αὐτὸς στρατηγίας ἔργα καὶ ἀνδρίας ἐπιδειξάμενος, πολλὰ δὲ καὶ τῶν στρατιωτῶν αὐτοῦ κινδυνευσάντων καὶ ἀριστευσάντων. ἔνθα δὴ καὶ ἱππεύς τις κακῶς πληγεὶς, ἐξήχθη μὲν ἐκ τῆς μάχης ὡς καὶ θεραπευθῆναι δυνάμενος· αἰσθόμενος δὲ ὡς ἀνιάτως ἔχοι, ἔκ τε τοῦ σκηνώματος ἐξεπήδησεν (οὐ γάρ πω τὸ κακὸν αὐτοῦ καθίκετο) καὶ ἐς τάξιν αὖθις καθιστὰς ἑαυτὸν, ἀπέθανε, μεγάλα ἐπιδειξάμενος. Δεκέβαλος δὲ, ὡς καὶ τὸ βασίλειον αὐτοῦ καὶ ἡ χώρα κατείληπτο σύμπασα, καὶ αὐτὸς
221 ἐκινδύνευεν ἁλῶναι, διεχρήσατο ἑαυτὸν, καὶ ἡ κεφαλὴ αὐτοῦ
A ἐς τὴν Ῥώμην ἀπεκομίσθη· καὶ οὕτως ἡ Δακία Ῥωμαίων ὑπήκοος ἐγένετο, καὶ πόλεις ἐν αὐτῇ ὁ Τραϊανὸς κατῴκισεν. εὑρέθησαν δὲ καὶ οἱ τοῦ Δεκεβάλου θησαυροὶ, καίτοι ὑπὸ τὸν ποταμὸν τὸν Σαργετίαν τὸν παρὰ τοῖς βασιλείοις αὐτοῦ κεκρυμμένοι. διὰ γὰρ αἰχμαλώτων τινῶν τὸν ποταμὸν ἐξέτρεψε, καὶ τὸ ἔδαφος αὐτοῦ ὤρυξε· καὶ ἐς αὐτὸ πολὺν μὲν ἄργυρον, πολὺν δὲ χρυσὸν, τά τε ἄλλα τὰ τιμιώτατα καὶ ὑγρότητά τινα ἐνεγκεῖν δυνάμενα ἐμβαλὼν, λίθους τε ἐπ' αὐτοῖς ἐπέθηκε, καὶ χοῦν ἐπεφόρησε· καὶ μετὰ τοῦτο τὸν ποταμὸν ἐπήγαγε· καὶ ἐς τὰ σπήλαια διὰ τῶν αὐτῶν ἐκείνων τά τε ἱμάτια καὶ τὰ ἄλλα
B τὰ ὁμοιότροπα κατέθετο. ποιήσας δὲ ταῦτα, διέφθειρεν αὐτοὺς, ἵνα μηδὲν ἐκλαλήσωσι. Βίκιλις δέ τις ἑταῖρος αὐτοῦ τὸ γεγονὸς εἰδὼς, ἑάλω τε καὶ κατεμήνυσε ταῦτα. κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον καὶ Πάλμας τῆς Συρίας ἄρχων τὴν Ἀραβίαν τὴν πρὸς τῇ Πέτρᾳ ἐχειρώσατο, καὶ Ῥωμαίων ὑπήκοον ἐποιήσατο. παρὰ δὲ τὸν Τραϊανὸν ἐς τὴν Ῥώμην ἐλθόντα, πλεῖσται πρεσβεῖαι ἄλλων τε τῶν βαρβάρων καὶ Ἰνδῶν ἀφίκοντο. καὶ θέας ἐν τρισὶ καὶ εἴκοσι καὶ ἑκατὸν ἡμέραις ἐποίησεν, ἐν αἷς θηρία τε καὶ βο-
C τὰ χίλιά που καὶ μύριά που ἐσφάγη, καὶ μονομάχοι μύριοι ἠγωνίσαντο. καὶ κατὰ τοὺς αὐτοὺς χρόνους τά τε ἕλη τὰ Γοντικὰ

ὡδοποίησε λίθῳ, καὶ τὰς ὁδοὺς παροικοδομήσας καὶ γεφύραις με-
γαλοπρεπεστάταις ἐξεποίησε. τό, τε νόμισμα πᾶν τὸ ἐξίτηλον
ἐξεχώνευσε. τῷ δὲ Σούρρᾳ τῷ Λικινίῳ καὶ ταφὴν δημοσίαν καὶ
ἀνδριάντα ἔδωκεν τελευτήσαντι, ὅστις ἐς τοῦτο καὶ πλούτου καὶ αὐ-
χήματος ἀφίκετο, ὥστε καὶ γυμνάσιον Ῥωμαίοις οἰκοδομῆσαι.
τοσαύτῃ δὲ φιλίᾳ καὶ πίστει πρὸς ἀλλήλους ἐκέχρηντο, ὥστε
πολλάκις αὐτοῦ πρὸς τὸν αὐτοκράτορα διαβαλλομένου, καὶ τῶν D
φθονούντων αὐτῷ ἐπὶ πολὺ ἐγκειμένων, ὁ Τραϊανὸς οἴκαδε
πρὸς αὐτὸν ἄκλητος ἐπὶ δεῖπνον ἦλθε, καὶ πᾶσαν τὴν φρουρὰν
ἀποπέμψας, ἐκάλεσε πρῶτον μὲν τὸν ἰατρὸν αὐτοῦ, καὶ δι' ἐ-
κείνου τοὺς ὀφθαλμοὺς * , ἔπειτα τὸν κουρέα, καὶ δι' ἐκείνου τὸ
γένειον ἐξύρατο. τοῦτο γὰρ ἐκ παλαιοῦ πάντες οἱ ἄλλοι καὶ αὐ-
τοὶ οἱ αὐτοκράτορες ἐποίουν· Ἀδριανὸς γὰρ πρῶτος γενειᾶν
κατέδειξε. πράξας δὲ ταῦτα, καὶ μετὰ ταῦτα καὶ λουσάμενος καὶ
δειπνήσας, ἔπειτα τοῖς φίλοις τοῖς εἰωθόσιν ἀεί τι περὶ αὐτοῦ
φαῦλον λέγειν, ἔφη τῇ ὑστεραίᾳ, ὅτι Εἰ ἤθελέ με Σύρρας ἀπο- 222
κτεῖναι, χθὲς ἂν ἀπεκτόνει. μέγα μὲν οὖν ἐποίησε καὶ τὸ κιν- A
δυνεῦσαι πρὸς διαβεβλημένον ἄνθρωπον, πολὺ δὲ μεῖζον,
ὅτι ἐπίστευσε μηδὲν ἂν ποτε ὑπ' αὐτοῦ παθεῖν. ἀλλὰ καὶ ὅτι
πρῶτον τῷ μέλλοντι τῶν δορυφόρων ἐπάρξειν, τὸ ξίφος ὃ
παραζώννυσθαι αὐτὸν ἐχρῆν, ὤρεξεν, ἐγύμνωσέ τε αὐτὸ, καὶ
ἀνατείνας ἔφη, Λάβε τοῦτο τὸ ξίφος, ἵνα ἂν μὲν καλῶς ἄρχω,
ὑπὲρ ἐμοῦ, ἂν δὲ κακῶς, κατ' ἐμοῦ αὐτῷ χρήσῃ. ἔστησε δὲ καὶ B
τοῦ Σοσσίου τοῦ τε Πάλμου καὶ τοῦ Κέλσου εἰκόνας· οὕτω που
αὐτοὺς τῶν ἄλλων προετίμησε. τοὺς μέντοι ἐπιβουλεύοντας αὐτῷ,
ἐν οἷς καὶ ὁ Κράσσος, ἐτιμωρεῖτο, εἰσάγων εἰς τὴν βουλήν. κατε-
σκεύασε δὲ καὶ βιβλίων ἀποθήκας, καὶ ἔστησεν ἐν τῇ ἀγορᾷ καὶ κίο-
να μέγιστον, ἅμα μὲν εἰς ταφὴν ἑαυτῷ, ἅμα δὲ εἰς ἐπίδειξιν τοῦ
κατὰ τὴν ἀγορὰν ἔργου. παντὸς γὰρ τοῦ χωρίου ἐκείνου ὀρεινοῦ ὄν-
τος, κατέσκαψε τοσοῦτον ὅσον ὁ κίων ἀνίσχει, καὶ τὴν ἀγορὰν
ἐκ τούτου πεδινὴν κατεσκεύασε. μετὰ δὲ ταῦτα ἐστράτευσεν C

ἐπ' Ἀρμενίους καὶ Πάρθους, πρόφασιν μὲν ὅτι μὴ τὸ διάδη-
μα ὑπ' αὐτοῦ εἰλήφει, ἀλλὰ παρὰ τοῦ Πάρθων βασιλέως ὁ
τῶν Ἀρμενίων βασιλεύς· τῇ δ' ἀληθείᾳ, δόξης ἐπιθυμίᾳ. ἐ-
πεὶ δὲ ἐνέβαλεν εἰς τὴν πολεμίαν, ἀπήντων αὐτῷ οἱ τῇδε σα-
τράπαι καὶ βασιλεῖς μετὰ δώρων, ἐν οἷς καὶ ἵππος ἦν δεδι-
δαγμένος προσκυνεῖν. τοῖς τε γὰρ ποσὶ τοῖς προσθίοις ὤκλαζε,
καὶ τὴν κεφαλὴν ὑπὸ τοὺς τοῦ πέλας πόδας ὑπετίθει. Τραϊανὸς
δὲ ἀμαχεὶ πάντα χειρούμενος, ἐς Σάταλα ἦλθε καὶ ἐς Ἐ-
D λέγειαν τῆς Ἀρμενίας χωρία. καὶ τὸν Ἡνιόχων βασιλέα ἐτί-
μησε, Παρθαμασίριν δὲ τὸν Ἀρμενίων ἐτιμωρήσατο. ἐπεὶ δὲ
πᾶσαν τὴν Ἀρμενίων χώραν εἷλε, καὶ πολλοὺς τῶν βασιλέων
τοὺς μὲν ὑποπεσόντας ἐν τοῖς φίλοις ἦγε, τοὺς δέ τινας καὶ ἀπο-
θανόντας ἀμαχεὶ ἐχειροῦτο· τά τε ἄλλα ἐψηφίζετο αὐτῷ πολ-
λὰ ἡ βουλή, καὶ ὄπτιμον, εἴτ' οὖν ἄριστον, ἐπωνόμασεν. ἐβάδι-
ζεν ἀεὶ μετὰ παντὸς τοῦ στρατοῦ πεζῇ, διεκόσμει τε αὐτοὺς κατὰ
πᾶσαν τὴν πορείαν καὶ διέταττεν, ἄλλοτε ἄλλως ἄγων, τούς τε πο-
223 ταμοὺς ὅσους γε καὶ ἐκεῖνοι, πεζῇ διέβαινε. καὶ ἔστιν ὅτε καὶ ἀγ-
A γελίας ψευδεῖς καὶ τὰ τῶν προσκόπων ἐποίει, ἵν' ἅμα τε τὰ τα-
κτικὰ μελετῷεν, καὶ ἕτοιμοι πρὸς πάντα καὶ ἀνέκπληκτοι εἶεν.
καὶ ὠνομάσθη μέν, ἐπειδὴ καὶ τὴν Νίσιβιν εἷλε καὶ τὰς Βάτνας,
Παρθικός. πολλῷ δὲ μᾶλλον ἐπὶ τῇ τοῦ ὀπτίμου προσηγορίᾳ,
ἢ ταῖς ἄλλαις ξυμπάσαις, ἅτε καὶ τῶν τρόπων αὐτοῦ μᾶλλον ἢ
τῶν ὅπλων οὔσῃ, ἐσεμνύνετο. διατρίβοντος δὲ αὐτοῦ ἐν Ἀντιο-
χείᾳ, σεισμὸς ἐξαίσιος γίνεται· καὶ πολλαὶ μὲν ἔκαμον πόλεις,
B μάλιστα δὲ ἡ Ἀντιόχεια ἐδυστύχησεν. ἅτε γὰρ τοῦ Τραϊανοῦ ἐ-
κεῖ χειμάζοντος, καὶ πολλῶν μὲν στρατιωτῶν, πολλῶν δὲ ἰδιω-
τῶν κατά τε δίκας καὶ κατὰ πρεσβείας, ἐμπορείαν τε καὶ θεω-
ρίαν πανταχόθεν συμπεφοιτηκότων, οὔτε ἔθνος οὐδὲν, οὔτε
δῆμος οὐδεὶς ἀβλαβὴς ἐγένετο. καὶ οὕτως ἐν τῇ Ἀντιοχείᾳ
πᾶσα ἡ οἰκουμένη ἡ ὑπὸ τοῖς Ῥωμαίοις οὖσα ἐσφάλη. ἐγένον-
το μὲν οὖν καὶ κεραυνοὶ πολλοί, καὶ ἀλλόκοτοι ἄνεμοι· ἀλλ' οὔτι καὶ

προσεδόκησεν ἄν τις ἐκ τούτων τοσαῦτα κακὰ γενήσεσθαι.
πρῶτον μὲν γὰρ μύκημα ἐξαπίνης μέγα ἐβρυχήσατο, ἔπειτα C
βρασμὸς ἐπ' αὐτῷ βιαιότατος ἐπεγένετο· καὶ ἄνω μὲν ἡ γῆ
πᾶσα ἀνεβάλλετο, ἄνω δὲ καὶ τὰ οἰκοδομήματα ἀνεπήδα·
καὶ τὰ μὲν ἀνέκαθεν ἐπαιρόμενα συνέπιπτε καὶ κατερρήγνυτο,
τὰ δὲ καὶ δεῦρο καὶ ἐκεῖσε κλονούμενα ὥσπερ ἐν σάλῳ περιετρέπε-
το, καὶ ἐπὶ πολὺ καὶ τοῦ ὑπαίθρου προσκατελάμβανεν. ὅ, τε κτύ-
πος θραυομένων καὶ καταγνυμένων ξύλων ὁμοῦ, κεράμων, λί-
θων, ἐκπληκτικώτατος ἐγίνετο καὶ ἡ κόνις πλείστη ὅση ἠγείρετο,
ὥστε μήτε ἰδεῖν τινα, μήτε εἰπεῖν, μήτ' ἀκοῦσαί τι δύνασθαι.
τῶν δὲ δὴ ἀνθρώπων πολλοὶ μὲν καὶ ἐκτὸς τῶν οἰκιῶν ὄντες ἐπόνησαν.
ἀνασειόμενοί τε γὰρ καὶ ἀναρριπτούμενοι βιαίως, εἶθ' ὥσπερ
ἀπὸ κρημνοῦ φερόμενοι προσηράσσοντο καὶ οἱ μὲν ἐπηροῦντο, D
οἱ δὲ ἔθνησκον, καί τινα καὶ δένδρα αὐταῖς ῥίζαις ἀνέθορε. τῶν
δὲ ἐν ταῖς οἰκίαις καταληφθέντων ἀνεξεύρετος ἀριθμὸς ἀ-
πώλετο. παμπόλλους μὲν γὰρ καὶ αὐτὴ ἡ τῶν συμπιπτόντων ῥύ-
μη ἔφθειρε, παμπληθεῖς δὲ καὶ τὰ χώματα ἔπνιξεν. ὅσοι δὲ
δὴ μέρους τι τοῦ σώματος σφῶν ὑπὸ λίθων ἢ ξύλων κρατού-
μενοι ἔκειντο, δεινῶς ἐταλαιπώρησαν, μήτε ζῆν ἔτι μήτ' ἀπο-
θανεῖν αὐτίκα δυνάμενοι. καὶ ἐσώθησαν γὰρ ὅμως καὶ ἐκ τού-
των, ἅτε καὶ ἐν ἀμυθήτῳ πλήθει, συχνοί· οὐδὲ ἐκεῖνοι πάντες 224
ἀπαθεῖς ὑπεχώρησαν. συχνοὶ μὲν γὰρ σκελῶν, συχνοὶ δὲ ὤμων A
ἐστερήθησαν, ἄλλοι κεφαλῆς. ἄλλοι αἷμα ἤμεσαν, ὧν εἷς καὶ ὁ
Πέδων ὁ ὕπατος ἐγένετο, καὶ εὐθύς τε γὰρ ἀπέθανε. συνελόν-
τι δὲ εἰπεῖν, οὐδὲν ὅ τι παράδοξον βιαίου πάθους τότε τοῖς ἀνθρώ-
ποις ἐκείνοις οὐ συνηνέχθη. καὶ ἐπὶ πολλὰς μὲν ἡμέρας καὶ
νύκτας σείοντος τοῦ θεοῦ ἐν ἀπόροις καὶ ἀμηχάνοις ἦσαν οἱ ἄνθρω-
ποι, οἱ μὲν ὑπὸ τῶν ἐρειπομένων οἰκοδομημάτων καταχωννύμενοι
καὶ φθειρόμενοι, οἱ δὲ καὶ λιμῷ ἀπολλύμενοι, ὅσοις συνέβη ἐν
διακένῳ τινὶ τῶν ξύλων οὕτω κλιθέντων, ἢ καὶ ἐν ἁψιδοει- B
δεῖ τινι μεταστηλίῳ σωθῆναι. καταστάντος δέ ποτε τοῦ κακοῦ,

θαρσήσας τις ἐπιβιῶναι τῶν πεπτωκότων, γυναικὸς ζώσης ἠ-
σθετο (αὕτη δὲ οὐ μόνη, ἀλλὰ καὶ βρέφος εἶχε, καὶ ἔτρεφεν τῷ
γάλακτι καὶ ἑαυτὴν καὶ τὸ παιδίον αὐτάρκεσιν) ἐκείνην τε ἀνο-
ρύξαντες ἀνεσώσαντο μετὰ τοῦ τέκνου. κἀκ τούτου καὶ τἆλλα ἀνη-
ρεύνων, ἐν οἷς ζῶντα μὲν οὐδένα ἔτι, πλὴν παιδίου πρὸς μα-
στοῖς τῆς μητρὸς καὶ τεθνηκυίας θηλάζοντος, εὑρεῖν ἠδυνήθη-
σαν. τοὺς δὲ νεκροὺς ἐξέλκοντες, οὐκέτ᾽ οὐδὲ ἐπὶ τῇ σφετέρᾳ
C σωτηρίᾳ ἔχαιρον. τοσαῦτα μὲν τότε πάθη τὴν Ἀντιόχειαν κα-
τειλήφει. Τραϊανὸς δὲ διέφυγε μὲν διὰ θυρίδος ἐκ τοῦ οἰκή-
ματος ἐν ᾧ ἦν, προσελθόντος αὐτῷ μείζονός τινος ἢ κατὰ ἄν-
θρωπον, καὶ ἐξαγαγόντος αὐτὸν, ὥστε μικρὰ ἄττα πληγέντα
περιγενέσθαι. ὡς δ᾽ ἐπὶ πλείους ἡμέρας ὁ σεισμὸς ἐπεῖχεν,
ὑπαίθριος ἐν τῷ ἱπποδρόμῳ διῆγε. ἐσείσθη δὲ καὶ αὐτὸ τὸ
Κοράσιον οὕτως ὥστε τὰ ἄκρα αὐτοῦ καὶ ἐπικλίνεσθαι καὶ
ἀπορρήγνυσθαι, καὶ ἐς αὐτὴν τὴν πόλιν ἐσπίπτειν δοκεῖν. ὄρη τε
D ἄλλα ὑφίζησε, καὶ ὕδωρ πολὺ οὐκ ὂν μὲν πρότερον ἀνεφάνη,
πολὺ δὲ καὶ ῥέον ἐξέλιπε. Τραϊανὸς δὲ ἐς τὴν πολεμίαν ὑπὸ
τὸ ἔαρ ὑπήχθη. ἐπειδὴ δὲ ἡ χώρα ἡ πρὸς τῷ Τίγριδι ἄφορος
ναυπηγησίμων ξύλων ἐστὶ, τὰ πλοῖα ἃ ἐν ταῖς ὕλαις τῆς περὶ
τὴν Νίσιβιν ἐπεποίητο, ἐπὶ τὸν ποταμὸν ἤγαγεν ἐφ᾽ ἁμάξαις.
οὕτω γὰρ πως κατεσκεύαστο ὥστε διαλύεσθαι καὶ συμπήγνυ-
σθαι. καὶ ἔζευξεν αὐτὰ κατὰ τὸ Καρδῦνον ὄρος ἐπιπονώτατα.
225 οἱ γὰρ βάρβαροι ἀντικαταστάντες ἐκώλυον. ἀλλ᾽ (ἦν γὰρ πολ-
A λὴ τῷ Τραϊανῷ καὶ τῶν νεῶν καὶ τῶν στρατιωτῶν περιουσία) αἱ μὲν
ἐζεύγνυντο πολλῷ τάχει, αἱ δὲ πρὸ ἐκείνων ἀνεκώχευον ὁπλί-
τας τε καὶ τοξότας φέρουσαι, ἕτεραι δὲ ἔνθεν καὶ ἔνθεν ὡς διαβησό-
μεναι ἐπείρων. ἔκ τε οὖν τούτων καὶ ἐξ αὐτῆς τῆς ἐκπλήξεως
τοῦ τοσαύτας ἅμα ναῦς ἀθρόας ἐξ ἠπείρου ἀξύλου ἀποφανῆναι,
ἐνέδοσαν οἱ βάρβαροι, καὶ ἐπεραιώθησαν οἱ Ῥωμαῖοι· καὶ
τήν τε Ἀδιαβηνὴν ἅπασαν παρεστήσαντο (ἔστι δὲ τῆς Ἀσσυ-
ρίας τῆς περὶ Νῖνον μέρος αὕτη) καὶ τά τε Ἄρβηλα, καὶ τὰ

Γαυγάμηλα, παρ' οἷς ὁ Ἀλέξανδρος τὸν Δαρεῖον ἐνίκησε, ταῦ- B
τα τῆς δ' ἐστί· καί που καὶ Ἀτυρία διὰ τοῦτο βαρβαριστί, τῶν σί-
γμα ἐς τὸ ταῦ μεταπεσόντων, ἐκλήθη. καὶ μετὰ ταῦτα καὶ μέ-
χρι τῆς Βαβυλῶνος αὐτῆς ἐχώρησαν κατὰ πολλὴν τῶν κωλυόν-
των αὐτοὺς ἐρημίαν, ἅτε καὶ τῆς τῶν Πάρθων δυνάμεως ἐκ τῶν
ἐμφυλίων πολέμων ἐφθαρμένης καὶ τότε ἔτι στασιαζούσης.
ἔνθα μέντοι τήν τε ἄσφαλτον εἶδε Τραϊανὸς ἐξ ἧς τὰ τείχη
Βαβυλῶνος ᾠκοδόμητο. τοσαύτην γὰρ ἀσφάλτου πλίνθοις ὀ-
πταῖς ἢ καὶ λίθοις λεπτοῖς συμμιχθεῖσα παρέχεται, ὥστε καὶ
πέτρας καὶ σιδήρου παντὸς ἰσχυρότερα αὐτὰ ποιεῖν. καὶ τὸ στό-
μιον ἐθεάσατο ἐξ οὗ πνεῦμα δεινὸν ἀναδίδοται, ὥστε πᾶν μὲν
ἐπίγειον ζῷον, πᾶν δὲ πετεινὸν ἀποφθείρειν, εἰ καὶ ἐφ' ὁποσον- C
οῦν ὀσφραίνοιτό τι αὐτοῦ. καὶ εἴπερ ἐπὶ πολὺ ἄνω ἐχώρει, ἢ
καὶ πέριξ ἐσκεδάννυτο, οὐκ ἂν ᾠκεῖτο ὁ χῶρος· νῦν δὲ αὐτὸ
ἐν ἑαυτῷ ἀνακυκλούμενον κατὰ χώραν μένει. εἶδον ἐγὼ τοιοῦτον
ἕτερον ἐν Ἱεραπόλει τῆς Ἀσίας, καὶ ἐπειράθην αὐτοῦ δι' ὀρνέων
αὐτός τε ὑπερκύψας καὶ αὐτὸς ὑπεριδὼν τὸ πνεῦμα. κατακέκλει-
σται γὰρ ἐν δεξαμενῇ τινί, καὶ θέατρον ὑπὲρ αὐτοῦ ᾠκοδόμη-
το. φθείρει δὲ πάντα τὰ ἔμψυχα, πλὴν τῶν ἀνθρώπων τῶν τὰ
αἰδοῖα ἀποτετμημένων. οὐ μὴν καὶ τὴν αἰτίαν αὐτοῦ συν-
νοῆσαι ἔχω. λέγω δὲ ἅ τε εἶδον ὡς εἶδον, καὶ ἃ ἤκουσα ὡς D
ἤκουσα. Τραϊανὸς δὲ ἐβουλεύσατο μὲν τὸν Εὐφράτην κατὰ
διώρυχα ἐς τὸν Τίγριν ἐσαγαγεῖν, ἵνα τὰ πλοῖα δι' αὐτῆς κα-
τελθόντα τὴν γέφυραν αὐτῷ ποιῆσαι παράσχῃ. μαθὼν δὲ
ὅτι πολὺ ὑψηλότερος τοῦ Τίγριδός ἐστι, τοῦτο μὲν οὐκ ἔπραξε,
φοβηθεὶς μὴ καὶ ἄπλουν τὸν Εὐφράτην ἀπεργάσηται, ἀ-
θρόου τοῦ ῥεύματος ἐς τὸ κάταντες φερομένου. ὑπερενεγκὼν δὲ
τὰ πλοῖα, ὁλκοῖς διὰ τοῦ μέσου τῶν ποταμῶν ἐλαχίστου ὄντος
(τὸ γὰρ ῥεῦμα τὸ τοῦ Εὐφράτου πᾶν ἐς τὸ ἕλος ἐκπίπτει, καὶ ἐ-
κεῖθέν πως τῷ Τίγριδι συμμίγνυται) τὸν Τίγριν ἐπεραιώθη, 226
καὶ ἐς τὴν Κτησιφῶντα εἰσῆλθε, παραλαβών τε αὐτήν, A

αὐτοκράτωρ ἐπωνομάσθη, καὶ τὴν ἐπίκλησιν τοῦ Παρθικοῦ
ἐβεβαιώσατο. ἐψηφίσθη δὲ αὐτῷ παρὰ τῆς βουλῆς τά τε ἄλ-
λα καὶ νικητήρια ὅσα ἐθελήσῃ διεορτάσαι. ἑλὼν δὲ τὴν Κτη-
σιφῶντα ἐπιθύμησιν ἐς τὴν ἐρυθρὰν θάλασσαν καταπλεῦ-
σαι· αὕτη δὲ τοῦ τε ὠκεανοῦ μοῖρά ἐστι, καὶ ἀπό τινος ἐνδυ-
ναστεύσαντός ποτε ἐν αὐτῇ οὕτω κέκληται. καὶ τὴν μὲν νῆσον τὴν
ἐν τῷ Τίγριδι τὴν Μεσσήνην, ἧς Ἀθάμβηλος ἐβασίλευεν,
ἀπόνως ᾠκειώσατο, ὑπὸ δὲ δὴ χειμῶνος τῆς τε τοῦ Τίγριδος
B ὀξύτητος, καὶ τῆς τοῦ ὠκεανοῦ ἀναρροίας, ἐκινδύνευσε. καὶ οἱ
τὸν χάρακα δὲ τὸν Σπασίνου καλούμενον οἰκοῦντες (ἐν δὲ δὴ
τῇ τοῦ Ἀθαμβήλου ἐπικρατείᾳ ἦσαν) φιλικῶς αὐτὸν ὑπεδέ-
ξαντο. κἀντεῦθεν ἐπ' αὐτὸν τὸν ὠκεανὸν ἐλθών, τήν τε φύσιν
αὐτοῦ καταμαθών, καὶ πλοῖόν τι ἐς Ἰνδίαν πλέον ἰδών, εἶπεν
ὅτι πάντως ἂν καὶ ἐπὶ τοὺς Ἰνδούς, εἰ νέος ἔτι ἦν, ἐπεραιώθην.
Ἰνδούς τε γὰρ ἐνενόει, καὶ τὰ ἐκείνων πράγματα ἐπολυπρα-
γμόνει. τόν τε Ἀλέξανδρον ἐμακάριζε, καὶ ἔλεγε καὶ ἐκείνου
περαιωτέρω προκεχωρηκέναι. καὶ τοῦτο καὶ τῇ βουλῇ ἐπέστειλε
C μὴ δυνηθεὶς μηδὲ ἃ κεχείρωτο σῶσαι. καὶ ἐπ' αὐτῷ ἄλλα
τε ἔλαβε, καὶ ἐπινίκια ὅσων ἂν ἐθελήσῃ ἐθνῶν πέμψαι. διὰ γὰρ
τὸ πλῆθος τῶν ἀεὶ σφίσι γραφομένων, οὔτε συνεῖναί τινα αὐ-
τῶν, οὔτε ὀνομάσαι καλῶς ἐδύναντο. καὶ οἱ μὲν ἁψῖδα αὐτῷ
τροπαιοφόρον πρὸς πολλοῖς ἄλλοις ἐν αὐτῇ τῇ ἀγορᾷ αὐτοῦ
παρεσκεύαζον, καὶ ἡτοιμάζοντο ὡς πορρωτέρω ἀπαντήσον-
τες εἰ ἐπανίοι. ἔμελλε δὲ ἄρα μήτε ἐς τὴν Ῥώμην ἔτι ἀφί-
ξεσθαι, μήτε ἄξιόν τι τῶν προκατειργασμένων πράξειν, καὶ
προσέτι καὶ αὐτὰ ἐκεῖνα ἀπολέσειν. ἐν γὰρ τῷ χρόνῳ ἐν ᾧ ἐπὶ τὸν
D ὠκεανὸν κατέπλει, καὶ ἐκεῖθεν αὖθις ἀνεκομίζετο, πάντα τὰ ἑα-
λωκότα ἐταράχθη καὶ ἀπέστη. καὶ τοὺς παρὰ σφίσιν ἕκαστοι φρου-
ροὺς οἱ μὲν ἐξέβαλον, οἱ δ' ἀπέκτειναν. μαθὼν δὲ ταῦτα ὁ Τρα-
ϊανὸς ἐν πλοίῳ (καὶ γὰρ ἐκεῖσε ἦλθε κατά τε τὴν φήμην, ἧς οὐδὲν
ἄξιον εἶδεν ὅτι μὴ χώματα καὶ λίθους καὶ ἐρείπια, καὶ διὰ τὸν
Ἀλέξανδρον

Ἀλέξανδρον, ᾧ καὶ ἐνήγιστεν ἐν τῷ οἰκήματι ἐν ᾧ ἐτετελευτή-
κει. μετὰ δὲ ταῦτα τόν τε Λούσιον καὶ τὸν Μάξιμον ἐπὶ τοὺς 227
ἀφεστηκότας ἔπεμψε. καὶ οὗτος μὲν ἀπέθανεν, ἡττηθεὶς μάχῃ· A
Λούσιος δὲ ἄλλα τε πολλὰ κατώρθωσε, καὶ τὴν Νίσιβιν ἀνέλα-
βε, τήν τε Ἔδεσσαν ἐξεπολιόρκησε, καὶ διέφθειρε καὶ ἐνέπρησε.
ἑάλω δὲ καὶ ἡ Σελεύκεια πρός τε Ἐρυκίου Κλάρου καὶ πρὸς Ἰου-
λίου Ἀλεξάνδρου ὑποστρατηγῶν, καὶ ἐκαύθη. Τραϊανὸς δὲ
φοβηθεὶς μὴ καὶ οἱ Πάρθοι τι νεοχμώσωσι, βασιλέα αὐτοῖς
ἴδιον δοῦναι ἠθέλησε· καὶ ἐς Κτησιφῶντα ἐλθὼν συνεκάλε-
σεν ἐς πεδίον τὸ μέγα πάντας μὲν τοὺς Ῥωμαίους, πάντας δὲ
τοὺς Πάρθους τοὺς ἐκεῖ τότε ὄντας· καὶ ἐπὶ βῆμα ὑψηλὸν ἀνα-
βάς, καὶ μεγαληγορήσας ὑπὲρ ὧν καὶ κατειργάσατο, Παρθαμα-
σπάτην τοῖς Πάρθοις βασιλέα ἀπέδειξε, τὸ διάδημα αὐτῷ
ἐπιθείς. μετὰ δὲ ταῦτα ἐς τὴν Ἀραβίαν ἦλθε, καὶ τοῖς Ἀτρηνοῖς, B
ἐπειδὴ καὶ αὐτοὶ ἀφειστήκεσαν, ἐπεχείρησε. καὶ ἔστι μὲν οὔτε μεγά-
λη οὔτε εὐδαίμων ἡ πόλις, ἥ τε πέριξ χώρα ἔρημος ἐπὶ πλεῖ-
στόν ἐστι, καὶ οὔθ᾽ ὕδωρ, ὅτι μὴ βραχὺ καὶ τοῦτο δυσχερές, οὔτε ξύ-
λον οὔτε χιλὸν ἴσχει· καὶ πρός τε αὐτῶν τούτων ἀδύνατον τὴν
προσεδρείαν πλήθει ποιουμένων, πρός τε τοῦ ἡλίου, ὥσπερ που καὶ
ἀνάκειται, ῥύεται. οὔτε γὰρ ὑπὸ Τραϊανοῦ τότε, οὔτε ὑπὸ
Σεβήρου ὕστερον ἥλω, καίτοι καὶ καταβαλόντων μέρη τινὰ τοῦ
τείχους αὐτῆς. Τραϊανὸς δὲ τοὺς ἱππέας πρὸς τὸ τεῖχος προ- C
πέμψας ἐσφάλη, ὥστε καὶ ἐς τὸ στρατόπεδον αὐτοὺς ἐσαρρα-
χθῆναι, καὶ αὐτὸς παριππεύσας βραχύ τι ἐδέησε τρω-
θῆναι, καίπερ τὴν βασιλικὴν στολὴν ἀποθέμενος ἵνα μὴ γνωρι-
σθῇ. τὴν δὲ πολιὰν αὐτοῦ τὸ γαῦρον καὶ τὸ σεμνοπρεπὲς τοῦ προ-
σώπου ἰδόντες, ὑπετόπησάν τε εἶναι ὃς ἦν, καὶ ἐπετόξευσαν αὐτῷ,
καὶ ἱππέα τινὰ τῶν συνόντων οἱ ἀπέκτειναν. ἐγίγνοντο δὲ βρον-
ταί, καὶ ἴριδες ὑπεφαίνοντο· ἀστραπαί τε καὶ ζάλαι, χάλαζα καὶ
κεραυνοὶ τοῖς Ῥωμαίοις ἐνέπιπτον, ὁπότε προσβάλοιεν. καὶ ὁπότε
γε δειπνοῖεν, μυῖαι τοῖς βρώμασι καὶ τοῖς πόμασι προσιζάνουσαι

D δὶς χρείας ἅπαντα ἐνεπίμπλων. καὶ Τραϊανὸς μὲν ἐκεῖθεν
οὕτως ἀπῆλθε, καὶ οὐ πολλῷ ὕστερον ἀῤῥωστεῖν ἤρχετο. καὶ ἐν
τούτῳ οἱ κατὰ Κυρήνην Ἰουδαῖοι Ἀνδρέαν τινὰ προστησάμενοι
σφῶν, τούς τε Ῥωμαίους καὶ τοὺς Ἕλληνας ἔφθειρον, καὶ τάς τε
σάρκας αὐτῶν ἐσιτοῦντο, καὶ τὰ ἔντερα ἀνεδοῦντο, τῷ τε αἵ-
ματι ἠλείφοντο, καὶ ἀπολέμματα ἐνεδύοντο. πολλοὺς δὲ καὶ
μέσους ἀπὸ κορυφῆς διέπριον· θηρίοις ἑτέρους ἐδίδοσαν, καὶ
μονομαχεῖν ἄλλους ἠνάγκαζον· ὥστε τὰς πάσας δύο καὶ εἴκο-
228 σι μυριάδας ἀπολέσθαι. ἔν τε Αἰγύπτῳ πολλὰ ἔδρασαν ὅ-
A μοια, καὶ ἐν τῇ Κύπρῳ ἡγουμένου σφίσιν Ἀρτεμίωνος, καὶ
ἀπώλοντο καὶ ἐκεῖ μυριάδες τέσσαρες καὶ εἴκοσι. καὶ διὰ
τοῦτ' οὐδενὶ Ἰουδαίῳ ἐπιβιῶναι αὐτῆς ἔξεστιν, ἀλλὰ, κἂν ἀνέ-
μῳ τις βιασθεὶς ἐς τὴν νῆσον ἐμπέσῃ, θανατοῦται. ἀλλ' Ἰου-
δαίους μὲν ἄλλοι τε καὶ Λούσιος ὑπὸ Τραϊανοῦ πεμφθεὶς
κατεστρέψατο. Τραϊανὸς δὲ παρεσκευάζετο μὲν αὖθις ἐς
τὴν Μεσοποταμίαν στρατεῦσαι· ὡς δὲ τῷ νοσήματι ἐπιέζε-
το, αὐτὸς μὲν ἐς τὴν Ἰταλίαν ὥρμησε πλεῖν, Πόπλιον δὲ Αἴ-
λιον Ἀδριανὸν ἐν τῇ Συρίᾳ κατέλιπε μετὰ τοῦ στρατοῦ. οὕτω
B μὲν οἱ Ῥωμαῖοι τῆς τε Ἀρμενίας καὶ τῆς Μεσοποταμίας τῆς
πλείονος τῶν τε Πάρθων κρατήσαντες, μάτην ἐπόνησαν καὶ
μάτην ἐκινδύνευσαν. καὶ γὰρ καὶ οἱ Πάρθοι τὸν Παρθαμα-
σπάτην ἀπαξιώσαντες, ἐν τῷ σφετέρῳ τρόπῳ ἤρξαντο βασι-
λεύεσθαι. ἐνόσησε δὲ Τραϊανὸς, ὡς μὲν αὐτὸς ὑπώπτευσεν, ἐκ
φαρμάκου λήψεως· ὡς δέ τινες λέγουσιν, ἐπισχεθέντος αὐτῷ τοῦ
αἵματος, ὃ κατ' ἔτος κάτω διεχώρει. ἐγένετο μὲν γὰρ καὶ ἀπό-
πληκτος, ὥστε καὶ τοῦ σώματός τι παρεθῆναι, τὸ δὲ ὅλον ὑ-
δρωπίασε. καὶ ἐς Σελινοῦντα τῆς Κιλικίας ἐλθὼν, ἣν δὴ καὶ
C Τραϊανούπολιν καλοῦμεν, ἐξαίφνης ἀπέψυξε, μοναρχήσας
ἔτη δεκαεννέα, καὶ μῆνας ἕξ, ἡμέρας πεντεκαίδεκα.

ΑΔΡΙΑΝΟΣ.

ΑΔΡΙΑΝΟΣ δὲ ὑπὸ μὲν Τραϊανοῦ
οὐκ ἐσεποιήθη. ἦν μὲν γὰρ πολίτης αὐτοῦ, καὶ
ἐπετροπεύθη ὑπ' αὐτοῦ, γένους τε οἱ ἐκοινώ-
νει, καὶ ἀδελφιδῆν αὐτοῦ ἐγεγαμήκει. τό, τε
σύμπαν, συνῆν αὐτῷ καὶ συνδιητᾶτο, τῇ
τῇ Συρίᾳ ἐπὶ τῷ Παρθικῷ πολέμῳ προσετάχθη· οὐ μέντοι
οὔτ' ἄλλο τι ἐξαίρετον παρ' αὐτοῦ ἔλαβεν, οὔθ' ὕπατος ἐν
πρώτοις ἐγένετο· ἀλλὰ καὶ καίσαρα αὐτὸν καὶ αὐτοκράτορα,
τοῦ Τραϊανοῦ ἄπαιδος μεταλλάξαντος, ὅ, τε Ἀττιανὸς πολί- D
της αὐτοῦ ὢν, καὶ ἐπίτροπος γεγονώς, καὶ ἡ Πλωτῖνα ἐξ ἐρω
τικῆς φιλίας πλησίον τε ὄντα, καὶ δύναμιν πολλὴν ἔχοντα, ἀπέ 229
δειξαν. ὁ γὰρ πατήρ μου Ἀπρωνιανὸς τῆς Κιλικίας ἄρξας πάν A
τα τὰ κατ' αὐτὸν ἐμεμαθήκει σαφῶς· ἔλεγε δὲ τά τε ἄλλα
ὡς ἕκαστα, καὶ ὅτι ὁ θάνατος τοῦ Τραϊανοῦ ἡμέρας τινὰς διὰ
τοῦτο συνεκρύφθη ἵν' ἡ ποίησις προεκφοιτήσοι. ἐδηλώθη δὲ
τοῦτο καὶ ἐκ τῶν πρὸς τὴν βουλὴν γραμμάτων αὐτοῦ. τὰ γὰρ ἐπιστο
λαῖς οὐκ αὐτὸς ἀλλ' ἡ Πλωτῖνα ὑπέγραψεν, ὅπερ ἐπ' οὐδενὸς
ἄλλου ἐπεποιήκει. ἦν δέ, ὅτε ἀνηγορεύθη αὐτοκράτωρ Ἀδρια
νός, ἐν τῇ μητροπόλει Συρίας Ἀντιοχείᾳ, ἧς ἦρχεν. ἔδοξε δὲ ὄ-
ναρ πρὸ τῆς ἡμέρας ἐκείνης πῦρ ἐκ τοῦ οὐρανοῦ ἔν τε αἰθρίᾳ
καὶ ἐν εὐδίᾳ πολλῇ ἐς τὴν ἀριστερὰν αὐτοῦ σφαγὴν ἐμπεσεῖν, B
ἔπειτα καὶ ἐπὶ τὴν δεξιὰν παρελθεῖν, μήτε ἐκφοβῆσαν αὐτόν,
μήτε βλάψαν. ἔγραψε δὲ πρὸς τὴν βουλὴν ὁ Ἀδριανὸς ἀξιῶν
βεβαιωθῆναι αὐτῷ τὴν ἡγεμονίαν καὶ παρ' ἐκείνης, καὶ ἀπα
γορεύων μηδὲν αὐτῷ μήτε τότε μήτε αὖθις τιμὴν δή τινα φέ
ρον (οἷα εἰώθει γίγνεσθαι) ψηφισθῆναι, πλὴν ἄν τι αὐτὸς ποτὲ
ἀξιώσῃ. τὰ δὲ τοῦ Τραϊανοῦ ὀστᾶ ἐν τῷ κίονι αὐτοῦ κατετέθη,

καὶ αἱ θέαι αἱ παρθένιαι ὀνομασθεῖσαι ἐπὶ πολλὰ ἔτη ἐγένοντο· ὕστερον γὰρ καὶ αὕτη, ὥσπερ καὶ ἄλλα πολλὰ κατελύθη. Ἀδριανὸς
C δὲ, καίτοι φιλανθρωπότατα ἄρξας, ὅμως διά τινας φόνους ἀρίστων ἀνδρῶν, οὓς ἐν ἀρχῇ τε τῆς ἡγεμονίας καὶ πρὸς τῇ τελευτῇ τοῦ βίου πεποίητο, διεβλήθη, καὶ ὀλίγου διὰ ταῦτ' οὐδὲ εἰς τοὺς ἥρωας ἐσεγράφη. καὶ οἱ μὲν ἐν τῇ ἀρχῇ φονευθέντες, Πάλμας τε καὶ Κέλσος, Νιγρῖνός τε καὶ Λούσιος ἦσαν, ὡς ἐν θήρᾳ δῆθεν ἐπιβεβουλευκότες αὐτῷ· οἱ δὲ ἐφ' ἑτέροις δή τισιν ἐγκλήμασιν, οἷα μεγάλα δυνάμενοι, καὶ πλούτου καὶ δόξης εὖ ἥκοντες· ἐφ' οἷς Ἀδριανὸς οὕτω τῶν λογοποιουμένων ᾔσθετο, ὥστε καὶ
D ἀπολογήσασθαι καὶ ἐπομόσαι μὴ κεκελευκέναι ἀποθανεῖν αὐτούς. οἱ δὲ ἐν τῇ τελευτῇ Σερβιανός τε ὑπῆρχον καὶ ὁ ἔγγονος αὐτοῦ Φοῦσκος. ἦν δὲ Ἀδριανὸς γένος μὲν Ἀδριανοῦ Ἄφρου υἱός, φύσει δὲ φιλολόγος ἐν ἑκατέρᾳ τῇ γλώσσῃ. καί τινα πεζὰ καὶ ἐν ἔπεσι ποιήματα παντοδαπὰ καταλέλοιπε. φιλοτιμίᾳ τε γὰρ ἀπληστοτάτῃ ἐχρῆτο, καὶ κατὰ τοῦτο καὶ τἆλλα πάντα καὶ τὰ
270 βραχύτατα ἐπετήδευσε. καὶ γὰρ ἔπλασσε καὶ ἔγραφε, καὶ οὐδὲν ὅ,τι
A οὐκ εἰρηνικὸν καὶ πολεμικὸν καὶ βασιλικὸν καὶ ἰδιωτικὸν εἰδέναι ἔλεγεν. ἐκ τούτου δὲ τῶν ἔν τινι προεχόντων πολλοὺς μὲν καθεῖλε, συχνοὺς δὲ καὶ ἀπώλεσε, βουλόμενος πάντων ἐν πᾶσι προεῖναι. καὶ κατ' αὐτοῦ δὲ τόν τε Φαβωρῖνον τὸν Γαλάτην, τόν τε Διονύσιον τὸν Μιλήσιον τοὺς σοφιστὰς καταλύειν ἐπεχείρει, τῷ τοὺς ἀνταγωνιστὰς σφῶν ἐξαίρειν. ὅτε Διονύσιος πρὸς τὸν αὐτοῦ ἴδιον Ἡλιόδωρον τὸν τὰς ἐπιστολὰς αὐτοῦ διαγράφοντα, εἰπεῖν
B λέγεται, ὅτι Καῖσαρ χρήματα μέν σοι καὶ τιμὴν δοῦναι δύναται, ῥήτορα δέ σε ποιῆσαι οὐ δύναται. καὶ ὁ Φαβωρῖνος μέλλων παρ' αὐτῷ περὶ τῆς ἀτελείας, ἣν ἐν τῇ πατρίδι ἔχειν ἤθελε, δικάσασθαι, ὑποτοπήσας καὶ ἡττηθήσεσθαι καὶ προσυβρισθήσεσθαι, ἐσῆλθε μὲν ἐς δικαστήριον, εἶπε δὲ οὐδὲν ἄλλο ἢ ὅτι ὁ διδάσκαλός μου ὄναρ τῆς νυκτὸς ταύτης ἐπιστάς μοι, ἐκέλευσε λειτουργεῖν τῇ πατρίδι, ὡς καὶ ἐν ἐκείνῃ γεγεννημένῳ.

Ἀδριανὸς δὲ τούτων μὲν, καίπερ ἀχθεσθεὶς σφίσιν, ἐφείσατο,
μηδεμίαν εὔλογον ὀλέθρου κατ' αὐτῶν ἀφορμὴν λαβών· τὸν C
δὲ Ἀπολλόδωρον τὸν ἀρχιτέκτονα τὸν τήν τε ἀγορὰν καὶ τὸ ᾠ-
δεῖον τό, τε γυμνάσιον, τὰ τοῦ Τραϊανοῦ ποιήματα, ἐν τῇ Ῥώ-
μῃ κατασκευάσαντα, τὸ μὲν πρῶτον ἐφυγάδευσεν, ἔπειτα δὲ
καὶ ἀπέκτεινε, λόγῳ μὲν ὡς πλημμελήσαντά τι. τὸ δὲ ἀληθές,
ὅτι τοῦ Τραϊανοῦ κοινουμένου τι αὐτῷ περὶ τῶν ἔργων, εἶπε τῷ
Ἀδριανῷ παραλαλήσαντί τι, ὅτι Ἄπελθε, καὶ τὰς κολοκύνθας
γράφε· τούτων γὰρ οὐδὲν ἐπίστασαι. ἐτύγχανε δὲ ἄρα τότε ἐκεῖ-
νος τοιούτῳ τινὶ γράμματι σεμνυνόμενος. αὐτοκρατορεύσας
οὖν τότε, ἐμνησικάκησε, καὶ τὴν παρρησίαν αὐτοῦ οὐκ ἤνεγκεν. D
αὐτὸς μὲν γὰρ τοῦ τῆς Ἀφροδίτης τῆς τε Ῥώμης ναοῦ τὸ διά-
γραμμα αὐτῷ πέμψας, δι' ἔνδειξιν ὅτι καὶ ἄνευ ἐκείνου μέ-
γα ἔργον γίγνεσθαι δύναται, ἤρετο εἰ εὖ ἔχοι τὸ κατασκεύα-
σμα. ὁ δὲ ἀντεπέστειλε περί τε τοῦ ναοῦ, καὶ ὅτι καὶ μετέωρον
αὐτὸν καὶ ὑποκεκενωμένον γενέσθαι ἐχρῆν, ἵν' ἔς τε τὴν ἱε-
ρὰν ὁδὸν ἐκφανέστερος ἐξ ὑψηλοτέρου εἴη, καὶ ἐς τὸ κοῖλον τὰ
μηχανήματα ἐσδέχοιτο, ὥστε καὶ ἀφανῶς συμπήγνυσθαι, 231
καὶ ἐξ οὐ προειδότος εἰς τὸ θέατρον εἰσάγεσθαι· καὶ περὶ τῶν A
ἀγαλμάτων, ὅτι μείζονα ἢ κατὰ τὸν τοῦ ὕψους τοῦ μεγάλου λόγον
ἐποιήθη. ἂν γὰρ αἱ θεαί, ἔφη, ἐξαναστῆναί τε καὶ ἐξελθεῖν
ἐθελήσωσιν, οὐ δυνηθήσονται. ταῦτα γὰρ πικρῶς αὐτοῦ γρά-
ψαντος, καὶ ἠγανάκτησε καὶ ὑπερήλγησεν, ὅτι καὶ ἐς ἀδιόρθω-
τον ἁμαρτίαν ἐπεπτώκει· καὶ οὔτε τὴν ὀργὴν οὔτε τὴν λύπην
κατέσχεν, ἀλλ' ἐφόνευσεν αὐτόν. καὶ οὕτω γε τοιοῦτος ἦν, ὡς καὶ
τὸν Ὅμηρον καταλύων, Ἀντίμαχον ἀντ' αὐτοῦ εἰσάγειν, οὗ B
μηδὲ τὸ ὄνομα πολλοὶ πρότερον ἠπίσταντο. ἠτιῶντο μὲν δὴ ταῦ-
τά τε αὐτοῦ, καὶ τὸ ἀκριβὲς τό, τε περίεργον καὶ τὸ πολύτρο-
πον. ἐθεράπευε δὲ αὐτὰ καὶ ἀνελάμβανε τῇ τε ἄλλῃ ἐπι-
μελείᾳ καὶ προνοίᾳ καὶ μεγαλοπρεπείᾳ καὶ δεξιότητι, καὶ
τῷ μήτε τινὰ πόλεμον ταράξαι, καὶ τοὺς ὄντας παῦσαι, μήτε

τινὸς χρήματα ἀδίκως ἀφελέσθαι, καὶ πολλοῖς πολλὰ καὶ δή-
C μοις καὶ ἰδιώταις καὶ βουλευταῖς τε καὶ ἱππεῦσι χαρίσασθαι. οὐ-
δὲ γὰρ ἀνέμενεν αἰτηθῆναι, ἀλλὰ πάνυ πάντα πρὸς τὴν ἑκά-
στου χρείαν ἐποίει. καὶ τὰ τε στρατιωτικὰ ἀκριβέστατα ἤσκη-
σεν, ὥστ' ἰσχύοντα μήτ' ἀπειθεῖν, μήτε ὑβρίζειν· καὶ τὰς πό-
λεις τάς τε συμμαχίδας καὶ τὰς ὑπηκόους μεγαλοπρεπέστατα
ὠφέλησε. πολλὰς μὲν γὰρ καὶ εἶδεν αὐτῶν, ὅσας οὐδεὶς ἄλλος αὐ-
τοκράτωρ, πάσαις δὲ ὡς εἰπεῖν ἐπεκούρησε, ταῖς μὲν ὕδωρ, ταῖς δὲ
λιμένας, σῖτόν τε καὶ ἔργα, καὶ χρήματα, καὶ τιμὰς ἄλλαις ἄλ-
λας διδούς. ἦγε δὲ καὶ τὸν δῆμον τῶν Ῥωμαίων ἐμβριθῶς μᾶλ-
D λον ἢ θωπευτικῶς· καί ποτε ἰσχυρῶς αἰτοῦντι ἐν ὁπλομαχίᾳ
οὔτε ἔνειμε, καὶ προσέτι ἐκέλευσε τοῦτο δὴ τὸ τοῦ Δομιτιανοῦ
κηρυχθῆναι, Σιωπήσατε. οὐκ ἐλέχθη μὲν γάρ. ὁ γὰρ κῆρυξ ἀ-
νατείνας τὴν χεῖρα, καὶ ἐξ αὐτοῦ τούτου ἡσυχάσας (ὥσπερ εἰώ-
θασι ποιεῖν. οὐ γάρ ἐστιν ὁπότε ὑπὸ κηρύγματος σιγάζονται)
ἐπειδὴ ἐσιώπησαν, ἔφη, Τοῦτο θέλει. καὶ οὐχ ὅτι τινὰ ὀργὴν
232 τῷ κήρυκι ἔσχεν, ἀλλὰ καὶ ἐτίμησεν αὐτὸν, ὅτι τὴν δυσχέρειαν
A τοῦ κελεύσματος οὐκ ἐξέφηνεν. ἔφερε γὰρ τὰ τοιαῦτα καὶ οὐκ ἠγα-
νάκτει εἴ τι καὶ παρὰ γνώμην καὶ πρὸς τῶν τυχόντων ὠφελοῖ-
το. ἀμέλει γυναικὸς παριόντος αὐτοῦ ὁδῷ τινὶ δεομένης, τὸ μὲν
πρῶτον εἶπεν αὐτῇ ὅτι Οὐ σχολάζω, ἔπειτα ὡς ἐκείνη ἀνα-
κραγοῦσα ἔφη, καὶ μὴ βασίλευε, ἐπεστράφη τε καὶ λόγον
αὐτῇ ἔδωκεν. ἔπραττε δὲ καὶ διὰ τοῦ βουλευτηρίου πάντα
τὰ μεγάλα καὶ ἀναγκαιότατα, καὶ ἐδίκαζε μετὰ τῶν πρώ-
B των τοτὲ μὲν ἐν τῷ παλατίῳ, τοτὲ δὲ ἐν τῇ ἀγορᾷ, τῷ τε Παν-
θείῳ, καὶ ἄλλοθι πολλαχόθι ἀπὸ βήματος, ὥστε δημοσιεύε-
σθαι τὰ γιγνόμενα. καὶ τοῖς ὑπάτοις ἔστιν ὅτε δικάζουσι συνε-
γίγνετο· ἔν τε ταῖς ἱπποδρομίαις αὐτοὺς ἐτίμα, καὶ οἴκαδε
ἀνακομιζόμενος, ἐν φορείῳ ἐφέρετο, ὅπως μηδένα συνα-
κολουθοῦντά οἱ ἐνοχλοίη. ἐν δὲ ταῖς μήτε ἱεραῖς μήτε δημο-
σίοις ἡμέραις οἴκοι ἔμενε, καὶ οὐδ' ἕνα οὐδ' ἴσον ἀσπάσασθαι

προσεδέχετο, εἰ μή τι ἀναγκαῖον εἴη, ἵνα μὴ πάνυ ταλαιπω-
ροῖντο. ἀεί τε περὶ ἑαυτὸν καὶ ἐν τῇ Ῥώμῃ καὶ ἔξω τοὺς ἀρίστους εἶ- C
χε, καὶ συνῆν σφίσι καὶ ἐν τοῖς συμποσίοις, καὶ διὰ τοῦτο καὶ τετταρ-
σι πολλάκις ὠχεῖτο. ἐθήρευε δὲ ὁσάκις ἐνεδέχετο, καὶ ἠρίστα ἄ-
νευ οἴνου. ἔπειτα μετὰ πάντων τῶν πρώτων καὶ ἀρίστων ἐδείπνει, καὶ
ἦν αὐτοῦ τὸ συσσίτιον παντοδαπῶν λόγων πλῆρες. τούς τε πάνυ
νοσοῦντας φίλους ἐπεσκέπτετο, καὶ ἑορτάζουσι σφίσι συνδιη-
τᾶτο, τοῖς τε ἀγροῖς καὶ ταῖς οἰκίαις αὐτῶν ἡδέως ἐχρῆτο. ὅθεν
καὶ εἰκόνας πολλοῖς μὲν ἀποθανοῦσι, πολλοῖς δὲ καὶ ζῶσιν ἐς
τὴν ἀγορὰν ἔστησεν. οὐ μέντοι οὔτε ἐξύβρισέ τις αὐτῶν, οὔτ' ἀ-
πέδοτό τι οὐδὲν ὧν ἔλεγεν οὐδὲ ὧν ἔπραττεν, οἷα οἵ τε καισά- D
ρειοι καὶ οἱ ἄλλοι οἱ περὶ τοὺς αὐτοκράτορας ἔχοντες ποιεῖν
εἰώθασι. ταῦτα περί τε τοῦ τρόπου, ὡς ἐν κεφαλαίῳ εἰπεῖν,
προείρηκα. λέξω δὲ καὶ τὰ καθ' ἕκαστον, ὅσα ἀναγκαῖόν ἐστι
μνημονεύεσθαι. ἐλθὼν γὰρ ἐς τὴν Ῥώμην, ἀφῆκε τὰ ὀφειλό-
μενα τῷ τε βασιλικῷ καὶ τῷ δημοσίῳ τῷ τῶν Ῥωμαίων,
ἑκκαίδεκα ἔτη ὁρίσας χρόνον, ἀφ' οὗ τε καὶ μέχρις οὗ τηρη-
θήσεσθαι τοῦτ' ἔμελλεν. ἔν τε τοῖς ἑαυτοῦ γενεθλίοις προῖκα τῷ
δήμῳ τὴν θέαν ἀπένειμε, καὶ θηρία πολλὰ ἀπέκτεινεν, 233
ὥστε ἐφάπαξ καὶ λέοντας ἑκατὸν καὶ λεαίνας ἴσας πεσεῖν. A
καὶ δῶρα διὰ σφαιρίων καὶ ἐν τῷ θεάτρῳ καὶ ἐν τῷ ἱπποδρό-
μῳ, χωρὶς μὲν τοῖς ἀνδράσι, χωρὶς δὲ γυναιξὶ διέρριψε. καὶ
γὰρ καὶ λοῦσθαι χωρὶς ἀλλήλων αὐτοῖς προσέταξεν. ἐν μὲν
τῷ ἔτει ἐκείνῳ ταῦτά τε ἐγένετο καὶ ὁ Εὐφράτης ὁ φιλόσοφος
ἀπέθανεν ἐθελοντής, ἐπιτρέψαντος αὐτῷ καὶ τοῦ Ἀδριανοῦ
κώνειον καὶ διὰ τὸ γῆρας καὶ διὰ τὴν νόσον πιεῖν. Ἀδριανὸς
δὲ ἄλλην ἀπ' ἄλλης διαπορευόμενος ἐπαρχίαν, τάς τε χώ-
ρας καὶ τὰς πόλεις ἐπισκεπτόμενος, καὶ πάντα τὰ φρούρια
καὶ τὰ τείχη περισκοπῶν, τὰ μὲν ἐς ἐπικαιροτάτους τόπους B
μετέθηκε, τὰ δὲ ἔπαυσε, τὰ δὲ προσκαθίσατο αὐτὸς πάντα ἁ-
πλῶς, οὐχ ὅπως τὰ κοινὰ τῶν στρατοπέδων, ὅπλα λέγω καὶ

μηχανὰς καὶ τάφρους καὶ περιβόλους καὶ χαρακώματα,
ἀλλὰ καὶ τὰ ἴδια ἑνὸς ἑκάστου, καὶ τῶν ἐν τῷ τεταγμένῳ στρα-
τευομένων, καὶ τῶν ἀρχόντων αὐτῶν τοὺς βίους, τὰς οἰκήσεις,
τοὺς τρόπους καὶ ἐφορῶν καὶ ἐξετάζων· καὶ πολλά γε ἐς τὸ ἁβρότερον
ἐκδεδιῃτημένα καὶ κατεσκευασμένα καὶ μετερρύθμισε καὶ μετέ-
σκαψε. ἐγύμναζέ τε αὐτοὺς πρὸς πᾶν εἶδος μάχης, καὶ τοὺς μὲν
ἐτίμα, τοὺς δὲ ἐνουθέτει· πάντας δὲ ἐδίδασκεν ἃ χρὴ ποιεῖν, καὶ
C ὅπως γε καὶ ὁρῶντες αὐτὸν ὠφελοῖντο. σκληρᾷ τε πανταχοῦ
τῇ διαίτῃ ἐχρῆτο, καὶ ἐβάδιζεν, ἢ καὶ ἵππευε πάντα. οὐδὲ ἔστιν
ὁπότε οὔτε ὀχήματος τότε γε οὔτε τετρακύκλου ἐπέβη, οὔτε τὴν
κεφαλὴν οὐκ ἐν θάλπει, οὐκ ἐν ῥίγει ἐκαλύφθη, ἀλλὰ καὶ ἐν ταῖς
χιόσι ταῖς Κελτικαῖς καὶ ἐν τοῖς καύμασι τοῖς Αἰγυπτιακοῖς,
γυμνῇ αὐτῇ περιῄει. συνελόντι τε εἰπεῖν, οὕτω καὶ τῷ ἔργῳ καὶ
τοῖς παραγγέλμασι πᾶν τὸ στρατιωτικὸν δι᾽ ὅλης τῆς ἀρχῆς
ἤσκησε καὶ κατεκόσμησεν, ὥστε καὶ νῦν τὰ τότε ὑπ᾽ αὐτοῦ
ταχθέντα νόμον σφίσι τῆς στρατείας εἶναι· καὶ διὰ τοῦτο καὶ μά-
D λιστα ἐν εἰρήνῃ τὸ πλεῖστον πρὸς τοὺς ἀλλοφύλους διεγένετο.
τήν τε γὰρ παρασκευὴν αὐτοῦ ὁρῶντες, καὶ μήτε τι ἀδικούμε-
νοι, καὶ προσέτι καὶ χρήματα λαμβάνοντες, οὐδὲν ἐνεόχμω-
σαν. οὕτω γὰρ καλῶς ἤσκητο τὸ στρατιωτικὸν αὐτῷ, ὥστε καὶ τὸ
ἱππικὸν τῶν καλουμένων Βατάων τὸν Ἴστρον μετὰ τῶν ὅπλων διενή-
ξατο. ἃ ὁρῶντες οἱ βάρβαροι, τοὺς μὲν Ῥωμαίους κατεπλήττον-
το, τρεπόμενοι δὲ πρὸς σφᾶς αὐτοὺς, ἐχρῶντο αὐτῷ διαιτητῇ τῶν
234 πρὸς ἀλλήλους διαφορῶν. ἐποίει δὲ καὶ θέατρα καὶ ἀγῶνας
A περιπορευόμενος τὰς πόλεις, ἄνευ τῆς βασιλικῆς μέντοι πα-
ρασκευῆς· οὐδὲ γὰρ ἔξω τῆς Ῥώμης ἐχρήσατο ποτὲ αὐτῇ. τὴν δὲ
πατρίδα, καίτοι μεγάλα τιμήσας, καὶ πολλὰ καὶ ὑπερήφα-
να αὐτῇ δοὺς, ὅμως οὐκ εἶδε. περὶ μέντοι τὰς θήρας ἐσπουδα-
κέναι λέγεται. καὶ γὰρ καὶ τὴν κλεῖν ἐν ταύταις κατέαξε, καὶ τὸ σκέ-
λος μικροῦ ἐπηρώθη. καὶ πόλιν ἐν τῇ Μυσίᾳ οἰκίσας, Ἀδρια-
νοῦ Θήρας αὐτὴν ὠνόμασεν. οὐ μέντοι τι παρὰ τοῦτ᾽ ἀπρα-

κτον τῶν τῇ ἀρχῇ προσηκόντων κατέλιπε. τῆς δὲ περὶ τὰς θή- B
ρας σπουδῆς αὐτοῦ καὶ ὁ Βορυσθένης ὁ ἵππος, ᾧ μάλιστα θη-
ρῶν ἠρέσκετο, σημεῖόν ἐστιν. ἀποθανόντι γὰρ αὐτῷ καὶ τάφον κα-
τεσκεύασε, καὶ στήλην ἔστησε, καὶ ἐπιγράμματα ἐπέγραψεν. ὅθεν
οὐ θαυμαστὸν εἰ καὶ τὴν Πλωτίναν ἀποθανοῦσαν, δι' ἧς ἔτυχε τῆς ἀρ-
χῆς ἐρώσης αὐτοῦ, διαφερόντως ἐτίμησεν, ὥστε καὶ ἐπὶ ἡμέρας
ἐννέα μελανειμονῆσαι, καὶ ναὸν αὐτῇ οἰκοδομῆσαι, καὶ ὕμνους
τινὰς ἐς αὐτὴν ποιῆσαι. οὕτω δὲ περὶ τὴν θήραν ἐπιδέξιος ἦν,
ὡς καὶ μέγαν ποτὲ σῦν μιᾷ πληγῇ καθελεῖν. ἀφικόμενος δὲ
ἐς τὴν Ἑλλάδα, ἐπώπτευσε τὰ μυστήρια. διὰ δὲ τῆς Ἰουδαίας C
μετὰ ταῦτα εἰς Αἴγυπτον παριὼν, καὶ ἐνήγισε τῷ Πομπηΐῳ,
πρὸς ὃν καὶ τοῦτο τὸ ἔπος ἀπορρῖψαι λέγεται,

Τῷ ναοῖς βρίθοντι πόση σπάνις ἔπλετο τύμβου. καὶ τὸ
μνῆμα αὐτοῦ διεφθαρμένον ἀνῳκοδόμησεν. ἐν δὲ τῇ Αἰγύπτῳ
καὶ τὴν Ἀντινόου ὠνομασμένην ἀνῳκοδόμησε πόλιν. ὁ γὰρ Ἀν-
τίνοος ἦν μὲν ἐκ Βιθυνίου πόλεως Κιθυνίδος, ἣν καὶ Κλαυδιού
πολιν καλοῦμεν, παιδικά τε αὐτοῦ ἐγεγόνει, καὶ ἐν τῇ Αἰγύ-
πτῳ ἐτελεύτησεν, εἴτ' οὖν εἰς τὸν Νεῖλον ἐκπεσὼν, ὡς Ἀδρια- D
νὸς γράφει, εἴτε καὶ ἱερουργηθεὶς, ὡς ἡ ἀλήθεια ἔχει. τά τε γὰρ ἄλλα
περιεργότατος Ἀδριανὸς, ὥσπερ εἶπον, ἐγένετο, καὶ μαντείαις
μαγγανείαις τε παντοδαπαῖς ἐχρῆτο. καὶ οὕτω γε τὸν Ἀντίνοον,
ἤτοι διὰ τὸν ἔρωτα αὐτοῦ, ἢ ὅτι ἐθελοντὴς ἐθανατώθη (ἑκουσίου
γὰρ ψυχῆς πρὸς ἃ ἔπραττεν, ἐδεῖτο) ἐτίμησεν, ὥστε καὶ πόλιν ἐν
τῷ χωρίῳ ἐν ᾧ τοῦτ' ἔπαθε, συνοικίσαι, καὶ ὀνομάσαι ἀπ' αὐ- 235
τοῦ, καὶ ἐκείνου ἀνδριάντας ἐν πάσῃ, ὡς εἰπεῖν, τῇ οἰκουμένῃ, μᾶλ- A
λον δὲ ἀγάλματα ἀνέθηκε. καὶ τέλος ἀστέρα τινὰ αὐτός τε ὁ-
ρᾶν ὡς τοῦ Ἀντινόου ὄντα ἔλεγε, καὶ τῶν συνόντων αὐτῷ μυθολογούν-
των ἡδέως ἤκουεν, ἐκ τῆς ψυχῆς τοῦ Ἀντινόου ὄντως τὸν ἀστέρα
γεγενῆσθαι, καὶ τότε πρῶτον ἀνατεταλκέναι. διὰ ταῦτα μὲν οὖν
ἐσκώπτετο. ἐς δὲ τὰ Ἱεροσόλυμα πόλιν αὐτοῦ ἀντὶ τῆς κατασκα-
φείσης οἰκίσαντος, ἣν καὶ Αἰλίαν Καπιτωλίναν ὠνόμασε,

καὶ ἐς τὸν τοῦ ναοῦ τοῦ θεοῦ τόπον ναὸν τῷ Διὶ ἕτερον ἀντεγεί-
ραντος, πόλεμος οὔτε μικρὸς οὔτε ὀλιγοχρόνιος ἐκινήθη. Ἰου-
B δαῖοι γὰρ δεινόν τι ποιούμενοι τὸ ἀλλοφύλους τινὰς ἐς τὴν πό-
λιν σφῶν οἰκισθῆναι, καὶ τὸ ἱερὰ ἀλλότρια ἐν αὐτῇ ἱδρυθῆ-
ναι, παρόντος μὲν ἔν τε τῇ Αἰγύπτῳ καὶ αὖθις ἐν τῇ Συρίᾳ τοῦ
Ἀδριανοῦ ἡσύχαζον, πλὴν καθ' ὅσον τὰ ὅπλα τὰ ἐπιτα-
χθέντα σφίσιν ἧττον ἐπιτήδεια ἐξεπίτηδες κατεσκεύασαν, ὡς
ἀποδοκιμασθεῖσιν αὐτοῖς ὑπ' ἐκείνων χρήσασθαι· ἐπεὶ δὲ πόρ-
ρω ἐγένετο, φανερῶς ἀπέστησαν· καὶ παρατάξει μὲν φανερᾷ οὐκ
ἐτόλμων διακινδυνεῦσαι πρὸς τοὺς Ῥωμαίους, τὰ δὲ τῆς χώρας
ἐπίκαιρα κατελάμβανον, καὶ ὑπονόμοις καὶ τείχεσιν ἐκρα-
C τύνοντο, ὅπως ἀναφυγάς τε, ὁπόταν βιασθῶσιν, ἔχωσι, καὶ παρ'
ἀλλήλους ὑπὸ γῆν διαφοιτῶντες λανθάνωσι, διαδιδραίντες
ἄνω τὰς ὑπογείους ὁδούς, ἵνα καὶ ἄνεμον καὶ φέγγος εἰσδέ-
χοιντο. καὶ τὸ μὲν πρῶτον ἐν οὐδενὶ αὐτοὺς λόγῳ οἱ Ῥωμαῖοι
ἐποιοῦντο, ἐπεὶ δὲ ἥ τε Ἰουδαία πᾶσα κεκίνητο, καὶ οἱ ἁπανταχοῦ
γῆς Ἰουδαῖοι συνεταράττοντο καὶ συνῄεσαν, καὶ πολλὰ κα-
κὰ ἐς τοὺς Ῥωμαίους, τὰ μὲν λάθρα, τὰ δὲ καὶ φανερῶς ἐνεδεί-
κνυντο, πολλοί τε ἄλλοι καὶ τῶν ἀλλοφύλων ἐπιθυμίᾳ κέρδους
σφίσι συνελαμβάνοντο, καὶ πάσης ὡς εἰπεῖν κινουμένης ἐπὶ
D τούτῳ τῆς οἰκουμένης, τότε δὴ τότε τοὺς κρατίστους τῶν στρατηγῶν
ὁ Ἀδριανὸς ἐπ' αὐτοὺς ἔπεμψεν. ὧν πρῶτος Ἰούλιος Σεβῆ-
ρος ὑπῆρχεν, ἀπὸ Βρεττανίας ἧς ἦρχεν, ἐπὶ τοὺς Ἰουδαίους στα-
λείς· ὃς ἄντικρυς μὲν οὐδαμόθεν ἐτόλμησε τοῖς ἐναντίοις συμ-
βαλεῖν, τό, τε πλῆθος καὶ τὴν ἀπόγνωσιν αὐτῶν ὁρῶν· λαμ-
βάνων δὲ ὡς ἑκάστους πλήθει τῶν στρατιωτῶν καὶ τῶν ὑπάρ-
χων, καὶ τροφῆς ἀπείργων καὶ κατακλείων, ἠδυνήθη βραδύ-
τερον μὲν, ἀκινδυνότερον δὲ κατατρῖψαι καὶ ἐκτρυχῶσαι καὶ
ἐκκόψαι αὐτούς. ὀλίγοι δ' οὖν κομιδῇ περιεγένοντο. καὶ φρού-
236 ρια μὲν αὐτῶν πεντήκοντα τὰ ἀξιολογώτατα, κῶμαι δὲ
A ἐνακόσιαι καὶ ὀγδοήκοντα καὶ πέντε ὀνομαστόταται κατεσκά-

φησαν ἄνδρες δὲ ὀκτὼ καὶ πεντήκοντα μυριάδες ἐσφάγησαν ἔν
τε ταῖς καταδρομαῖς καὶ ταῖς μάχαις. τῶν τε γὰρ λιμῷ καὶ νόσῳ καὶ
πυρὶ φθαρέντων τὸ πλῆθος ἀνεξερεύνητον ἦν, ὥστε πᾶσαν ὀλί-
γου δεῖν τὴν Ἰουδαίαν ἐρημωθῆναι, καθάπερ που καὶ πρὸ τοῦ πολέ-
μου αὐτοῖς προεδείχθη. τὸ γὰρ μνημεῖον τοῦ Σολομῶντος, ὃν
ἐν τοῖς σεβασμίοις οὗτοι ἄγουσι, ἀπὸ ταὐτομάτου διελύθη τε καὶ
συνέπεσε, καὶ λύκοι ὕαιναί τε πολλαὶ ἐς τὰς πόλεις αὐτῶν
ἐσέπιπτον ὠρυόμεναι. πολλοὶ μέντοι ἐν τῷ πολέμῳ τούτῳ καὶ B
τῶν Ῥωμαίων ἀπώλοντο. διὸ καὶ ὁ Ἀδριανὸς γράφων πρὸς
τὴν βουλὴν, οὐκ ἐχρήσατο τῷ προοιμίῳ τῷ συνήθει τοῖς αὐ-
τοκράτορσιν, ὅτι, Εἰ αὐτοί τε καὶ οἱ παῖδες ὑμῶν ὑγιαίνε-
τε, εὖ ἂν ἔχοι· ἐγὼ καὶ τὰ στρατεύματα ὑγιαίνομεν. τὸν δὲ Σεβῆ-
ρον ἐς Βιθυνίαν ἔπεμψεν, ὅπως μὲν οὐδὲν ἄρχοντες καὶ ἐπι-
στάτου καὶ δικαίου καὶ φρονίμου καὶ ἀξίωμα ἔχοντος δεομένην ἅ-
παντα ἐκείνῳ ἦν. καὶ ὁ μὲν διήγαγε καὶ διῴκησε καὶ τὰ ἴδια καὶ τὰ
κοινὰ αὐτῶν οὕτως, ὥσθ' ἡμᾶς καὶ εἰς δεῦρο ἀεὶ αὐτοῦ μνημο- C
νεύειν. ὁ μὲν οὖν τῶν Ἰουδαίων πόλεμος ἐς τοῦτο ἐτελεύτησεν.
ἕτερος δὲ ἐξ Ἀλανῶν (εἰσὶ δὲ Μασσαγέται) ἐκινήθη ὑπὸ Φα-
ρασμάνου. καὶ τὴν μὲν Μηδίαν ἰσχυρῶς ἐλύπησε, τῆς δ' Ἀρ-
μενίας τῆς τε Καππαδοκίας ἁψάμενος, ἔπειτα τῶν Ἀλανῶν
τὰ μὲν δώροις ὑπὸ τοῦ Οὐολογαίσου πεισθέντων, τὰ δὲ καὶ
Φλάβιον Ἀρριανὸν τὸν τῆς Καππαδοκίας ἄρχοντα φοβηθέν-
τες, ἐπαύσατο. Ἀδριανὸς δὲ τό, τε Ὀλύμπιον τὸ ἐν ταῖς Ἀθήναις
ἐν ᾧ καὶ αὐτὸς ἵδρυται, ἐξεποίησε, καὶ δράκοντα ἐς αὐτὸ ἀπὸ Ἰν-
δίας κομισθέντα ἀνέθηκε. τά τε Διονύσια τὴν μεγίστην παρ' αὐ-
τοῖς ἀρχὴν ἄρξας, ἐν τῇ ἐσθῆτι τῇ ἐπιχωρίῳ λαμπρῶς ἐπι- D
τέλεσε. τόν τε σηκὸν τὸν ἑαυτοῦ, τὸ Πανελλήνιον ὠνομασμένον,
οἰκοδομήσασθαι τοῖς Ἕλλησιν ἐπέτρεψε, καὶ ἀγῶνα ἐπ' αὐτῷ κα-
τεστήσατο, χρήματά τε πολλὰ καὶ σῖτον ἐτήσιον. τὴν τε Κεφαλη-
νίαν ὅλην τοῖς Ἀθηναίοις ἐχαρίσατο. ἐνομοθέτησε δὲ ἄλλα τε
πολλά, καὶ ἵνα μηδεὶς βουλευτὴς μήτ' αὐτὸς μήτε δι' ἑτέρου

τέλος τι μισθοῦται. εἰς δὲ τὴν Ῥώμην ἐλθών, ἐπεὶ ἔν τινι θέᾳ βο-
ῶν ὁ δῆμος ἁρματηλάτην τινὰ ἐλευθερωθῆναι ἐδεῖτο, ἀν-
237 τεῖπε διὰ πινακίου γραφῆς εἰπὼν ὅτι Οὐ προσήκει ὑμῖν οὔτε
A παρ' ἐμοῦ αἰτεῖν ἵνα ἀλλότριον δοῦλον ἐλευθερώσω, οὔτε τὸν
δεσπότην αὐτοῦ βιάζεσθαι τοῦτο ποιῆσαι. ἀρξάμενος δὲ νοσεῖν
(αἷμα γὰρ εἰώθει μὲν αὐτῷ καὶ πρότερον διὰ τῆς ῥινὸς προχεῖσθαι,
τότε δὲ ἰσχυρῶς ἐπλεόνασεν) ἀπεγνώσθη μὲν βιώσεσθαι, καὶ διὰ
τοῦτο Κόμμοδον μὲν Λούκιον, καίτοι αἷμα ἐμοῦντα, Καίσαρα
Ῥωμαίοις ἀπέδειξε. Σεβηριανὸν δὲ, καὶ Φοῦσκον τὸν ἔγγονον
αὐτοῦ, ὡς καὶ ἀγανακτήσαντα ἐπὶ τούτῳ ἐφόνευσε, τὸν μὲν ἐνε-
B νηκοντούτην ὄντα, τὸν δὲ ὀκτωκαιδεκέτην. πρὶν δὲ ἀποσφαγῆναι
ὁ Σεβηριανὸς, πῦρ ᾔτησε, καὶ θυμιῶν ἅμα, Ὅτι μὲν οὐδὲν ἀ-
δικῶ, ἔφη, ὑμεῖς ὦ θεοὶ ἴστε· περὶ δὲ Ἀδριανοῦ τοῦτο μό-
νον εὔχομαι, ἵνα ἐπιθυμήσας ἀποθανεῖν, μὴ δυνηθῇ. καὶ μέν-
τοι καὶ διετέλεσεν Ἀδριανὸς ἐπὶ πλεῖστον νοσῶν, πολλάκις μὲν
ἀποσβῆναι ἀξιώσας, πολλάκις δὲ καὶ ἀποκτανεῖν ἑαυτὸν ἐθε-
λήσας. ἔστι γε αὐτοῦ καὶ ἐπιστολὴ αὐτὸ τοῦτο ἐνδεικνυμένη, ὅσον κα-
κόν ἐστιν ἐπιθυμοῦντά τινα ἀποθανεῖν μὴ δύνασθαι. τὸν δὲ
Σεβηριανὸν τοῦτον ὁ Τραϊανὸς καὶ τῆς αὐταρχίας ἄξιον ἐνό-
μισεν εἶναι· εἰπὼν γοῦν ποτε ἐν συμποσίῳ τοῖς φίλοις, ἵνα αὐτῷ
C δέκα ἄνδρας μοναρχεῖν δυναμένους ὀνομάσωσιν, εἶτ' ὀλί-
γον ἐπισχών, ἔφη ὅτι ἐννέα δέομαι μαθεῖν. τὸν γὰρ ἕνα, τουτέ-
στι Σεβηριανὸν, ἔχω. γεγόνασι δὲ καὶ ἄλλοι τότε ἄριστοι ἄνδρες, ὧν
ἐπιφανέστατοι Τούρβων τε καὶ Σίμιλις ἦσαν, οἳ καὶ ἀνδριάσιν ἐ-
τιμήθησαν. Τούρβων μὲν, στρατηγικώτατος ἀνὴρ, ὃς καὶ ἔπαρ-
χος γενόμενος, εἴτ' οὖν ἄρχων τῶν δορυφόρων, οὔτε τι ἁβρὸν οὔ-
τε τι ὑπερήφανον ἔπραξεν, ἀλλ' ὡς εἷς τῶν πολλῶν διεβίω. τά
τε γὰρ ἄλλα καὶ τὴν ἡμέραν πᾶσαν πρὸς τὸν βασιλέα διέτριβε,
καὶ πολλάκις καὶ πρὸ μέσων νυκτῶν πρὸς αὐτὸν ᾔει, ὅτε τινὲς
D τῶν ἄλλων καθεύδειν ἤρχοντο. ἀμέλει καὶ Κορνήλιος Φρόντων
ὁ τὰ πρῶτα τῶν τότε Ῥωμαίων ἐν δίκαις φερόμενος, ἑσπέρας

ποτὲ βαθείας ἀπὸ δείπνου οἴκαδε ἐπανιὼν, καὶ μαθὼν παρά
τινος ᾧ συνηγορήσειν ὑπέσχετο, δικάζειν αὐτὸν, ἔν τε τῇ στολῇ
τῇ δειπνίτιδι ὥσπερ εἶχεν, ἐς τὸ δικαστήριον αὐτοῦ ἐσῆλθε, καὶ ἠ-
σπάσατο, οὔτι γε τῷ ἑωθινῷ προσρήματι τῷ Χαῖρε, ἀλλὰ τῷ
ἑσπερινῷ τῷ Ὑγίαινε χρησάμενος. οἴκοι δὲ ὁ Τούρβων οὔποτε
ἡμέρας οὐδὲ νοσήσας ὤφθη· ἀλλὰ καὶ πρὸς τὸν Ἀδριανὸν συμ-
βουλεύοντα αὐτῷ ἀτρεμῆσαι, εἶπεν ὅτι τὸν ἔπαρχον ἑστῶτα 238
ἀποθνήσκειν δεῖ. ὁ δὲ δὴ Σίμιλις ἡλικίᾳ μὲν καὶ τάξει προή- A
κων αὐτῶν, ἐν τοῖς οὐδενὸς τῶν πάνυ, ὥς γε ἐγὼ νομίζω,
δεύτερος ἦν. ἔξεστι δὲ καὶ ἐξ ὀλιγίστων τεκμήρασθαι. τῷ τε
γὰρ Τραϊανῷ ἑκατονταρχοῦντα αὐτὸν ἐσκαλέσαντί ποτε εἴ-
σω πρὸ τῶν ἐπάρχων, ἔφη, Αἰσχρόν ἐστι καῖσαρ, ἑκατοντάρχῳ
σε τῶν ἐπάρχων ἔξω ἑστηκότων διαλέγεσθαι. καὶ τὴν τῶν δο-
ρυφόρων ἀρχὴν ἄκων τότε ἔλαβε, καὶ λαβὼν ἐξίστατο· μό-
λις τε ἀφεθεὶς, ἐν ἀγρῷ ἥσυχος ἑπτὰ ἔτη τὰ λοιπὰ τοῦ βίου
διήγαγε, καὶ ἐπί γε τὸ μνῆμα αὐτοῦ τοῦτο ἐπέγραψεν ὅτι B

Σίμιλις μὲν ἐνταῦθα κεῖται, βιοὺς μὲν ἔτη τόσα, ζήσας δ' ἔτη
ἑπτά. Ἀδριανὸς δὲ φθόῃ τε ἐκ τῆς πολλῆς τοῦ αἵματος ῥύσεως
ἐχρῆτο, καὶ ἀπ' αὐτῆς καὶ ὑδρωπίασεν. ἐπεὶ δὲ συνέβη τὸν
Λούκιον τὸν Κόμμοδον ἐξαίφνης ἐγκαταλειφθῆναι ὑπὸ τοῦ
αἵματος πολλοῦ τε καὶ ἀθρόου ἐκπεσόντος, συνεκάλεσε τοὺς
πρώτους καὶ ἀξιολόγους τῶν βουλευτῶν οἴκαδε· καὶ κατακεί-
μενος εἶπεν αὐτοῖς τάδε, Ἐμοὶ ὦ ἄνδρες φίλοι, γόνον μὲν οὐκ
ἔδωκεν ἡ φύσις ποιήσασθαι, νόμῳ δὲ ὑμεῖς ἐδώκατε. διαφέ-
ρει δὲ τοῦτο ἐκείνου, ὅτι τὸ μὲν γεννώμενον, ὁποῖον ἂν δόξῃ τῷ C
δαιμονίῳ, γίγνεται· τὸ δὲ δὴ ποιούμενον, αἱρετόν τις αὐτὸς
ἑαυτῷ προστίθεται· ὥστε παρὰ μὲν τῆς φύσεως ἀνάπηρον καὶ
ἄφρονα πολλάκις δίδοσθαί τινι, παρὰ δὲ τῆς κρίσεως καὶ ἀρ-
τιμελῆ καὶ ἀρτίφρονα πάντως αἱρεῖσθαι. καὶ διὰ τοῦτο πρότε-
ρον μὲν τὸν Λούκιον ἐκ πάντων ἐξελεξάμην, ὃν οὐδὲ εὔξα-
σθαι παῖδα ἠδυνήθην, τὸ δαιμόνιον ὑμῶν ἀφείλετο. εὗρον

ἀντ' ἐκείνου αὐτοκράτορα ὑμῖν, ὃν δίδωμι, εὐγενῆ, πρᾶον,
D εὔεικτον, φρόνιμον, μήθ' ὑπὸ νεότητος προπετῆ, μήθ' ὑπὸ
γήρως ἀμελῆ, ποιῆσαί τι δυνάμενον, ηὐξημένον κατὰ τοὺς νό-
μους, ἡγεμονευκότα κατὰ τὰ πάτρια, ὥστε μήτε τι ἀγνοεῖν τῶν
ἐς τὴν ἀρχὴν φερόντων, καὶ πᾶσιν αὐτοῖς καλῶς δύνασθαι
χρήσασθαι. λέγω δὲ Αὐρήλιον Ἀντωνῖνον τουτονί, ὃν εἰ καὶ τὰ
μάλιστα οἶδα ἀπραγμονέστατον τῶν ἀνθρώπων ὄντα, καὶ πόῤῥω
τοιαύτης ἐπιθυμίας καθεστηκότα, ἀλλ' οὔ τι γε καὶ ἀφροντι-
στήσειν οἴομαι οὔτε ἐμοῦ οὔτε ὑμῶν, ἀλλὰ καὶ ἄκοντα τὴν
239 ἀρχὴν ὑποδέξεσθαι. οὕτω μὲν ὁ Ἀντωνῖνος αὐτοκράτωρ ἐ-
A γένετο. ἐπεὶ δὲ ἦν ἄπαις ἀῤῥένων παίδων, τόν τε Κομμόδου
υἱὸν Κόμμοδον εἰσεποίησεν αὐτῷ, καὶ ἔτι πρὸς τούτῳ Μάρ-
κον Ἀντωνῖνον Βῆρον, βουληθεὶς ἐπὶ πλεῖστον καὶ τοὺς μετὰ ταῦ-
τα αὐταρχήσοντας ἀποδεῖξαι. ἦν δὲ οὗτος ὁ Ἀντωνῖνος Μάρ-
κος, ὁ Κάτιλιος πρότερον ὀνομαζόμενος, Ἀννίου Βήρου τοῦ
τρὶς ὑπατεύσαντος καὶ χιλιαρχήσαντος ἔγγονος. καὶ ἀμφο-
τέρους μὲν εἰσποιήσασθαι τῷ Ἀντωνίνῳ ἐκέλευσε, προετίμησε
δὲ τὸν Βῆρον διά τε τὴν συγγένειαν αὐτοῦ, καὶ διὰ τὴν ἡλικίαν,
καὶ ὅτι φύσιν ψυχῆς ἐῤῥωμενεστάτην ἤδη ὑπέφαινεν· ἀφ' οὗ
B καὶ Οὐηρίσιμον αὐτόν, πρὸς τὴν τοῦ Ῥωμαϊκοῦ ῥήματος
ἔννοιαν κομψευόμενος, ἀπεκάλει. Ἀδριανὸς δὲ μαγγανείαις
μέν τισι καὶ γοητείαις ἐκενοῦτό ποτε τοῦ ὑγροῦ, πάλιν δ' αὐτοῦ
διὰ ταχέος ἐπίμπλατο. ἐπεὶ οὖν πρὸς τὸ χεῖρον ἀεὶ ἐπεδί-
δου, καὶ καθ' ἑκάστην τρόπον τινὰ ἡμέραν ἀπώλλυτο, ἀποθα-
νεῖν ἐπεθύμησε· καὶ ᾔτει μὲν πολλάκις καὶ φάρμακον καὶ ξί-
φος, ἐδίδου δὲ οὐδείς· ὡς δ' οὖν οὐδεὶς αὐτῷ καίτοι χρήμα-
τα καὶ ἄδειαν ὑπισχνουμένῳ ὑπήκουε, μετεπέμψατο Μάστορα
ἄνδρα βάρβαρον Ἰάζυγα, ᾧ αἰχμαλώτῳ γενομένῳ πρὸς
C τὰς θήρας διά τε ἰσχὺν καὶ δι' εὐτολμίαν ἐκέχρητο· καὶ τὰ
μὲν ἀπειλῶν αὐτῷ, τὰ δὲ ὑπισχνούμενος, ἠνάγκασεν αὐτὸν ἐ-
παγγείλασθαι τὴν σφαγήν. καί τι καὶ χωρίον ὑπὸ τὸν

μαθὼν παρὰ Ἑρμογένους τοῦ ἰατροῦ ἀποδειχθὲν, χρώματί τινι
περιέγραψεν, ὅπως κατ' αὐτὸ πληγεὶς καιρίαν, ἀλύπως τε-
λευτήσῃ. ἐπεὶ δὲ οὐδὲ τοῦτο αὐτῷ προεχώρησεν (ὁ γὰρ Μάστωρ
φοβηθεὶς τὸ πρᾶγμα, καὶ ἐκπλαγεὶς, ὑπεχώρησε) πολλὰ μὲν
ἑαυτὸν ἐπὶ τῇ νόσῳ ὠδύρετο, πολλὰ δὲ καὶ ἐπὶ τῇ ἐξουσίᾳ
ὅτι μὴ οἷός τ' ἦν ἑαυτὸν ἀναχρήσασθαι, καίτοι τοὺς ἄλλους ἔτι
καὶ τότε δυνάμενος. καὶ τέλος τῆς τῆς ἀκριβείας τῆς κατὰ τὴν
δίαιταν ἀπέσχετο, καὶ ταῖς μὴ προσηκούσαις ἐδωδαῖς καὶ πο- D
τοῖς χρώμενος ἐτελεύτησε, λέγων καὶ βοῶν τὸ δημῶδες, ὅτι
Πολλοὶ ἰατροὶ βασιλέα ἀπώλεσαν. ἔζησε δὲ ἔτη δύο μὲν καὶ
ἑξήκοντα, μῆνας δὲ πέντε καὶ ἡμέρας ἑπτακαίδεκα· καὶ ἐ-
μονάρχησεν ἔτη εἴκοσι καὶ μῆνας ἕνδεκα. ἐτάφη δὲ πρὸς
αὐτῷ τῷ ποταμῷ πρὸς τῇ γεφύρᾳ τῇ Αἰλίᾳ· ἐνταῦθα γὰρ τὸ
μνῆμα κατεσκευάσατο. τὸ γὰρ τοῦ Αὐγούστου ἐπεπλήρωτο, καὶ
οὐκέτι οὐδεὶς ἐν αὐτῷ ἐτέθη. ὅμως ἐμισήθη μὲν διὰ τοὺς προτέρους
καὶ τελευταίους φόνους, ἅτε ἀδίκως καὶ ἀνοσίως γενομένους.
ἐπεὶ οὕτως ἥκιστα φονικὸς ἐγένετο, ὥστε καὶ προσκρουσάν- 240
των αὐτῷ τινῶν, ἀρκοῦν νομίζειν τὸ ταῖς πατρίσιν αὐτῶν A
αὐτὸ τοῦτο γράψαι, ὅτι αὐτῷ οὐκ ἀρέσκοιεν. εἴ τινα τῶν τέκνα
ἐχόντων ὀφλῆσαι πάντως τι ἔδει, ἀλλ' οὖν πρός γε τὸν ἀριθμὸν
τῶν παίδων καὶ τὰς τιμωρίας αὐτῶν ἐπεκούφιζεν.

ΑΝΤΩΝΙΝΟΣ Ο ΕΥ-ΣΕΒΗΣ.

ΙΣΤΕΟΝ ὅτι τὰ περὶ τοῦ Ἀντωνίνου τοῦ
Εὐσεβοῦς ἐν τοῖς ἀντιγράφοις τοῦ Δίωνος οὐχ
εὑρίσκεται, παθόντων τι ὡς εἰκὸς τῶν βι-
βλίων, ὥστε ἀγνοεῖσθαι τὴν κατ' αὐτὸν ἱ-
στορίαν σχεδὸν σύμπασαν, πλὴν ὅτι τοῦ Λου-
B κίου Κομμόδου, ὃν ὁ Ἀδριανὸς ἐποιήσατο, πρὸ τοῦ Ἀδριανοῦ
τελευτήσαντος, οὗτος παρ' ἐκείνου καὶ ἐποιήθη, καὶ αὐτοκράτωρ ἐ-
γένετο· καὶ ὅτι μὴ βουλομένης τῆς γερουσίας τὰς ἡρωϊκὰς τιμὰς
δοῦναι τῷ Ἀδριανῷ τελευτήσαντι διά τινας φόνους ἐπιφα-
νῶν ἀνδρῶν, ὁ Ἀντωνῖνος ἄλλα τε πολλὰ δακρύων καὶ ὀδυρό-
μενος αὐτοῖς διελέχθη, καὶ τέλος εἶπεν. Οὐδὲ ἐγὼ ἄρα ὑμῶν ἄρ-
ξω, εἴγε ἐκεῖνος καὶ κακὸς καὶ ἐχθρὸς ὑμῖν καὶ πολέμιος ἐγένε-
το. πάντα γὰρ δηλονότι τὰ πραχθέντα ὑπ' αὐτοῦ, ὧν ἓν καὶ ἡ
ἐμὴ ποίησίς ἐστι, καταλύσετε. ἀκούσασα δὲ τοῦτο ἡ γερουσία, καὶ
C αἰδεσθεῖσα τὸν ἄνδρα, τὸ δέ τι καὶ τοὺς στρατιώτας φοβηθεῖσα, ἀ-
πέδωκε τῷ Ἀδριανῷ τὰς τιμάς. ταῦτα μόνα περὶ τοῦ Ἀντωνί-
νου ἐν τῷ Δίωνι σώζεται. καὶ ὅτι Αὔγουστον αὐτὸν καὶ Εὐσεβῆ διὰ
τοιαύτην αἰτίαν ἐπωνόμασεν ἡ βουλή· ἐπειδὴ ἐν τῇ ἀρχῇ τῆς
αὐτοκρατορίας αὐτοῦ πολλῶν αἰτιαθέντων, καί τινων καὶ ὀνομα-
στὶ καταιτιαθέντων, ὅμως οὐδένα ἐκόλασεν, εἰπὼν ὅτι Οὐ δεῖ με
ἀπὸ τοιούτων ἔργων τῆς προστασίας ὑμῶν ἄρξασθαι. οὐ σώζεται
δὲ οὐδὲ τὰ μετὰ Ἀντωνῖνον ἄρξαντος Μάρκου Βήρου τὰ πρῶτα
τῶν ἱστορουμένων, ὅσα περὶ τὸν Λούκιον τὸν τοῦ Κομμόδου υἱὸν, ὃν
ὁ Μάρκος γαμβρὸν ἐποιήσατο, ἔπραξεν οὗτος αὐτός, καὶ ὅσα
241 οὗτος εἰς τὸν κατὰ Οὐολογαίσου πόλεμον ὑπὸ τοῦ πενθεροῦ πεμ-
A φθεὶς ἔδρασε. διὸ βραχέα περὶ τούτων ἐξ ἑτέρων ἀναλε-
ξάμενος βιβλίων ἐρῶ, εἶθ' οὕτως ἐπὶ τὰ ἑξῆς τοῦ Δίωνος
μεταβήσομαι.

μνησθήσομαι. ὁ γὰρ Ἀντωνῖνος ὁμολογεῖται παρὰ πάντων
καλός τε καὶ ἀγαθὸς γενέσθαι, καὶ οὔτε τῶν ἄλλων ὑπηκόων
τισὶ βαρύς, οὔτε Χριστιανοῖς ἐπαχθής, ἀλλὰ πολλήν τινα τού-
τοις νέμων αἰδῶ, καὶ τῇ Ἀδριανοῦ τιμῇ, ἣν ἐκεῖνος ἐτίμα
Χριστιανούς, προστιθείς. ὁ γὰρ τοῦ Παμφίλου Εὐσέβιος καὶ ἐπι-
στολάς τινας τοῦ Ἀδριανοῦ ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ
παρατίθεται, ἐν αἷς ἐκεῖνος δείκνυται τοῖς λυποῦσί τι ἢ κατη-
γοροῦσι τῶν Χριστιανῶν δεινὰ ἀπειλῶν, καὶ τὸν Ἡρακλέα ἐ- B
πομνύμενος ὡς τεύξονται τιμωρίας. λέγεται δὲ ὁ Ἀντωνῖνος
ζητητικὸς γενέσθαι, καὶ μηδὲ περὶ τὰ μικρὰ καὶ τὰ τυχόντα
τῆς ἀκριβολογίας ἀφίστασθαι· ὅθεν αὐτὸν οἱ σκώπτοντες καὶ
κυμινοπρίστην ἐκάλουν. Κυαδράτης δὲ γηραιὸν μέν φησιν αὐ-
τὸν τελευτῆσαι, τὴν δὲ τελευτὴν ἡδίστην αὐτῷ κατ' ἴσον ὕ-
πνῳ τῷ μαλακωτάτῳ γενέσθαι. ἐπὶ τοῦ Ἀντωνίνου λέγεται
καὶ φοβερώτατος περὶ τὰ μέρη τῆς Βιθυνίας καὶ τοῦ Ἑλλησ-
πόντου σεισμὸς γενέσθαι, καὶ ἄλλας τε πόλεις καμεῖν ἰσχυ- C
ρῶς καὶ πεσεῖν ὁλοσχερῶς, καὶ ἐξαιρέτως τὴν Κύζικον, καὶ
τὸν ἐν αὐτῇ ναὸν μέγιστόν τε καὶ κάλλιστον ναῶν ἁπάντων κα-
ταῤῥιφθῆναι, οὗ τετραόργυιοι μὲν πάχος οἱ κίονες ἦσαν, ὕψος δὲ
πεντήκοντα πηχῶν, ἕκαστος πέτρας μιᾶς· καὶ τἄλλα τὰ ἐν
αὐτῷ ἕκαστον θαυμάσαι πλέον ἢ ἐπαινέσαι. περὶ δὲ τὴν με-
σόγειον, ἄνω κορυφῆς ὄρους διαπεσόντος, θαλάσσιόν φασιν ἐκλυ-
σθῆναι κῦμα ἐπὶ πολύ τι τῆς γῆς, ἐλθεῖν ῥιπιζομένην τὴν
ἄχνην ἀκράτου καὶ διαυγοῦς θαλάσσης. περὶ μὲν οὖν τοῦ Ἀν-
τωνίνου τό γε νῦν ἔχον τοσαῦτα· ἦρξε δὲ εἴκοσι καὶ τέσσα-
ρα ἔτη.

ΜΑΡΚΟΣ ΑΝΤΩΝΙΝΟΣ Ο ΦΙΛΟΣΟΦΟΣ.

242 ΜΑΡΚΟΣ δὲ Ἀντωνῖνος ἐπειδὴ τοῦ ποιη-
A σαμένου αὐτὸν τελευτήσαντος Ἀντωνίνου
τὴν ἀρχὴν ἔσχε, προσειλήφει ἐς κοινωνίαν τοῦ
κράτους εὐθὺς τὸν τοῦ Λουκίου Κομμόδου
υἱὸν Λούκιον Βῆρον. αὐτὸς μὲν γὰρ ἀσθενὴς
ἦν τῷ σώματι, καὶ τὰ πολλὰ λόγοις ἐσχόλαζε. λέγεται γὰρ καὶ αὐ-
τοκράτωρ ὢν μὴ αἰδεῖσθαι μηδὲ ὀκνεῖν ἐς διδασκάλου φοι-
τᾶν, ἀλλὰ καὶ Σέξτῳ προσιέναι τῷ ἐκ Βοιωτῶν φιλοσόφῳ, καὶ
ἐς ἀκρόασιν τῶν ῥητορικῶν Ἑρμογένους λόγων μὴ ὀκνῆσαι
παραγενέσθαι. προσέκειτο δὲ τοῖς ἐκ τῆς στοᾶς μάλιστα δό-
B γμασιν. ὁ δὲ Λούκιος ἔρρωτό τε καὶ νεώτερος ἦν, τοῖς στρατιωτι-
κοῖς τε ἔργοις καταλληλότερος. ὅθεν καὶ γαμβρὸν αὐτὸν ἐπὶ τῇ
θυγατρὶ Λουκίλλῃ ὁ Μάρκος ποιήσας, εἰς τὸν πρὸς Πάρθους
ἔπεμψε πόλεμον. ὁ γὰρ Οὐολόγαισος πολέμου ἦρξε, καὶ στρατό-
πεδόν τε ὅλον Ῥωμαϊκὸν τὸ ὑπὸ Σεβηριανῷ τεταγμένον ἐν
τῇ Ἐλεγείᾳ χωρίῳ τινὶ τῆς Ἀρμενίας ἐπισχὼν πάντοθεν, αὐ-
τοῖς ἡγεμόσι κατετόξευσε καὶ διέφθειρε, καὶ τῆς Συρίας ταῖς πόλε-
σι πολὺς ἐπῄει καὶ φοβερός. ὁ οὖν Λούκιος ἐλθὼν εἰς Ἀντιό-
C χειαν, καὶ πλείστους στρατιώτας συλλέξας, καὶ τοὺς ἀρίστους τῶν ἡγε-
μόνων ὑφ᾽ ἑαυτὸν ἔχων, αὐτὸς μὲν ἐν τῇ πόλει ἐκάθητο δια-
τάττων ἕκαστα καὶ τὰς τοῦ πολέμου χορηγίας ἀθροίζων· Κασ-
σίῳ δὲ τὰ στρατεύματα ἐπέτρεψε. καὶ ὃς ἐπιόντα τε τὸν Οὐολό-
γαισον γενναίως ὑπέμεινε, καὶ τέλος ἐγκαταλειφθέντα ὑπὸ τῶν
συμμάχων καὶ ὀπίσω ἀναχωρήσαντα ἐπεδίωξε· μέχρι τε Σε-
λευκείας καὶ Κτησιφῶντος ἤλασε, καὶ τήν τε Σελεύκειαν διέφθει-
ρεν ἐμπρήσας, καὶ τὰ τοῦ Οὐολογαίσου βασίλεια τὰ ἐν τῇ

Κτησιφῶντι κατέσκαψεν. ἔν γε μὴν τῇ ὑποστροφῇ πλείστους τῶν στρατιωτῶν ὑπὸ λιμοῦ καὶ νόσου ἀπέβαλεν, ἀπενόστησε δ' ὅμως εἰς τὴν Συρίαν μετὰ τῶν λοιπῶν στρατιωτῶν. καὶ ὁ μὲν Λούκιος τούτοις ἐπεκυδαίνετο καὶ μέγα ἐφρόνει, οὐ μὴν αὐτῷ γε τὰ τῆς ἄκρας εὐτυχίας ἐς ἀγαθόν τι ἀπέβη. λέγεται γὰρ μετὰ ταῦτα καὶ 243
τῷ πενθερῷ Μάρκῳ ἐπιβεβουλευκώς, πρίν τι καὶ δρᾶσαι, A
φαρμάκῳ διαφθαρῆναι. τὸν μέντοι Κάσσιον ὁ Μάρκος τῆς Ἀσίας ἁπάσης ἐπιτροπεύειν ἐκέλευσεν. αὐτὸς δὲ τοῖς περὶ τὸν Ἴστρον βαρβάροις, Ἰάζυξί τε καὶ Μαρκομάνοις, ἄλλοτε ἄλλοις χρόνον συχνὸν ὡς εἰπεῖν δι' ὅλου τοῦ βίου τὴν Παιονίαν ἔχων ὁρμητήριον, ἐπολέμησε. πολλοὶ δὲ καὶ τῶν ὑπὲρ τὸν Ῥῆνον Κελτῶν μέχρι τῆς Ἰταλίας ἤλασαν, καὶ πολλὰ ἔδρασαν ἐς τοὺς Ῥωμαίους δεινά. οἷς ὁ Μάρκος ἀντεπιὼν Πομπηϊανόν τε καὶ Περτίνακα τοὺς ὑποστρατήγους ἀντικαθίστη. καὶ ἠρίστευσεν ὁ Περτίναξ, B
ὅστις καὶ ὕστερον αὐτοκράτωρ ἐγένετο. ἐν μέντοι τοῖς νεκροῖς τῶν βαρβάρων καὶ γυναικῶν σώματα ὡπλισμένα εὑρέθη. καίτοι δὲ ἰσχυροτάτου ἀγῶνος καὶ λαμπρᾶς νίκης γεγενημένης, ὅμως ὁ αὐτοκράτωρ αἰτήσασι παρὰ τῶν στρατιωτῶν οὐκ ἔδωκε χρήματα, αὐτὸ τοῦτο εἰπὼν ὅτι ὅσῳ ἂν πλεῖόν τι παρὰ τὸ καθεστηκὸς λάβωσι, τοῦτ' ἐκ τοῦ αἵματος τῶν τε γονέων σφῶν καὶ τῶν συγγενῶν εἰσπράξεται. περὶ γάρ τοι τῆς αὐταρχίας ὁ θεὸς μόνος κρίνειν δύναται. οὕτω καὶ σωφρόνως καὶ ἐγκρατῶς αὐτῶν ἦρχεν, ὥστε, καίπερ ἐν τοσούτοις καὶ τηλικούτοις C
πολέμοις ὤν, μηδὲν ἔξω τοῦ προσήκοντος μήτ' ἐκ κολακείας μήτ' ἐκ φόβου ποιῆσαι. τῶν δὲ Μαρκομάνων ἐπιτυχησάντων ἔν τινι μάχῃ, καὶ τὸν Βίνδικα τὸν Μάρκον ἔπαρχον ὄντα ἀποκτεινάντων, τούτῳ μὲν τρεῖς ἀνδριάντας ἔστησε· κρατήσας δὲ αὐτῶν, Γερμανικὸς ὠνομάσθη. Γερμανοὺς γὰρ τοὺς ἐν τοῖς ἄνω χωρίοις οἰκοῦντας ὀνομάζομεν. καὶ οἱ καλούμενοι δὲ Βουκόλοι κατὰ τὴν Αἴγυπτον κινηθέντες, καὶ τοὺς ἄλλους Αἰγυπτίους προσαποστήσαντες ὑπὸ ἱερεῖ τινὶ καὶ Ἰσιδώρῳ, πρῶτον

μὲν ἐν γυναικείοις στολαῖς τὸν ἑκατόνταρχον τῶν Ῥωμαίων ἠ-
D πατηκότας, ὡς δὴ γυναῖκες τῶν Βουκόλων καὶ χρυσία δώσουσαι
αὐτῷ ὑπὲρ τῶν ἀνδρῶν, προσιόντα σφίσι κατέκοψαν· καὶ τὸν συνόν-
τα αὐτῷ κατέθυσάν τε, ἐπί τε τῶν σπλάγχνων αὐτοῦ συνώμο-
σαν, καὶ ἐκεῖνα κατέφαγον. ἦν δὲ Ἰσίδωρος ἀνδρίᾳ πάντων τῶν
καθ' ἑαυτὸν ἄριστος. τούς τε ἐν Αἰγύπτῳ Ῥωμαίους νικήσαντες,
μικροῦ καὶ τὴν Ἀλεξάνδρειαν εἷλον, εἰ μὴ Κάσσιος ἐκ Συρίας
πεμφθεὶς ἐπ' αὐτούς, καὶ στρατηγήσας ὥστε τὴν πρὸς ἀλλήλους
σφῶν ὁμόνοιαν λῦσαι, καὶ ἀπ' ἀλλήλων ἀποχωρίσαι (διὰ γὰρ
244 τὴν ἀπόνοιαν καὶ τὸ πλῆθος αὐτῶν οὐκ ἐθάῤῥησε συμβαλεῖν ἀ-
A θρόοις) οὕτω δὴ στασιάσαντας ἐχειρώσατο. ἐν δὲ τῷ πολέμῳ τοῦ
Μάρκου τῷ πρὸς τοὺς Γερμανούς, ἵνα καὶ ταῦτα μνήμης ἀξιω-
θῇ, μειράκιον μὲν αἰχμάλωτον ἐρωτηθέν τι ὑπ' αὐτοῦ, Οὐ
δύναμαι, ἔφη, ἀποκρίνασθαί σοι ὑπὸ τοῦ ῥίγους· ὥστε εἴ τι
μαθεῖν ἐθέλεις, κέλευσόν μοι ἱμάτιον τι (εἴγε ἔχεις) δοθῆναι.
στρατιώτης δέ τις νυκτὸς φυλακὴν τοῦ Ἴστρου ποιούμενος καὶ πα
βοὴν ἐκ τῆς περαίας στρατιωτῶν ἑαλωκότων ἀκούσας, διενήξατο
B εὐθὺς ὥσπερ εἶχε, καὶ λύσας αὐτοὺς ἀνεκομίσθη. ἦν δὲ τῷ Μάρ-
κῳ ὁ Ῥοῦφος ὁ Βασσαῖος ἔπαρχος, τὰ μὲν ἄλλα ἀγαθός, ἀπαί-
δευτος δὲ ὑπ' ἀγροικίας, καὶ τὰ πρῶτά γε τοῦ βίου ἐν πενίᾳ τρα-
φείς. ἀναδενδράδα δέ ποτε αὐτὸν κλῶντα ἀνέλαβέ τις, καὶ
ἐπειδή γε μὴ εὐθὺς ἅμα τῷ πρώτῳ κελεύσματι κατέβη, ἐ-
πετίμησεν αὐτῷ, καὶ ἔφη, Ὦ γε ἔπαρχε κατάβηθι. τοῦτο γὰρ ὡς καὶ
πρὸς ὑπερηφανοῦντα καὶ τεταπεινωμένον αὐτὸν εἶπεν· ὅπερ
ἡ τύχη μετὰ ταῦτα αὐτῷ ἔδωκεν. ὁ δ' αὐτοκράτωρ, ὁσάκις
C ἀπὸ τοῦ πολέμου σχολὴν ἦγεν, ἐδίκαζε, καὶ ὕδωρ πλεῖστον τοῖς
ῥήτορσι μετρεῖσθαι ἐκέλευε. τάς τε πύστεις καὶ τὰς ἀνακρί-
σεις ἐπὶ μακρότερον ἐποιεῖτο, ὥστε πανταχόθεν τὸ δίκαιον
ἀκριβοῦν. καὶ κατὰ τοῦτο καὶ ἕνδεκα πολλάκις καὶ δώδεκα
ἡμέραις τὴν αὐτὴν δίκην, καίπερ νυκτὸς ἔστιν ὅτε δικάζων,
ἔκρινεν. φιλόπονος γὰρ ἦν, καὶ ἀκριβῶς πᾶσι τοῖς τῇ ἀρχῇ

προσήκουσι προσεφέρετο· καὶ οὐδὲν ἐν παρέργῳ οὔτε ἔλεγεν οὔτε ἔγραφεν οὔτε ἐποίει, ἀλλ᾽ ἔστιν ὅτε καὶ περὶ τοῦ βραχυτάτου ἡμέρας ὅλας ἀνήλισκεν, οὐκ ἀξιῶν τὸν αὐτοκράτορα ἐξ ἐπιδρομῆς τι πράττειν. καὶ γὰρ ἐνόμιζεν ὅτι κἂν ἐλαχιστόν τι παρίδῃ, διαβολὴν αὐτὰ τοῦτο καὶ ἐπὶ τὰ ἄλλα πάντα οἴ- D
σει. καίτοι οὕτως ἀσθενὴς τῷ σώματι ἐγένετο, ὥστε μήτε τὸ ψῦχος τήν γε πρώτην ὑπομεῖναι, ἀλλὰ καὶ πρὶν διαλεχθῆναι τοῖς στρατιώταις συνεληλυθόσιν ἤδη κατὰ τὸ παραγγελμένον, ἀναχωρῆσαι, καὶ τροφὴν βραχυτάτην καὶ ταύτην ἐν νυκτὶ ἀεὶ λαμβάνειν. οὐ γάρ ἐστιν ὅτε μεθ᾽ ἡμέρας, πλὴν τοῦ φαρμάκου τοῦ θηριακοῦ καλουμένου, ἐσιτεῖτο. ἐλάμβανε δὲ τοῦ φαρμάκου, οὐχ οὕτως ὅτι ἐδεδίει τι, ὡς ὅτι τοῦ τε
στομάχου καὶ τοῦ θώρακος φαύλως εἶχε· καί φασιν ὅτι δι᾽ 245
ἐκεῖνα αὐταρκεῖν πρός τε τἆλλα, καὶ πρὸς ταῦτα ἐδύνατο. τοὺς A
δὲ Ἰάζυγας οἱ Ῥωμαῖοι ἔν τε τῇ γῇ ποτε τότε, καὶ μετὰ τοῦτο καὶ ἐν τῷ ποταμῷ ἐνίκησαν. λέγω δὲ οὐχ ὅτι ναυμαχία τις ἐγένετο, ἀλλ᾽ ὅτι διὰ τοῦ Ἴστρου πεπηγότος φεύγουσι σφίσιν ἐπακολουθήσαντες, καὶ ἐκεῖ ὡς ἐν ἠπείρῳ ἐμαχέσαντο. αἰσθόμενοι γὰρ οἱ Ἰάζυγες ὅτι ἐπιδιώκονται, ὑπέστησαν αὐτούς, ἐλπίσαντες ῥᾳδίως, ἅτε καὶ ἀήθεις τοῦ κρυστάλλου ὄντας, κατεργάζεσθαι. καὶ οἱ μὲν κατὰ πρόσωπον αὐτοῖς συνέρραξαν, οἱ δὲ ἐκ τῶν
πλαγίων περιϊππεύσαντες· οἱ γὰρ ἵπποι σφῶν δεδιδαγμένοι καὶ B
ἐν τῷ τοιούτῳ θεῖν ἀσφαλῶς ἦσαν. ἰδόντες δὲ τοῦτο οἱ Ῥωμαῖοι, οὐκ ἐφοβήθησαν, ἀλλὰ συστραφέντες, καὶ πᾶσιν ἅμα αὐτοῖς ἀντιμέτωποι γενόμενοι, τάς τε ἀσπίδας οἱ πλείους ἔθηκαν, καὶ τὸν ἕτερον πόδα ἐπ᾽ αὐτῶν, ὅπως ἧττον ὀλισθαίνωσιν, ἀπερείσαντες, ἐδέξαντο σφᾶς προσπεσόντας· καὶ ἀντιλαμβανόμενοι οἱ μὲν τῶν χαλινῶν, οἱ δὲ τῶν ἀσπίδων τῶν τε κοντῶν, ἐπεσπῶντο αὐτούς, κἀκ τούτου συμπλεκόμενοι, κατέβαλλον καὶ τοὺς ἄνδρας καὶ τοὺς ἵππους. οὐ γὰρ ἔτι τῆς βίας οὐκέτ᾽ ἀντέχειν πρὸς τὸν ὄλισθον ἐδύναντο. ὠλίσθανον μὲν γὰρ καὶ οἱ

C Ῥωμαῖοι· ἀλλ' εἴ τις ὕπτιός τις αὐτῶν ἔπεσε, συνεφείλκετο τὸν
ἀντίπαλον, καὶ τοῖς ποσὶν ἐς τοὐπίσω ἀνέρριπτει, ὥσπερ ἐν πά-
λῃ, καὶ οὕτως ἐπάνωθεν αὐτοῦ ἐγίγνετο· εἰ δὲ ἐπὶ στόμα, κα-
τελάμβανεν αὐτὸν προκαταπίπτοντα αὐτῷ τῷ στόματι. οἱ γὰρ
βάρβαροι καὶ ἄπειροι τοιουτοτρόπου ἀγωνίας κουφότεροι ὄν-
τες, οὐχ οἷοί τε ἦσαν ἀντέχειν· ὥστε καὶ ἀπὸ πολλῶν ὀλίγοι
διέφυγον. Μαρκομάνους μὲν οὖν καὶ Ἰάζυγας πολλοῖς καὶ με-
γάλοις ἀγῶσι καὶ κινδύνοις Μάρκος ὑπέταξεν. ἐπὶ δὲ τοὺς *
ἔπεμψε, ἔπειτα ἐκ παρατάξεως τοὺς καλουμένους Κουάδους·
καὶ πόλεμος αὐτῷ συνέστη μέγας, καὶ νίκη παράδοξος εὐτυ-
D χήθη, μᾶλλον δὲ παρὰ θεοῦ ἐδωρήθη. κινδυνεύσαντας γὰρ
ἐν τῇ μάχῃ τοὺς Ῥωμαίους παραδοξότατα τὸ θεῖον ἐξέσωσε.
κυκλωσάντων γὰρ αὐτοὺς τῶν Κουάδων ἐν τόποις ἐπιτηδείοις,
συνασπίσαντες οἱ Ῥωμαῖοι προθύμως ἠγωνίζοντο· καὶ οἱ βάρ-
βαροι τὴν μὲν μάχην ἐπέσχον, προσδοκήσαντες σφᾶς ῥα-
δίως ὑπό τε τοῦ καύματος καὶ ὑπὸ τοῦ δίψους αἱρήσειν, πάντα
δὲ τὰ πέριξ διαλαβόντες ἀπέφραξαν ὅπως μηδαμόθεν
ὕδωρ λάβωσι. πολὺ γὰρ καὶ τῷ πλήθει περιῆσαν. τῶν οὖν Ῥω-
246 μαίων ἐν παντὶ κακοῦ καὶ ἐκ τοῦ καμάτου καὶ ἐκ τῶν τραυ-
A μάτων, τοῦ τε ἡλίου καὶ τοῦ δίψους, γινομένων, καὶ μήτε μάχε-
σθαι διὰ ταῦτα μήτε χωρῆσαί πῃ δυναμένων, ἀλλ' ἔν τε τῇ τά-
ξει καὶ τοῖς τόποις ἑστηκότων καὶ κατακαιομένων, νέφη πολλὰ
ἐξαίφνης συνέδραμε, καὶ ὑετὸς πολὺς οὐκ ἀθεεὶ κατερράγη. καὶ
γάρ τοι λόγος ἔχει, Ἀρνοῦφίν τινα μάγον Αἰγύπτιον συνόντα
τῷ Μάρκῳ ἄλλους τε τινὰς δαίμονας καὶ τὸν Ἑρμῆν τὸν ἀέ-
ριον ὅτι μάλιστα μαγγανείαις τισὶν ἐπικαλέσασθαι, καὶ δι'
αὐτῶν τὸν ὄμβρον ἐπισπάσασθαι. ταῦτα μὲν περὶ τούτων
B ὁ Δίων φησίν· ἔοικε δὲ ψεύδεσθαι, εἴτε ἑκὼν εἴτε ἄκων. οἶμαι
δὲ τὸ πλέον ἑκών. καὶ πῶς γὰρ οὔ; ὅς γε οὐκ ἠγνόει τὸ τάγμα
τῶν στρατιωτῶν τὸ κεραυνοβόλον ἰδίως καλούμενον (ἐν γὰρ
τῷ τῶν λοιπῶν καταλόγῳ καὶ αὐτὸ μνημονεύει) ὅπερ ἀπ'

οὐδεμιᾶς ἑτέρας αἰτίας (οὐδὲ γὰρ ἄλλη τις λέγεται) ἢ ἀπὸ τοῦ κατὰ τόνδε συμβάντος τὸν πόλεμον οὕτω προσηγορεύθη· ὃ καὶ αἴτιον τότε τοῖς τε Ῥωμαίοις τῆς σωτηρίας ἐγένετο, καὶ τοῖς βαρβάροις τῆς ἀπωλείας. ἀλλ' οὐχ ὁ Ἀρνοῦφις ὁ μάγος. οὐδὲ γὰρ μάγων συνουσίαις καὶ γοητείαις ὁ Μάρκος χαίρειν ἱστόρηται. ἔστι δὲ ὃ λέγω τοιοῦτον. τάγμα ἦν τῷ Μάρκῳ, (καλοῦσι δὲ τὸ τάγμα οἱ Ῥωμαῖοι λεγεῶνα) τῶν ἀπὸ Μελιτινῆς στρατιωτῶν. C
εἰσὶ δὲ τὸν Χριστὸν πρεσβεύοντες ἅπαντες· ἐν οὖν τῇ μάχῃ ἐκείνῃ προσιόντα τῷ Μάρκῳ τὸν ἔπαρχον, ἀμηχανοῦντι πρὸς τὴν περίστασιν καὶ δεδιότι περὶ σύμπαντι τῷ στρατῷ, εἰπεῖν λέγεται ὡς οἱ καλούμενοι Χριστιανοὶ οὐκ ἔστιν ὅ,τι οὐ δύνανται ταῖς εὐχαῖς. καὶ ὅτι παρὰ σφίσι τάγμα ὅλον τυγχάνει ὂν τούτου τοῦ γένους. τὸν οὖν Μάρκον ἀκούσαντα παρακλῆσιν γενέσθαι πρὸς αὐτοὺς ὡς ἂν εὔξωνται τῷ σφετέρῳ Θεῷ. εὐξαμένων δὲ αὐτῶν παραχρῆμα ἐπακοῦσαι τὸν Θεόν, τοὺς μὲν πολεμίους κεραυνῷ βαλεῖν, τοὺς δὲ Ῥωμαίους ὄμβρῳ παραμυθήσασθαι. ἐφ' οἷς καταπλαγέντα τὸν Μάρκον ἰσχυ- D
ρῶς, τούς τε Χριστιανοὺς κατὰ δόγμα τιμῆσαι, καὶ τὸν λεγεῶνα κεραυνοβόλον προσαγορεῦσαι. λέγεται δὲ καὶ ἐπιστολήν τινα περὶ τούτων εἶναι τοῦ Μάρκου. ἀλλ' οἱ μὲν Ἕλληνες, ὅτι μὲν τὸ τάγμα κεραυνοβόλον λέγεται, ἴσασι, καὶ αὐτοὶ μαρτυροῦσι, τὴν δὲ αἰτίαν τῆς προσηγορίας ἥκιστα λέγουσι. προστίθησι δὲ ὁ Δίων, ὅτι τοῦ ὄμβρου καταρραγέντος, πρῶτον μὲν ἄνω πάντες ἀνέκυπτον, καὶ ἐς τὰ στόματα αὐτὸν ἐδέχοντο, ἔπειτα οἱ μὲν τὰς ἀσπίδας, οἱ δὲ καὶ τὰ κράνη ὑποβάλλοντες, αὐτοί τε χανδὸν ἔσπων, καὶ τοῖς ἵπποις πιεῖν ἐδίδοσαν. καὶ τῶν βαρβάρων σφίσιν ἐπιδραμόντων, ἔπινόν τε ὁμοῦ καὶ ἐμάχοντο· καὶ ἤδη γέ 247
τινες τιτρωσκόμενοι τό, τε αἷμα παρεγχεόμενον ἐς τὰ κράνη καὶ A
τὸ ὕδωρ ἅμα διερρόφουν. κἂν ἔπαθόν τι δεινὸν ὑπὸ τῶν πολεμίων ἐπικειμένων αὐτοῖς περὶ τὸ πίνειν οἱ πλείους ἠσχολημένοι, εἰ μὴ χάλαζα ἰσχυρὰ καὶ κεραυνοὶ οὐκ ὀλίγοι τοῖς πολεμίοις

ἐνέπεσον. ἦν οὖν ὁρᾶν ἐν τῷ αὐτῷ χωρίῳ ὕδωρ τε ἅμα καὶ πῦρ ἐκ τοῦ οὐρανοῦ φερόμενα· καὶ οἱ μὲν ὑγραίνοντό τε καὶ ἔπινον, οἱ δὲ ἐπυροῦντο καὶ ἔθνησκον. καὶ οὔτε τῶν Ῥωμαίων τὸ
B πῦρ ἥπτετο, καὶ εἴπου καὶ προσέμιξε σφίσιν, εὐθὺς ἐσβέννυτο· οὔτε τοὺς βαρβάρους ὁ ὑετὸς ὠφέλει, ἀλλὰ καὶ ἐπὶ μᾶλλον τὴν φλόγα αὐτῶν, ὥσπερ ἔλαιον, ἤγειρεν· ὕδωρ τε ὑόμενοι ἐζήτουν, καὶ οἱ μὲν ἑαυτοὺς ἐτίτρωσκον, ὡς καὶ τῷ αἵματι τὸ πῦρ κατασβέσοντες, οἱ δὲ καὶ πρὸς τοὺς Ῥωμαίους προσέτρεχον, ὡς καὶ μόνοις σωτήριον ὕδωρ ἔχοντας. ἠλέησε γοῦν αὐτοὺς καὶ ὁ Μάρκος, παρὰ δὲ τῶν στρατιωτῶν τὸ ἕβδομον αὐτοκράτωρ προσηγορεύθη. καίπερ δὲ οὐκ εἰωθὼς, πρὶν τὴν βουλὴν ψηφίσασθαι, τοιοῦτόν τι προσίεσθαι, ὅμως ἐδέξατό τε αὐτὸ ὡς καὶ παρὰ θεοῦ λαμβάνων, καὶ τῇ γερουσίᾳ ἐπέστειλεν. ἡ μέντοι
C Φαυστῖνα μήτηρ τῶν στρατοπέδων ἐπεκλήθη. τοῦ δὲ Περτίνακος ἐπὶ ταῖς ἀνδραγαθίαις ὑπατείαν λαβόντος, ὅμως ἦσαν οἵ τινες μισοῦντες ἐπὶ τῷ εἶναι αὐτὸν τὸ γένος ἐξ ἀφανοῦς, τὸ τῆς τραγῳδίας ἐπέλεγον,

Τοιαῦθ' ὁ τλήμων πόλεμος ἐξεργάζεται, οὐκ εἰδότες ὅτι καὶ μοναρχήσει. τοῦ δὲ Κασσίου κατὰ τὴν Συρίαν νεωτερίσαντος, σφόδρα ἐκπλαγεὶς ὁ Μάρκος τὸν Κόμμοδον τὸν υἱὸν ἐκ τῆς Ῥώμης, ὡς καὶ ἐς ἐφήβους ἤδη τελεῖν δυνάμενον, μετεπέμψατο. ὁ δὲ δὴ Κάσσιος Σύρος μὲν ἐκ τῆς Κύρου ἦν, ἀνὴρ δὲ ἄριστος ἐγένετο, καὶ ὁποῖον ἄν τις αὐτοκράτορα ἔχειν
D εὔξαιτο, πλὴν καθ' ὅσον Ἡλιοδώρου τινὸς ἀγαπητῶς εἰς τὴν τῆς Αἰγύπτου ἡγεμονίαν ἐξ ἐμπειρίας ῥητορικῆς προχωρήσαντος υἱὸς ἦν. τοῦτο δὲ δεινῶς ἡμάρτηκεν ὑπὸ Φαυστίνας ἀπατηθείς· αὕτη γὰρ τὸν ἄνδρα ἀρρωστήσαντα (ἦν δὲ τοῦ Εὐσεβοῦς Ἀντωνίνου θυγάτηρ) προσδοκήσασα ὅσον οὐκ ἤδη τελευτήσειν, ἐφοβήθη μὴ τῆς ἀρχῆς ἐς ἄλλον τινὰ (ἅτε τοῦ Κομμόδου καὶ νέου καὶ ἁπλουστέρου τοὺς τρόπους ὄντος) περιελθούσης, ἰδιωτεύσῃ· καὶ ἔπεισε τὸν Κάσσιον δι' ἀπορρήτων παρα-

σκευάσασθαι, ἵν᾽ ἄν τι ὁ Ἀντωνῖνος πάθοι, καὶ αὐτὴν καὶ τὴν αὐ- 248
ταρχίαν λάβῃ. ταῦτ᾽ οὖν αὐτῷ διασκοπουμένῳ ἀγγελία ἦλθε τὸν A
Μᾶρκον τεθνηκέναι (οἷά που φιλεῖ τὰ τοιαῦτα ἐπὶ τὸ χεῖρον ἀεὶ
θρυλεῖσθαι) καὶ εὐθὺς οὐκ ἀναμείνας αὐτὴν ἀκριβῶσαι, ἐφ᾽ ἑ-
αυτὸν τῆς ἀρχῆς ἐποιήσατο, ὡς καὶ πρὸς τῶν στρατιωτῶν τῶν ἐν τῇ
Παννονίᾳ τότε ὄντων προκεχειρισμένος. καὶ ὁ μὲν εἰ καὶ τὰ μά-
λιστα μὴ ἐς μακρὸν τἀληθὲς ἔμαθεν, ὅμως ἐπειδὴ ἅπαξ
ὑποκεκινήκει, οὐ μετεβάλλετο· ἀλλὰ τά τε ἐντὸς τοῦ Ταύρου
πάντα διὰ βραχέος προσεποιήσατο, καὶ παρεσκευάζετο ὡς B
καὶ πολέμῳ τὸ κράτος ἕξων. ὁ δὲ δὴ Μᾶρκος παρὰ τοῦ Βήρου
τοῦ τῆς Καππαδοκίας ἄρχοντος τὴν ἐπανάστασιν αὐτοῦ μα-
θὼν, τέως μὲν συνέκρυπτεν αὐτά, ἐπεὶ δὲ οἱ στρατιῶται τῇ τε
φήμῃ ἰσχυρῶς ἐταράττοντο, καὶ ἐλογοποίουν πολλά, συνεκά-
λεσεν αὐτοὺς, καὶ ἀνέγνω τοιάδε, Οὐκ ἀγανακτήσων, ὦ συστρα-
τιῶται, ἀλλ᾽ ὀδυρόμενος παρελήλυθα. χαλεπαίνειν μὲν γὰρ τί δεῖ
πρὸς τὸ δαιμόνιον ᾧ πάντα ἔξεστιν; ὀλοφύρεσθαι δὲ ἴσως ἀνάγ-
κη τοὺς ἀδίκως δυστυχοῦντας, ὃ καὶ ἐμοὶ νῦν συμβέβηκε. C
πῶς γὰρ οὐ δεινὸν πολέμοις ἡμᾶς ἐκ πολέμων συμφέρεσθαι;
πῶς δ᾽ οὐκ ἄτοπον καὶ ἐμφυλίῳ συμπλακῆναι; πῶς οὐκ ἀμφό-
τερα καὶ δεινότητι καὶ ἀτοπίᾳ νικᾷ, τὸ μηδὲν πιστὸν ἐν ἀνθρώ-
ποις εἶναι, ἀλλ᾽ ἐπιβεβουλεῦσθαί τε με ὑπὸ τοῦ φιλτάτου, καὶ εἰς ἀ-
γῶνα ἀκούσιον καθίστασθαι, μήτε τι ἠδικηκότα μήτε τι πεπλημ-
μεληκότα; τίς μὲν γὰρ ἀρετὴ ἀσφαλής, τίς δὲ φιλία ἔτι νομισθήσεται
ἐμοῦ ταῦτα πεπονθότος; πῶς δ᾽ οὐκ ἀπόλωλε μὲν πίστις, ἀπό-
λωλε δὲ ἐλπὶς ἀγαθή; ἀλλ᾽ εἰ μὲν μόνος ἐγὼ ἐκινδύνευον, παρ᾽ D
οὐδὲν ἂν τὸ πρᾶγμα ἐποιησάμην (οὐ γάρ που καὶ ἀθάνατος ἐγεγό-
νειν) ἐπεὶ δὲ δημοσία τε ἀπόστασις, μᾶλλον δὲ ἐπανάστασις γέ-
γονε, καὶ ὁ πόλεμος πάντων ὁμοίως ἡμῶν ἅπτεται, ἐβουλό-
μην, εἰ οἷόν τε ἦν, προσκαλέσασθαι τὸν Κάσιον, καὶ δικαιο-
λογήσασθαι πρὸς αὐτὸν παρ᾽ ὑμῖν ἢ παρὰ τῇ γερουσίᾳ· καὶ
ἡδέως ἂν ἀμαχεὶ παρεχώρησα αὐτῷ τῆς ἡγεμονίας, εἰ τοῦτο

τῷ κοινῷ συμφέρειν ἐδεδόκει. ὑπὲρ τοῦ κοινοῦ γὰρ καὶ πονῶν καὶ
κινδυνεύων διατελῶ· τοσοῦτόν τε ἐνταυθοῖ χρόνον ἔξω τῆς Ἰ-
249 ταλίας πεποίηκα ἄνθρωπος καὶ γέρων ἤδη καὶ ἀσθενὴς, καὶ
A οὔτε τροφὴν ἄλυπον, οὔθ᾽ ὕπνον ἄφροντιν λαβεῖν δυνάμε-
νος. ἐπεὶ δ᾽ οὐκ ἄν ποτε συγκαθεῖναι εἰς τοῦτο ὁ Κάσσιος ἐθε-
λήσειε (πῶς γὰρ ἂν πιστεύσειέ μοι ἄπιστος οὕτω περὶ ἐμὲ γεγενη-
μένος;) ὑμᾶς γε ὦ συστρατιῶται χρὴ θαρρεῖν. οὐ γάρ που κρείτ-
τους Κίλικες, καὶ Σύροι, καὶ Ἰουδαῖοι, καὶ Αἰγύπτιοι ὑμῶν οὔτε
ἐγένοντο ποτὲ, οὔτε ἔσονται, οὐδ᾽ ἂν μυριάκις πλείους ὑμῶν,
ὅσῳ νῦν ἐλάττους εἰσὶν, ἀθροισθῶσιν. οὐ μὴν οὐδ᾽ αὐτὸς ὁ
Κάσσιος, εἰ καὶ τὰ μάλιστα καὶ στρατηγικὸς εἶναι καὶ πολλὰ κα-
B τωρθωκέναι δοκεῖ, λόγου τινὸς ἄξιος νῦν ἂν φανείη. οὔτε γὰρ
ἀετὸς κολοιῶν ἢ καὶ λέων νεβρῶν ἡγησάμενος, ἀξιόμαχος γί-
νεται· καὶ τὸν Ἀῤῥαβικὸν τόν τε Παρθικὸν ἐκεῖνον πόλεμον οὐ Κάσ-
σιος ἀλλ᾽ ὑμεῖς κατειργάσασθε. ἄλλως τε εἰ καὶ ἐκεῖνος ἐκ τῶν
πρὸς Πάρθους πραχθέντων εὐδόκιμός ἐστιν, ἔχετε καὶ ὑ-
C μεῖς Βῆρον, ὃς οὐδὲν ἧττον ἀλλὰ καὶ μᾶλλον αὐτοῦ καὶ ἐνί-
κησε πλείω καὶ κατεκτήσατο. ἀλλὰ τάχα μὲν καὶ ἤδη μετανενόη-
κε ζῶντά με μεμαθηκώς. οὐ γάρ που καὶ ἄλλως ἢ ὡς τετελευ-
C τηκότος μου τοῦτ᾽ ἐποίησεν. ἂν δὲ καὶ ἐπιπλεῖον ἀντίσχῃ, ἀλλ᾽
ὅταν γε καὶ προσιόντας ἡμᾶς πύθηται, πάντως γνωσιμαχήσει
καὶ ὑμᾶς φοβηθεὶς καὶ ἐμὲ αἰδεσθείς. ἐγὼ γοῦν ἓν μόνον ὦ συ-
στρατιῶται δέδοικα (εἰρήσεται γὰρ πᾶσα πρὸς ὑμᾶς ἡ ἀλή-
θεια) μή ποτε αὐτὸς ἑαυτὸν ἀποκτείνῃ, αἰσχυνθεὶς ἐς τὴν ἡμετέ-
ραν ὄψιν ἐλθεῖν, ἢ ἕτερός τις μαθὼν ὅτι τε ἥξω καὶ ὅτι ἐπ᾽ αὐ-
τὸν ὁρμῶμαι, τοῦτο ποιήσῃ. μέγα γάρ μου ἆθλον καὶ τοῦ πολέμου
καὶ τῆς νίκης, καὶ ἡλίκον οὐδεὶς πώποτε ἀνθρώπων ἔλαβεν, ἀφαι-
D ρήσεται. τί δὲ τοῦτό ἐστιν; ἀδικήσαντα ἄνθρωπον ἀφεῖναι, πρὸς φι-
λίαν ὑπερβάντα φίλον μεῖναι, πίστιν καταλύσαντα πιστὸν διαγε-
νέσθαι. παράδοξα μὲν ἴσως ταῦθ᾽ ὑμῖν φαίνεται, ἀλλ᾽ οὐκ ἀπιστεῖν
ὑμᾶς αὐτοῖς δεῖ. οὐ γάρ που καὶ ἁπλῶς πάντα τὰ ἀγαθὰ ἐκ τῶν

ἀνθρώπων ἀπόλωλεν, ἀλλ' ἔστι καὶ παρ' ἡμῖν ἔτι τῆς ἀρχαίας
ἀρετῆς λείψανον. ἂν δέ που ἀπιστῇ τις, καὶ διὰ τοῦτο μεῖζόν ἐστί
μοι τὸ ἐπιθύμημα, ἵνα ὃ μηδεὶς ἂν πιστεύσειε γενέσθαι δύνα-
σθαι, τοῦτο ἴδῃ γενόμενον. ὡς ἔγωγε τοῦτ' ἂν μόνον ἐκ τῶν παρόν-
των κακῶν κερδάναιμι, εἰ δυνηθείην καλῶς θέσθαι τὸ πρᾶ- 250
γμα, καὶ δεῖξαι πᾶσιν ἀνθρώποις ὅτι καὶ ἐμφυλίοις πολέ- A
μοις ἔστιν ὀρθῶς χρήσασθαι. Ταῦτα μὲν ὁ Μάρκος καὶ πρὸς
τοὺς στρατιώτας εἶπε, καὶ πρὸς τὴν γερουσίαν ἔγραψεν, οὐδὲν
οὐδαμοῦ τὸν Κάσσιον κατηγορήσας, πλὴν ὅτι ἀχάριστον αὐτὸν
συνεχῶς ἀνεκάλει. οὐ μὴν οὐδὲ ἐκεῖνος ὑβριστικόν τι οὔτε
εἶπέ ποτε ἐς τὸν Μάρκον οὔτ' ἔγραψε. Παρασκευαζομένῳ δὲ
Μάρκῳ πρὸς τὸν ἐμφύλιον πόλεμον, ἄλλαι τε πολλαὶ νῖκαι
κατὰ διαφόρων βαρβάρων ἐν ταυτῷ, καὶ ὁ Κασσίου θάνατος
ἀπηγγέλθη. προσπεσὼν γὰρ βαδίζοντι τῷ Κασσίῳ Ἀντώνιος
ἑκατόνταρχος, ἐξαίφνης ἔτρωσε κατὰ τοῦ αὐχένος οὐ πάνυ B
πληγῇ καιρίᾳ· καὶ ὁ μὲν τῇ ῥύμῃ τοῦ ἵππου ἐξαχθεὶς, ἀτελὲς
τὸ τόλμημα κατέλιπεν, ὥστ' ὀλίγου διαφυγεῖν αὐτόν. ὁ δὲ
δέκαρχος ἐν τούτῳ τὸ λοιπὸν προσκατειργάσατο, καὶ τὴν κε-
φαλὴν αὐτοῦ ἀποτεμόντες, πρὸς τὸν αὐτοκράτορα ὥρμησαν.
καὶ ὁ μὲν οὕτω μῆνας τρεῖς καὶ ἡμέρας ἓξ ὀνειρώξας ἐ-
σφάγη, καὶ ὁ υἱὸς αὐτοῦ ἑτέρωθι ὢν ἐφονεύθη. καὶ ὁ Μάρκος
ἐπιὼν τὰ ἔθνη τὰ τῷ Κασσίῳ συνεξαναστάντα, πάνυ φιλαν-
θρώπως πᾶσιν ἐχρήσατο, καὶ οὐδένα οὔτε τῶν ἐλαττόνων οὔτε τῶν
ἐπιφανεστέρων διεχρήσατο. κατὰ δὲ τὸν αὐτὸν τοῦτον χρόνον με- C
τήλλαξε καὶ ἡ Φαυστῖνα, εἴτε ὑπὸ τῆς ποδάγρας ἣν εἶχεν,
εἴτε ἄλλως, ἵνα μὴ ἐλεγχθῇ ἐφ' οἷς πρὸς τὸν Κάσσιον συνε-
τίθετο. καίτοι ὁ Μάρκος τὰ γράμματα διέφθειρε μηδὲ ἀνα- D
γνούς, ἵνα μὴ καὶ ἄκων ἀναγκασθῇ μισῆσαί τινα. λέγεται δὲ
ὅτι καὶ Βῆρος εἰς τὴν Συρίαν, ἧς καὶ τὴν ἀρχὴν ἔλαβε, προ-
πεμφθεὶς, καὶ εὑρὼν αὐτὰ ἐν τοῖς σκεύεσι τοῦ Κασσίου, ἠφάνι-
σεν, εἰπὼν, ὅτι μάλιστα μὲν ἐκείνῳ τοῦτ' ἔστι κεχαρισμένον· εἰ δὲ καὶ

χαλεπὴν ἡγῆ τι, ἄμεινόν γε ἔσται ἵνα ἑαυτὸν ἀντὶ πολλῶν ἀπολέ-
D σθαι. Μάρκος γε μὴν οὕτω τοῖς φόνοις οὐκ ἔχαιρεν ὥστε καὶ τοὺς
μονομάχους ἐν τῇ Ῥώμῃ ὥσπερ ἀθλητὰς ἀκινδύνως ἑώρα
μαχομένους. σιδήριον γὰρ οὐδέποτε οὐδενὶ αὐτῶν ὀξὺ ἔδωκεν,
ἀλλὰ καὶ ἀμβλέσιν ὥσπερ ἐσφαιρωμένοις πάντες ἐμάχοντο.
τὴν δὲ Φαυστῖναν ἀποθανοῦσαν ἰσχυρῶς πενθήσας, ἔγραψε τῇ
βουλῇ μηδένα τῶν Κασσίῳ συναραμένων τεθνάναι, ὡς καὶ
ἐκ μόνου τούτου, παραμυθίου τινὸς ἐπὶ τῇ Φαυστίνῃ τυχεῖν
251 δυνησόμενος. Μὴ γὰρ γένοιτο, ἔφη, μηδένα ὑμῶν ὑπ' ἐμοῦ,
A μήτε τῇ ἐμῇ μήτε τῇ ὑμετέρᾳ ψήφῳ σφαγῆναι. καὶ τέλος
ἔφη ὅτι ἂν μὴ τούτου τύχω, σπεύσω πρὸς τὸν θάνατον. οὕτω
τε καθαρὸς διὰ πάντων καὶ χρηστὸς καὶ εὐσεβὴς ἐγένετο· καὶ
γὰρ πολλοὺς καὶ ἀνηργάτησε τῶν σφαγέων, ὅσον τὸ ἐπ' αὐτῆς,
αὐτόν τε καὶ τοὺς υἱέας αὐτοῦ. ἐνομοθετήθη δὲ τόδε, μηδένα ἐν τῷ
ἔθνει ὅθεν τὸ ἀρχαῖον ἐστὶν ἄρχειν, ὅτι ὁ Κάσσιος ἐν τῇ Συρίᾳ
τὴν πατρίδα αὐτοῦ ἔχουσαν ἡγεμονεύων ἐνεόχμωσε. τῷ δὲ
Μάρκῳ καὶ τῇ Φαυστίνῃ ἐψηφίσατο ἡ βουλὴ ἔν τε τῷ Ἀφρο-
B δισίῳ τῷ Ῥωμαίῳ εἰκόνας ἀργυρᾶς ἀνατεθῆναι, καὶ βωμὸν
ἱδρυθῆναι, καὶ ἐπ' αὐτοῦ πάσας τὰς κόρας τὰς ἐν τῷ ἄστει γα-
μουμένας μετὰ τῶν νυμφίων θύειν, καὶ ἐς τὸ θέατρον χρυσῆν εἰ-
κόνα τῆς Φαυστίνης ἐπὶ δίφρου ἀεί, ὁσάκις γε αὐτὸς ἐκεῖνος θεω-
ρῇ, ἐσφέρεσθαί τε, καὶ ἐν τῇ προεδρίᾳ ἐξ ἧς ζῶσα ἐθεᾶτο, τίθε-
σθαι, καὶ περὶ αὐτὴν τὰς γυναῖκας τὰς δυνάμει προεχούσας
συγκαθίζεσθαι. ὁ δὲ Μάρκος ἐλθὼν ἐς τὰς Ἀθήνας, καὶ μυηθεὶς,
ἔδωκε μὲν τοῖς Ἀθηναίοις τιμάς, ἔδωκε δὲ καὶ πᾶσιν ἀνθρώποις
διδασκάλους ἐν ταῖς Ἀθήναις ἐπὶ πάσης λόγων παιδείας
C μισθὸν ἐτήσιον φέροντας. ἐλθὼν δὲ ἐς τὴν Ῥώμην, καὶ πρὸς τὸν
δῆμον διαλεγόμενος, ἐπειδὴ μεταξὺ λέγοντος αὐτοῦ τά τε ἄλ-
λα καὶ ὅτι πολλοῖς ἔτεσιν ἀποδεδημηκὼς ἦν, ἀνεβόησαν, ὀ-
κτὼ καὶ ταῦτα ταῖς χερσίν, ἵνα δὴ καὶ χρυσοῦς τοσούτους ἐς
τὸ δεῖπνον λάβωσι, προσενεδείξαντο· διεμειδίασε, καὶ ἔφη

ὁ αὐτὸς, Ὀκτώ. καὶ μετὰ ταῦτα ἀνὰ διακοσίας δραχμὰς αὐ-
τοῖς κατένειμεν, ὅσον οὔπω πρότερον εἰλήφεσαν. ταῦτά τε ἔπρα-
ξε, καὶ τοῖς ὀφείλουσί τι τῷ βασιλικῷ καὶ τῷ δημοσίῳ, πᾶσι πάν-
τα τὰ ὀφειλόμενα ἀφῆκεν, ἀπὸ ἐτῶν ἓξ καὶ τεσσαράκοντα, χω-
ρὶς τῶν ἑκκαίδεκα τῶν Ἀδριανοῦ, καὶ πάντα τὰ περὶ αὐτῶν
γράμματα ἐν τῇ ἀγορᾷ καυθῆναι ἐκέλευσε. χρήματά τε D
πολλαῖς πόλεσιν ἔδωκεν, ἐν αἷς καὶ τῇ Σμύρνῃ δεινῶς ὑπὸ σει-
σμοῦ φθαρείσῃ· καὶ αὐτὴν καὶ βουλευτῇ ἐστρατηγηκότι ἀνοι-
κοδομῆσαι προσέταξεν. ἀφ' οὗπερ ἔγωγε νῦν θαυμάζω τῶν αἰτιω-
μένων αὐτὸν ὡς οὐ μεγαλόφρονα γενόμενον. τὰ μὲν γὰρ ἄλλα
οἰκονομικώτατος ὡς ἀληθῶς ἦν, τῶν δ' ἀναγκαίων ἀναλω-
μάτων οὐδὲ ἓν ἐξίστατό τι, καίπερ μηδένα εἰσπράξει χρημά-
των, ὥσπερ εἶπον, λυπῶν, καὶ πλεῖστα ὅσα ἐξ ἀνάγκης ἔξω τῶν
ἐγκυκλίων δαπανῶν. ἐπειδὴ γὰρ τὰ Σκυθικὰ αὖθις αὐτοῦ ἐδεῖ- 252
το, γυναῖκα τῷ υἱεῖ θᾶττον δι' αὐτὰ ἢ ἐβούλετο Κρισπῖναν A
συνῴκισεν. οἱ γὰρ Κυϊντίλιοι οὐκ ἠδυνήθησαν, καίπερ δύο τε ὄν-
τες καὶ φρόνημα καὶ ἀνδρίαν ἐμπειρίαν τε πολλὴν ἔχοντες, τὸν
πόλεμον παῦσαι· καὶ διὰ τοῦτ' ἀναγκαίως αὐτοὶ οἱ αὐτοκράτο-
ρες ἐξεστράτευσαν. ὁ δὲ Μάρκος καὶ χρήματα ἐκ τοῦ δημοσίου
ᾔτησε τὴν βουλήν, οὐχ ὅτι μὴ ἔκειτο ἐπὶ τῇ τοῦ κρατοῦντος
ἐξουσίᾳ, ἀλλ' ὅτι ὁ Μάρκος πάντα τῆς βουλῆς καὶ τοῦ δήμου καὶ αὐτὰ
καὶ τἆλλα ἔλεγεν εἶναι. Ἡμεῖς γὰρ ἔφη (πρὸς τὴν βουλὴν λέγων) B
οὕτως οὐδὲν ἴδιον ἔχομεν, ὥστε καὶ ἐν τῇ ὑμετέρᾳ οἰκίᾳ οἰ-
κοῦμεν. ταῦτά τε εἰπών, καὶ τὸ δόρυ τὸ αἱματῶδες παρὰ τῷ
ἐνυείῳ ἐς τὸ πολέμιον δὴ χωρίον (ὥς γε καὶ τῶν συγγενομένων
αὐτῷ ἤκουσα) ἀκοντίσας, ἐξωρμήθη, καὶ τῷ Πατέρνῳ δοὺς
χεῖρα μεγάλην, ἔπεμψεν αὐτὸν εἰς τὸν τῆς μάχης ἀγῶνα. καὶ
οἱ βάρβαροι ἀντέτειναν μὲν διὰ τῆς ἡμέρας ἁπάσης, κατεκό-
πησαν δὲ ὑπὸ τῶν Ῥωμαίων πάντες. καὶ ὁ Μάρκος τὸ δέκα-
τον αὐτοκράτωρ προσηγορεύθη. καὶ εἴγε πλεῖον ἐβεβιώκει,
πάντα τὰ ἐκεῖ ἂν ἐπεχείρωτο· νῦν δὲ τῇ ἑπτακαιδεκάτῃ τοῦ C

Μαρτίου μετήλλαξεν, οὐχ ὑπὸ τῆς νόσου ἣν καὶ τότε ἐνόσει, ἀλλ' ὑπὸ τῶν ἰατρῶν, ὡς ἐγὼ σαφῶς ἤκουσα, τῷ Κομμόδῳ χαριζομένων. μέλλων οὖν ἀποθνήσκειν, τοῦτόν τε τοῖς στρατιώταις παρακατέθετο, (οὐ γὰρ ἤθελε δοκεῖν ὑπ' αὐτοῦ θνήσκειν) καὶ τῷ χιλιάρχῳ τὸ σύνθημα αἰτοῦντι ἔφη, Ἄπελθε πρὸς τὸν ἀνατέλλοντα· ἐγὼ γὰρ ἤδη δύομαι. τελευτήσας δὲ, ἄλλα τε πολλὰ εἰς τιμὴν ἔλαβε, καὶ χρυσοῦς ἐς αὐτὸ τὸ συνέδριον ἔστη. ὁ μὲν οὖν Μάρκος ἄριστα δὴ πάντων τῶν ἐν κράτει
D τινὶ γενομένων ἄρξας, οὕτω μετήλλαξεν. εἶχε μὲν γὰρ καὶ τὰς ἄλλας ἀρετὰς, πλεῖστον δὲ ἐν εὐεργεσίᾳ διῆγεν. ὅθεν που καὶ ναὸν αὐτῆς ἐν τῷ Καπιτωλίῳ ἱδρύσατο, ὀνόματί τινι ἰδιωτάτῳ καὶ μήπω ἀκουσθέντι προσκαλέσας αὐτήν. αὐτὸς μὲν γὰρ ἁπάντων τῶν ἁμαρτημάτων ἀπείχετο· τὰ δὲ δὴ τῶν ἄλλων ἁμαρτήματα, καὶ μάλιστα τὰ τῆς γυναικὸς ἔφερε, καὶ οὔτε ἐπολυπραγμόνει, οὔτε ἐκόλαζε. καὶ εἰ μέν τις χρηστόν τι ἔπραττεν, ἐπῄνει, καὶ ἐχρῆτο εἰς ἐκεῖνο αὐτῷ· τῶν δὲ ἑτέρων οὐ
253 προσεποιεῖτο. καὶ ὅτι οὐ προσποιητῶς ἀλλ' ἐξ ἀρετῆς πάν-
A τα ἔπραττε, πρόδηλον. ἔτη γὰρ ὀκτὼ καὶ πεντήκοντα, καὶ μῆνας δέκα, ἡμέρας τε εἴκοσι καὶ δύο ζήσας, κἀν τούτοις τῷ τε πρὶν Ἀντωνίνῳ συχνὸν χρόνον ὑπάρξας, καὶ αὐτὸς ἐννέα καὶ δέκα ἔτη, καὶ ἕνδεκα ἡμέρας αὐταρχήσας, ὅμοιος διὰ παντὸς ἐγένετο, καὶ ἐν οὐδενὶ ἠλλοιώθη. οὕτως ὡς ἀληθῶς ἀγαθὸς ἀνὴρ ἦν, καὶ οὐδὲν προσποιητὸν εἶχε. πάμπολλα μὲν γὰρ καὶ ὑπὸ παιδείας ὠφελήθη, ἔν τε τοῖς ῥητορικοῖς, ἔν τε τοῖς ἐκ φιλοσοφίας λόγοις ἀσκηθείς. τῶν μὲν γὰρ τόν τε Φρόντωνα
B τὸν Κορνήλιον καὶ τὸν Ἡρώδην τὸν Κλαύδιον διδασκάλους εἶχε, τῶν δὲ, τόν τε Ῥούστικον τὸν Ἰούνιον καὶ Ἀπολλώνιον τὸν Νικομηδέα τοὺς Ζηνωνείους λόγους μελετῶντας. ἀφ' οὗ δὴ παμπληθεῖς φιλοσοφεῖν ἐπλάττοντο, ἵν' ὑπ' αὐτοῦ πλουτίζωνται. πλεῖστον δὲ ὅμως ὑπὸ τῆς φύσεως ἐξήρθη. καὶ γὰρ πρὶν ἐν ἐκείνοις ὁμιλῆσαι, ἰσχυρῶς πρὸς ἀρετὴν ὥρμητο. τοῖς τε γὰρ

συγγενέσι πᾶσι πολλοῖς καὶ δυνατοῖς πλουσίοις τε οὖσιν οὕτω
τι ἐπ᾽ ἴσης ὢν ἤρεσεν, ὥστε ὑπὸ πάντων ἀγαπηθῆναι, καὶ
διὰ τοῦτο ὑπὸ τοῦ Ἀδριανοῦ ὅτι μάλιστα εἰς τὸ γένος ποιηθεὶς C
οὐχ ὑπερεφρόνησεν. Ἑλληνικῶν τε καὶ Λατίνων ῥητορικῶν τε
καὶ φιλοσόφων λόγων ἀεὶ διεπίμπλατο. καὶ πρὸ τοῦ καίσαρ
ἀποδειχθῆναι, ὄναρ ἔδοξεν ὤμους τε καὶ χεῖρας ἐλεφαντίνους
ἔχειν, καὶ αὐταῖς πάντα ὅσα ταῖς ἀνθρωπίναις χρῆσθαι. ἐκ δ᾽
οὖν τῆς πολλῆς ἀσχολίας τε καὶ ἀσκήσεως ἀσθενέστατον τὸ σῶ-
μα ἔσχε· καίτοι τοσαύτῃ δεξιᾷ ἀπ᾽ ἀρχῆς χρησάμενος, ὥστε
καὶ ὁπλομαχεῖν, καὶ σῦς ἀγρίους ἐν θήρᾳ καταβαλεῖν ἀπὸ
ἵππου. οὐ μέντοι καὶ ἐπαξίως ἑαυτοῦ εὐδαιμόνησεν. οὔτε γὰρ
ἔρρωτο, καὶ κακοῖς πλείστοις παρὰ πᾶσαν ὡς εἰπεῖν τὴν ἡγε- D
μονίαν περιέπεσεν. ἀλλ᾽ ἔγωγε ἐξ αὐτῶν τούτων μᾶλλον αὐ-
τὸν τεθαύμακα, ὅτι ἔν τε ἀλλοκότοις καὶ ἐν ἐξαισίοις πρά-
γμασιν αὐτός τε διεγένετο, καὶ τὴν ἀρχὴν διεσώσατο. ἓν
δ᾽ οὖν τοῦτο ἐς τὴν οὐκ εὐδαιμονίαν αὐτοῦ συνηνέχθη, ὅτι τὸν
υἱὸν καὶ θρέψας καὶ παιδεύσας ὡς οἷόν τε ἦν ἄριστα, πλεῖστον
αὐτοῦ ὅσον διήμαρτε, περὶ οὗ ἤδη ῥητέον, ἀπὸ χρυσῆς τε βασι-
λείας ἐς σιδηρᾶν καὶ κατιωμένην τῶν τε πραγμάτων τοῖς
τότε Ῥωμαίοις, καὶ ἡμῖν νῦν καταπεσούσης τῆς ἱστορίας.

ΚΟΜΜΟΔΟΣ.

254 ΟΥΤΟΣ πανοῦργος μὲν οὐκ ἔφυ, ἀλλὰ
A καί τις ἀνθρώπων ἄκακος. ὑπὸ δὲ δὴ τῆς
πολλῆς ἁπλότητος καὶ δειλίας ἐδούλευσε
τοῖς συνοῦσι, καὶ ὑπ' αὐτῶν ἀγνοίᾳ τὸ
πρῶτον τοῦ κρείττονος ἁμαρτὼν ἐς ἔθος, κἀκ
τούτου ἐς φύσιν ἀσελγῆ καὶ μιαιφόνον προήχθη. τοῦτο δὲ
ἐννεακαιδεκαέτης ὅτε μετήλλαξεν ὁ πατὴρ αὐτοῦ, πολλοὺς
αὐτῷ καὶ τοὺς κρατίστους τῶν βουλευτῶν ἐπιτρόπους καταλι-
πών· ὧν ὁ Κόμμοδος ταῖς ὑποθήκαις καὶ συμβουλίαις χαί-
B ρειν εἰπὼν, καὶ τοῖς βαρβάροις σπεισάμενος, εἰς τὴν Ῥώμην
ἠπείχθη, μισόπονός τε ὢν καὶ τῆς ἀστικῆς ῥᾳστώνης ἐπιθυμῶν.
καὶ ἐπεβουλεύθη μὲν πολλάκις ὑπό τινων, πλείστους δὲ ἐφό-
νευσε καὶ ἄνδρας καὶ γυναῖκας, τοὺς μὲν φανερῶς, τοὺς δὲ λά-
θρα φαρμάκοις· καὶ ὡς εἰπεῖν, πάντας τοὺς ἐπὶ τοῦ πατρὸς
αὐτοῦ καὶ ἐπ' αὐτοῦ ἐκείνου ἀνθήσαντας, πλὴν τοῦ Πομπηϊα-
νοῦ καὶ τοῦ Περτίνακος καὶ τοῦ Βικτωρίνου. τούτους γὰρ οὐκ οἶδ'
ὅπως οὐκ ἀπέκτεινε. λέγω δὲ ταῦτά τε καὶ τὰ λοιπὰ οὐκ ἐξ
ἀλλοτρίας ἔτι παραδόσεως, ἀλλ' ἐξ οἰκείας ἤδη τηρήσεως.
C ἐλθὼν δὲ εἰς τὴν Ῥώμην, καὶ πρὸς τὴν γερουσίαν διαλε-
χθεὶς, ἄλλα τέ τινα ἀπελήρησε, καί τι καὶ τοιοῦτον ἐν τοῖς αὑτοῦ
ἐπαίνοις εἶπεν, ὅτι τὸν πατέρα ποτὲ ἐς πηλὸν βαθὺν ἐμπεσόν-
τα ἱππεύων ἐρρύσατο. τοιαῦτα μὲν τὰ σεμνολογήματα αὐτοῦ
ἦν. ἐσιόντι δὲ αὐτῷ ἐς τὸ θέατρον τὸ κυνηγετικὸν Κλαύδιος
Πομπηϊανὸς ἐπεβούλευσε. ξίφος γάρ τι ἐν αὐτῇ τῇ τῆς εἰσόδου
στενοχωρίᾳ ἀνατείνας, Ἰδοὺ, ἔφη, τοῦτό σοι ἡ βουλὴ πέπομ-
φεν. οὗτος μὲν ἐνεγγύητο τὴν θυγατέρα Λουκίλλης, ἐχρῆτο δὲ
καὶ αὐτῇ ταύτῃ, καὶ τῇ τῆς κόρης μητρί· καὶ διὰ ταῦτα τῷ

Κομμόδῳ

Κομμόδῳ ᾠκείωτο, ὡς καὶ συνεστιᾶσθαι καὶ συννεανιεύεσθαι
αὐτῷ. ἡ γὰρ Λουκίλλα οὐδὲν ἐπιεικεστέρα οὐδὲ σωφρονεστέρα τοῦ D
ἀδελφοῦ Κομμόδου ὑπάρχουσα, ἤχθετο μὲν τῷ ἀνδρὶ αὐτῆς
τῷ Πομπηιανῷ· ὅθεν καὶ ἀνέπεισε τὸν εἰρημένον ἐπιθέσθαι τῷ
Κομμόδῳ, καὶ αὐτόν τε ἀπώλεσε, καὶ αὐτὴ φωραθεῖσα ἐ-
ξανηρέθη. ἀπέκτεινε δὲ καὶ τὴν Κρισπῖναν ὁ Κόμμοδος, ἐπὶ 255
μοιχείᾳ δή τινι ὀργισθεὶς αὐτῇ. πρὸ δὲ τοῦ ἀναιρεθῆναι, καὶ A
ἀμφότεραι ἐς τὴν νῆσον τὴν Καπρίας ὑπερωρίσθησαν. Μαρ
κία δέ τις Κουαδράτου τῶν τότε φονευθέντων ἑνὸς παλλακή, καὶ
Ἔκλεκτος πρόκοιτος, ὁ μὲν καὶ τοῦ Κομμόδου πρόκοιτος, ἡ δὲ παλ
λακὴ ἐγένετο, καὶ τοῦ Ἐκλέκτου μετὰ ταῦτα γυνή· καὶ ἔπειτα δὲ
καὶ ἐκείνους βιαίως ἀποθνήσκοντας. ἱστορεῖται δὲ αὕτη πολλά τε
ὑπὲρ τῶν Χριστιανῶν σπουδάσαι, καὶ πολλὰ αὐτοὺς εὐηργετηκέ
ναι, ἅτε καὶ παρὰ τῷ Κομμόδῳ πᾶν δυναμένη. ἀπέκτεινε
δὲ ὁ Κόμμοδος καὶ Ἰουλιανὸν τὸν Σερούϊον, καὶ τὸν Πάτερνον, B
καίτοι δυνηθέντας ἄν, εἴπερ ἠθέλησαν, ῥᾳδίως αὐτὸν κατα-
λῦσαι. ὁ μὲν γὰρ ἐλλογιμώτατος ἦν, καὶ στρατιᾶς μεγάλης ἐπε
στάτει, Πάτερνος δὲ τῶν δορυφόρων ἦρχεν. ἐφόνευσε δὲ καὶ
τοὺς Κυϊντιλίους τόν τε Καρδιανὸν καὶ τὸν Μάξιμον. μεγάλην
γὰρ εἶχον δόξαν ἐπὶ παιδείᾳ καὶ ἐπὶ στρατηγίᾳ καὶ ὁμοφροσύνῃ
καὶ πλούτῳ. ἐκ γὰρ δὴ τῶν προσόντων σφίσιν ὑπωπτεύοντο κα
λῶν, εἰ καὶ μηδὲν νεώτερον ἐννοοῖεν, ἄχθεσθαι τοῖς παροῦσι.
καὶ οὕτως αὐτοὶ ὥσπερ ἔζησαν ἅμα, οὕτω καὶ ἀπέθανον μεθ'
ἑνὸς τέκνου. διαπρεπέστατα γὰρ τῶν πώποτε ἐφίλησαν ἀλλή- C
λους, καὶ οὐκ ἔστιν ὅτε οὐδὲ ἐν ταῖς ἀρχαῖς διεχωρίσθησαν. ἐ-
γένοντο δὲ καὶ πολυκτήμονες καὶ παμπλούσιοι, καὶ ἦρχον
ὁμοῦ καὶ παρήδρευον ἀλλήλοις. Κονδιανὸς δὲ Σέξτος ὁ τοῦ
Μαξίμου υἱὸς φύσει τε καὶ παιδείᾳ τῶν ἄλλων διαφέρων, ἐ-
πειδὴ ᾔσθετο καὶ τῆς ἐς αὐτὸν φερούσης θανατηφόρου ψήφου,
(διέτριβε δὲ ἐν Συρίᾳ) αἷμα λαγὼ ἔπιε, καὶ μετὰ τοῦτ' ἐπί τε
ἵππον ἀνέβη, καὶ κατέπεσεν ἀπ' αὐτοῦ ἐπίτηδες, τό, τε αἷμα

D ἤμεσεν ὡς ἴδιον, καὶ ἀρθεὶς ὡς καὶ παραχρῆμα τελευτήσων
ἐς οἴκημα ἐκομίσθη· καὶ αὐτὸς μὲν ἀφανὴς ἐγένετο, κριοῦ δὲ
σῶμα ἐς λάρνακα ἀντ' αὐτοῦ ἐμβληθὲν ἐκαύθη. καὶ ἐκ τού-
του μὲν ἀμείβων ἀεὶ τὸ σχῆμα καὶ τὴν ἐσθῆτα, ἄλλοτε ἄλλῃ
ἐπλανᾶτο. διαδοθέντος δὲ τοῦ λόγου τούτου (οὐ γὰρ οἷόν τε ἐστὶ τὰ
τηλικαῦτα ἐπὶ πολὺν χρόνον λανθάνειν) ζήτησις αὐτοῦ με-
γάλη πανταχοῦ ὁμοίως ἐγένετο, καὶ πολλοὶ μὲν ἀντ' αὐτοῦ δι'
ὁμοιότητα, πολλοὶ δὲ ὡς καὶ συνεγνωκότες τι αὐτῷ, ἢ καὶ ὑπο-
δεδεγμένοι που αὐτὸν, ἐκολάσθησαν· ἔτι δὲ πλείους οὐδὲ ἑωρα-
256 κότες ποτὲ ἴσως αὐτὸν, τῶν οὐσιῶν ἐστερήθησαν. καὶ ὁ μὲν εἴτε
A ὄντως ἐσφάγη (πλεῖσται γὰρ κεφαλαὶ, ὡς ἐκείνου οὖσαι, ἐς τὴν
Ῥώμην ἐκομίσθησαν) εἴτε καὶ ἀπέφυγεν, οὐδεὶς οἶδεν. ἕτε-
ρος δέ τις ἐτόλμησεν μετὰ τὸν τοῦ Κομμόδου θάνατον Σέξτος
εἶναι φῆσαι, καὶ πρὸς ἀνάληψιν τοῦ τε πλούτου καὶ τοῦ ἀξιώμα-
τος αὐτοῦ ὁρμῆσαι, καὶ πολλά γε ὑπὸ πολλῶν ἀνακριθεὶς, ἐ-
κομψεύσατο· ὡς μέντοι καὶ ἑλληνικῶς τι αὐτὸν ὁ Περτίναξ, οὗ
ἐκεῖνος ἐπεφύκει, ἀνήρετο, πλεῖστον ἐσφάλη, μηδὲ συνεῖναι
τὸ λεγόμενον δυνηθείς. τοῦτό τε οὖν αὐτὸς ἤκουσα παρὼν, καὶ
B ἕτερον τοιόνδε. ἐστὶν ἐν Μαλλῷ πόλει τῆς Κιλικίας Ἀμφιλόχου
χρηστήριον, καὶ χρᾷ δι' ὀνειράτων· ἔχρησεν οὖν καὶ τῷ Σέξτῳ ὃ
διὰ γραφῆς ἐκεῖνος ἐδήλωσε. παιδίον γὰρ τῷ πίνακι ἐνέγραψε
δύο δράκοντας ἀποπνῖγον, καὶ λέοντα νεβρὸν διώκοντα. οὐδὲ
ἔχων αὐτὰ συμβαλεῖν, τῷ πατρὶ συνὼν ἄρχοντι τῆς Κιλι-
κίας, πρὶν πυθέσθαι τούς τε ἀδελφοὺς ὑπὸ τοῦ Κομμόδου, ὃς
μετὰ ταῦτα τὸν Ἡρακλέα ἐζήλωσε, τρόπον τινὰ πνιγέντας, ὥσ-
περ καὶ ὁ Ἡρακλῆς ἔτι νήπιος ὢν ἱστόρηται τοὺς ὑπὸ τῆς Ἥ-
C ρας ἐπιπεμφθέντας αὐτῷ δράκοντας ἀποπνῖξαι (καὶ γὰρ οἱ
Κυϊντίλιοι ἀπηγχονίσθησαν) καὶ τὸν Σέξτον φεύγοντα καὶ διω-
κόμενον ὑπὸ τοῦ κρείττονος. πάμπολυν ἂν ὄχλον τῇ συγγρα-
φῇ παράσχοιμι, εἰ ἀκριβῶς καθ' ἕκαστον τοὺς θανατωθέντας
ὑπ' αὐτοῦ γράφοιμι, ὅσους ἐκεῖνος ἢ διὰ συκοφαντίας ψευ-

δεῖς, ἢ δι' ὑποψίας οὐκ ἀληθεῖς, ἢ διὰ πλοῦτον λαμπρόν, ἢ διὰ
γένος ἀδόκιμον, ἢ διὰ παιδείας ὑπεροχήν, ἢ δι' ἄλλην τινὰ ἀ-
ρετὴν διεχρήσατο. ἐγένοντο δὲ καὶ πόλεμοί τινες αὐτῷ πρὸς τοὺς
ὑπὲρ τὴν Δακίαν βαρβάρους, ἐν οἷς ὅ, τε Ἀλβῖνος καὶ ὁ Νίγρος,
οἱ τῷ αὐτοκράτορι Σεβήρῳ μετὰ ταῦτα ἀντιπολεμήσαντες, D
εὐδοκίμησαν. μέγιστος δὲ ὁ Βρεττανικός. τῶν γὰρ ἐν τῇ νήσῳ ἐ-
θνῶν ὑπερβεβηκότων τὸ τεῖχος τὸ διορίζον αὐτούς τε καὶ τὰ τῶν
Ῥωμαίων στρατόπεδα, καὶ πολλὰ κακουργούντων, στρατηγόν τε
τινὰ μετὰ τῶν στρατιωτῶν οὓς εἶχε κατακοψάντων, φοβηθεὶς ὁ
Κόμμοδος Μάρκελλον Οὔλπιον ἐπ' αὐτοὺς ἔπεμψεν. οὗτος
δὲ ὁ ἀνὴρ μέτριος καὶ ἀτιλὴς ὤν, στρατιωτικῶς τε ἀεὶ καὶ περὶ τὴν 257
τροφὴν καὶ περὶ πάντα τἆλλα ζῶν, ὅτε ἐπολέμει, ὑψηλόφρων A
καὶ φρονηματώδης ἐγίγνετο, χρημάτων τε διαφανῶς ἀδωρότα-
τος ἦν, οὐ μὴν καὶ ἡδὺς τὸ ἦθος ἢ φιλάνθρωπος. ἀϋπνότατος
δὲ τῶν στρατηγῶν γενόμενος, καὶ τοὺς ἄλλους τοὺς συνόντας αὐτῷ
ἐγρηγορηκέναι βουλόμενος, δώδεκα γραμματεῖα οἷά γε ἐκ
φιλύρας ποιεῖται, καθ' ἑκάστην ἑσπέραν συνέγραφε, καὶ
προσέταττέ τινι ἄλλο ἄλλῃ ὥρᾳ κομίζειν τισίν, ἵν' ἐγρηγορέ-
ναι τὸν στρατηγὸν ἀεὶ νομίζοντες, μηδὲ αὐτοὶ ἀδεῶς καθεύ-
δοιεν. ἦν μὲν γὰρ καὶ ἄλλως ὑπνομαχεῖν πεφυκώς, ἐπὶ πλεῖον
δὲ τοῦτο ἐκ τῆς ἀσιτίας ἠσκήκει. ὅπως γὰρ μηδὲ τῶν ἄρτων B
διαπίμπλαται, ἐκ τῆς Ῥώμης αὐτοὺς μετεπέμπετο, ἵν' ὑπὸ
τῆς παλαιότητος αὐτῶν μὴ δύνηται μηδὲ μικρὰ πλεῖον
τοῦ πάνυ ἀναγκαίου φαγεῖν. Μάρκελλος μὲν δὴ τοιοῦτος ὤν,
τούς τε βαρβάρους τοὺς ἐν Βρεττανίᾳ δεινῶς ἐκάκωσε, καὶ
μικροῦ δεῖν ὑπὸ τοῦ Κομμόδου μετὰ ταῦτα διὰ τὴν ἰδίαν
ἀρετὴν ἀποθανεῖν μελλήσας, ὅμως ἀφείθη. Περέννιον δὲ
τῶν δορυφόρων μετὰ τὸν Πάτερνον ἄρχοντα συνέβη διὰ τοὺς
στρατιώτας στασιάσαντας ἀναιρεθῆναι. τοῦ γὰρ Κομμόδου
ἁρματηλασίαις καὶ ἀσελγείαις ἐκδεδωκότος ἑαυτόν, καὶ C
τῶν τῇ ἀρχῇ προσηκόντων οὐδὲν ὡς εἰπεῖν πράττοντος, ὁ

Περέννιος ἠναγκάζετο οὐχ ὅτι τὰ στρατιωτικὰ ἀλλὰ καὶ τἆλ-
λα διὰ χειρὸς ἔχειν, καὶ τοῦ κοινοῦ προστατεῖν. οἱ οὖν στρα-
τιῶται ὁπότε τι σφίσι μὴ καταθύμιον ἀπαντήσαι, τὴν αἰτίαν
ἐπὶ τὸν Περέννιον ἀναφέροντες, ἐμήνιον αὐτῷ. καὶ οἱ ἐν Βρετ-
τανίᾳ τοίνυν ὑπάρχοντες ἐπειδή τι ἐπετιμήθησαν ἐφ' οἷς ἐστα-
σίαζον (οὐ γὰρ πρότερον ἡσύχασαν ἢ αὐτοὺς τὸν Περτίνακα παῦσαι)
χιλίους καὶ πεντακοσίους ἀκοντιστὰς ἀπὸ σφῶν ἀπολέξαντες, ἐς
τὴν Ἰταλίαν ἔπεμψαν ὧν μηδενὸς κωλύοντος τῇ Ῥώμῃ πλη-
D σιασάντων, ὁ Κόμμοδος ἀπήντησέ τε αὐτοῖς καὶ ἐπύθετο, Τί
ταῦτα ὦ συστρατιῶται; τί βουλόμενοι πάρεστε; εἰπόντων δὲ αὐ-
τῶν, Ηκομεν· Περέννιος γάρ σοι ἐπιβουλεύει ἵνα αὐτοκράτο-
ρα τὸν υἱὸν ἀποδείξῃ, ἐπείσθη τε αὐτοῖς, ἄλλως τε καὶ τοῦ Κλεάν-
δρου ἐνάγοντος, (ὃς κωλυόμενος ὑπὸ τοῦ Περεννίου ποιεῖν ὅσα
ἠβούλετο, δεινῶς αὐτὸν ἐμίσει) καὶ ἐξέδωκε τὸν ἔπαρχον τοῖς
στρατιώταις ὧν ἦρχεν· οὐδὲ ἐτόλμησε καταφρονῆσαι χιλίους
258 καὶ πεντακοσίους, πολλαπλασίους αὐτῶν δορυφόρους ἔχων. καὶ
A αὐτὸν ἐκεῖνοι καὶ ᾐκίσαντο καὶ κατέκοψαν, καὶ ἡ γυνὴ αὐτοῦ
καὶ ἡ ἀδελφὴ καὶ υἱεῖς δύο προσδιεφθάρησαν. ὁ μὲν οὕτως
ἐσφάγη, ἥκιστα δὲ τοῦτο παθεῖν καὶ δι' ἑαυτὸν καὶ διὰ τὴν πᾶσαν
τῶν Ῥωμαίων ἀρχὴν ὀφείλων, πλὴν καθ' ὅσον διὰ τὴν φιλαρ-
χίαν αἰτιώτατος τῷ Πατέρνῳ τῷ συνάρχοντι τοῦ ὀλέθρου ἐ-
γένετο. ἰδίᾳ μὲν γὰρ οὐδὲν πώποτε οὔτε πρὸς δόξαν οὔτε πρὸς
πλοῦτον περιεβάλετο, ἀλλὰ καὶ ἀδωρότατα καὶ σωφρονέστα-
τα διῆγε. τοῦ δὲ Κομμόδου τῆς ἀρχῆς αὐτοῦ πᾶσαν ἀσφά-
λειαν ἐποιεῖτο. καὶ οἱ καισάρειοι τούτου ἀπαλλαγέντες (ἦν δὲ
B αὐτῶν κορυφαῖος ὁ Κλέανδρος) οὐδὲν ὅ,τι κακὸν οὐκ ἔδρων,
πωλοῦντες πάντα, ὑβρίζοντες, ἀσελγαίνοντες. Κόμμο-
δος δὲ τὸ πλεῖστον τοῦ βίου περί τε τὰς ῥᾳστώνας καὶ τοὺς ἵππους,
περί τε τὰς μάχας τῶν τε θηρίων καὶ τῶν ἀνδρῶν εἶχεν. ἄνευ
γὰρ ὧν οἴκοι ἔδρα, πολλοὺς μὲν ἄνδρας ἐν τῷ δημοσίῳ, πολλὰ δὲ
καὶ θηρία πολλάκις ἔφθειρε, καὶ πέντε γοῦν ἵππους ποταμίους

ἅμα, καὶ δύο ἐλέφαντας ἄλλῃ καὶ ἄλλῃ ἡμέρᾳ χωρὶς αὐτὸς τῇ ἑ-
αυτοῦ χειρὶ κατεχρήσατο, καὶ προσέτι καὶ ῥινοκέρωτας ἀπέκτεινε,
καὶ καμηλοπάρδαλιν. ταῦτα μέν μοι κατὰ παντὸς τοῦ περὶ αὐτὸν
λόγου γέγραπται. Βικτωρίνῳ δὲ τῷ πολιαρχήσαντι τελευτή- C
σαντι ὁ ἀνδριὰς ἐδόθη. ἐπεὶ, βουλομένου πολλάκις ἀνελεῖν αὐ-
τὸν τοῦ Κομμόδου, ἀναβαλλομένου δὲ καὶ ὀκνοῦντος τὴν πρᾶ-
ξιν (ὁ γὰρ Βικτωρῖνος τῇ τε τῆς ψυχῆς ἀρετῇ καὶ τῇ τῶν λόγων
παρασκευῇ οὐδενὸς τῶν καθ᾽ ἑαυτὸν δεύτερος εἶναι ἐδόκει) προσελ-
θὼν τῷ Περεννίῳ ποτὲ, Ἀκούω, ἔφη, ὅτι με ἀποκτεῖναι ἐθέλε-
τε· τί οὖν μέλλετε; τί δὲ ἀναβάλλεσθε, ἐξὸν ὑμῖν ἤδη καὶ σήμε-
ρον αὐτὸ δρᾶσαι; τῆς δὲ Γερμανίας ποτὲ ἄρχων, τὸ μὲν πρῶ-
τον οἴκοι καθ᾽ ἑαυτὸν ἐπειράθη τοὺς ὑποστρατήγους πεῖσαι μὴ
δωροδοκεῖν· ἐπεὶ δ᾽ οὐκ εἰσήκουεν αὐτοῦ, ἀνέβη τε ἐπὶ τὸ βῆ- D
μα, καὶ ὤμοσε μήτ᾽ εἰληφέναι δῶρά ποτε μήτε λήψεσθαι.
ἔπειτα καὶ ἐκείνους ὀμόσαι ἐκέλευσεν. ὡς δ᾽ οὐκ ἠθέλησαν ἐπιορκῆ-
σαι, ἐκέλευσεν αὐτοὺς ἀπαλλαγῆναι τῆς ἀρχῆς. τοιοῦτος μέν τις
ὁ Βικτωρῖνος ἦν. ὁ δὲ δὴ Κλέανδρος ὁ μετὰ τὸν Περέννιον μέ-
γιστον δυνηθεὶς, καὶ ἐπράθη μετὰ τῶν ὁμοδούλων, μεθ᾽ ὧν καὶ
ἀχθοφορήσων ἐς τὴν Ῥώμην ἐκεκόμιστο. χρόνου δὲ προϊόν-
τος οὕτως ηὐξήθη ὥστε καὶ τοῦ Κομμόδου προκοιτῆσαι, τήν 259
τε παλλακίδα αὐτοῦ Δαμοστρατίαν γῆμαι, καὶ τὸν Σαώτε- A
ρον τὸν Νικομηδέα τὸν πρὸ αὐτοῦ τὴν τιμὴν ἔχοντα ταύτην
ἀποκτεῖναι πρὸς πολλοῖς καὶ ἄλλοις· καίτοι καὶ ἐκεῖνος μέγιστον
ἠδυνήθη, καὶ διὰ τοῦτο καὶ οἱ Νικομηδεῖς καὶ ἀγῶνα ἄγειν, καὶ
νεὼν τοῦ Κομμόδου ποιήσασθαι παρὰ τῆς βουλῆς ἔλαβον. ὁ
γοῦν Κλέανδρος μέγας ὑπὸ τῆς τύχης ἀρθεὶς, καὶ ἐχαρίσα-
το καὶ ἐπώλησε βουλείας, στρατείας, ἐπιτροπείας, ἡγεμονίας,
πάντα πράγματα. καὶ ἤδη τινὲς πάντα τὰ ὑπάρχοντα σφί- B
σιν ἀναλώσαντες, βουλευταὶ ἐγένοντο· ὥστε καὶ λεχθῆναι
ἐπὶ Ἰουλίου Σόλωνος ἀνδρὸς ἀφανεστάτου, ὅτι εἰς τὸ συνέ-
δριον, τῆς οὐσίας στερηθεὶς, ἐξωρίσθη. ταῦτά τε ὁ Κλέανδρος

ἐποίει, καὶ ὑπάτους ἐς ἐνιαυτὸν πέντε καὶ εἴκοσιν ἀπέδειξεν· ὃ
μὴ πρότερόν ποτε μήθ' ὕστερον ἐγένετο. καὶ ἐν αὐτοῖς καὶ Σε-
βῆρος ὁ μετὰ ταῦτα αὐταρχήσας, ὑπάτευσεν. ἠργυρολόγει μὲν
οὖν πανταχόθεν, καὶ ἐκτήσατο πλεῖστα τῶν πώποτε ὀνομα-
C σθέντων προκοίτων, καὶ ἀπ' αὐτῶν πολλὰ μὲν τῷ Κομμόδῳ
ταῖς τε παλλακαῖς αὐτοῦ ἐδίδου, πολλὰ δὲ καὶ ἐς οἰκίας, καὶ ἐς
βαλανεῖα ἄλλα τέ τινα χρήσιμα καὶ ἰδιώταις καὶ πόλεσιν
ἐδαπάνα. ἔδει οὖν ὁ Κλέανδρος εἰς τοσοῦτον ὄγκον ἀρθεὶς ἔπε-
σε καὶ αὐτὸς ἐξαίφνης, καὶ ἀπώλετο μετ' ἀτιμίας. ἀπέκτει-
ναν δὲ αὐτὸν οὐχ οἱ στρατιῶται, ὥσπερ τὸν Περέννιον, ἀλλ' ὁ
δῆμος. ἐγένετο μὲν γὰρ καὶ ἄλλως ἰσχυρὰ σιτοδεία, ἐπὶ πλεῖστον
δ' αὐτὴν Παπίριος Διονύσιος ἐπὶ τοῦ σίτου τεταγμένος
ἐπηύξησεν, ἵν' ὡς αἰτιώτατον αὐτῆς τὸν Κλέανδρον ἀπὸ τῶν
D κλεμμάτων ὄντα καὶ μισήσωσιν οἱ Ῥωμαῖοι καὶ διαφθείρωσι.
καὶ ἔσχεν οὕτως. ἱπποδρομία τις ἦν· μελλόντων δὲ τὸ ἕβδομον
τῶν ἵππων ἀγωνίσασθαι, πλῆθός τι παιδίων εἰς τὸν ἱππόδρομον
εἰσέδραμε, καὶ αὐτῶν παρθένος τις μεγάλη καὶ βλοσυρὰ ἡγεῖτο,
ἣν δαίμονα ἐκ τῶν μετὰ ταῦτα συμβάντων ἐνόμισαν γεγονέναι.
τά τε γὰρ παιδία συνεβόησαν πολλὰ καὶ δεινὰ, καὶ ὁ δῆμος πα-
ραλαβὼν αὐτὰ, οὐδὲν ὅ,τι οὐκ ἐξέκραγε, καὶ τέλος καταπηδή-
σας ὥρμησε πρὸς τὸν Κόμμοδον, ἐν τῷ Κυϊντιλίῳ ἀστείῳ ὄν-
260 τι πολλὰ μὲν ἐκείνῳ κἀγαθὰ ἐπευχόμενος, πολλὰ δὲ καὶ κατὰ τοῦ
A Κλεάνδρου καταρώμενος. καὶ ὃς στρατιώτας τινὰς ἐπ' αὐ-
τοὺς ἔπεμψε, καὶ ἔτρωσάν τινας καὶ ἀπέκτειναν· οὐ μέντοι καὶ ἀ-
νείρχθη διὰ τοῦτο ὁ δῆμος, ἀλλὰ τῷ τε πλήθει σφῶν καὶ τῇ τῶν
δορυφόρων ἰσχύϊ θαρρήσας ἔτι μᾶλλον ἐπεῖχον. πλησιαζόντων
δὲ αὐτῶν τῷ Κομμόδῳ, καὶ μηδενός οἱ μηνύοντος τὸ γιγνόμε-
νον, Μαρκία ἐκείνη ἡ τοῦ Κουαδράτου ἐσήγγειλε τὸ πραττόμε-
νον· καὶ ὁ Κόμμοδος οὕτως ἔδεισεν, ἄλλως τε καὶ δειλότατος ὤν,
ὥστε αὐτίκα καὶ τὸν Κλέανδρον καὶ τὸ παιδίον αὐτοῦ, ὃ καὶ ἐν ταῖς τοῦ
B Κομμόδου χερσὶν ἐτρέφετο, σφαγῆναι κελεῦσαι. καὶ τὸ μὲν

παιδίον προσουδίσθη καὶ διεφθάρη, τὸ δὲ τοῦ Κλεάνδρου σῶμα παραλαβόντες οἱ Ῥωμαῖοι ἔσυραν καὶ ᾐκίσαντο, καὶ τὴν κεφαλὴν αὐτοῦ διὰ πάσης τῆς πόλεως ἐπὶ τοῦ κοντοῦ περιήνεγκαν, καί τινας καὶ ἄλλους τῶν μέγα ἐπ' αὐτοῦ δυναμένων ἐφόνευσαν. Κόμμοδος δὲ ἀπὸ τῶν ἀθυμιῶν καὶ παιδιῶν ἀναπνεύσας, ἐφόνευε, καὶ τοὺς ἐπιφανεῖς ἄνδρας διεχρήσατο, ὧν ἦν καὶ Ἰουλιανὸς ὁ ἔπαρχος, ὃν καὶ δημοσίᾳ περιελάμβανέ τε καὶ κατεφίλει, καὶ πατέρα ὠνόμαζεν. Ἰούλιός τε Ἀλέξανδρος, ἐπεὶ μὲν ὡς καὶ λέοντα ἀπὸ τοῦ ἵππου κατακοντίσας, ὅστις ἐπειδὴ καὶ τοὺς σφαγέας παρόντας ᾔσθετο, ἐκείνους τε τῆς νυκτὸς ἐφόνευσε, καὶ τῶν Ἐμεσηνῶν, ὅθεν ἦν, τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ πάντας προσκατεχρήσατο. ποιήσας δὲ ταῦτα, ἵππον τε ἀνέβη, καὶ πρὸς τοὺς βαρβάρους ὥρμησε· κἂν ἐξέφυγεν, εἰ μὴ παιδικά τινα συνεπήγετο. αὐτὸς μὲν κράτιστα ἵππευε, τὸ δὲ μειράκιον καμὸν οὐχ ὑπέμεινε καταλιπεῖν, ἀλλ' ὡς κατελαμβάνετο, ἀπέκτεινε καὶ ἐκεῖνο καὶ ἑαυτόν. ἀνῃρέθη δὲ καὶ Διονύσιος πρὸς τοῦ Κομμόδου ὁ ἐπὶ τοῦ σίτου ταχθείς. γέγονε δὲ καὶ νόσος μεγάλη ὧν ἐγὼ οἶδα. δισχίλιοι γοῦν πολλάκις ἡμέρας μιᾶς ἐν τῇ Ῥώμῃ ἐτελεύτησαν, πολλοὶ δὲ καὶ ἄλλως οὐκ ἐν τῷ ἄστει μόνον, ἀλλὰ καὶ ἐν ὅλῃ ὡς εἰπεῖν τῇ ἀρχῇ ὑπ' ἀνδρῶν κακούργων ἀπέθανον. Βελόνας γὰρ μικρὰς δηλητηρίοις τισὶ φαρμάκοις ἐγχρίοντες, ἐνίεσαν δι' αὐτῶν ἐς ἑτέρους ἐπὶ μισθῷ τὸ δεινόν (ὅπερ που καὶ ἐπὶ τοῦ Δομιτιανοῦ ἐγεγόνει) καὶ οὗτοι μὲν ἐν οὐδενὶ λόγῳ ἀπώλλυντο· ἦν δὲ ἁπάντων νοσημάτων καὶ ἁπάντων κακουργημάτων χαλεπώτερος Ῥωμαίοις ὁ Κόμμοδος διά τε τἆλλα, καὶ ὅτι ἠναγκάζοντο ἃ τῷ πατρὶ αὐτοῦ κατ' 261
εὔνοιαν ἐψηφίζοντο, ταῦτ' ἐκείνῳ διὰ φόβον ἀπονέμειν ἐξ ἐπιτάγματος. Κομμοδιανὴν γοῦν τήν τε Ῥώμην αὐτὴν, καὶ τὰ στρατόπεδα Κομμοδιανά, τήν τε ἡμέραν, ἐν ᾗ ταῦτα ἐψηφίζετο, Κομμοδίαν καλεῖσθαι προσέταξεν. ἑαυτῷ δὲ ἄλλας τε παμπόλλας ἐπωνυμίας καὶ τὴν Ἡρακλέους ἀπέθετο. τὴν δὲ Ῥώμην ἀθάνατον, εὐτυχῆ, κολωνίαν, οἰκουμένην τῆς

γῆς (καὶ γὰρ ἄποικον αὐτὴν ἑαυτοῦ δοκεῖν ἐβούλετο) ἐπωνό-
B μασε. καὶ ἀνδριάς τε αὐτῷ χρυσοῦς χιλίων λιτρῶν μετά τε
ταύρου καὶ βοὸς θηλείας ἐγένετο, καὶ τέλος καὶ οἱ μῆνες ἀπ᾽
αὐτοῦ πάντες ἐπεκλήθησαν, ὥστε καταριθμεῖσθαι αὐτοὺς οὕ-
τως, Ἀμαζόνιος, Ἀνίκητος, Εὐτυχής, Εὐσεβής, Λούκιος, Αἴ-
λιος, Αὐρήλιος, Κόμμοδος, Αὔγουστος, Ἡράκλειος, Ῥωμαῖος,
Ὑπεραίρων. αὐτὸς μὲν γὰρ ἄλλοτε ἄλλα μετελάμβανε τῶν ὀνο-
μάτων, τὸν δ᾽ Ἀμαζόνιον καὶ τὸν Ὑπεραίροντα παγίως ἑαυτῷ
ἔθετο, ὡς καὶ ἐν πᾶσιν ἁπλῶς πάντας ἀνθρώπους καθ᾽ ὑπερβο-
λὴν νικῶν. οὕτω καθ᾽ ὑπερβολὴν ἐμεμήνει τὸ κάθαρμα, καὶ
τῇ βουλῇ οὕτως ἐπέστελλεν, Αὐτοκράτωρ, Καῖσαρ, Λούκιος, Αἴ-
C λιος, Αὐρήλιος, Κόμμοδος, Αὔγουστος, Εὐσεβής, Εὐτυχής,
Σαρματικός, Γερμανικός, Μέγιστος, Βρεττανικός, Εἰρηνοποιὸς
τῆς οἰκουμένης, Ἀνίκητος, Ῥωμαῖος, Ἡρακλῆς, Ἀρχιερεύς, Δη-
μαρχικῆς ἐξουσίας τὸ ὀκτωκαιδέκατον, Αὐτοκράτωρ τὸ ὄγδοον,
Ὕπατος τὸ ἕβδομον, Πατὴρ πατρίδος, ὑπάτοις, στρατηγοῖς, δη-
μάρχοις, γερουσίᾳ Κομμοδιανῇ εὐτυχεῖ, χαίρειν. καὶ ἀνδριάν-
τες αὐτοῦ παμπληθεῖς ἐν Ἡρακλέος σχήματι ἔστησαν. καὶ τὸν αἰῶ-
να τὸν ἐπ᾽ αὐτοῦ χρυσοῦν τε ὀνομάζεσθαι καὶ ἐς τὰ γράμματα
πάντα ὁμοίως ἐσγράφεσθαι ἐψηφίσθη. ὅπου οὖν ὁ χρυσοῦς, ὅπου
ὁ Ἡρακλῆς, ὅπου ὁ θεός (καὶ γὰρ τοῦτ᾽ ἤκουεν) ἐξαίφνης ποτὲ μετὰ
D μεσημβρίαν ἐκ τοῦ προαστείου σπουδῇ ἐς τὴν Ῥώμην ἐλάσας,
τριάκοντα ἵππων ἁμίλλας ἐν δυσὶν ὥραις ἐποίησεν. ὅθεν οὐχ
ἥκιστα καὶ τὰ χρήματα αὐτὸν ἐπέλιπεν. ἦν μὲν γὰρ καὶ φιλό-
δωρος, καὶ πολλάκις τῷ δήμῳ κατ᾽ ἄνδρα δραχμὰς ἑκα-
τὸν καὶ τεσσαράκοντα ἔδωκεν· τὸ δὲ πλεῖστον εἰς ἐκεῖνα ἃ εἶπον
ἐδαπάνα. ὅθεν καὶ ἐγκλήματα καὶ γυναιξὶ καὶ ἀνδράσιν ἐπι-
φέρων, οὓς μὲν ἐφόνευσεν, οἷς δὲ τὴν σωτηρίαν τῆς οὐσίας αὐτῶν
ἐπίπρασκε. καὶ τέλος ἐν τοῖς γενεθλίοις τοῖς ἑαυτοῦ ἡμᾶς τε καὶ
262 γυναῖκας ἡμῶν καὶ τοὺς παῖδας δύο χρυσοῦς ἕκαστον, ὥσπερ
A. τινὰ ἀπαρχήν, ἐκέλευσεν οἱ ἀποφέρειν. τούς τε ἐν ταῖς ἄλλαις

ἁπάσαις πόλεσι βουλευταὶ, καὶ τὰς πέντε δραχμάς. * καὶ
ἐν μὲν τῷ δημοσίῳ οὐδαμόθεν ἅρματα ἤλασε, πλὴν εἰ μὴ
που ἐν ἀσελήνῳ νυκτί· ἐπιθυμήσας μὲν καὶ δημοσίᾳ ἁρμα-
τηλατεῖν, αἰσχυνθεὶς δὲ καὶ ὀφθῆναι τοῦτο ποιῶν, οἴκοι συνε-
χῶς δ' ἔπραττε τῇ πρασίνῳ σκευῇ χρώμενος. θηρία μέντοι
πολλὰ μὲν οἴκοι ἀπέσφαξε, πολλὰ δὲ καὶ ἐν τῷ δημοσίῳ. καὶ μέν-
τοι καὶ ἐμονομάχει οἴκοι μὲν, ὡς καὶ φονεύειν τινά· ἐν ξυρῷ τῶν ἑ-
τέρων, οἷς καὶ τὰς τρίχας ἀφαιρῶν, παρέτεμνε τῶν μὲν ῥῖνα, B
τῶν δὲ οὖς, τῶν δ' ἄλλο τι. ἐν δὲ τῷ κοινῷ ἄνευ σιδήρου καὶ ἄνευ
αἵματος ἀνθρωπίνου, ἐνέδυνε, πρὶν μὲν εἰς τὸ θέατρον εἰσιέναι,
χιτῶνα χειριδωτὸν σηρικὸν, λευκὸν καὶ χρυσοῦν, * καὶ ἐν τούτῳ
τε αὐτὸν τῷ σχήματι ὄντα ἠσπαζόμεθα. ἐσιὼν δὲ, ὁλοπόρφυρον
χρυσῷ καταπαστον, χλαμύδα τε ὁμοίαν τὸν Ἑλληνικὸν τρόπον
λαμβάνων, καὶ στέφανον ἔκ τε λίθων Ἰνδικῶν καὶ ἐκ χρυσοῦ πε-
ποιημένον, κηρύκειόν τε τοιοῦτον φέρων ὁποῖον ὁ Ἑρμῆς. ἡ γὰρ
λεοντῆ τό, τε ῥόπαλον ἔν τε ταῖς ὁδοῖς προεφέρετο αὐτοῦ, καὶ ἐν
τοῖς θεάτροις ἐπὶ δίφρου ἐπιχρύσου, εἴτε παρείη, εἴτε καὶ ἀπείη, C
ἐτίθετο. αὐτὸς δὲ ἐν τῷ τοῦ Ἑρμοῦ σχήματι εἰσῄει τε ἐς τὸ θέατρον,
καὶ ἀπορρίψας τὰ ἄλλα, οὕτως ἐν τῷ χιτῶνι ἀνυπόδετος ἔργου
εἴχετο. καὶ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ ἄρκτους τε ἑκατὸν αὐτὸς μό-
νον ἄνωθεν ἀπὸ τῆς περιβολῆς τῆς κρηπῖδος ἀκοντίζων, ἀπέ-
κτεινε. διείληπτο γὰρ τὸ θέατρον πᾶν συμπήκτοις τισὶ διαμέ-
τροις, τήν τε στέγην περιδρόμοις ἔχουσι, καὶ δίχα τέμνουσιν ἀλλή-
λας, ἵν' ἐξ ὀλίγου πανταχόθεν τῇ διχῇ τὰ θηρία μεμερισμέ-
να, ῥᾷον ἀκοντίζηται. καὶ ἔπιεν ἐν μέσῃ τῇ ἀγωνίᾳ καμὼν, κύ- D
λικι ῥοπαλωτῇ παρὰ γυναικὸς γλυκὺν οἶνον ἐψυγμένον λα-
βὼν, ἀμυστί· ἐφ' ᾧ καὶ ὁ δῆμος καὶ ἡμεῖς παραχρῆμα πάν-
τες τοῦτο δὴ τὸ ἐν τοῖς συμποσίοις εἰωθὸς λέγεσθαι ἐξεβοήσαμεν,
Ζήσειας. καὶ μή μού τις κηλιδοῦν τὸν τῆς ἱστορίας ὄγκον, ὅτι καὶ
τὰ τοιαῦτα συγγράφω, νομίσῃ. ἄλλως μὲν γὰρ οὐκ ἂν εἶπον αὐτά·
ἐπειδὴ δὲ πρός τε τοῦ αὐτοκράτορος ἐγένετο, καὶ παρὼν αὐτὸς

ἐγὼ καὶ εἶδον ἕκαστα καὶ ἤκουσα καὶ ἐλάλησα, δίκαιον ἡγησά-
μην μηδὲν αὐτῶν ἀποκρύψασθαι, ἀλλὰ καὶ αὐτὰ, ὥσπερ τι
263 ἄλλο τῶν μεγίστων καὶ ἀναγκαιοτάτων, τῇ μνήμῃ τῶν εἰς ἔπειτα ἐ-
A σομένων παραδοῦναι. καὶ μέντοι καὶ τἆλλα πάντα τὰ ἐπ' ἐμοῦ
πραχθέντα καὶ λεπτουργήσω καὶ λεπτολογήσω μᾶλλον ἢ τὰ
πρότερα, ὅτι τε συνεγενόμην αὐτοῖς, καὶ ὅτι μηδένα ἄλλον
οἶδα τῶν τι δυναμένων ἐς συγγραφὴν ἄξιον λόγου καταθέ-
σθαι, διηκριβωκότα αὐτὰ ὁμοίως ἐμοί. ἐν μὲν οὖν τῇ πρώτῃ
ἡμέρᾳ ταῦτ' ἐγένετο· ἐν δὲ ταῖς ἄλλαις ἐπὶ μὲν βοτὰ, κάτω ἐς
τὸ τοῦ κύκλου ἔδαφος καταβαίνων, ἄνωθεν ὅσα ἐπλησίαζε, τὰ
δὲ καὶ προσαγόμενα, ἢ καὶ ἐν δικτύοις αὐτῷ προσφερόμενα κα-
B τέκοπτε, καὶ τίγριν ἔσφαξεν, ἵππον τε ποτάμιον καὶ ἐλέφαντα.
πράξας δὲ ταῦτα ἀπηλλάττετο· καὶ μετὰ τοῦτο ἐξ ἀρίστου ἐμονο-
μάχει. ἤσκει δὲ καὶ ἐχρῆτο τῇ ὁπλίσει τῇ τοῦ σεκούτορος καλου-
μένου, τὴν μὲν ἀσπίδα ἐν τῇ δεξιᾷ, τὸ δὲ ξίφος τὸ ξύλινον ἐν
τῇ ἀριστερᾷ ἔχων. καὶ πάνυ γε ἐπὶ τούτῳ μέγα ἐφρόνει ὅτι
ἦν ἐπαρίστερος. ἀντηγωνίζετο δὲ αὐτῷ γυμναστής τις, ἢ καὶ μο-
νομάχος, νάρθηκα ἔχων, ἔστι μὲν ὅτε ὃν αὐτὸς προσεκαλεῖτο,
ἔστι δὲ ὅτε ὃν ὁ δῆμος ᾑρεῖτο. καὶ γὰρ τοῦτο καὶ τἆλλα ἐξ ἴσου τοῖς
C ἄλλοις μονομάχοις ἐποίει, πλὴν καθ' ὅσον ἐκεῖνοι μὲν ὀλίγον
τι λαμβάνοντες ἐσίασι, τῷ δὲ δὴ Κομμόδῳ πέντε καὶ εἴκοσι
μυριάδες καθ' ἑκάστην ἡμέραν ἐκ τῶν μονομαχικῶν χρημάτων
ἐδίδοντο. παρειστήκεσαν δὲ αὐτῷ μαχομένῳ Αἰμίλιός τε Λαῖ-
τος ὁ ἔπαρχος καὶ Ἔκλεκτος ὁ πρόκοιτος· καὶ σκιαμαχή-
σας καὶ νικήσας δηλονότι ἐφίλει ὥσπερ εἶχε διὰ τοῦ κράνους.
καὶ μετὰ τοῦτο καὶ οἱ ἄλλοι ἐμάχοντο, καὶ τῇ γε πρώτῃ ἡμέρᾳ
αὐτὸς πάντας σφᾶς κάτωθεν τό, τε τοῦ Ἑρμοῦ σχῆμα πᾶν μετ'
ἐπιχρύσου ῥάβδου λαβὼν, καὶ ἐπὶ βῆμα ὅμοιον ἀναβὰς
D συνέβαλεν. ὅπερ που καὶ ἐν τέρατος λόγῳ ἔχοιμεν. καὶ μετὰ τοῦτο
ἐπί τι τὴν συνήθη ἕδραν ἀνήει, καὶ ἐκεῖθεν τὰ λοιπὰ μεθ' ἡ-
μῶν ἐθεώρει, ἐτράπετο δ' οὐδὲν ἔτι παιδιᾶς ἐχόμενον, ἀλλ'

ὥστε πάνυ πολλοὺς ἀποθνήσκειν. καὶ δή ποτε βραδυνάντων
περὶ τὰς σφαγὰς, τούς τε αἰχμαλώτους συνέδησεν ἀλλήλοις, καὶ
πάντας ἅμα μάχεσθαι ἐκέλευσε. κἀκ τούτου ἠγωνίσαντο μὲν εἷς
πρὸς ἕνα οἱ συνδεδεμένοι, ἔσφαξαν δέ τινες καὶ τοὺς οὐδὲν
προσήκοντας σφίσιν, ὑπό τε τοῦ ὄχλου καὶ τῆς στενοχωρίας ἐμ-
πλασθέντες αὐτοῖς. τοιαύτη μέντοι σύμπασα ἡ θέα ἐκείνη τέσ- 264
σαρσι καὶ δέκα ἡμέραις ἐγένετο. ἀγωνιζομένου δ' αὐτοῦ, ἡμεῖς A
μὲν οἱ βουλευταὶ ἀεὶ μετὰ τῶν ἱππέων συνεφοιτῶμεν χωρὶς, ἢ
ὅτι Πομπηϊανὸς Κλαύδιος ὁ γέρων οὐκ ἔστιν ὅτε ἀπήντησεν,
ἀλλὰ τοὺς μὲν υἱεῖς ἔπεμπεν, αὐτὸς δὲ οὐδέ ποτε ἀφίκετο, αἱρού-
μενος ἀποσφαγῆναι ἐπὶ τούτῳ μᾶλλον, ἢ τὸν αὐτοκράτορα
τὸν τοῦ Μάρκου παῖδα ἐπιδεῖν τοιαῦτα ποιοῦντα. πρὸς
γὰρ τοῖς ἄλλοις καὶ ἐπιβοῶμεν τά τε ἄλλα ὅσα ἐκελευόμεθα,
καὶ αὐτὸ τοῦτο συνεχῶς, Καὶ κύριος εἶ, καὶ πρῶτος εἶ, καὶ
πάντων εὐτυχέστατος. νικᾷς, νικήσεις ἀπ' αἰῶνος, Ἀμαζόνιε
νικᾷς. τοῦ δὲ δὴ λοιποῦ δήμου πολλοὶ μὲν οὐδὲ ἐσῆλθον ἐς τὸ B
θέατρον, εἰσὶ δ' οἳ παρακύψαντες ἀπηλλάττοντο, τὸ μέν τι αἰ-
σχυνόμενοι τοῖς ποιουμένοις, τὸ δὲ καὶ δεδιότες· ἐπειδὴ λόγος
διῆλθεν ὅτι τοξεῦσαί τινας ἐθελήσει, ὥσπερ ὁ Ἡρακλῆς τὰς
Στυμφαλίδας. καὶ ἐπιστεύθη γε οὗτος ὁ λόγος, ἐπειδή ποτε πάν-
τας τοὺς τῶν ποδῶν ἐν τῇ πόλει ὑπὸ νόσου ἢ ἑτέρας τινὸς συμ-
φορᾶς ἐστερημένους ἀθροίσας, δρακόντων τέ τινα αὐτοῖς εἴδη
περὶ τὰ γόνατα περιέπλεξε, καὶ σπόγγους ἀντὶ λίθων βάλλειν
δοὺς, ἀπέκτεινε σφᾶς ῥοπάλῳ παίων ὡς γίγαντας. οὗτος ὁ φό-
βος πᾶσι κοινὸς καὶ ἡμῖν καὶ τοῖς ἄλλοις ἦν. ἔπραξε δὲ καὶ ἕτε- C
ρον τοιόνδε πρὸς ἡμᾶς τοὺς βουλευτὰς, ἐξ οὗ οὐχ ἥκιστα ἀπο-
λεῖσθαι προσεδοκήσαμεν. στρουθὸν γὰρ ἀποκτείνας καὶ τὴν κεφαλὴν
αὐτοῦ ἀποτεμὼν, προσῆλθεν ἔνθα ἐκαθήμεθα, τῇ τε ἀριστερᾷ
χειρὶ ἐκείνην καὶ τῇ δεξιᾷ τὸ ξίφος ᾑματωμένον ἀνατείνας·
καὶ εἶπε μὲν οὐδὲν, τὴν δὲ κεφαλὴν τὴν ἑαυτοῦ σεσηρὼς ἐκί-
νησεν, ἐνδεικνύμενος ὅτι καὶ ἡμᾶς τὸ αὐτὸ τοῦτο δράσει. κἂν

συχνοὶ παραχρῆμα ἐπ' αὐτῷ γελάσαντες ἀπηλλάγησαν τῷ
ξίφει,(γέλως γὰρ ἡμᾶς ἀλλ' οὐ λύπη ἔλαβεν) εἰ μὴ δάφνης
D φύλλα, ἃ ἐκ τοῦ στεφάνου εἶχον, αὐτός τε διέφαγον, καὶ τοὺς ἄλ-
λους τοὺς πλησίον μου καθημένους διαφαγεῖν ἔπεισα, ἵν' ἐν τῇ
τοῦ στόματος συνεχεῖ κινήσει, τὸν τοῦ γελᾶν ἔλεγχον ἀποκρυψώ-
μεθα. τοιούτων δ' οὖν τούτων γινομένων, παρεμυθήσατο ἡ-
μᾶς, ὅτι μέλλων αὖθις μονομαχῆσαι, παρήγγειλεν ἡμῖν ὅν
τι τῇ στολῇ τῇ ἱππάδι καὶ ἐν ταῖς μανδύαις εἰς τὸ θέατρον
εἰσελθεῖν· ὅπερ οὐκ ἄλλως ποιοῦμεν εἰσιόντες εἰς τὸ θέατρον
εἰ μὴ τῶν αὐτοκρατόρων τις μεταλλάξειε· καὶ ὅτι ἐν τῇ τελευ-
265 ταίᾳ ἡμέρᾳ τὸ κράνος αὐτοῦ κατὰ τὰς πύλας καθ' ἃς οἱ τε-
A λευτῶντες ἐκφέρονται, ἐξεκομίσθη. ἐκ γὰρ τούτων καὶ πάνυ πᾶ-
σι πάντως ἀπαλλαγή τις αὐτοῦ γενήσεσθαι ἐνομίζετο. ἀπέθα-
νε γέ τοι, μᾶλλον δὲ ἀνῃρέθη οὐκ ἐς μακράν. ὅ τε γὰρ Λαῖτος καὶ ὁ
Ἐκλεκτος ἀχθόμενοι αὐτῷ δι' ἃ ἐποίει, καὶ προσέτι καὶ φοβη-
θέντες (ἠπείλει γὰρ σφίσιν ὅτι ἐκωλύετο ταῦτα ποιεῖν) ἐπιβου-
λεύουσιν αὐτῷ. ὁ γὰρ Κόμμοδος ἀμφοτέρους ἀνελεῖν ἐβούλετο
τοὺς ὑπάτους, Ἐρύκιόν τε Κλάρον καὶ Σύσιον Φλάκον, καὶ ὕ-
πατός τε ἅμα καὶ σεκούτωρ ἐν τῇ νουμηνίᾳ ἐκ τοῦ χωρίου
B ἐν ᾧ οἱ μονομάχοι τρέφονται, προελθεῖν. καὶ γὰρ τὸν οἶκον τὸν
πρῶτον παρ' αὐτοῖς, ὡς καὶ εἷς ἐξ αὐτῶν ἄν, εἶχε. καὶ μηδεὶς
ἀπιστήσῃ· καὶ γὰρ τοῦ κολοσσοῦ τὴν κεφαλὴν ἀποτεμών, καὶ ἑτέ-
ραν ἑαυτοῦ ἀντιθείς, καὶ ῥόπαλον δούς, λέοντά τε τινὰ χαλκοῦν
ὑποθείς, ὡς Ἡρακλεῖ ἐοικέναι, ἐπέγραψε πρὸς τοῖς δηλωθεῖ-
σιν αὐτοῦ ἐπωνύμοις καὶ τοῦτο, Πρωτόπαλος σεκουτόρων, ἀρι-
στερὸς μόνος νικήσας δωδεκάκις οἶμαι χιλίους. διὰ μὲν δὴ
ταῦτα ὅ, τε Λαῖτος καὶ ὁ Ἐκλεκτος ἐπέθεντο αὐτῷ, κοινωσάμενοι
καὶ τῇ Μαρκίᾳ τὸ βούλευμα. ἐν γοῦν τῇ τελευταίᾳ τοῦ ἔτους ἡ-
C μέρᾳ, ἐν τῇ νυκτί, τῶν ἀνθρώπων ἀσχολίαν περὶ τὴν ἑορτὴν ἐ-
χόντων, φάρμακον διὰ τῆς Μαρκίας ἐν κρέασι βοείοις αὐτῷ ἔ-
δωκαν. ἐπεὶ δ' οὐκ ἠδυνήθη παραχρῆμα ὑπὸ τοῦ οἴνου, ὑπὸ

τι τῶν ἀνδρῶν οἷς ἀεὶ ἀπλήστως ἐχρῆτο, φθαρῆναι, ἀλλὰ καὶ ἐξήμεσέ τι, κἀκ τούτου ὑποτοπήσας αὐτὸν, ἠπείλης τινὰ, οὕτω δὴ Νάρκισσόν τινα γυμναστὴν ἔπεμψαν αὐτῷ, καὶ δι' ἐκείνου λουόμενον αὐτὸν ἀπέπνιξαν. τῷ μὲν οὖν Κομμόδῳ τοῦτο τὸ τέλος ἐγένετο, ἔτη δώδεκα, καὶ μῆνας ἐννέα καὶ ἡμέρας τεσσαρεσκαίδεκα ἄρξαντι. ἐβίωσε δὲ ἔτη τριάκοντα ἕν, καὶ μῆνας τέσσαρας· καὶ ἐς αὐτὸν ἡ οἰκία ἡ τῶν ὡς ἀληθῶς Αὐρηλίων αὐταρχοῦσα ἐπαύσατο. πόλεμοι δὲ μετὰ τοῦτο καὶ στάσεις μέγισται D
συνέβησαν. συνέθηκα δ' ἐγὼ τούτων τὴν συγγραφὴν ἐξ αἰτίας τοιᾶσδε. βιβλίον τι περὶ τῶν ὀνειράτων καὶ τῶν σημείων, δι' ὧν ὁ Σεβῆρος τὴν αὐτοκράτορα ἀρχὴν ἤλπισε, γράψας ἐδημοσίευσα· καὶ αὐτῷ καὶ ἐκεῖνος πεμφθέντι παρ' ἐμοῦ ἐντυχὼν, πολλά μοι καὶ καλὰ ἀντεπέστειλε. ταῦτ' οὖν ἐγὼ τὰ γράμματα πρὸς ἑσπέραν ἤδη λαβὼν, κατέδαρθον· καί μοι καθεύδοντι προσέταξε τὸ δαιμόνιον ἱστορίαν γράφειν, καὶ οὕτω δὴ ταῦτα περὶ ὧν νῦν καθίσταμαι, ἔγραψα. καὶ ἐπειδή γε τοῖς τε 266
ἄλλοις καὶ αὐτῷ τῷ Σεβήρῳ μάλιστα ἤρεσε, τότε δὴ καὶ τἆλλα A
πάντα τὰ τοῖς Ῥωμαίοις προσήκοντα συνθεῖναι ἐπεθύμησα· καὶ διὰ τοῦτο οὐκ ἔτ' ἰδίᾳ ἐκεῖνο ὑπολιπεῖν, ἀλλ' εἰς τήνδε τὴν συγγραφὴν ἐμβαλεῖν ἔδοξέ μοι, ἵν' ἐν μιᾷ πραγματείᾳ ἀπ' ἀρχῆς πάντα, μέχρις ἂν καὶ τύχῃ δόξῃ, γράψας καταλίπω. τὴν δὲ θεὸν ταύτην ἐπιρρωννύουσάν με πρὸς τὴν ἱστορίαν, ὀκλαζ' ὡς πρὸς αὐτὴν καὶ ὀκνηρῶς διακείμενον, καὶ πονούμενον ἀπαγορεύοντά τε, ἀνακτωμένην δι' ὀνειράτων, καὶ καλὰς ἐλπίδας περὶ τοῦ μέλλοντος χρόνου διδοῦσάν μοι, ὡς ὑπολειψόμενος τὴν ἱστορίαν, καὶ οὐδαμῶς ἀμαυρώσοντος, ἐπίσκοπον τῆς τοῦ βίου διαγωγῆς, ὡς ἔοικεν, εἴληχα, καὶ διὰ τοῦτο αὐτῇ ἀνάκειμαι. συνέλεξα δὲ πάντα ἀπ' ἀρχῆς B
τοῖς Ῥωμαίοις μέχρι τῆς Σεβήρου μεταλλαγῆς πραχθέντα ἐν ἔτεσι δέκα, καὶ συνέγραψα ἐν ἄλλοις δώδεκα. τὰ γὰρ λοιπὰ, ὅπου ἂν καὶ προχωρήσῃ, γεγράψεται. πρὸ δὲ τῆς τοῦ

Κομμόδου τελευτῆς σημεῖα τάδε ἐγένετο· ἀετοί τε γὰρ περὶ τὸ Καπιτώλιον πολλοὶ καὶ ἔξεδροι ἐπλανῶντο, προσεπιφθεγγόμενοι οὐδὲν εἰρηναῖον, καὶ βύας ἀπ' αὐτοῦ ἔβυξε. πῦρ
C τε νύκτωρ ἀρθὲν ἐξ οἰκίας τινὸς, καὶ εἰς τὸ εἰρηναῖον ἐμπεσὸν, τὰς ἀποθήκας τῶν τε Αἰγυπτίων καὶ τῶν Ἀῤῥαβίων φορτίων ἐπενείματο. ἔς τε τὸ παλάτιον μετεωρισθὲν εἰσῆλθε, καὶ πολλὰ πάνυ αὐτοῦ κατέκαυσεν. ὥστε καὶ τὰ γράμματα τὰ τῇ ἀρχῇ προσήκοντα ὀλίγου δεῖν πάντα φθαρῆναι. ἀφ' οὗ δὴ καὶ τὰ μάλιστα δῆλον ἐγένετο ὅτι οὐκ ἐν τῇ πόλει τὸ δεινὸν στήσεται, ἀλλὰ καὶ ἐπὶ πᾶσαν τὴν οἰκουμένην αὐτῆς ἀφίξεται. οὐδὲ γὰρ κατασβεσθῆναι ἀνθρωπίνῃ χειρὶ ἠδυνήθη, καίτοι παμπόλλων μὲν ἰδιωτῶν, παμπόλλων δὲ στρατιωτῶν ὑδροφο-
D ρούντων, καὶ αὐτοῦ τοῦ Κομμόδου ἐπελθόντος ἐκ τοῦ προαστείου καὶ ἐπισπέρχοντος. ἀλλ' ἐπειδὴ πάντα ὅσα κατέσχε διέφθειρεν, ἐξαναλωθὲν ἐπαύσατο.

ΠΕΡΤΙΝΑΞ.

267
A ΠΕΡΤΙΝΑΞ δὲ ἦν μὲν τῶν καλῶν κἀγαθῶν, ἦρξε δὲ πάνυ βραχύν τινα χρόνον. εἶτα πρὸς τῶν στρατιωτῶν ἀνῃρέθη. λανθανόντων γὰρ ἔτι τῶν γεγενημένων περὶ τὸν Κόμμοδον, ἦλθον πρὸς αὐτὸν οἱ περὶ τὸν
B Ἔκλεκτον καὶ Λαῖτον, καὶ τὸ πραχθὲν ἐμήνυσαν. διὰ γὰρ τὴν ἀρετὴν καὶ τὸ ἀξίωμα αὐτοῦ ἡδέως αὐτὸν ἐπελέξαντο. ἰδὼν δὲ αὐτοὺς ἐκεῖνος καὶ ἀκούσας ὧν ἔλεγον, ἔπεμψε τὸν πιστότατον τῶν ἑταίρων τὸ σῶμα τὸ τοῦ Κομμόδου ὀψόμενον. ὡς δὲ τὸ πραχθὲν ἐβεβαιώσατο, οὕτω δὴ ἐς τὸ στρατόπεδον κρύφα ἐσκομίσθη, καὶ ἔκπληξιν μὲν τοῖς στρατιώταις παρέσχε, τοῖς δὲ

δὴ παρουσίᾳ τῶν περὶ τὸν Λαῖτον, καὶ ἐξ ὧν ὑπέσχετο (τετρακισχι-
λίας γὰρ αὐτοῖς δραχμὰς κατ' ἄνδρα δώσειν ἐψηφίσατο)
προσεποιήσατο αὐτούς. κἂν πάντως ἡσύχασαν εἰ μὴ τε-
λευτὴν τὴν τῶν λόγων ὧδέ πως εἶπε, Πολλὰ μὲν, ὦ ἄνδρες
συστρατιῶται, καὶ δυσχερῆ τῶν παρόντων ἐστὶν, ἀλλὰ τὰ μὲν C
ἄλλα αὖθις σὺν ὑμῖν ἐπανορθωθήσεται. ἀκούσαντες γὰρ τοῦτο,
ὑπετόπησαν πάντα τὰ ἑαυτοῖς ὑπὸ τοῦ Κομμόδου παρὰ
τὸ καθεστηκὸς δεδομένα καταλυθήσεσθαι· καὶ ἐδυσχέραναν
μὲν, ἡσύχασαν δὲ ὅμως, ἐπικρύπτοντες τὴν ὀργήν. ἐξελ-
θὼν δὲ ἐκ τοῦ τείχους, πρὸς τὸ συνέδριον νυκτὸς ἔτι οὔσης ἀ-
φίκετο, καὶ ἀσπασάμενος ἡμᾶς, ὅπως τις οἷα ἐν ὁμίλῳ καὶ
ὠθισμῷ τοσούτῳ προσελθεῖν αὐτῷ ἠδυνήθη, ἔπειτα ἐκ τοῦ
αὐτοσχεδίου εἶπεν ὅτι Ὠνόμασμαι μὲν ὑπὸ τῶν στρατιωτῶν
αὐτοκράτωρ, οὐδὲν μέντοι τῆς ἀρχῆς δέομαι, ἀλλ' ἐξίσταμαι D
ἤδη καὶ τήμερον αὐτῆς διά τε τὴν ἐμαυτοῦ ἡλικίαν καὶ ἀρ-
ρωστίαν, καὶ διὰ τὴν τῶν πραγμάτων δυσχέρειαν. λεχθέντων
δὲ, καὶ ἐπῃνοῦμεν αὐτὸν ἀπὸ γνώμης, καὶ ὡς ἀληθῶς ᾑρού-
μεθα. τήν τε γὰρ ψυχὴν ἄριστος ἦν, καὶ τῷ σώματι ἔρρωτο,
πλὴν καθ' ὅσον βραχύ τι ὑπὸ τῶν ποδῶν ἐνεποδίζετο. καὶ οὕ-
τως ὅ,τι Περτίναξ αὐτοκράτωρ, καὶ ὁ Κόμμοδος πολέμιος
ἀπεδείχθη, πολλά γε ἐς αὐτὸν καὶ δεινὰ καὶ τῆς βουλῆς καὶ τοῦ
δήμου συμβοησάντων. ἠθέλησαν μὲν γὰρ καὶ τὸ σῶμα αὐτοῦ σύραι
καὶ διασπάσαι, ὥσπερ καὶ τὰς εἰκόνας· εἰπόντος δὲ τοῦ Περτίνα- 268
κος τῇ γῇ ἤδη τὸν νεκρὸν κεκρύφθαι, τοῦ μὲν σώματος ἀπέσχον- A
το, τῶν δ' ἄλλων ἐνεφοροῦντο, οὐδὲν ὅ,τι οὐκ ἐπιλέγοντες.
Κόμμοδον μὲν γὰρ οὐδεὶς οὐδ' αὐτοκράτορα αὐτὸν ὠνόμαζεν,
ἀλιτήριον δέ τινα καὶ τύραννον ἀποκαλοῦντες, προσεπιτιθέντες καὶ
ἐπισκώπτοντες, τὸν μονομάχον, τὸν ἁρματηλάτην, τὸν ἀριστερὸν,
τὸν κηλήτην. τοῖς τε βουλευταῖς, ὅσοις μάλιστα καὶ ἐκ τοῦ
Κομμόδου φόβος ἐπῆρτο, ὁ ὄχλος ἐπέλεγεν, Ἄγε, ἄγε, ἐ-
σώθης, ἐνίκησας. ὅσα τε εἰώθεσαν ἐν τοῖς θεάτροις ἐπὶ τῇ τοῦ

Κομμόδου θεραπείᾳ ἀρύθμως πως ἐκβεβαιῶν, ἔστι τε ὅτε με-
B τασχηματίζοντες ἐς τὸ γελοιότατον ἐξῇδον. τοῦ μὲν γὰρ ἀπηλ-
λαγμένοι, τὸν δὲ οὐδέπω φοβούμενοι, τότε διὰ μέσου αὐτῶν
ὡς ἐλεύθεροι ἐκαρπιοῦντο, καὶ ἀξίωμα παρρησίας ἐν τῇ ἀδείᾳ
αὐτοῦ ἐλάμβανον. οὐ γὰρ ἐξήρκει σφίσι τὸ μηκέτι φοβεῖσθαι, ἀλλ'
ἐν τῷ θαρσοῦντι καὶ ἐξυβρίζειν ἤθελον. ἦν δὲ ὁ Περτίναξ
Λίγυς ἐξ Ἄλβης Πομπηΐας, πατρὸς οὐκ εὐγενοῦς, γράμματα,
ὅσον ἀποζῆν ἐξ αὐτῶν, ἠσκημένος. κατὰ τοῦτο καὶ τῷ Πομπηϊα-
νῷ τῷ Κλαυδίῳ συνεγεγόνει, καὶ κατ' αὐτὸν ἐν τοῖς ἱππεῦσι χι-
C λιαρχήσας, ἐς τοῦτο προεχώρησεν ὥστε καὶ ἐκείνου αὐτοῦ αὐ-
ταρχῆσαι. καὶ ἔγωγε τὸν ἐπὶ τοῦ Περτίνακος καὶ πρῶτον καὶ ἔ-
σχατον τὸν Πομπηϊανὸν εἶδον. ἐν γὰρ τοῖς ἀγροῖς τὰ πλεῖστα διὰ τὸν
Κόμμοδον διῆγε, τό, τε γῆρας καὶ τὸ τῶν ὀφθαλμῶν νόσημα
προβαλλόμενος. καὶ μέντοι καὶ μετὰ τὸν Περτίνακα πάλιν ἐσῄει,
καὶ αὐτὸν ὁ Περτίναξ τά τε ἄλλα ἰσχυρῶς ἐτίμα, καὶ ἐπὶ τοῦ βά-
θρου ἐπὶ τοῦ συνεδρίου παρεκάθιζεν. ἐχρῆτο δὲ καὶ ἡμῖν δη-
μοτικώτατα· καὶ γὰρ εὐπροσήγορος ἦν. ἤκουέ τε ἑτοίμως ὅ,τι
τις ἀξιοίη, καὶ ἀπεκρίνετο ἀνθρωπίνως ὅσα αὐτῷ δοκοίη. εἱστία
D τε ἡμᾶς σωφρόνως· καὶ ὁπότε μὴ τοῦτο ποιοίη, διέπεμπεν ἄλλοις
ἄλλα καὶ τὰ εὐτελέστατα. καὶ αὐτὸν ἐπὶ τούτῳ οἱ μὲν πλούσιοι
καὶ μεγάλαυχοι διεγέλων, οἱ δὲ ἄλλοι, οἷς ἀρετὴ ἀσελγείας
προτιμοτέρα ἦν, ἐπῃνοῦμεν. ἔτι δὲ ὄντος αὐτοῦ ἐν Βρεττανίᾳ,
μετὰ τὴν μεγάλην ἐκείνην στάσιν ἣν ἔπαυσε, καὶ ἐπαίνων παρὰ
πᾶσιν ἀξιουμένου, ἵππος τις ὄνομα Περτίναξ ἐνίκησεν ἐν τῇ
Ῥώμῃ· ἦν δὲ τῶν Γρασίων, καὶ ὑπὸ τοῦ Κομμόδου ἐσπουδά-
269 ζετο. τῶν οὖν στασιωτῶν αὐτοῦ μέγα ἀναβοησάντων, καὶ εἰ-
A πόντων τοῦτο, Περτίναξ ἐστίν, οἱ ἕτεροι οἱ ἀντιστασιασταὶ σφῶν,
οἷά που ἀχθόμενοι τῷ Κομμόδῳ, προσεπεύξαντο, εἰπόντες,
οὐ πρὸς τὸν ἵππον, ἀλλὰ πρὸς τὸν ἄνδρα, Εἰ γὰρ ὤφελεν
εἴη. ὕστερον δὲ τὸν αὐτὸν τοῦτον ἵππον ἀπαλλαγέντα τε τῶν
δρόμων ὑπὸ τοῦ γήρως, καὶ ἐν ἀγρῷ ὄντα μετεπέμψατο
ὁ Κόμμο-

ὁ Κόμμοδος, καὶ ἐσήγαγεν εἰς τὸν ἱππόδρομον, τάς τε ὁπλὰς
αὐτοῦ καταχρυσώσας, καὶ τὰ αἰώτατα δέρματι ἐπιχρύσῳ
κοσμήσας· καὶ αὐτὸν οἱ ἄνθρωποι ἐξαπίνης ἰδόντες, ἀνεβόη-
σαν αὖθις, Περτίναξ ἐστί. καὶ ἦν μέν που μαντικὸν αὐτὸ καθ' B
ἑαυτὸ τὸ λεχθέν, ἐπειδὴ ἡ ἐσχάτη ἐν τῷ ἔτει ἐκείνῳ ἱπποδρο-
μία ἐγένετο, καὶ εὐθὺς ἐπ' αὐτῇ τὸ κράτος ἐς τὸν Περτίνα-
κα περιῆλθεν. ἐλογοποιήθη δὲ καὶ ἐπὶ τοῦ ῥοπάλου τὰ ὅμοια,
ἐπειδὴ τῷ Περτίνακι αὐτὸ ὁ Κόμμοδος μονομαχήσειν τῇ τε-
λευταίᾳ ἡμέρᾳ μέλλων ἔδωκεν. οὕτω μὲν ἐς τὴν ἀρχὴν ὁ
Περτίναξ κατέστη, καὶ ἔλαβε τάς τε ἄλλας ἐπικλήσεις τὰς
προσηκούσας, καὶ ἑτέραν ἐπὶ τῷ δημοτικὸς εἶναι βούλεσθαι. πρό-
κριτος γὰρ τῆς γερουσίας κατὰ τὸ ἀρχαῖον ἐπωνομάσθη, καὶ εὐθὺς εἰς
κόσμον, ὅσα πρὶν πλημμελῶς εἶχε καὶ ἀτάκτως, καθίστατο. φι-
λανθρωπία τε γὰρ καὶ χρηστότης, καὶ οἰκονομία βελτίστη, καὶ πρόνοια C
τοῦ κοινοῦ ἐπιμελεστάτη περὶ τὸν αὐτοκράτορα διεδείκνυτο. τά
τε γὰρ ἄλλα, ὅσα ἂν ἀγαθὸς αὐτοκράτωρ, ἔπραττεν ὁ Περτί-
ναξ, καὶ τὴν ἀτιμίαν ἀφεῖλε τῶν ἀδίκως πεφονευμένων· καὶ προσέ-
τι καὶ ἐπώμοσε μηδέ ποτε τοιαύτην δίκην προσδέξεσθαι. καὶ
αὐτίκα οἱ μὲν τοὺς συγγενεῖς, οἱ δὲ τοὺς φίλους ἀνεκάλουν μετὰ
δακρύων ὁμοῦ καὶ χαρᾶς· οὐδὲ γὰρ οὐδὲ τοῦτο πρὶν ἐξῆν ποιεῖν.
καὶ μετὰ ταῦτα ἀνορύττοντες τὰ σώματα, οἱ μὲν ὁλόκληρα, οἱ δὲ
μέρη, ὥς που ἕκαστον αὐτῶν ὑπὸ τοῦ ὀλέθρου ἢ τοῦ χρόνου εἶχεν,
εὐθέτουν καὶ ἐς τὰ προγονικὰ μνημεῖα ἀπετίθεντο. τοσαύ- D
τη δὲ ἄρα τότε τὸ βασίλειον εἶχεν ἀχρηματία, ὥστε πέντε καὶ
εἴκοσι μυριάδες δραχμῶν μόναι εὑρέθησαν. χαλεπῶς δ'
οὖν ὁ Περτίναξ ἔκ τε τῶν εἰκόνων καὶ τῶν ὅπλων, τῶν τε ἵπ-
πων καὶ ἐπίπλων καὶ τῶν παιδικῶν τῶν τοῦ Κομμόδου ἀγεί-
ρας ἀργύριον, τοῖς τε δορυφόροις ἔδωκεν ὅσα ὑπέσχετο, καὶ
τῷ δήμῳ καθ' ἕκαστον δραχμὰς ρ̄. σύμπαντα γὰρ ὅσα ὁ Κόμ-
μοδος ἐπί τε τῇ τρυφῇ, καὶ ἐς ὁπλομαχίαν ἢ καὶ ἐς ἁρμα-
τηλασίαν ἐκέκτητο, ἐς τὸ πωλητήριον ἐξετέθη, τὸ μὲν πλεῖστον 270

πράσεως ἕνεκα, ἤδη δὲ καὶ ἐς ἐπίδειξιν τῶν τε ἔργων αὐτοῦ καὶ τῶν διαιτημάτων, καὶ προσέτι καὶ εἰς ἔλεγχον τῶν ὠνησαμένων αὐτά. ὁ δὲ Λαῖτος τὸν Περτίνακα δι' εὐφημίας ἦγε, καὶ τὸν Κόμμοδον ὕβριζε. βαρβάρους γοῦν τινὰς χρυσίον παρ' αὐτοῦ πολὺ ἐπ' εἰρήνῃ εἰληφότας μεταπεμψάμενος (ἔτι γὰρ ἐν ὁδῷ ἦσαν) ἀπῄτησεν αὐτό, εἰπὼν ὅτι λέγεται τοῖς οἴκοι Περτίνακα

B ἄρχειν· ᾔδεσαν γὰρ καὶ πάνυ τὸ ὄνομα αὐτοῦ, ἐξ ὧν πεπόνθεσαν ὅτε μετὰ τοῦ Μάρκου ἐστρατεύετο. καὶ ἕτερον δέ τι τοιόνδε ἐπὶ τῇ τοῦ Κομμόδου διαβολῇ ὁμοίως ἔπραξε. κοπρίας τινὰς καὶ γελωτοποιούς, αἴσχιστα μὲν τὰ εἴδη, αἰσχίω δὲ τὰ ὀνόματα καὶ τὰ ἐπιτηδεύματα ἔχοντας, καὶ διὰ τὴν ὕβριν τήν τε ἀσέλγειαν ὑπὸ τοῦ Κομμόδου ὑπερπλουτοῦντας εὑρών, ἐδημοσίευσε τάς τε προσηγορίας αὐτῶν καὶ τὸ πλῆθος ὧν ἐκέκτηντο. καὶ ἦν ἐπὶ μὲν τοῖς γέλως, ἐπὶ δὲ τοῖς ὀργὴ καὶ λύπη. τοσαῦτα

C γάρ τινες αὐτῶν ἔχοντες ἦσαν, ἐφ' ὅσοις ἐκεῖνος πολλοὺς τῶν βουλευτῶν ἐσφάκει. οὐ μέντοι γε καὶ διὰ ὅλου ὁ Λαῖτος πιστὸς ἔμεινε τῷ Περτίνακι, μᾶλλον δὲ οὐδ' ἐν ἀκαρεῖ. ὧν γὰρ ἤθελε μὴ τυγχάνων, προσπαρώξυνε τοὺς στρατιώτας (ὡς λελέξεται) κατ' αὐτοῦ. τὸν μὲν οὖν πενθερὸν αὐτοῦ ὁ Περτίναξ τὸν Σουλπικιανὸν τὸν Φλάκκον πολιαρχεῖν ἔταξε, καὶ ἄλλως ἄξιον ὄντα τοῦ τοῦτο τυχεῖν. οὔτε δὲ τὴν γυναῖκα αὐγοῦσταν, οὔτε τὸν υἱὸν καίσαρα, καίτοι ψηφισαμένων ἡμῶν, ποιῆσαι ἠθέλησεν, ἀλλ' ἑκάτερον ἰσχυρῶς διεκρούσατο, εἴτ' οὖν ὅτι μηδέ πω τὴν ἀρχὴν ἐρριζώκει, εἴτε καὶ ὅτι ἐκείνην τε ἀκολασταίνουσαν οὐκ ἠβουλήθη

D τὸ τῆς αὐγούστης ὄνομα μιᾶναι· καὶ τὸν υἱὸν παιδίον ἔτι ὄντα, οὐκ ἠθέλησε, πρὶν παιδευθῆναι, τῷ τε ὄγκῳ καὶ τῇ ἐλπίδι τῇ ἐκ τοῦ ὀνόματος διαφθαρῆναι· ἀλλ' οὐδ' ἐν τῷ παλατίῳ αὐτὸν ἔτρεφεν, ἀλλὰ καὶ πάντα τὰ ὑπάρχοντα αὐτῷ πρότερον ἐν τῇ πρώτῃ εὐθὺς ἡμέρᾳ ἀποθέμενος, ταῦτά τε τοῖς τέκνοις διένειμε (καὶ γὰρ καὶ θυγατέρα εἶχε) καὶ παρὰ τῷ πάππῳ διαιτᾶσθαι αὐτὰ ἐκέλευσεν, ὀλίγα ἅττα αὐτοῖς, ὡς πατὴρ καὶ

οὐχ ὡς αὐτοκράτωρ, συγγινόμενος. ἐπεὶ οὖν οὔτε τοῖς στρατιώ-
ταις ἁρπάζειν, οὔτε τοῖς καισαρείοις ἀσελγαίνειν ἔτι ἐξῆν, δει- 271
νῶς οὗτοι ἐμίσουν αὐτόν. ἀλλ' οἱ μὲν καισάρειοι οὐδὲν, ἅτε καὶ A
ἄπλοι ὄντες, ἐνεωτέριζον· οἱ δὲ δὴ στρατιῶται οἱ δορυφόροι καὶ ὁ
Λαῖτος ἐπεβούλευσαν αὐτῷ. καὶ πρῶτα μὲν τὸν ὕπατον Φάλ-
κωνα, ὅτι καὶ γένει καὶ χρήμασιν ἤκμαζεν, εἰς αὐτοκράτορα ἐπι-
λέγονται, καὶ ἐς τὸ στρατόπεδον αὐτὸν ἐσάξειν, τοῦ Περτίνακος
ἐπὶ τῇ θαλάσσῃ τὴν τοῦ σίτου παρασκευὴν ἐξετάζοντος, ἤ-
μελλον. μαθὼν δὲ τοῦτ' ἐκεῖνος, σπουδῇ ἐς τὴν πόλιν ἦλθε, καὶ
παρελθὼν εἰς τὴν γερουσίαν, ἔφη, Οὐ χρὴ ὑμᾶς ἀγνοεῖν, ὦ πα-
τέρες, ὅτι πέντε που καὶ εἴκοσι μυριάδας δραχμῶν εὑρὼν, B
τοσοῦτον τοῖς στρατιώταις διένειμα, ὥστε Μάρκος τε καὶ Λού-
κιος, οἷς ἑξακισμύριαι καὶ ἑπτακισχίλιαι καὶ πεντακόσιαι μυ-
ριάδες κατελείφθησαν. ἀλλ' αἴτιοι τῆς ἀχρηματίας ταύτης οἱ
θαυμαστοὶ καισάρειοι γεγόνασι. καὶ ἐψεύσατο μὲν ὁ Περτίναξ
ὅτι ἐπίσης τῷ Λουκίῳ καὶ τῷ Μάρκῳ τοῖς στρατιώταις ἐδω-
ρήσατο. ὁ μὲν γὰρ ἐς πεντακισχιλίας, ὁ δὲ ἐς τρισχιλίας αὐτοῖς ἐ-
δεδώκει. οἱ δὲ δὴ στρατιῶται καὶ οἱ καισάρειοι παρόντες ἐν τῷ
συνεδρίῳ (πάμπολλοι δὲ ἦσαν) δεινῶς ἠγανάκτησαν, καὶ φοβε-
ρόν τι διετονθόρυσαν. μελλόντων δὲ ἡμῶν καταψηφιεῖσθαι τοῦ
Φάλκωνος, ἀναστὰς ὁ Περτίναξ καὶ ἀνακραγὼν, Μὴ γένοιτο, C
ἔφη, μηδένα βουλευτὴν ἐμοῦ ἄρχοντος μηδὲ δικαίως θα-
νατωθῆναι. ὁ δὲ Λαῖτος παραλαβὼν τὴν κατὰ τὸν Φάλκω-
να ἀφορμὴν, πολλοὺς τῶν στρατιωτῶν, ὡς καὶ ἐκείνου κελεύοντος,
διέφθειρεν. οἱ δὲ λοιποὶ τοῦτο αἰσθόμενοι, καὶ φοβηθέντες μὴ καὶ αὐ-
τοὶ προσαπόλωνται, ἐθορύβησαν. διακόσιοι δὲ οἱ τῶν ἄλλων θρα-
σύτεροι, καὶ ἐς τὸ παλάτιον τὰ ξίφη ἀνατετακότες ὥρμησαν,
οὐδὲ ἔγνω πρότερον προσιόντας ὁ Περτίναξ αὐτοὺς πρὶν
ἄνω γενέσθαι. τότε δὲ ἡ γυνὴ αὐτοῦ εἰσδραμοῦσα ἐμήνυσεν αὐ- D
τῷ τὸ γενόμενον. μαθὼν οὖν ταῦτ' ἐκεῖνος, πρᾶγμα, εἴτ'
οὖν γενναῖον, εἴτε ἀνόητον, εἴθ' ὅπως τις αὐτὸ ὀνομάσαι ἐθέλει,

ἔπραξε. δυνηθεὶς γὰρ ἂν μάλιστα μὲν ἀποκτεῖναι τοὺς ἐπελθόν-
τας (τῇ τε γὰρ νυκτερινῇ φυλακῇ καὶ τοῖς ἱππεῦσιν ὥπλιστο, καὶ
ἦσαν καὶ ἄλλοι ἐν τῷ παλατίῳ τότε ἄνθρωποι πολλοί) εἰ δὲ μὴ,
κατακρυφθῆναί γε καὶ διαφυγεῖν ποι, τάς τε πύλας τοῦ παλα-
τίου καὶ τὰς ἄλλας διὰ μέσου θύρας κλείσας, τούτων μὲν οὐδέ-
τερον ἐποίησεν, ἐλπίσας δὲ καταπλήξειν αὐτοὺς ὀφθεὶς, καὶ πεί-
σειν ἀκουσθεὶς, ἀπήντησε τοῖς προσιοῦσιν, ἐν τῇ οἰκίᾳ ἤδη οὖ-
272 σιν. οὔτε γὰρ τῶν συστρατιωτῶν τις αὐτοὺς εἶρξε, καὶ οἱ πυλω-
A ροὶ οἵ τε ἄλλοι καισαρείοι οὐχ ὅπως τι συνέκλεισαν, ἀλλὰ καὶ
πάντα ἁπλῶς προσανέῳξαν. ἰδόντες δ' οὖν οἱ στρατιῶται, τὸ
μὲν πρῶτον ᾐδέσθησαν, πλὴν ἑνὸς, τούς τε ὀφθαλμοὺς καὶ ἐς
τὸ δάπεδον ἔρεισαν, καὶ τὰ ξίφη ἐς τοὺς κουλεοὺς ἀπετίθεντο·
ἐπεὶ δὲ ἐκεῖνος προπηδήσας, εἶπέ τε ὅτι Τοῦτό σοι τὸ ξίφος οἱ
στρατιῶται πεπόμφασι, καὶ προσπεσὼν εὐθὺς ἔπληξεν αὐ-
τὸν, οὐκ ἐπέσχον, ἀλλὰ τόν τε αὐτοκράτορα σφῶν κατέκοψαν, καὶ
B τὸν Ἔκλεκτον· μόνος γὰρ δὴ οὗτος οὔτ' ἐγκατέλιπεν αὐτὸν, καὶ ἐπή-
μυνεν αὐτῷ ὅσον ἠδυνήθη, ὥστε καὶ τρῶσαί τινας. ὅθεν ἐ-
γὼ καὶ πρὸ τοῦ ἄνδρα αὐτὸν ἀγαθὸν γεγονέναι νομίζων, τότε δὴ
καὶ πάνυ ἐθαύμασα. ἀποτεμόντες δὲ οἱ στρατιῶται τὴν κεφα-
λὴν τοῦ Περτίνακος, περί τε δόρυ περιέπειραν, τῷ ἔργῳ ἐλ-
λαμπρυνόμενοι. οὕτω μὲν ὁ Περτίναξ, ἐπιχειρήσας ἐν ὀλίγῳ
πάντα ἀνακαλέσασθαι, ἐτελεύτησεν, οὐδὲ ἔγνω, καίπερ ἐμ-
πειρότατος πραγμάτων ὢν, ὅτι ἀδύνατόν ἐστιν ἀθρόα τινὰ
ἀσφαλῶς ἐπανορθοῦσθαι, ἀλλ' εἴπερ τι ἄλλο, καὶ πολιτικὴ
κατάστασις καὶ χρόνου καὶ σοφίας χρήζει. ἐβίωσε δὲ ἔτη ἑ-
C πτὰ καὶ ἑξήκοντα, τεσσάρων μηνῶν καὶ τριῶν ἡμερῶν δέον-
τα. ἦρξε δὲ ἡμέρας ὀγδοήκοντα καὶ ἑπτά.

ΙΟΥΛΙΑΝΟΣ ΔΙΔΙΟΣ.

ΔΙΑΓΓΕΛΛΟΜΕΝΟΥ δὲ τοῦ κατὰ
τὸν Περτίνακα πάθους, οἱ μὲν ἐς τὰς οἰκίας
ἔτρεχον, οἱ δὲ ἐς τὰς τῶν στρατιωτῶν, καὶ τῆς
ἑαυτῶν ἀσφαλείας πρόνοιαν ἐποιοῦντο.
Συλπικιανὸς δὲ (ἔτυχε γὰρ παρὰ τοῦ Περτίνα-
κος ἀποσταλεὶς εἰς τὸ στρατόπεδον ἵνα τὰ ἐκεῖ καταστήσηται)
ἔμεινέ τε ἐν αὐτῷ καὶ ἔπραττεν ὅπως αὐτοκράτωρ ἀπο-
δειχθῇ. κἀν τούτῳ Ἰουλιανὸς ὁ Δίδιος χρηματιστής τε ἄπλη-
στος καὶ ἀναλωτὴς ἀσελγὴς, νεωτέρων τε ἀεὶ πραγμάτων ἐπι-
θυμῶν, διὸ καὶ πρὸς τοῦ Κομμόδου εἰς τὴν ἑαυτοῦ πατρίδα τὸ D
Μεδιόλανον ἐξελήλατο· οὗτος οὖν ἀκούσας τὸν θάνατον τοῦ Περ-
τίνακος, σπουδῇ ἐς τὸ στρατόπεδον παρεγένετο, καὶ πρὸς ταῖς
πύλαις τοῦ τείχους ἑστὼς, παρεκάλει τοὺς στρατιώτας ὑπὲρ τῆς 273
τῶν Ῥωμαίων ἡγεμονίας. ὅτε δὴ καὶ πρᾶγμα αἴσχιστόν τε καὶ A
ἀνάξιον τῆς Ῥώμης ἐγένετο. ὥσπερ γὰρ ἐν ἀγορᾷ καὶ ἐν πωλητη-
ρίῳ τινὶ, καὶ αὐτὴ καὶ ἡ ἀρχὴ αὐτῆς πᾶσα ἀπεκηρύχθη. καὶ αὐ-
τὰς ἐπίπρασκον μὲν οἱ τὸν αὐτοκράτορα σφῶν ἀπεκτονότες,
ὠνητίων δὲ ὅ,τε Συλπικιανὸς καὶ ὁ Ἰουλιανὸς ὑπερβάλλοντες
ἀλλήλους, ὁ μὲν ἔνδοθεν, ὁ δὲ ἔξωθεν, καὶ μέχρι γε πεντακισχι-
λίων δραχμῶν κατ᾽ ἄνδρα κατὰ βραχὺ προστιθέντες προ-
ῆλθον· διαγγελλόντων καὶ λεγόντων ὅτι τε Ἰουλιανὸς, ὅτι Συλ- B
πικιανὸς τοσοῦτον δίδωσι· τί οὖν σὺ προστίθης; καὶ τῷ Σουλ-
πικιανῷ, ὅτι Ἰουλιανὸς τοσοῦτον ἐπαγγέλλεται· τί οὖν σὺ
προσυπισχνῇ; κἂν ἐπεκράτησεν ὁ Σουλπικιανὸς ἔνδον τε
ὢν καὶ πολιαρχῶν, τοῖς τε πεντακισχιλίοις πρότερος ὀνομά-
σας, εἰ μὴ ὁ Ἰουλιανὸς οὐκέτι κατ᾽ ὀλίγον, ἀλλὰ χιλίαις καὶ
διακοσίαις καὶ πεντήκοντα ἅμα δραχμαῖς ὑπερέβαλε, καὶ τῇ

φωνῇ μέγα βοῶν, καὶ ταῖς χερσὶν ἐνδεικνύμενος. τῇ τε γὰρ ὑπερβο-
λῇ αὐτοῦ δουλωθέντες, καὶ ἅμα καὶ τὸν Συλπικιανὸν ὡς καὶ τι-
C μωρήσοντα τῷ Περτίνακι φοβηθέντες, ὅπερ ὁ Ἰυλιανὸς αὐ-
τοῖς ὑπέτεινεν, ἐσεδέξαντό τε αὐτὸν καὶ αὐτοκράτορα ἀπέδει-
ξαν. καὶ ὁ μὲν οὕτω πρὸς ἑσπέραν ἔς τε τὴν ἀγορὰν καὶ πρὸς τὸ
βουλευτήριον ἠπείχθη, παμπληθεῖς δορυφόρους μετὰ σημείων
συχνῶν ὥσπερ ἐς παράταξίν τινα ἄγων, ἵνα καὶ ἡμᾶς καὶ τὸν δῆ-
μον προσκαταπλήξας προσθῆται. καὶ αὐτὸν οἱ στρατιῶται τά
τε ἄλλα ἐμεγάλυνον, καὶ Κόμμοδον ἐπωνόμαζον. ἡμεῖς δὲ
πυνθανόμενοι ταῦτα, ὥς που ἑκάστῳ διηγγέλλετο, ἐφοβούμε-
θα μὲν τὸν Ἰουλιανὸν καὶ τοὺς στρατιώτας, καὶ μάλιστα ὅσοι τὶ
D οἱ πρὸς τὸν Περτίνακα ἐπιτήδειοι. καὶ γὰρ ἐγὼ εἷς ἐξ αὐτῶν
ἦν, ἐπειδὴ ὑπό τε τοῦ Περτίνακος τά τε ἄλλα ἐτετιμήκειν,
καὶ στρατηγὸς ἀπεδεδείγμην, καὶ ἐκεῖνον πολλὰ πολλάκις ἐν
δίκαις συναγορεύων τισὶν ἀδικοῦντα ἐπιδεδείχειν. ὅμως δ'
οὖν καὶ διὰ ταῦτα (οὐ γὰρ ἐδόκει ἡμῖν ἀσφαλὲς εἶναι οἴκοι, μὴ
καὶ ἐξ αὐτοῦ τούτου ὑποπτευθῶμεν, καταμεῖναι) προσήλθο-
μεν οὐχ ὅτι δεδουλωμένοι, ἀλλὰ καὶ δεδειπνηκότες, καὶ ὠ-
σάμενοι διὰ τῶν στρατιωτῶν, ἐς τὸ βουλευτήριον εἰσήλθομεν,
καὶ ἠκούσαμεν αὐτοῦ τά τε ἄλλα ἀξίως ἑαυτοῦ λέγοντος, καὶ ὅτι
274 ὑμᾶς τε ὁρῶ ἄρχοντος δεομένους, καὶ αὐτὸς, εἰ καί τις ἄλλος,
A ἀξιώτατός εἰμι ὑμῶν ἡγεμονεῦσαι. καὶ εἶπον ἂν πάντα τὰ
προσόντα μοι ἀγαθὰ, εἰ μὴ καὶ ᾔδειτε, καὶ πεπειρασμένοι μου
ἦτε. διὸ οὐδὲ ἐδεήθην πολλοὺς στρατιώτας ἐπάγεσθαι, ἀλλ' αὐ-
τὸς μόνος πρὸς ὑμᾶς ἀφῖγμαι, ἵνα μοι τὰ ὑπ' ἐκείνων δο-
θέντα ἐπικυρώσητε. μόνος τε γὰρ ἥκω ἔλεγε, πᾶν μὲν ἔξωθεν
τὸ βουλευτήριον ὁπλίταις περιεστοιχισμένος, πολλοὺς δὲ καὶ ἐν
αὐτῷ τῷ συνεδρίῳ στρατιώτας ἔχων. καὶ τοῦ συνειδότος ἡμᾶς
τοῦ περὶ αὐτὸν ἀνεμίμνησκεν, ἐξ οὗ καὶ ἐμισοῦμεν αὐτὸν καὶ
B ἐφοβούμεθα. καὶ ὁ μὲν οὕτω τήν τε αὐταρχίαν καὶ ἐκ τῶν τῆς βου-
λῆς δογμάτων βεβαιωσάμενος, ἀνῆλθεν ἐς τὸ παλάτιον, καὶ

εὑρὼν τὸ δεῖπνον τὸ τῷ Περτίνακι παρεσκευασμένον, πολλά τε αὐτοῦ κατεγέλασε, καὶ μεταπεμψάμενος ὅθεν τι καὶ ὁπωσοῦν εὑρεθῆναι τότε ἠδυνήθη πολυτίμητον, διεπίμπλατο, ἔνδον ἔτι τοῦ νεκροῦ κειμένου, καὶ ἐκύβευεν, ἄλλους τέ τινας καὶ Πυλάδην τὸν ὀρχηστὴν παραλαβών. τῇ τε δὴ ὑστεραίᾳ ἡμεῖς μὲν ᾔειμεν ὡς αὐτὸν πλαττόμενοι πρόσωπόν τινα καὶ σχηματιζόμενοι, ὅπως μὴ κατάφωροι ἐπὶ τῇ λύπῃ γενώμεθα· ὁ δὲ δῆμος ἐσκυθρώπαζε φανερῶς, καὶ διελάλουν ὅσα ἤθελον, καὶ παρεσκευάζοντο πρᾶξαι ὅσα ἠδύναντο. καὶ τέλος ἐπειδὴ πρὸς τὸ συνέδριον ἦλθε, καὶ τῷ Ἰανῷ τῷ πρὸ τῆς θύρας αὐτοῦ θύσειν ἔμελλεν, ἐξέκραγον πάντες ὥσπερ ἐκ συγκειμένου τινὸς, τὸν τῆς ἀρχῆς ἅρπαγα αὐτὸν καὶ πατροφόνον ὀνομάζοντες. ὡς δὲ προσποιησάμενος μὴ χαλεπαίνειν, ἀργύριόν τι αὐτοῖς ὑπέσχετο, ἀγανακτήσαντες ὡς καὶ δεκαζόμενοι, ἀνεβόησαν ἅμα πάντες, Οὐ θέλομεν, οὐ λαμβάνομεν. καὶ αὐτοῖς καὶ τὰ πέριξ οἰκοδομήματα φρικῶδές τι συνεπήχησαν. ἀκούσας δὲ ταῦτα ὁ Ἰουλιανὸς οὐκέτ' ἐκαρτέρησεν, ἀλλὰ τοὺς ἐγγὺς προσεστηκότας κτείνεσθαι προσέταξε· καὶ ὁ δῆμος ἔτι καὶ μᾶλλον ἐπιπαρωξύνθη, καὶ οὐκ ἐπαύσατο οὔτε τὸν Περτίνακα ποθῶν, οὔτε τὸν Ἰουλιανὸν λοιδορῶν, οὔτε τοὺς θεοὺς ἐπιβοώμενος, οὔτε τοῖς στρατιώταις ἐπαρώμενος. ἀλλὰ καίτοι πολλοὶ καὶ πολλαχοῦ τῆς πόλεως καὶ τιτρωσκόμενοι καὶ φονευόμενοι ἀντεῖχον. καὶ τέλος ὅπλα ἁρπάσαντες, συνέδραμον ἐς τὸν ἱππόδρομον κἀνταῦθα διετέλεσαν τὴν νύκτα καὶ τὴν μετ' αὐτὴν ἡμέραν ἄσιτοι καὶ ἄποτοι, βοῶντες τούς τε λοιποὺς στρατιώτας, καὶ μάλιστα τὸν Νίγρον τὸν Πεσκέννιον καὶ τοὺς μετ' αὐτοῦ ἐν τῇ Συρίᾳ ὄντας, ἐπαμῦναι σφίσι δεόμενοι. καὶ μετὰ τοῦτο τῇ τε κραυγῇ καὶ τῷ λιμῷ τῇ τε ἀγρυπνίᾳ καμόντες διελύθησαν, καὶ ἡσυχίαν ἦγον, τὰς ἔξωθεν ἐλπίδας ἀναμένοντες. Ἰουλιανὸς δὲ οὕτω τὴν ἀρχὴν ἁρπάσας ἀνελευθέροις τοῖς πράγμασιν ἐχρῆτο, θωπεύων τήν τε βουλὴν καὶ τούς τι δυναμένους, καὶ τὰ μὲν ἐπαγγελλόμενος, 275

τὰ δὲ χαριζόμενος, προσηγόρευέ τε καὶ προσέπαιζε πρὸς τοὺς
τυχόντας· ἔς τε τὰ θέατρα συνεχῶς ἐσεφοίτα, καὶ συμπόσια
πολλὰ συνεκρότει· τό, τε σύμπαν οὐδὲν ὅ,τι οὐκ ἐπὶ θεραπείᾳ
ἡμῶν ἐποίει. οὐ μέντοι καὶ πιθανὸς ἦν, ἀλλ' ὡς ἀκράτῳ τῇ
θωπείᾳ χρώμενος ὑπωπτεύετο. πᾶν γὰρ τὸ ἔξωθεν τοῦ εἰκότος,
κἂν χαρίζεσθαί τισι δοκῇ, δολερὸν τοῖς νοῦν ἔχουσι νομίζεται.
ἐν μὲν δὴ τῇ Ῥώμῃ ταῦτα ἐγίγνετο. περὶ δὲ τῶν ἔξω ταύτης γε-
B νομένων καὶ νεωτερισθέντων ἤδη ἐρῶ. τρεῖς γὰρ δὴ τότε ἄνδρες,
τριῶν ἕκαστος πολιτικῶν στρατοπέδων καὶ ἄλλων ξενικῶν συ-
χνῶν ἄρχοντες, ἀντελάβοντο τῶν πραγμάτων, ὅ,τε Σεβῆρος
καὶ ὁ Νίγρος καὶ ὁ Ἀλβῖνος, οὗτος μὲν, τῆς Βρεττανίας ἄρχων, Σε-
βῆρος δὲ, τῆς Παιονίας, Νίγρος δὲ τῆς Συρίας. καὶ τούτους ἄρα
οἱ ἀστέρες οἱ τρεῖς οἱ ἐξαίφνης φανέντες, καὶ τὸν ἥλιον περισχόν-
τες, ὅτε τὰ εἰσιτήρια πρὸ τοῦ βουλευτηρίου ἔθυεν Ἰουλιανὸς
παρόντων ἡμῶν, ὑπῃνίττοντο. οὕτω γὰρ ἐκφανέστατοι ἦσαν ὥστε
καὶ τοὺς στρατιώτας συνεχῶς τε αὐτοὺς ὁρᾶν, καὶ ἀλλήλοις ἀντε-
πιδεικνύειν, καὶ προσέτι καὶ διαθροεῖν ὅτι δεινὸν αὐτῷ συμβήσε-
C ται. ἡμεῖς γὰρ εἰ καὶ τὰ μάλιστα καὶ ηὐχόμεθα ταῦθ' οὕτω γενέσθαι
καὶ ἠλπίζομεν, ἀλλ' ὑπό γε τοῦ παρόντος δέους οὐδ' ἀναβλέ-
πειν εἰς αὐτοὺς, εἰ μὴ παρορῶντές πως, ἐτολμῶμεν. καὶ τοῦτο
μὲν οὕτως οἶδα γενόμενον. τῶν δὲ δὴ τριῶν ἡγεμόνων ὧν εἴρηκα,
δεινότατος ὁ Σεβῆρος ὤν, καὶ προγνοὺς ὅτι μετὰ τὸ καταλῦσαι τὸν
Ἰουλιανὸν, καὶ σφίσιν αὐτοῖς οἱ τρεῖς συναράξουσι καὶ ἀντιπο-
λεμήσουσιν ὑπὲρ τῆς ἀρχῆς, ἔγνωκει τὸν ἕνα τὸν ἐγγύτερον
αὐτῷ προσποιήσασθαι· καὶ γράμματά τινι τῶν πιστῶν δοὺς, τῷ
Ἀλβίνῳ ἐπέπομφει, Καίσαρα αὐτὸν ποιῶν. τὸν γὰρ δὴ Νίγρον
φρόνημα ἔχοντα ἐκ τοῦ ἐπίκλητον ὑπὸ τοῦ δήμου γεγονέναι,
D ἀπέγνω· καὶ ὁ Ἀλβῖνος ὡς καὶ κοινωνὸς τῆς ἀρχῆς τῷ Σεβή-
ρῳ ἐσόμενος, κατὰ χώραν ἔμεινεν· ὁ δὲ Σεβῆρος τὰ ἐν τῇ Εὐ-
ρώπῃ πάντα πλὴν τοῦ Βυζαντίου προσποιησάμενος, ἐπὶ τὴν
Ῥώμην ἠπείγετο, οὐδέποτε ἔξω τῶν ὅπλων γιγνόμενος, ἀλλ'

ἑξακοσίους τοὺς ἀρίστους ἐπιλεξάμενος, ἐν μέσοις αὐτοῖς μεθ' ἡμέραν καὶ νύκτωρ διῆγεν· οὐδὲ ἀπεδύσαντό ποτε ἐκεῖνοι τοὺς θώρακας, πρὶν ἐν τῇ Ῥώμῃ γενέσθαι. καὶ ὁ Ἰουλιανὸς ταῦτα μαθὼν, πολέμιόν τε τὸν Σεβῆρον διὰ τῆς βουλῆς ἐποιήσατο, καὶ παρεσκευάζετο κατ' αὐτοῦ· καὶ ἐγένετο ἡ πόλις ἐν ταῖς ἡμέραις ταύταις οὐδὲν ἄλλο ἢ στρατόπεδον ὥσπερ ἐν πολεμίᾳ. πολ- 276
λὴ μὲν γὰρ ταραχὴ αὐλιζομένων καὶ γυμναζομένων ἵππων, ἀν- A
δρῶν, ἐλεφάντων· πολὺς δὲ καὶ φόβος ἐς τοὺς λοιποὺς ἐκ τῶν ὡπλισμένων ἐγένετο. ἔστι δ' ὅτι καὶ γέλως ἡμᾶς ἐλάμβανεν· οὔτε γὰρ οἱ δορυφόροι ἄξιόν τι τοῦ ὀνόματος καὶ τῆς ἐπαγγελίας σφῶν, ἅτε καὶ ἁβρῶς διαιτᾶσθαι μεμαθηκότες, ἐποίουν, καὶ οἱ ἐκ τοῦ ναυτικοῦ τοῦ ἐν τῷ Αμισηνῷ ναυλοχοῦντος μεταπεμφθέντες, οὐδ' ὅπως γυμνάσωνται ᾔδεσαν· οἵ τε ἐλέφαντες ἀχθόμενοι τοῖς ἵπποις οὐδ' αὐτοὺς ἔτι τοὺς ἐπιστάτας ἔφερον. μάλιστα δὲ ἐγελῶμεν ὅτι τὸ παλάτιον κιγκλίσι τε καὶ θύραις ἰ-
σχυραῖς ἐκρατύνατο. ἐπεὶ γὰρ τὸν Περτίνακα οὐκ ἄν ποτε οἱ στρα- B
τιῶται ῥᾳδίως οὕτως, εἴπερ συνεκέκλειστο, πεφονευκέναι ἐδόκουν, ἐπίστευεν ὅτι δυνήσεται κατακλεισθεὶς ἐν αὐτῷ, ἂν ἡττηθῇ, περιγενέσθαι. ἔσφαξε μὲν οὖν καὶ τὸν Λαῖτον, καὶ τὴν Μαρκίαν, ὥστε σύμπαντας τοὺς ἐπιβουλεύσαντας τῷ Κομμόδῳ φθαρῆναι. καὶ τὸν Νάρκισσον ὕστερον ὁ Σεβῆρος θηρίοις ἔδωκεν, αὐτὸ τοῦτο κηρύξας ὅτι Οὗτός ἐστιν ὁ Κόμμοδον ἀποπνίξας. ἔκτεινε δὲ καὶ παῖδας συχνοὺς ἐπὶ μαγγανεύμασιν, ὡς καὶ ἀποστρέψαι τι τῶν μελλόντων, εἰ προμάθοι αὐτὰ,
δυνησόμενος. ἐπί τε τὸν Σεβῆρον ἀεί τινας ὡς δολοφονήσον- C
τας αὐτὸν ἀπέστελλεν. ἐπεὶ δὲ ἐκεῖνος ἐς τὴν Ἰταλίαν ἀφίκετο, καὶ τὴν Ῥάβενναν ἀκονιτὶ παρέλαβε, καὶ οὓς ἐκεῖνος ἐπ' αὐτὸν ἔπεμπεν ἢ πείσοντας ὑποστρέψαι, ἢ εἴρξοντας τῶν παρόδων, προσεχώρουν αὐτῷ, οἵ τε δορυφόροι οἷς μάλιστα ὁ Ἰουλιανὸς ἐθάρρει, τῇ τε συνεχείᾳ τῶν πόνων ἀπεκναίοντο, καὶ πρὸς τὴν φήμην τῆς τοῦ Σεβήρου παρουσίας δεινῶς ἐξεπλήττοντο·

συγκαλέσαι ἡμᾶς ὁ Ἰουλιανὸς, κοινωνὸν αὐτῷ τῆς ἀρχῆς ἐκέλευε τὸν Σεβῆρον ψηφίσασθαι. οἱ δὲ δὴ στρατιῶται ἐκ γραμμάτων τοῦ Σεβήρου πεισθέντες ὅτι οὐδὲν κακὸν, ἂν τοὺς σφα-
D γέας τοῦ Περτίνακος ἐκδῶσι καὶ αὐτοὶ τὴν ἡσυχίαν ἄγωσι, πείσονται, τούς τε ἀποκτείναντας τὸν Περτίνακα συνέλαβον, καὶ αὐτὸ τοῦτο Σιλίῳ Μεσσάλᾳ τῷ ὑπατεύοντι τότε ἐμήνυσαν. καὶ ὃς συναγαγὼν ἡμᾶς ἐς τὸ Ἀθήναιον καλούμενον ἀπὸ τῆς ἐν αὐτῷ τῶν πεπαιδευμένων ἀσκήσεως, τὰ παρὰ τῶν στρατιωτῶν ἐδήλωσε· καὶ τοῦ τε Ἰουλιανοῦ θάνατον κατεψηφισάμεθα καὶ τὸν Σεβῆρον αὐτοκράτορα ὠνομάσαμεν. τῷ τε Περτίνακι ἡρωϊκὰς τιμὰς ἀπεδώκαμεν. ὁ μὲν οὖν Ἰουλιανὸς οὕτως ἐν
277 αὐτῷ τῷ παλατίῳ κατακείμενος ἐφονεύθη, τοσοῦτον μόνον
A εἰπὼν, Καὶ τί δεινὸν ἐποίησα; τίνα ἀπέκτεινα; ἔζησε δὲ ἑξήκοντά τε ἔτη καὶ μῆνας τέσσαρας, καὶ ἡμέρας ἴσας, ἀφ᾿ ὧν ἓξ καὶ ἑξήκοντα ἦρξεν ἡμέρας.

ΣΕΒΗΡΟΣ.

ΣΕΒΗΡΟΣ μὲν δὴ αὐτοκράτωρ οὕτω γενόμενος, τοὺς μὲν χειρουργήσαντας τὸ κατὰ τὸν Περτίνακα ἔργον θανάτῳ ἐζημίωσε, τοὺς δὲ ἄλλους, πρὶν ἐν τῇ Ῥώμῃ γενέσθαι, δορυφόρους μεταπεμψάμενος, καὶ ἐν πεδίῳ περιλαβὼν, οὐκ εἰδότας τὸ μέλλον σφίσι συμβήσεσθαι, πολλά τε καὶ πικρὰ ὑπὲρ τῆς εἰς τὸν αὐτοκράτορα σφῶν παρανομίας ὀνειδίσας αὐτοῖς, τῶν τε ὅπλων ἀπέλυσε, τούς τε ἵππους ἀφεί-
B λετο, καὶ τῆς Ῥώμης ἀπήλασεν. ἔνθα δὴ οἱ μὲν ἄλλοι καὶ ἄκοντες τά τε ὅπλα ἀπερρίπτουν, καὶ τοὺς ἵππους ἠφίεσαν, ἔν τε τοῖς χιτῶσιν ἄζωστοι ἐσκεδάννυντο· εἷς δέ τις, οὐκ ἐθελήσαν-

πρὸς τοῦ ἵππου ἀποστῆναι, ἀλλ᾽ ἐπακολουθοῦντος αὐτῷ καὶ χρεμετίζοντος, καὶ ἐκεῖνον καὶ ἑαυτὸν κατεχρήσατο· καὶ ἐδόκει τοῖς ὁρῶσι καὶ ὁ ἵππος ἡδέως ἀποθνήσκειν. πράξας δὲ ὁ Σεβῆρος ταῦτα, ἐς τὴν Ῥώμην ἐσῄει· καὶ μέχρι μὲν τῶν πυλῶν ἐπί τε τοῦ ἵππου καὶ ἐσθῆτι ἱππικῇ ἐλθὼν, ἐντεῦθεν δὲ τήν τε πολιτικὴν ἀλλαξάμενος, καὶ βαδίσας· καὶ αὐτῷ καὶ ὁ στρατὸς πᾶς καὶ οἱ πεζοὶ καὶ οἱ ἱππῆς ὡπλισμένοι παρηκολούθησαν. καὶ ἐγένετο ἡ θέα
πασῶν ὧν ἑώρακα λαμπροτάτη. ἥ τε γὰρ πόλις πᾶσα ἄνθε- C
σί τε καὶ δάφναις ἐστεφάνωτο, καὶ ἱματίοις ποικίλοις ἐκεκόσμητο, φωτί τε καὶ θυμιάμασιν ἔλαμπε· καὶ οἱ ἄνθρωποι λευχειμονοῦντες καὶ γανύμενοι πολλὰ ἐπευφήμουν. οἵ τε στρατιῶται ἐν τοῖς ὅπλοις, ὥσπερ ἐν πανηγύρει τινὶ πομπῆς, ἐκπρεπόντως ἀνεστρέφοντο· καὶ προσέτι ἡμεῖς ἐν κόσμῳ περιῄειμεν. ὁ δὲ ὅμιλος ἰδεῖν τε αὐτὸν, καί τι φθεγγομένου ἀκοῦσαι, ὥσπερ τι ὑπὸ τῆς τύχης ἠλλοιωμένου, ποθοῦντες, ἠρεθίζοντο· καί τινες καὶ ἐμετεώριζον ἀλλήλους, ὅπως ἐξ ὑψηλοτέρου αὐτὸν κατίδωσιν. ἐσελθὼν δὲ οὕτως, ἐνεανιεύσατο μὲν οἷα καὶ οἱ πρώην
ἀγαθοὶ αὐτοκράτορες πρὸς ἡμᾶς, ὡς οὐδένα τῶν βουλευ- D
τῶν ἀποκτείνῃ· καὶ ὤμοσε περὶ τούτου, καὶ τό γε μεῖζον, ψηφίσματι κοινῷ αὐτὸ κυρωθῆναι προσεπέταξε, πολέμιον καὶ
τὸν αὐτοκράτορα καὶ τὸν ὑπηρετήσοντα αὐτῷ ἐς τι τοιοῦτον 278
αὐτούς τε καὶ τοὺς παῖδας αὐτῶν νομίζεσθαι δογματίσας. A
πρῶτος μέντοι αὐτὸς τὸν νόμον τουτονὶ παρέβη, καὶ οὐκ ἐφύλαξε, πολλοὺς ἀνελών. καὶ γὰρ καὶ αὐτὸς ὁ Σόλων ὁ Ἰούλιος, ὁ καὶ τὸ δόγμα τοῦτο κατὰ πρόσταξιν αὐτοῦ συγγράψαι, οὐ πολλῷ ὕστερον ἐσφάγη. καὶ πολλὰ μὲν ἡμῖν οὐ καταθύμια ἔπραττε, μάλιστα δὲ ἐπεκάλουν αὐτῷ τινὲς ὅτι καθεστηκότος ἔκ τε τῆς Ἰταλίας καὶ τῆς Ἰβηρίας, τῆς τε Μακεδονίας καὶ τοῦ Νωρικοῦ μόνον τοὺς σωματοφύλακας εἶναι, κἀκ τούτου καὶ τοῖς εἴδεσιν αὐτῶν ἐπιεικεστέρων, καὶ τοῖς ἤθεσιν ἁπλουστέρων ὄντων, τοῦτο μὲν
κατέλυσε, τὸ δὲ ἄστυ ὄχλου στρατιωτῶν συμμίκτων καὶ ἰδεῖν B

ἀγριωτάτων καὶ ἀκοῦσαι φοβερωτάτων, ὁμιλῆσαί τε ἀγροικο-
τάτων ἐπλήρωσε. σημεῖα δὲ αὐτῷ ἐξ ὧν τὴν ἡγεμονίαν ἤλ-
πισε, τοιάδε ἐγένετο· ὅτε γὰρ ἐς τὸ βουλευτήριον ἐσεγράφη, ὄναρ
ἔδοξε λύκαιναν τινὰ κατὰ ταὐτὰ τῷ Ῥωμύλῳ θηλάζειν. μέλ-
λοντι δὲ αὐτῷ τὴν Ἰουλίαν ἄγεσθαι, ἡ Φαυστῖνα ἡ τοῦ Μάρκου
γυνὴ τὸν θάλαμον σφίσιν ἐν τῷ Ἀφροδισίῳ τῷ κατὰ τὸ παλά-
τιον παρεσκεύασεν. ὕδωρ τε ἐκ τῆς χειρὸς αὐτῷ καθεύδοντί
ποτε, ὥσπερ ἐκ πηγῆς, ἀνεδόθη· καὶ ἐν Λουγδούνῳ ἄρχοντι
C πᾶσα αὐτῷ ἡ τῶν Ῥωμαίων δύναμις προσῆλθέ τε καὶ ἠσπά-
σατο, ὄναρ φημί. καὶ ἄλλοτε ἀνήχθη ἐς περιωπὴν ὑπό τινος, καὶ
καθορῶν ἀπ᾽ αὐτῆς πᾶσαν μὲν τὴν γῆν, πᾶσαν δὲ τὴν θάλατ-
ταν, ἐφήπτετο αὐτῶν ὥσπερ παναρμονίου τινὸς ὀργάνου, καὶ
ἐκεῖνα συνεφθέγγετο. καὶ αὖθις ἵππον ἐν τῇ ἀγορᾷ τῇ Ῥω-
μαίᾳ τὸν μὲν Περτίνακα καὶ ἀναβεβηκότα ἀπορρῖψαι, ἑαυτὸν
δὲ ἑκόντα ἀναλαβεῖν ἐνόμισε. ταῦτα μὲν ἐκ τῶν ὀνειράτων ἔ-
μαθεν. ὕπαρ δὲ ἔς τε τὸν βασιλικὸν δίφρον ἔφηβος ὢν ἔτι ἀ-
D γνοίᾳ ἐνιδρύθη. τὴν μὲν οὖν ἡγεμονίαν μετὰ τῶν ἄλλων καὶ ταῦ-
τα αὐτῷ προεδήλωσε. καταστὰς δὲ ἐς αὐτὴν, ἡρῷον Περτίνα-
κι κατεσκεύασε, τό, τε ὄνομα αὐτοῦ ἐπί τε ταῖς εὐχαῖς ἁπάσαις
καὶ ἐπὶ τοῖς ὅρκοις ἅπασιν προσέταξεν ἐπιλέγεσθαι· καὶ χρυ-
σῆν εἰκόνα αὐτοῦ ἐφ᾽ ἅρματος ἐλεφάντων ἐς τὸν ἱππόδρο-
μον ἐσάγεσθαι, καὶ ἐς τὰ λοιπὰ ἐκέλευσε θέατρα θρόνους τε
τρεῖς καταχρύσους αὐτῷ ἐσκομίζεσθαι. ἡ δὲ δὴ ταφὴ, καίτοι
πάλαι τεθνηκότος αὐτοῦ, τοιάδε ἐγένετο· ἐν τῇ ἀγορᾷ τῇ Ῥω-
μαίᾳ βῆμα ξύλινον ἐν χρῷ τοῦ λιθίνου κατεσκευάσθη, καὶ
ἐπ᾽ αὐτοῦ οἴκημα ἄτοιχον, περίστυλον, ἔκ τε ἐλέφαντος καὶ χρυ-
279 σοῦ πεποικιλμένον ἐτέθη· καὶ ἐν αὐτῷ κλίνη ὁμοία κεφαλὰς
A πέριξ θηρίων χερσαίων τε καὶ θαλασσίων ἔχουσα ἐκομίσθη,
στρώμασι πορφυροῖς καὶ διαχρύσοις κεκοσμημένη. καὶ ἐς αὐτὴν
εἴδωλόν τι τοῦ Περτίνακος κήρινον, σκευῇ ἐπινικίῳ εὐθετημέ-
νον, ἀνετέθη, καὶ αὐτοῦ τὰς μυίας παῖς εὐπρεπὴς ὡς δῆθεν

καὶ θεύδοντος πτεροῖς ταῶνος ἀπεσόβει. προκειμένου δ' αὐτοῦ,
ὅ,τε Σεβῆρος καὶ ἡμεῖς οἱ βουλευταὶ, αἵ τε γυναῖκες ἡμῶν
προσῄειμεν πενθικῶς ἐσταλμένοι· καὶ ἐκεῖναι μὲν ἐν ταῖς στοαῖς,
ἡμεῖς δὲ ὑπαίθριοι ἐκαθεζόμεθα. κἀκ τούτου πρῶτον μὲν ἀν-
δριάντες πάντων τῶν ἐπιφανῶν Ῥωμαίων τῶν ἀρχαίων, ἔπειτα
χοροὶ παίδων καὶ ἀνδρῶν θρηνώδη τινὰ ὕμνον ἐς τὸν Περτίνακα
ᾄδοντες παρῆλθον· καὶ μετὰ τοῦτο τὰ ἔθνη πάντα τὰ ὑπήκοα
ἐν εἰκόσι χαλκαῖς ἐπιχωρίως σφίσιν ἐσταλμένα, καὶ τὰ ἐν τῷ B
ἄστει αὐτῷ γένη, τό,τε τῶν ῥαβδούχων, καὶ τὸ τῶν γραμματέων,
τῶν τε κηρύκων, καὶ ὅσα ἄλλα τοιουτότροπα, ἐφείπετο. εἶτ' εἰκόνες
ἧκον ἀνδρῶν ἄλλων, οἷς τι ἔργον, ἢ καὶ ἐξεύρημα, ἢ καὶ ἐπιτή-
δευμα λαμπρὸν ἐπέπρακτο. καὶ μετ' αὐτοὺς οἵ τε ἱππεῖς, καὶ
οἱ πεζοὶ ὡπλισμένοι, οἵ τε ἀθληταὶ ἵπποι, καὶ τὰ ἐντάφια ὅ-
σα ὅ,τε αὐτοκράτωρ καὶ ἡμεῖς, αἵ τε γυναῖκες ἡμῶν, καὶ οἱ ἱπ-
πεῖς οἱ ἐλλόγιμοι, οἵ τε δῆμοι, καὶ τὰ ἐν τῇ πόλει συστήματα ἐ-
πέμψαμεν· καὶ αὐτοῖς βωμὸς περίχρυσος ἐλέφαντί τε καὶ λί- C
θοις Ἰνδικοῖς ἠσκημένος ἠκολούθει. ὡς δὲ παρεξῆλθε ταῦτα,
ἀνέβη ὁ Σεβῆρος ἐπὶ τὸ βῆμα τὸ τῶν ἐμβόλων, καὶ ἀνέγνω ἐγ-
κώμιον τοῦ Περτίνακος. ἡμεῖς δὲ πολλὰ μὲν καὶ διὰ μέσου τοῦ λό-
γου ἐπεβοῶμεν, τὰ μὲν ἐπαινοῦντες, τὰ δὲ καὶ θρηνοῦν-
τες τὸν Περτίνακα· πλεῖστα δὲ ἐπειδὴ ἐπαύσατο. καὶ τέλος μελ-
λούσης τῆς κλίνης κινηθήσεσθαι, πάντες ἅμα ὠλοφυρόμεθα
καὶ πάντες ἐπεδακρύσαμεν. κατεκόμισαν δὲ αὐτὴν ἀπὸ τοῦ
βήματος οἵ τε ἀρχιερεῖς, καὶ αἱ ἀρχαὶ αἵ τε ἐνεστῶσαι καὶ αἱ ἐς
νέωτα ἀποδεδειγμέναι, καὶ ἱππεῦσί τισι φέρειν ἔδοσαν. οἱ μὲν D
οὖν ἄλλοι πρὸ τῆς κλίνης προῄειμεν, καί τινες ἐκόπτοντο, ἑτέρων
πένθιμόν τι ὑπαυλούντων· ὁ δ' αὐτοκράτωρ ἐφ' ἅπασιν εἵ-
πετο, καὶ οὕτως ἐς τὸ Ἄρειον πεδίον ἀφικόμεθα. ἐπεσκεύαστο
δὲ ἐν αὐτῷ πυρὰ πυργοειδὴς, τρίβωλος, ἐλέφαντι καὶ χρυσῷ
μετ' ἀνδριάντων τινῶν κεκοσμημένη, καὶ ἐπ' αὐτῆς τῆς ἄ-
κρας ἅρμα ἐπίχρυσον ὅπερ ὁ Περτίναξ ἤλαυνεν. ἐς οὖν

280 τὴν αὐτὴν τὰ ἐντάφια ἐνεβλήθη, καὶ ἡ κλίνη ἀνετέθη· καὶ μετὰ τοῦτο
A τὸ εἴδωλον ὅ, τε Σεβῆρος καὶ οἱ συγγενεῖς τοῦ Περτίνακος ἐφί-
λησαν. καὶ ὁ μὲν ἐπὶ βῆμα ἀνέβη, ἡμεῖς δὲ ἡ βουλὴ, πλὴν τῶν
ἀρχόντων, ἐπὶ ἰκρία, ὅπως ἀσφαλῶς τε ἅμα καὶ ἐπιτηδείως
τὰ γινόμενα θεωρίσωμεν. οἱ δὲ ἄρχοντες καὶ ἡ ἱππὰς, τὸ τέ-
λος προσφόρως σφίσιν ἐσκευασμένοι, οἵ τε ἱππεῖς οἱ στρατιῶ-
ται καὶ οἱ πεζοὶ περὶ τὴν πυρὰν, πολιτικάς τε ἅμα καὶ ποιητικὰς
διεξόδους διελίττοντες διεξῆλθον· εἶθ' οὕτως οἱ ὕπατοι πῦρ
ἐπ' αὐτὴν ἐνέβαλον. γενομένου δὲ τούτου, ἀετός τις ἐξ αὐ-
B τῆς ἀνέπτατο. καὶ ὁ μὲν Περτίναξ οὕτως ἠθανατίσθη. ὁ δὲ Σεβῆ-
ρος ἐξεστράτευσε κατὰ τοῦ Νίγρου. ἦν δὲ Ἰταλὸς μὲν τῶν ἐξ ἱπ-
πέων· οὔτε δὲ ἐς τὸ κρεῖττον, οὔτε δὲ ἐς τὸ χεῖρον ἐπίσημος, ὥς-
τε τινα ἢ πάνυ αὐτὸν ἐπαινεῖν ἢ πάνυ ψέγειν. ἐχρῆτο δὲ
ὑποστρατήγῳ μετὰ καὶ τῶν ἄλλων τῷ Αἰμιλιανῷ· ὅτι τε
πάντων τῶν τότε βουλευόντων καὶ συνέσει καὶ ἐμπειρίᾳ πραγμά-
των προφέρειν ἐδόκει, καὶ ὅτι ἐπὶ πολλῶν ἐθνῶν ἐξήταστο.
συνερρωγότος δὲ τοῦ πολέμου ἦλθέ τε ἐς τὸ Βυζάντιον, καὶ ἐν-
τεῦθεν ἐπὶ τὴν Πέρινθον ἐπεστράτευσε. γενομένων δὲ αὐτῷ
C σημείων οὐκ ἀγαθῶν, ἐταράχθη. ἀετός τε γὰρ ἐπ' ἄγαλμα
στρατιωτικὸν ἱζήσας, ἐπὶ τοσοῦτον ἐπέμεινε, καίτοι ἀποσοβού-
μενος, ὥστε καὶ ἁλῶναι· καὶ μέλισσαι κηρία περὶ τὰ σημεῖα τὰ
στρατιωτικὰ τάς τε εἰκόνας αὐτοῦ μάλιστα περιέπλασαν. διὰ
ταῦτα οὖν ἀπῆρεν εἰς τὸ Βυζάντιον. ὁ Αἰμιλιανὸς δὲ περὶ Κύ-
ζικον συμβαλών τισι τῶν στρατηγῶν τῶν τοῦ Σεβήρου, ἡττήθη
πρὸς αὐτῶν καὶ ἐσφάγη. καὶ μετὰ ταῦτα μεταξὺ τῶν στενῶν τῆς τε
Νικαίας καὶ τῆς Κίου πόλεμος αὐτοῖς μέγας γίνεται καὶ πολύ-
τροπος. οἱ μὲν γὰρ ἐν τῷ πεδίῳ συστάδην ἐμάχοντο, οἱ δὲ τοὺς
D λόφους καταλαβόντες, ἐξ ὑπερδεξίων ἔβαλλον, καὶ ἠκόντιζον
ἐς τοὺς ἐναντίους· οἱ δὲ καὶ ἀπὸ τῆς λίμνης εἰς πλοῖα ἐμβεβηκό-
τες τοῖς πολεμίοις ἐπετοξάζοντο. κατ' ἀρχὰς μὲν οὖν ἐνίκων
οἱ Σεβήρειοι, ὑπὸ τῷ Κανδίδῳ ταττόμενοι, καὶ τοῖς χωρίοις

ὅθεν ἐμάχοντο, ὑπὸ δεξιοῖς οὖσι πλεονεκτοῦντες. μετὰ δὲ αὐτοῦ τοῦ Νίγρου ἐπιφανέντος, πάλιν δίωξις γίνεται, καὶ νίκη τῶν Νιγρείων. ἔπειτα τοῦ Κανδίδου τῶν σημειοφόρων ἐπιλαμβανομένου, καὶ στρέφοντος αὐτοὺς ἀντιπροσώπους τοῖς πολεμίοις, τούς τε στρατιώτας τὴν φυγὴν ὀνειδίζοντος, αἰδεσθέντες οἱ περὶ αὐτὸν, 281
ὑπέστρεψαν, καὶ τῶν ἐναντίων ἀντεπεκράτησαν. καὶ ἂν πανωλε- A
θρίᾳ τούτους διέφθειραν, εἰ μὴ ἡ πόλις ἐγγὺς ἦν, καὶ νὺξ σκοτεινὴ ἐγένετο. μετὰ δὲ ταῦτα ἐν Ἰσσῷ πρὸς ταῖς καλουμέναις Πύλαις μεγίστη γίνεται μάχη, τῷ μὲν Σευηρείῳ στρατεύματι Οὐαλεριανοῦ τε καὶ Ἀνυλίνου ἐπιστατούντων, Νίγρου δὲ αὐτοῦ τοῖς οἰκείοις παρόντος τάγμασι, καὶ συντάσσοντος ἐς τὸν πόλεμον. ἡ δὲ εἰσβολὴ αὕτη αἱ Κιλίκειοι πύλαι διὰ τὴν στενότητα οὕτω προσαγορεύονται. ἔνθεν μὲν γὰρ ὄρη ἀπότομα ἀνατείνει, ἔν-
θεν δὲ κρημνοὶ βαθεῖς εἰς τὴν θάλασσαν καθήκουσιν. ὁ οὖν B
Νίγρος στρατόπεδον ἐνταῦθα ἐπὶ λόφου τινὸς ἰσχυροῦ ἐποιήσατο, καὶ πρώτους μὲν τοὺς ὁπλίτας, ἔπειτα τοὺς ἀκοντιστὰς τοὺς τε λιθοβόλους καὶ τοξότας ἐπὶ πᾶσιν ἔταξεν· ἵν' οἱ μὲν ἐκ χειρὸς τοὺς προσμαχομένους σφίσιν ἀμύνοιντο, οἱ δὲ ἐκ πολλοῦ τῇ ἰσχύϊ καὶ ὑπὲρ ἐκείνων χρῶντο. τό, τε γὰρ ἐπ' ἀριστερᾷ καὶ τὸ ἐπὶ δεξιᾷ ὑπό τε τῶν κρημνῶν πρὸς τῇ θαλάσσῃ, ὑπό τε τῆς ὕλης ἀνεκβάτου οὔσης ἐπέφρακτο. τὸ, μὲν οὖν στράτευμα οὕτω διέταξε, καὶ τὰ σκευοφόρα ἐπ' αὐτῷ κατεχώρισεν, ὅπως, ἄν
τις αὐτῶν φυγεῖν ἐθελήσῃ, μὴ δυνηθῇ. ὁ οὖν Ἀνυλῖνος ἀντι- C
δὼν τοῦτο, τὴν μὲν ἀσπίδα προεβάλετο, καὶ ἐπ' αὐτῇ τὸ κοῦφον πᾶν ἐπέταξεν, ἵν' οἱ μὲν πόρρωθεν ὑπὲρ αὐτῶν ἀνείργωσι τοὺς ἐναντίους, οἱ δ' ἀσφαλῆ τὴν ἄνοδον σφίσιν ἀντιπαρέχωσι. τοὺς δ' ἱππέας μετὰ Οὐαλεριανοῦ ἔπεμψε τὴν τι ὕλην τρόπον τινὰ περιελθεῖν, καὶ κατὰ νώτου τοῖς Νιγρείοις αἰφνίδιον ἐπιπεσεῖν κελεύσας. ἐπεὶ δὲ εἰς χεῖρας ἦεσαν, τῶν Σευηρείων τὰς ἀσπίδας τὰς μὲν προβαλλομένων, τὰς δὲ ἐπιβαλλομένων ἐς χελώνης τρόπον, καὶ οὕτω πλησιασάντων τοῖς ἐναντίοις,

ἐγένετο μὲν ἰσόρροπος ἡ μάχη ἐπὶ μακρότατον, ἔπειτα οἱ τοῦ
Νίγρου τῷ πλήθει σφῶν καὶ τῇ τοῦ χωρίου φύσει προεῖ-
D χον. κἂν παντελῶς ἐκράτησαν, εἰ μὴ νέφη ἐξ αἰθρίας, καὶ ἄνε-
μος ἐκ νηνεμίας, βρονταί τε σκληραὶ καὶ ἀστραπαὶ ὀξεῖαι μεθ'
ὑετοῦ λάβρου κατὰ πρόσωπον αὐτοῖς προσέπεσον. τοὺς μὲν γὰρ
Σεβηρείους, ἅτε καὶ κατόπιν ὄντας, οὐκ ἔθλιβε ταῦτα· τοὺς δὲ
Νιγρείους ἐμπίπτοντα ἐξ ἐναντίας ἰσχυρῶς ἐτάραττε. μέγι-
στον δ' αὕτη ἡ συντυχία τοῖς μὲν θάρσος, ὡς καὶ
παρὰ τοῦ θείου βοηθουμένοις, τοῖς δὲ δέος, ὡς καὶ ὑπ' αὐτοῦ πο-
282 λεμουμένοις ἐμβαλοῦσα, τοὺς μὲν καὶ ὑπὲρ τὴν ἰσχὺν ἐπέρρωσε,
A τοὺς δὲ καὶ παρὰ τὴν δύναμιν ἐξεφόβησε· καὶ σφίσι φεύγουσιν
ἤδη ὁ Οὐαλεριανὸς ἐπεφάνη. ἰδόντες οὖν αὐτὸν, ἀνάπαλιν
ἐτράποντο, καὶ μετὰ τοῦτο τοῦ Ἀνυλλίνου σφᾶς ἀνακόψαντος ἀνέ-
στρεψαν, εἶτ' ἄνω καὶ κάτω διατρέχοντες, ὅπη διαπέσοιεν, ἐ-
πλανῶντο. καὶ φθόρος ἤδη τὸν πλεῖστον ἐν τῷδε τῷ πολέμῳ
συνέβη γενέσθαι. δύο γὰρ μυριάδες τῶν μετὰ τοῦ Νίγρου διώ-
λοντο. καὶ τοῦτ' ἄρα τὸ τοῦ ἱερέως ὄναρ ἐδήλου· ἐν γὰρ τῇ Παν-
νονίᾳ ὄντος τοῦ Σεβήρου, ὁ ἱερεὺς τοῦ Διὸς ὄναρ εἶδεν ἄνδρα
B τινὰ μέλανα ἐς τὸ στρατόπεδον αὐτοῦ ἐσβιαζόμενον, καὶ ὑπὸ
χειρῶν ἀπολλύμενον. τὸ γὰρ ὄνομα τοῦ Νίγρου ἐξελληνίζοντες οἱ
ἄνθρωποι, τὸν μέλανα ἐκεῖνον εἶναι ἔγνωσαν. ἁλούσης δὲ τῆς
Ἀντιοχείας οὐ πολλῷ ὕστερον, ἔφυγε μὲν ἀπ' αὐτῆς ὡς πρὸς
τὸν Εὐφράτην ὁ Νίγρος, διανοούμενος ἐς τοὺς βαρβάρους
φυγεῖν· ἑάλω δὲ ὑπὸ τῶν καταδιωξάντων, καὶ ἀπετμήθη
τὴν κεφαλήν, καὶ ταύτην ὁ Σεβῆρος ἐς τὸ Βυζάντιον πέμ-
ψας, ἀνεσταύρωσεν, ἵν' ἰδόντες αὐτὴν οἱ Βυζάντιοι προσχωρή-
σωσι. μετὰ δὲ ταῦτα ὁ Σεβῆρος τοὺς τὰ τοῦ Νίγρου φρονήσαντας
C ἐδικαίου. Κάσιος δὲ Κλήμης βουλευτὴς παρ' αὐτῷ τῷ Σε-
βήρῳ κρινόμενος, οὐκ ἀπεκρύψατο τὴν ἀλήθειαν, ἀλλ'
ὧδέ πως ἐπαρρησιάσατο, Ἐγὼ, ἔφη, οὔτε σε οὔτε Νίγρον ἠπι-
στάμην, καταληφθεὶς δὲ δὴ ἐν τῇ ἐκείνου μερίδι, τὸ παρὸν
ἀναγκαίας

ἀναγκαίως ἐθεράπευσα, οὐχ ὡς σοὶ πολεμίων, ἀλλ' ὡς Ἰου-
λιανὸν καταλύσων. οὔτ' οὖν ἐν τούτῳ τι ἠδίκησα, τὰ αὐτά σοι
καὶ ἀρχὰς σπουδάσας, οὔθ' ὅτι μὴ πρὸς σὲ ὕστερον, ἵνα καταλι-
πὼν ἅπαξ ὃν ὑπὸ τοῦ δαιμονίου ἔλαβον, μετέστην. οὐδὲ γὰρ οὐ-
δὲ σὺ τῶν παρακαθημένων σοι καὶ συνδικαζόντων τούτων οὐ-
δένα ἂν ἠθέλησας προδόντα σε πρὸς ἐκεῖνον αὐτομολῆσαι. D
Σκέπαζε οὖν μὴ τὰ σώματα ἡμῶν, μηδὲ τὰ ὀνόματα, ἀλλ'
αὐτὰ τὰ πράγματα. πᾶν γὰρ ὅ,τι ἂν ἡμῶν καταγνῷς, τοῦτο καὶ
σεαυτοῦ καὶ τῶν σῶν ἑταίρων καταψηφιῇ. καὶ γὰρ εἰ τὰ μάλι-
στα μήτε δίκῃ μήτ' ἀποφάσει τινὶ ἁλώσῃ, ἀλλὰ τῇ παρὰ τοῖς
ἀνθρώποις φήμῃ, ἣ ἐς ἀΐδιον μνήμην καταλείψεται, δόξεις
ταῦτα ἐφ' οἷς συνέβη ἑτέροις ἐγκαλεῖν. Ἔνθεν μὲν οὖν ὁ Σεβῆ-
ρος τῆς παρρησίας θαυμάσας, τὴν ἡμίσειαν αὐτῷ τῆς οὐσίας ἔχειν
συνεχώρησεν. οἱ δὲ δὴ Βυζάντιοι καὶ ζῶντος τοῦ Νίγρου καὶ τελευ- 283
τήσαντος πολλὰ καὶ θαυμαστὰ ἔδρασαν. ἡ δὲ πόλις αὐτῶν ἐν A
καιρῷ πάνυ καὶ τῆς ἠπείρου καὶ τῆς διὰ μέσου σφῶν θαλάσσης
κεῖται, τῇ τε τοῦ χωρίου ἅμα καὶ τῇ τοῦ Βοσπόρου φύσει ἰσχυρῶς
παρεσκευασμένη. αὐτή τε γὰρ ἐπὶ μετεώρου πεπόλισται, προέ-
χουσα ἐς τὴν θάλασσαν, καὶ ἐκείνη χειμάρρου δίκην ἐκ τοῦ
Πόντου καταθέουσα, τῇ τε ἄκρᾳ προσπίπτει, καὶ μέρει μέν
τινι ἐς τὰ δεξιὰ ἀποβέπεται, κἀνταῦθα τόν τε κόλπον καὶ τοὺς
λιμένας ποιεῖ· τῷ δὲ δὴ πλείονι πρὸς τὴν Προποντίδα παρ'
αὐτὴν τὴν πόλιν πολλῇ σπουδῇ χωρεῖ. καὶ μέντοι καὶ τὰ τεί-
χη καρτερώτατα εἶχον. ὅ,τε γὰρ θώραξ αὐτῶν λίθοις τετρα- B
πέδοις παχέσι συνῳκοδόμητο πλαξὶ χαλκαῖς συνδουμένοις,
καὶ τὰ ἐντὸς αὐτοῦ καὶ χώμασι καὶ οἰκοδομήμασιν ὠχύρω-
το, ὥστε καὶ ἓν τεῖχος παχὺ τὸ πᾶν εἶναι δοκεῖν, καὶ ἐπάνωθεν
αὐτοῦ περίδρομον καὶ στεγανὸν καὶ εὐφύλακτον ὑπάρχειν. πύρ-
γοι τε καὶ μεγάλοι ἔξω τε ἐκκείμενοι, καὶ θυρίδας πέριξ
ἐπαλλήλας ἔχοντες ἦσαν, ὥστε τοὺς προσβάλλοντας τῷ κύ-
κλῳ ἐντὸς αὐτῶν ἀπολαμβάνεσθαι. δι' ὀλίγου τε γὰρ καὶ οὐ

κατ' εὐθὺ, ἀλλ' οἱ μὲν τῇ, οἱ δὲ τῇ σκολιώτερον ᾠκοδομημένοι,
C πᾶν τὸ προσπίπτον σφίσιν ἀνεκυκλοῦντο. τοῦ δὲ δὴ περιβόλου
τὰ μὲν πρὸς τῆς ἠπείρου, μέγα ὕψος, ὥστε καὶ τοὺς τυχόντας
ἀπ' αὐτῶν ἀμύνασθαι· τὰ δὲ πρὸς τῇ θαλάττῃ, ἧττον. αἵ τε
γὰρ πέτραι ἐφ' ὧν ἐπῳκοδόμηντο, καὶ ἡ τοῦ Βοσπόρου δεινότης
θαυμαστῶς σφίσι συνεμάχουν, οἵ τε λιμένες ἐντὸς τείχους ἀμ-
φότεροι κλειστοὶ ἁλύσεσιν ἦσαν, καὶ αἱ χηλαὶ αὐτῶν πύργους
ἐφ' ἑκάτερα πολὺ προέχοντας ἔφερον, ὥστ' ἄπορον τῷ πο-
λεμίῳ τὸν πρόσπλουν ποιεῖν. τὸ δὲ ὅλον ὁ Βόσπορος σφᾶς μέ-
γιστα ὠφέλει. ἀνάγκη γὰρ πᾶσα, ἂν ἅπαξ τις ἐς τὸ ῥεῦμα ἐμ-
D πέσῃ, καὶ ἄκοντα αὐτὴν πρὸς τὴν γῆν ἐμπεσεῖν. τοῦτο δὲ τῷ
μὲν φίλῳ ἥδιστόν ἐστι, τῷ δὲ ἐναντίῳ ἀπορώτατον. οὕτω μὲν οὖν
τὸ Βυζάντιον ἐτετείχιστο· καὶ προσέτι καὶ μηχαναὶ κατὰ παν-
τὸς τοῦ τείχους ποικιλώταται ἦσαν. τοῦτο μὲν γὰρ, ἐπὶ τοὺς πλη-
σιάζοντας καὶ πέτρας καὶ δοκοὺς ἐνέβαλλον, τοῦτο δὲ, ἐπὶ τοὺς ἀ-
φεστηκότας καὶ λίθους καὶ βέλη δόρατά τε ἠφίεσαν, ὥστε ἐντὸς
πολλοῦ χωρίου μηδένα αὐτῶν ἀκινδύνως πελάσαι δύνα-
284 σθαι· ἁρπάγας τε ἕτεραι ἔχουσαι καὶ καθίεντο ἐξαπιναίως,
A καὶ ἀνέσπων διὰ βραχέος. καὶ πλοῖα καὶ μηχανήματα Πρί-
σκος πολίτης ἐμὸς τὰ πλείω αὐτῶν ἐποιήσατο, καὶ διὰ τοῦτο
θανάτου τε ἅμα ὦφλε καὶ ἐσώθη. ὁ γὰρ Σεβῆρος τὴν τέχνην αὐ-
τοῦ μαθὼν, ἐκώλυσεν αὐτὸν ἀποθανεῖν· κἀκ τούτου ἔς τε ἄλλα
τινὰ αὐτῷ ἐχρήσατο, καὶ ἐς τὴν τῶν Ἄτρων πολιορκίαν· καὶ μόνα
γε τὰ ἐκείνου μηχανήματα οὐκ ἐκαύθη ὑπὸ τῶν βαρβάρων. καὶ
πλοῖα δὲ τοῖς Βυζαντίοις πεντακόσια, τὰ μὲν πλεῖστον μονήρη, ἔστι
B δ' ἃ καὶ δίκροτα κατεσκεύαστο ἐμβόλους ἔχοντα· καί τινα
αὐτῶν ἑκατέρωθεν καὶ ἐκ τῆς πρύμνης καὶ ἐκ τῆς πρῴρας πη-
δαλίοις ἤσκητο, καὶ κυβερνήτας ναύτας τε διπλοῦς εἶχεν, ὅπως
αὐτοὶ μὴ ἀναστρεφόμενοι καὶ ἐπιπλέωσι καὶ ἀναχωρῶσι, καὶ
τοὺς ἐναντίους καὶ ἐν τῷ πρόσπλῳ καὶ ἐν τῷ ἀπόπλῳ σφῶν
σφάλλωσι. πολλὰ μὲν οὖν καὶ ἔδρασαν καὶ ἔπαθον οἱ Βυζάντιοι,

ἐπὶ τοῖς ἐκ τῆς οἰκουμένης ὡς εἰπεῖν στόλοις ἐπὶ ὅλον τριετῆ
χρόνον πολιορκούμενοι λελέξεται ὀλίγα καὶ τὰ ἐχόμενά τινος
θαύματος. ἥρουν μὲν γὰρ πλοῖά τινα παραπλέοντα, ἀκαί-
ρως ἐπιτιθέμενοι· ἥρουν δὲ καὶ τριήρεις τῶν ἐν τῷ ὅρμῳ τῶν C
ἐναντίων οὐσῶν. τάς τε γὰρ ἀγκύρας αὐτῶν ὑφύδροις κολυμβη-
ταῖς ὑποτέμνοντες, καὶ ἥλους ἐς τοὺς ταρσοὺς σφῶν καλῳδίοις
ἐκ τῆς φιλίας ἐκδεδεμένους ἐμπηγνύντες, ἐπεσπῶντο, ὥστ'
αὐτὰς ἐφ' ἑαυτῶν αὐτομάτας προσπλεούσας ὁρᾶσθαι, μήτ'
ἐρέτου μήτ' ἀνέμου μηδενὸς ἐπικατέρχοντος. ἤδη δὲ καὶ ἐθε-
λονταί τινες ἔμποροι ὡς καὶ ἄκοντες ὑπ' αὐτῶν ἡλίσκοντο,
καὶ τὰ ἀγώγιμα μεγάλων χρημάτων πωλήσαντες, ἐξέπλεον
ἐκδιδράσκοντες. ἐπεὶ δὲ πάντων αὐτοῖς ἐκδαπανηθέντων τῶν
ἔνδον, ἐς οὐ στενὸν κομιδῇ τῶν τε πραγμάτων καὶ τῶν ἐλπί-
δων τῶν ἐπ' αὐτοῖς ἐληλύθεσαν, πρότερον μὲν καίπερ πάνυ
πιεζόμενοι, ἅτε καὶ τῶν ἔξω πάντων ἀποκεκλεισμένοι, ὅ- D
μως ἀντεῖχον, καὶ ἔς τε τὰς ναῦς τοῖς τε ξύλοις τοῖς ἐκ τῶν
οἰκιῶν, καὶ ταῖς θριξὶ ταῖς ἐκ τῶν γυναικῶν, σχοινία ἀπ'
αὐτῶν πλέκοντες, ἐχρῶντο, καὶ ὁπότε τινὲς τῷ τείχει προσ-
βάλοιεν, τοῖς τε λίθοις σφίσι τοῖς ἐκ τῶν θεάτρων, καὶ ἵπποις
χαλκοῖς καὶ ἀνδριᾶσι χαλκοῖς ὅλοις ἐπερρίπτουν· ἐπεὶ δὲ
καὶ ἡ τροφὴ σφᾶς ἐπέλιπεν ἡ νενομισμένη, καὶ δέρματα δια-
βρέχοντες ἤσθιον. εἶτα καὶ ταῦτα καταναλώθη· οἱ μὲν
πλείους ἐξέπλευσαν, τηρήσαντες ζάλην καὶ καταιγίδα, ὥς-
τε μηδένα ἀνταναχθῆναι σφίσιν, ἵν' ἢ ἀπόλωνται, ἢ ἐπισιτί-
σωνται. καὶ προσπίπτοντες ἀπροσδοκήτως τοῖς ἀγροῖς, πάν- 285
τα ὁμοίως ἐλῄζοντο. οἱ δὲ ὑπολειπόμενοι δεινότατον ἔργον ἔ- A
δρασαν· ἐπεὶ γὰρ ἐν τῷ ἀσθενεστάτῳ ἐγένοντο, ἐπ' ἀλλήλους ἐ-
τράποντο καὶ ἀλλήλων ἐγεύοντο. οὗτοι μὲν οὖν ἐν τούτοις ἦσαν·
οἱ δ' ἄλλοι ἐπεὶ τὰ σκάφη καὶ ὑπὲρ τὴν δύναμιν αὐτῶν κατε-
γέμισαν, ἦραν, χειμῶνα μέγαν καὶ τότε ἐπιτηρήσαντες. οὐ
μὴν καὶ ὤναντό γε αὐτοῦ· οἱ γὰρ Ῥωμαῖοι καταβαρεῖς αὐτοὺς

καὶ βραχὺ πάνυ τοῦ ὕδατος ὑπερέχοντας ἰδόντες, αἴτιοι ἤχθη-
B σαν. καὶ αὐτοῖς ἐσκεδασμένοις (ὥς που καὶ ὁ ἄνεμος καὶ ὁ κλύ-
δων ἦγε) προσπίπτοντες, ναυμαχίας μὲν οὐδὲν ἔργον εἶχον, τὰ
δὲ δὴ πλοῖα αὐτῶν ἀφειδῶς ἔκοπτον, πολλὰ μὲν τοῖς κοντοῖς
ὠθοῦντες, πολλὰ δὲ καὶ τοῖς ἐμβόλοις ἀναῤῥηγνύντες· ἔστι δ' ἃ
καὶ αὐτῇ τῇ προσβολῇ σφῶν ἀναῤῥύποντες. καὶ ἐκεῖνοι δρᾶσαι
μὲν οὐδέν, οὐδ' εἰ τὰ μάλιστα ἤθελον, ἠδύναντο· διαφυγεῖν δέ
πῃ πειρώμενοι, οἱ μὲν ὑπὸ τοῦ πνεύματος ἀπλήστως αὐτῷ
χρώμενοι ἐβαπτίζοντο, οἱ δ' ὑπὸ τῶν ἐναντίων καταλαμβα-
νόμενοι, διώλλυντο. θεώμενοι δὲ ταῦτα οἱ ἐν τῷ Βυζαντίῳ, τέως
μὲν ἐθεοκλύτουν καὶ ἐπεβόων ἄλλοτε ἄλλοις τοῖς γιγνομένοις,
ὡς ἑκάστῳ τι τῆς θέας ἐκείνης ἢ τοῦ πάθους προσέπιπτεν· ἐ-
C πεὶ δὲ πανσυδεὶ αὐτοὺς ἀπολλυμένους εἶδον, τότε δὴ ἀθρόοι καὶ
ἀνῴμωξαν καὶ ἀνεθρήνησαν, κἀκ τούτου τό, τε λοιπὸν τῆς ἡμέ-
ρας καὶ τὴν νύκτα πᾶσαν ἐπένθουν. τοσαῦτα γὰρ τὰ πάντα ναυά-
για ἐγένετο ὥστε καὶ ἐς τὰς νήσους καὶ ἐς τὴν Ἀσίαν ἐξενεχθῆ-
ναί τινα, καὶ ἀπ' αὐτῶν καὶ τὴν ἧτταν σφῶν, καὶ πρὶν ἀκουσθῆ-
ναι, γνωσθῆναι. καὶ τῇ ὑστεραίᾳ τοῖς Βυζαντίοις ἐπὶ μεῖζον τὸ
δεινὸν ηὐξήθη. ὡς γὰρ ὁ κλύδων ἐστόρεσε, πᾶσα ἡ θάλασσα ἡ
πρὸς τῷ Βυζαντίῳ καὶ τῶν νεκρῶν καὶ τῶν ναυαγίων καὶ τοῦ
D αἵματος ἐπληρώθη, πολλὰ δὲ καὶ εἰς τὴν γῆν ἐξεβράσθη, ὥσ-
τε καὶ χαλεπώτερον ἐκ τῆς ὄψεως σφῶν τὸ δεινὸν αὐτοῦ τοῦ ἔρ-
γου φανῆναι. παρέδοσαν μὲν οὖν αὐτίκα τὴν πόλιν καὶ ἄκοντες
οἱ Βυζάντιοι. Ῥωμαῖοι δὲ τοὺς μὲν στρατιώτας καὶ τοὺς ἐν τέλει
διεχειρίσαντο πάντας, πλὴν τοῦ Πύκτου, ὃς πολλὰ τοὺς Βυζαν-
τίους ὠφέλησε, καὶ τοὺς Ῥωμαίους ἔβλαψεν. οὗτος γὰρ παραχρῆ-
μα πύξ τι παίσας τῶν στρατιωτῶν τινά, καὶ ἑτέρῳ λὰξ ἐνα-
286 θρῶν, ὅπως ὀργισθέντες διαφθείρωσιν αὐτόν, προσεταπάλετο.
A ὁ δὲ Σεβῆρος οὕτως ἥσθη ἐπὶ τῇ ἁλώσει τοῦ Βυζαντίου ὡς καὶ
πρὸς τοὺς στρατιώτας, ἐν τῇ Μεσοποταμίᾳ τότε ὤν, αὐτὸ τοῦτο
εἰπεῖν, Εἵλομεν δὲ καὶ τὸ Βυζάντιον. ἔπαυσε δὲ τὴν πόλιν τῆς τε

ἐλευθερίας καὶ τοῦ ἀξιώματος τοῦ πολιτικοῦ. καὶ δασμοφόρον
ἀποφήνας, τάς τε οὐσίας τῶν πολιτῶν δημεύσας, αὐτήν τε καὶ
τὴν χώραν αὐτῆς Περινθίοις ἐχαρίσατο· καὶ αὐτῇ ἐκεῖνοι οἷα
κώμῃ χρώμενοι οὐδὲν ὅ,τι οὐχ ὕβριζον. ταῦτα μὲν οὖν δικαίως
πως ποιῆσαι ἔδοξε· τὰ δὲ δὴ τείχη τῆς πόλεως διαλύσας, ἐ- B
κείνους μὲν οὐδὲν πλέον τῆς στερήσεως τῆς δόξης, ἣν ἐκ τῆς ἐπι-
δείξεως αὐτῶν ἐκαρποῦντο, ἐλύπησε. τὸ δὲ δὴ Ῥωμαίων μέγα
καὶ φυλακτήριον καὶ ὁρμητήριον πρὸς τοὺς ἐκ τοῦ Πόντου
καὶ τῆς Ἀσίας βαρβάρους καθεῖλε. καὶ εἶδον ἐγὼ τά τε τείχη
πεπτωκότα ὥσπερ ὑπὸ ἄλλων τινῶν ἀλλ' οὐχ ὑπὸ Ῥωμαίων
ἑαλωκότα· ἐτεθεάμην δὲ αὐτὰ καὶ ἑστηκότα, καὶ ἠκηκόειν αὐτῶν
καὶ λαλούντων. ἑπτὰ μὲν γὰρ ἀπὸ τῶν Θρακίων πυλῶν πύργοι
καθήκοντες πρὸς τὴν θάλασσαν ἦσαν. τούτων δ' εἰ μέν τις ἄλλῳ
τῳ προσέμιξεν, ἥσυχος ἦν, εἰ δὲ δὴ τῷ πρώτῳ ἐνεβόησέ τινα, C
ἢ καὶ λίθον ἐνέρριψεν, αὐτός τε μηχανῇ τινι ἐλάλει, καὶ τῷ δευ-
τέρῳ τὸ αὐτὸ τοῦτο ποιεῖν παρεδίδου. καὶ οὕτω διὰ πάντων ὁ-
μοίως ἐχώρει, οὐδὲ ἐπετάραττον ἀλλήλους, ἀλλ' ἐν τῷ μέρει
πάντες, παρὰ τοῦ πρὸ αὐτοῦ ὁ ἕτερος, τήν τε ἠχὼ καὶ τὴν φω-
νὴν διεδέχοντό τε καὶ παρεπέμποντο. τοιαῦτα μὲν τὰ τῶν Βυζαν-
τίων τείχη ἦν. Σεβῆρος δὲ, ἐν ᾧ ταῦτα ἐπολιορκεῖτο, κατὰ τῶν
βαρβάρων ἐπιθυμίᾳ δόξης ἐστράτευσε, τῶν τε Ὀσροηνῶν καὶ
τῶν Ἀδιαβηνῶν καὶ τῶν Ἀράβων. ἐπεὶ δὲ τὸν Εὐφράτην D
διαβὰς ἐς τὴν πολεμίαν ἐσέβαλεν, ἀνύδρου τῆς χώρας οὔ-
σης, ἄλλως τε δὲ καὶ τότε πλέον ὑπὸ τοῦ θέρους ἐξικμασμέ-
νης, ἐκινδύνευσε παμπληθεῖς στρατιώτας ἀποβαλεῖν. κεκμη-
κόσι γὰρ αὐτοῖς ἐκ τῆς πορείας καὶ τοῦ ἡλίου καὶ κονιορτὸς ἐμ-
πίπτων ἰσχυρῶς ἐλύπησεν, ὥστε μήτε βαδίζειν μήτε λαλεῖν
ἔτι δύνασθαι, τοῦτο δὲ μόνον φθέγγεσθαι, Ὕδωρ, ὕδωρ· ἐπεὶ δὲ ἀνε-
φάνη μὲν ἰκμάς, ἐξ ἴσου δὲ τῷ μὴ εὑρεθέντι ἀρχὴν, ὑπὸ τῆς
ἀτοπίας ἦν ὁ Σεβῆρος, κύλικά τε ᾔτησε, καὶ τοῦ ὕδατος πληρώ- 287
σας, ἁπάντων ὁρώντων ἐξέπιε. καὶ τότε μὲν οὕτω καὶ ἄλλοι τινὲς A

προσιόντες ἀνερρώσθησαν. μετὰ δὲ ταῦτα εἰς τὴν Νίσιβιν
ὁ Σεβῆρος ἐλθὼν, αὐτὸς μὲν ἐνταῦθα ὑπέμεινε, Λάτερνον δὲ
καὶ Κάνδιδον καὶ Λαῖτον εἰς τοὺς προειρημένους βαρβάρους
ἄλλον ἄλλῃ ἀπέστειλε. καὶ ἐπεξερχόμενοι οὗτοι, τήν τε χώραν τῶν
βαρβάρων ἐδῄουν καὶ τὰς πόλεις ἐλάμβανον· μέγα δὲ καὶ
ἐπὶ τούτῳ τοῦ Σεβήρου φρονοῦντος, ὡς καὶ πάντας ἀνθρώπους
καὶ συνέσει καὶ ἀνδρίᾳ ὑπερβεβηκότι, πρᾶγμα παραδοξότα-
τον συνηνέχθη. Κλαύδιος γάρ τις λῃστὴς, καὶ τὴν Ἰουδαίαν καὶ
τὴν Συρίαν κατατρέχων, καὶ πολλῇ διὰ τοῦτο σπουδῇ ζητούμενος,
B προσῆλθέ τε αὐτῷ ποτε μεθ' ἱππέων ὡς καὶ χιλίαρχός τις ὢν,
καὶ ἠσπάσατο αὐτὸν καὶ ἐφίλησε, καὶ οὔτε εὐθὺς ἐφωράθη,
οὔθ' ὕστερον συνελήφθη. ἐν δὲ τῷ καιρῷ τούτῳ τοὺς Σκύθας
πολεμησείοντας βρονταί τε καὶ ἀστραπαὶ μετ' ὄμβρου, καὶ κε-
ραυνοὶ βουλευομένοις σφίσιν ἐξαίφνης ἐμπεσόντες, καὶ τοὺς
πρώτους αὐτῶν τρεῖς ἄνδρας ἀποκτείναντες, ἐπέσχον. ὁ δὲ Σε-
βῆρος αὖθις τρία τέλη τοῦ στρατοῦ ποιήσας, καὶ τὸ μὲν τῷ Λαί-
τῳ, τὸ δὲ τῷ Ἀνυλίνῳ καὶ τῷ Πρόβῳ δοὺς, ἐπὶ τὴν ἀρχὴν
C ἐξέπεμψε. καὶ οἱ μὲν ταύτην τριχῇ εἰσβαλόντες, οὐκ ἀμογη-
τὶ ἐχειροῦντο· ὁ δὲ Σεβῆρος ἀξίωμα τῇ Νισίβει δοὺς, ἱππεῖ
ταύτην ἐπέτρεψεν· ἔλεγέ τε μεγάλην τέ τινα χώραν προσ-
κεκτῆσθαι, καὶ πρόβολον αὐτὴν τῆς Συρίας πεποιῆσθαι.
ἐλέγχεται δὲ ἐξ αὐτοῦ τοῦ ἔργου καὶ πολέμων ἡμῖν συνεχῶν
ὡς καὶ δαπανημάτων πολλῶν αἰτία οὖσα. δίδωσι μὲν γὰρ ἐλά-
χιστα, ἀναλίσκει δὲ παμπληθῆ· καὶ πρὸς ἐγγυτέρους τε τῶν Μή-
δων καὶ τῶν Πάρθων προσεληλυθότες ἀεὶ τρόπον τινὰ ὑπὲρ
αὐτῶν μαχόμεθα. τῷ δὲ Σεβήρῳ πόλεμος αὖθις μήπω ἐκ τῶν
D βαρβαρικῶν ἀναπνεύσαντι ἐμφύλιος πρὸς τὸν Ἀλβῖνον τὸν
καίσαρα συνηνέχθη. ὁ μὲν γὰρ οὐδὲ τὴν τοῦ καίσαρος αὐτῷ
ἔτι ἐδίδου τιμὴν, ἐπειδὴ τὸν Νίγρον ἐκποδὼν ἐποιήσατο, τά
τε ἄλλα τὰ ἐνταῦθα ὡς ἐβούλετο κατεστήσατο· ὁ δὲ καὶ τὴν
τοῦ αὐτοῦ αὐτοκράτορος ἐζήτει ὑπεροχήν. συγκινουμένης οὖν

διὰ ταῦτα τῆς οἰκουμένης, ἡμεῖς μὲν οἱ βουλευταὶ ἡσυχίαν ἤγο-
μεν, ὅσοι μὴ πρὸς τοῦτον ἢ ἐκεῖνον φανερῶς ἀποκλίναντες, ἐ-
κοινώνουν σφίσι καὶ τῶν κινδύνων καὶ τῶν ἐλπίδων. ὁ δὲ δῆ-
μος οὐκ ἐκαρτέρησεν, ἀλλ' ἐκφανέστατα κατωδύρετο. ἦν μὲν 288
γὰρ ἡ τελευταία πρὸ τῶν Κρονίων ἱπποδρομία, καὶ συνέδραμεν A
ἐς αὐτὴν ἄπλετόν τι χρῆμα ἀνθρώπων. παρῆν δὲ καὶ ἐγὼ τῇ
θέᾳ διὰ τὸν ὕπατον φίλον μου ὄντα, καὶ πάντα τὰ λεχθέντα
ἀκριβῶς ἤκουσα, ὅθεν καὶ γράψαι τι περὶ αὐτῶν ἠδυνήθην.
ἐγένετο δὲ ὧδε· συνῆλθον μὲν (ὥσπερ εἶπον) ἀμύθητοι, καὶ τὰ
ἅρματα ἑξαχῶς ἁμιλλώμενα ἐθεάσαντο (ὅπερ που καὶ ἐπὶ
τοῦ Κλεάνδρου ἐγεγόνει) μηδὲν μηδένα παράπαν ἐπαινέ-
σαντες, ὅπερ εἰώθεσαν. ἐπειδή τε ἐκεῖνοί τε οἱ δρόμοι ἐπαύσαντο, B
καὶ ἔμελλον οἱ ἡνίοχοι ἑτέρου ἄρξασθαι, ἐνταῦθα σιγήσαντες
ἀλλήλοις ἐξαίφνης, τάς τε χεῖρας πάντες ἅμα συνεκρότη-
σαν, καὶ προσεπεβόησαν, εὐτυχίαν τῇ τοῦ δήμου σωτηρίᾳ αἰ-
τούμενοι. εἶπόν τε τοῦτο, καὶ μετὰ τοῦτο τὴν Ῥώμην καὶ βασιλί-
δα καὶ ἀθάνατον ὀνομάσαντες, Μέχρι πότε τοιαῦτα πάσχο-
μεν, ἔκραξαν, καὶ μέχρι ποῦ πολεμούμεθα; εἰπόντες δὲ ἄλλα
τινὰ τοιουτότροπα, τέλος ἐξεβόησαν ὅτι ταῦτά ἐστι, καὶ πρὸς
τὸν ἀγῶνα τῶν ἵππων ἐξετράποντο. οὕτω μὲν ἔκ τινος θείας
ἐπιπνοίας ἐνεθουσίασαν· οὐ γὰρ ἂν ἄλλως τοσαῦται μυριάδες
ἀνθρώπων οὔτε ἤρξαντο τὰ αὐτὰ ἅμα ἀναβοᾶν, ὥσπερ τις C
ἀκριβῶς χορὸς δεδιδαγμένος, οὔτ' εἶπον αὐτὰ ἀπταίστως ὡς
καὶ μεμελετημένα. ταῦτά τε οὖν ἔτι καὶ μᾶλλον ἡμᾶς ἐτά-
ραττε, καὶ πῦρ αἰφνίδιον νυκτὸς ἐν τῷ ἀέρι τῷ πρὸς Βορρᾶν
τοσοῦτον ὤφθη, ὥστε τοὺς μὲν τὴν πόλιν ὅλην, τοὺς δὲ καὶ τὸν
οὐρανὸν αὐτὸν καίεσθαι δοκεῖν. ὃ δὲ δὴ μάλιστα θαυμάσας ἔ-
χω, ψεκὰς ἐν αἰθρίᾳ ἀργυροειδὴς ἐς τὴν τοῦ Αὐγούστου ἀγορὰν
κατερρύη. φερομένην μὲν γὰρ αὐτὴν οὐκ εἶδον, πεσούσης δὲ
αὐτῆς ᾐσθόμην, καὶ κέρματά τινα ἀπ' αὐτῆς χαλκᾶ κα-
τηργύρωσα, ἃ καὶ ἐπὶ τρεῖς ἡμέρας τὴν αὐτὴν ὄψιν εἶχε· D

τῇ γὰρ τετάρτῃ πᾶν τὸ ἐπαλειφθὲν αὐτῆς ἠφανίσθη. Νυμε-
ριανός τις γραμματιστὴς τῶν τὰ παιδικὰ γράμματα διδα-
σκόντων, ἐκ τῆς Ῥώμης ἐς τὴν Γαλατίαν, οὐκ οἶδ' ὅ,τι δόξαν
αὐτῷ, ἀφορμηθεὶς, βουλευτής τε εἶναι τῶν Ῥωμαίων πλασάμε-
νος, καὶ ἐπὶ στρατιᾶς ἄθροισιν ὑπὸ τοῦ Σεβήρου πεμφθῆναι,
συνήγαγέ τινα βραχεῖαν πρῶτον ἰσχὺν, καί τινας τῶν τοῦ Ἀλ-
βίνου ἱππέων διέφθειρε, καὶ ἄλλα τινὰ ὑπὲρ τοῦ Σεβήρου ἐνεα-
νιεύσατο· ἀκούσας δὲ ὁ Σεβῆρος, καὶ νομίσας ὄντως τινὰ τῶν
289 βουλευτῶν εἶναι, ἐπέστειλεν ἐπαινῶν ἐπί τε αὐτῷ, καὶ δύναμιν
A κελεύων πλείονα προσλαβεῖν. καὶ ὃς λαβὼν πλείονα δύνα-
μιν, ἄλλα τε θαυμαστὰ ἐπεδείξατο, καὶ χιλίας καὶ ἑπτακοσίας καὶ
πεντήκοντα μυριάδας δραχμῶν ἑλὼν τῷ Σεβήρῳ ἔπεμψε.
νικήσαντος δὲ τοῦ Σεβήρου πρὸς αὐτὸν ἐλθὼν, οὔτ' ἀπεκρύ-
ψατό τι, οὔτ' ᾔτησεν ὡς ἀληθῶς βουλευτὴς γενέσθαι· καὶ τι-
μαῖς μεγάλαις πλούτῳ τε αὖ αὐξηθῆναι δυνηθεὶς, οὐκ ἠθέ-
λησεν, ἀλλ' ἐν ἀγρῷ τινι σμικρόν τι ἐφ' ἡμέραν λαμβάνων
B παρ' αὐτοῦ διεβίω. ὁ δὲ δὴ ἀγὼν τῷ τε Σεβήρῳ καὶ τῷ Ἀλβίνῳ
πρὸς τῷ Λουγδούνῳ τοιόσδε ἐγένετο· πεντεκαίδεκα μὲν μυ-
ριάδες στρατιωτῶν σὺν ἀμφοτέροις ὑπῆρχον· παρῆσαν δὲ καὶ
ἀμφότεροι τῷ πολέμῳ, ἅτε περὶ ψυχῆς θέοντες, καίτοι τοῦ Σε-
βήρου μηδεμιᾷ πω μάχῃ ἑτέρᾳ παραγεγονότος. ἦν δὲ ὁ μὲν Αλ-
βῖνος καὶ τῷ γένει καὶ τῇ παιδείᾳ προέχων, ἅτερος δὲ πολέμια
κρείττων καὶ δεινὸς στρατηγῆσαι. συνέβη δὲ τὸν Ἀλβῖνον προ-
τέρᾳ μάχῃ νικῆσαι τὸν Λοῦπον τῶν τοῦ Σεβήρου στρατηγῶν ὄν-
τα, καὶ πολλοὺς τῶν σὺν αὐτῷ διαφθεῖραι στρατιωτῶν. ὁ δὲ τότε
ἀγὼν πολλὰς ἔσχεν ἰδέας τε καὶ τροπάς. τὸ μὲν γὰρ λαιὸν κέρας τοῦ
Ἀλβίνου ἡττήθη τε καὶ κατέφυγεν ἐς τὸ ἔρυμα. καὶ οἱ Σεβή-
C ρειοι στρατιῶται διώκοντες συνεισέπεσον, καὶ ἐκείνους τε ἐφό-
νευον, καὶ τὰς σκηνὰς διήρπαζον. ἐν δὲ τούτῳ οἱ περὶ τὸ δεξιὸν
κέρας τεταγμένοι τοῦ Ἀλβίνου στρατιῶται, κρυπτὰς τάφρους ἔ-
χοντες πρὸ αὐτῶν, καὶ ὀρύγματα γῇ ἐπιπολαίως κεκαλυμ-

μένα, μέχρι μὲν ἐκείνων προῄεσαν καὶ ἠκόντιζον πόρρωθεν, περαι-
τέρω δὲ οὐ προεχώρουν· ἀλλὰ καὶ ὡς δεδιότες ἀνέστρεφον, ὅ-
πως ἐπισπάσωνται τοὺς ἐναντίους εἰς δίωξιν· ὃ δήποτε καὶ ἐγέ-
νετο. ἀγανακτήσαντες γὰρ οἱ Σεβήρειοι πρὸς τὴν δι' ὀλίγου αὐ-
τῶν ἐξόρμησιν, καὶ καταφρονήσαντες αὖ πρὸς τὴν ἐκ βρα-
χέος ἀνάφευξιν, ὥρμησαν ἐπ' αὐτοὺς ὡς καὶ παντὸς τοῦ μεται-
χμίου σφῶν ἐμβατοῦ ὄντος. καὶ γενόμενοι κατὰ τὰς τάφρους, πα- D
θήματι δεινῷ συνηνέχθησαν. οἱ μὲν γὰρ πρωτοστάται, καταρραγέν-
των εὐθὺς τῶν ἐξ ἐπιπολῆς ἐπικειμένων, ἐς τὰ ὀρύγματα ἐνέ-
πεσον, καὶ οἱ ἐπιτεταγμένοι σφίσιν ἐμπίπτοντες αὐτοῖς, ἐσφάλ-
λοντο καὶ κατέπιπτον, καὶ οἱ λοιποὶ δείσαντες ἀνεχώρουν ὀπίσω,
καὶ ἅτε ἐξαίφνης ἀναστρεφόμενοι, αὐτοί τε ἔπταιον, καὶ τοὺς οὐρα-
γοῦντας ἀνέτρεπον, ὥστε καὶ ἐς φάραγγα αὐτοὺς βαθεῖαν συνῶ-
σαι. ἐγένετο δὴ τούτων τε καὶ τῶν εἰς τὰς τάφρους πεσόντων φό-
νος πολὺς ἀναμὶξ ἵππων τε καὶ ἀνδρῶν. ἐν δὲ τῷ θορύβῳ τού- 290
τῳ, καὶ οἱ μεταξὺ τῆς τε φάραγγος καὶ τῶν τάφρων, βαλλόμενοί τε A
καὶ τοξευόμενοι διεφθείροντο. ἰδὼν δὲ ταῦτα ὁ Σεβῆρος, ἐπεκού-
ρησε μὲν αὐτοῖς μετὰ τῶν δορυφόρων, τοσούτου δὲ ἐδέησεν αὐτοὺς
ὠφελῆσαι, ὥστε καὶ τοὺς δορυφόρους ὀλίγου δεῖν προσαπώλεσε,
καὶ αὐτὸς τὸν ἵππον ἀποβαλὼν ἐκινδύνευσεν. ὡς δὲ εἶδε φεύ-
γοντας πάντας τοὺς ἑαυτοῦ, τὴν χλαμύδα περιρρηξάμενος, καὶ
τὸ ξίφος σπασάμενος, ἐς τοὺς φεύγοντας εἰσεπήδησεν, ὅπως οἱ
αἰδεσθέντες ὑποστρέψωσιν, ἢ καὶ αὐτὸς αὐτοῖς συναπόληται. ἔ-
στησαν γοῦν τινὲς τοῦτον αὐτὸν ἰδόντες, καὶ ὑπέστρεψαν·
κἀν τούτῳ τοῖς ἑπομένοις σφίσιν ἐναντίοι ἐξαίφνης φανέν- B
τες, συχνοὺς μὲν ἐκείνων, ὡς καὶ Ἀλβινείους, κατέκοψαν, πάντας
δὲ τοὺς ἐπιδιώκοντας σφᾶς ἔτρεψαν. καὶ αὐτοῖς ἐνταῦθα ἱπ-
πεῖς ἐκ πλαγίου οἱ μετὰ τοῦ Λαίτου ἐπιγενόμενοι, τὸ λοιπὸν ἐξ-
ειργάσαντο. ὁ γὰρ Λαῖτος, ἕως μὲν ἀγχωμάλως ἠγωνίζοντο,
περιεωρᾶτο, ἐλπίζων ἐκείνους τε ἀμφοτέρους ἀπολεῖσθαι, καὶ
ἑαυτῷ τὸ κράτος τοὺς λοιποὺς στρατιώτας ἑκατέρωθεν δώσειν·

ἐπεὶ δ' εἶδον ἐπικρατέστερα τὰ τοῦ Σεβήρου γιγνόμενα, προσε-
C πελάβετο τοῦ ἔργου. ὁ μὲν δὴ Σεβῆρος οὕτως ἐνίκησεν. ἡ δὲ δύ-
ναμις ἡ τῶν Ῥωμαίων ἰσχυρῶς ἔπταισεν, ἅτε ἀμφοτέρωθεν ἀ-
ναριθμήτων πεσόντων· καὶ πολλοὶ καὶ τῶν κρατησάντων ὠ-
λοφύραντο τὸ πάθος. τό, τε γὰρ πεδίον πᾶν μεστὸν νεκρῶν καὶ ἀν-
δρῶν καὶ ἵππων ἑωρᾶτο, καὶ αὐτῶν οἱ μὲν τραύμασι πολλοῖς
κατακεκομμένοι, καὶ οἱ κρεουργηθέντες ἔκειντο, οἱ δὲ καὶ ἄ-
τρωτοι ἐσεσώρευντο· τά τε ὅπλα ἔρριπτο, καὶ τὸ αἷμα πολὺ ἐρ-
ρύη, ὥστε καὶ εἰς τοὺς ποταμοὺς εἰσπεσεῖν. ὁ δ' Ἀλβῖνος κα-
ταφυγὼν εἰς οἰκίαν τινὰ πρὸς τῷ Ῥοδανῷ κειμένην, ἐπειδὴ
D πάντα τὰ πέριξ φρουρούμενα ᾔσθετο, ἑαυτὸν ἀπέκτεινε. λέ-
γω γὰρ οὐχ ὅσα ὁ Σεβῆρος ἔγραψεν, ἀλλ' ὅσα ἀληθῶς ἐγένετο.
ἰδὼν δ' οὖν τὸ σῶμα αὐτοῦ, καὶ πολλὰ μὲν τοῖς ὀφθαλμοῖς, πολ-
λὰ δὲ τῇ γλώττῃ χαρισάμενος, τὸ μὲν ἄλλο ῥιφῆναι ἐκέλευσε, τὴν
δὲ κεφαλὴν ἐς τὴν Ῥώμην πέμψας ἀνεσταύρωσεν. ἐφ' οἷς δῆλος
γενόμενος ὡς οὐδὲν εἴη αὐτοκράτορος ἀγαθοῦ, ἔτι μᾶλλον ἡ-
μᾶς τε καὶ τὸν δῆμον, οἷς ἐπέστελλεν, ἐξεφόβησεν. ἅτε γὰρ πάντως ἤ-
δη τοῦ ὡπλισμένου κεκρατηκώς, ἐξέχεεν εἰς τοὺς ἀόπλους πᾶν
291 ὅσον ὀργῆς ἐς αὐτοὺς ἐκ τοῦ πρὶν χρόνου ἠθροίκει. μάλιστα δ'
A ἡμᾶς ἐξέπληξεν ὅτι τοῦ τε Μάρκου υἱὸν καὶ τοῦ Κομμόδου ἀ-
δελφὸν ἑαυτὸν ἔλεγε, τῷ τε Κομμόδῳ, ὃν πρῴην ὕβριζεν,
ἡρωϊκὰς ἐδίδου τιμάς. πρός τε τὴν βουλὴν λόγον ἀναγινώ-
σκων, καὶ τὴν μὲν Σύλλου καὶ Μαρίου καὶ Αὐγούστου αὐστηρίαν τε
καὶ ὠμότητα ὡς ἀσφαλεστέραν ἐπαινῶν, τὴν δὲ Πομπηΐου καὶ
Καίσαρος ἐπιείκειαν ὡς ὀλεθρίαν αὐτοῖς ἐκείνοις γεγενημέ-
νην κακίζων, ἀπολογίαν τινὰ ὑπὲρ τοῦ Κομμόδου ἐπήγαγε,
καθαπτόμενος τῆς βουλῆς ὡς οὐ δικαίως ἐκεῖνον ἀτιμαζούσης,
B εἴγε καὶ αὐτῆς οἱ πλείους αἴσχιον βιοτεύουσιν. εἰ γὰρ τοῦτο δεινόν, ἔφη,
δεινόν, ὅτι αὐτοχειρίᾳ ἐφόνευεν ἐκεῖνος θηρία, ἀλλὰ καὶ ὑμῶν
τις χθὲς καὶ πρῴην ἐν Ὀστίοις ὑπατευκὼς γέρων δημοσίᾳ μετὰ
πόρνης πάρδαλιν μιμουμένης ἔπαιζεν. ἀλλ' ἐμονομάχει νὴ

Δία, ὑμῶν δ' οὐδεὶς μονομαχεῖ. πῶς οὖν καὶ ἐπὶ τῇ ταφῇ τε ἀ-
σπίδας αὐτοῦ καὶ τὰ κράνη τὰ χρυσᾶ ἐκεῖνα ἐποιήσαντό τινες;
ἀναγνοὺς δὲ ταῦτα, τριάκοντα μὲν καὶ πέντε ἀπέλυσε τῶν τὰ Ἀλ-
βίνου φρονῆσαι αἰτιαθέντων, καὶ ὡς μηδεμίαν τὸ παράπαν αἰ- C
τίαν ἐσχηκόσιν αὐτοῖς προσεφέρετο· ἦσαν δὲ ἐν τοῖς πρώτοις
τῆς γερουσίας. ἐννέα δὲ καὶ εἴκοσιν ἀνδρῶν θάνατον κατεψηφί-
σατο, ἐν οἷς ἄρα καὶ Σουλπικιανὸς ὁ τοῦ Περτίνακος πενθερὸς ἠρι-
θμεῖτο. μετὰ δὲ ταῦτα ὁ Σεβῆρος ἐκστρατεύει κατὰ τῶν Πάρθων·
ἀσχολουμένου γὰρ αὐτοῦ ἐς τοὺς ἐμφυλίους πολέμους, ἐκεῖνοι ἀ-
δείας λαβόμενοι τήν τε Μεσοποταμίαν εἷλον, στρατεύσαντες
παμπληθεί. καὶ μικροῦ καὶ τὴν Νίσιβιν ἐχειρώσαντο, εἰ μὴ Λαῖ-
τος αὐτὴν πολιορκούμενος ἐν αὐτῇ διεσώσατο. καὶ ἀπ' αὐτῆς
ἐπὶ πλεῖον ἐδοξάσθη, ὢν καὶ ἐς τὰ ἄλλα τά τε πολιτικὰ καὶ
τὰ ἴδια καὶ τὰ δημόσια, καὶ ἐν τοῖς πολέμοις καὶ ἐν τῇ εἰ-
ρήνῃ ἄριστος. ἀφικόμενος δὲ ἐς τὴν προειρημένην Νίσιβιν ὁ D
Σεβῆρος, ἐνέτυχε συῒ μεγίστῳ. ἱππέα τε γὰρ ἔκτεινεν ὁρμήσας
καταβαλεῖν αὐτὸν πειρώμενον, καὶ τῇ ἑαυτοῦ ἰσχύϊ θαρρήσαν-
τα, μόλις δὲ ὑπὸ πολλῶν στρατιωτῶν συλληφθείς τε καὶ σφα-
γείς, τριάκοντα τὸν ἀριθμὸν ὄντων τῶν συλλαβόντων αὐτόν,
τῷ Σεβήρῳ προσεκομίσθη. τῶν δὲ Πάρθων οὐ μεινάντων αὐτόν,
ἀλλ' οἴκαδε ἀναχωρησάντων (ἦρχε δὲ αὐτῶν Οὐολόγαισος, οὗ
ἀδελφὸς συνῆν τῷ Σεβήρῳ) πλοῖα κατασκευάσας ὁ Σεβῆ-
ρος ἐν τῷ Εὐφράτῃ, καὶ πλέων τε καὶ βαδίζων παρ' αὐτόν,
διὰ τὸ εἶναι λίαν ὀξύτατα καὶ ταχινὰ καὶ εὖ ἐσταλμένα τὰ παρὰ 292
τὸν Εὐφράτην ὕλης, καὶ τῶν ἐκεῖσε χωρίων ἄφθονον διδούσης A
αὐτῷ τὴν τῶν ξύλων χορηγίαν, τὰ κατασκευασθέντα ταχέως,
τήν τε Σελεύκειαν καὶ τὴν Βαβυλῶνα ἐκλειφθείσας ἔλα-
βε. καὶ μετὰ τοῦτο καὶ τὴν Κτησιφῶντα ἑλών, ἐκείνην τε πᾶσαν διαρ-
πάσαι τοῖς στρατιώταις ἐφῆκε, φόνον τε ἀνθρώπων πλεῖστον
εἰργάσατο, καὶ ζῶντας ἐς δέκα μυριάδας εἷλεν. οὐ μέντοι οὔτε
τὸν Οὐολόγαισον ἐπεδίωξεν, οὔτε τὴν Κτησιφῶντα κατέσχεν,

ἀλλ' ὥσπερ ἐπὶ τοῦτο μόνον ἐστρατευκὼς ἵνα αὐτὴν διαρπά-
σῃ, ᾤχετο, τὸ μὲν ἀγνωσίᾳ τῶν χωρίων, τὸ δ' ἀπορίᾳ τῶν ἐπι-
B τηδείων. ὑπέστρεψε δὲ καθ' ἑτέραν ὁδόν. τά τε γὰρ ξύλα καὶ ὁ
χόρτος ὁ ἐν τῇ προτέρᾳ εὑρεθεὶς κατανάλωτο. καὶ οἱ μὲν
αὐτῷ τῶν στρατιωτῶν πεζῇ ἄνω παρὰ τὸν Τίγριν, οἱ δὲ καὶ ἐπὶ
πλοίων ἀνεπορεύθησαν. καὶ μετὰ τοῦτο ὁ Σεβῆρος τὴν Μεσοποτα-
μίαν διαβὰς, ἐπειράθη μὲν καὶ τῶν Ἄτρων οὐ πόρρω ὄντων, ἐπέ-
ρανε δ' οὐδὲν ἀλλὰ καὶ τὰ μηχανήματα κατεκαύθη, καὶ στρα-
τιῶται συχνοὶ μὲν ἀπώλοντο, πάμπολλοι δὲ καὶ ἐτρώθησαν. ἀ-
πανέστη οὖν ἀπ' αὐτῶν καὶ ἀνέζευξεν ὁ Σεβῆρος. ἐν ᾧ δὲ ἐπο-
λέμει, δύο ἄνδρας τῶν ἐπιφανῶν ἀπέκτεινεν, Ἰούλιον Κρί-
σπον χιλιαρχοῦντα δορυφόρων, ὅτι ἀχθεσθεὶς τῇ τοῦ πολέ-
C μου κακώσει, ἔπος τι τοῦ Μάρωνος ποιητοῦ παρεφθέγξατο, ἐν
ᾧ ἐκεῖνο στρατιώτης τις τῶν μετὰ Τούρνου τῷ Αἰνείᾳ ἀντιπολε-
μούντων, ὀδυρόμενος καὶ λέγων, ὅτι ἵνα δὴ τὴν Λαβινίαν ὁ
Τοῦρνος ἀγάγηται, ἡμεῖς ἐν οὐδενὶ λόγῳ παραπολλύμεθα. καὶ
τὸν κατηγορήσαντα αὐτοῦ στρατιώτην Οὐαλέριον, χιλίαρχον
ἀντ' αὐτοῦ ὁ Σεβῆρος ἀπέδειξεν. ἀπέκτεινε δὲ καὶ τὸν Λαῖτον,
ὅτι τι φρόνημα εἶχε, καὶ ὅτι ὑπὸ τῶν στρατιωτῶν ἠγαπᾶτο· καὶ οὐκ
ἄλλως στρατεύσειν ἔλεγον, εἰ μὴ Λαῖτος αὐτῶν ἡγοῖτο. καὶ τού-
D του τὸν φόβον, διότι οὐκ εἶχε φανερὰν αἰτίαν, εἰ μὴ τὸν φθό-
νον, τοῖς στρατιώταις προσῆπτεν ὥσπερ παρὰ γνώμην αὐτοῦ
τοῦτο τετολμηκόσιν. αὐτὸς δὲ πάλιν ἐπὶ τὰ Ἄτρα ἐστράτευσε,
πολλὰ μὲν σιτία παρασκευάσας, πολλὰ δὲ καὶ μηχανήματα
ἑτοιμασάμενος. καὶ γὰρ δεινὸν ἐποιεῖτο, τῶν ἄλλων κεχειρωμένων,
μόνην ταύτην ἐν μέσῳ κειμένην ἀντέχειν. καὶ ἀπώλεσε καὶ χρή-
ματα πλεῖστα, καὶ τὰ μηχανήματα πάντα, πλὴν τῶν Πρισκείων,
ὡς ἀνωτέρω ἔφην, καὶ σὺν τούτοις καὶ στρατιώτας πολλούς. συ-
χνοὶ μὲν γὰρ καὶ ἐν ταῖς προνομαῖς ἐφθείροντο, τῆς βαρβαρικῆς ἵπ-
293 που, φημὶ δὴ τῆς τῶν Ἀρράβων, πανταχοῦ τε ὀξέως καὶ σφοδρῶς
A ἐπιπιπτούσης αὐτοῖς· καὶ οἱ Ἀτρηνοὶ ἐξικνοῦντο μὲν καὶ ταῖς

τοξείαις ἐπὶ μακρότατον. καὶ γὰρ οἱ μηχανῶν βέλη τινὰ ἐξέ-
κρουον, ὥστε πολλοὺς καὶ τῶν τοῦ Σεβήρου ὑπασπιστῶν βαλεῖν, συν-
δύο τῶν αὐτῶν βέλη ἀπὸ τὴν αὐτὴν ῥύμην ἱέντων, πολλαῖς
τε ἅμα χερσὶ καὶ πολλοῖς τοξεύμασι βαλλόντων· πλεῖστοι δ' ὅμως
ἐκάκωσαν αὐτοὺς ἐπειδὴ τῷ τείχει προσέμιξαν, καὶ πολὺ πλεῖον
ἐπεὶ καὶ διέρρηξαί τι αὐτοῦ· τά τε γὰρ ἄλλα καὶ τὸν νάφθα τὸν ἀ-
σφαλτώδη ἐκεῖνο, περὶ οὗ ἄνω μοι γέγραπται, ἀφιέντες σφίσι,
τά τε μηχανήματα καὶ τοὺς στρατιώτας πάντας, οἷς ἐπεβλήθη,
κατέπρησαν· καὶ αὐτὰ ὁ Σεβῆρος ἀπὸ βήματος ὑψηλοῦ ἐθεώ- B
ρει. πεσόντος δέ πῃ τοῦ ἔξωθεν περιβόλου, καὶ τῶν στρατιωτῶν
πάντων προθυμουμένων ἐς τὸ λοιπὸν ἐσβιάσασθαι, ἐκώλυσεν
αὐτοὺς ὁ Σεβῆρος τοῦ πρᾶξαι, τοὺς πανταχόθεν τὸ ἀνακλη-
τικὸν σημανθῆναι κελεύσας. δόξα τις γὰρ τοῦ χωρίου, ὡς καὶ
πάμπολλα τά τε ἄλλα χρήματα καὶ τὰ τοῦ ἡλίου ἀναθήμα-
τα ἔχοντος μεγάλη ἦν, καὶ προσεδόκησεν ἐθελοντὶ τοὺς Ἀῤ-
ῥαβίους, ἵνα μὴ βίᾳ ἁλόντες ἀνδραποδισθῶσιν, ὁμολογήσειν.
μίαν γοῦν διαλιπὼν ἡμέραν, ὡς οὐδεὶς αὐτῷ ἐπεκηρυκεύσα-
το, προσέταξεν αὖθις τοῖς στρατιώταις τῷ τείχει, καίπερ ἀνοι- C
κοδομηθέντι νυκτὸς, προσβαλεῖν. καὶ αὐτῷ τῶν μὲν Εὐρω-
παίων τῶν δυναμένων τι κατεργάσασθαι οὐδεὶς ἔτ' ὀργῇ ὑπή-
κουσεν, ἕτεροι δὲ δὴ Σύροι ἀναγκασθέντες ἀντ' αὐτῶν προσ-
βαλεῖν, κακῶς ἐφθάρησαν. καὶ οὕτως Θεὸς ὁ ῥυσάμενος τὴν
πόλιν, τοὺς μὲν στρατιώτας δυνηθέντας ἂν εἰς αὐτὴν εἰσελθεῖν,
διὰ τοῦ Σεβήρου ἀνεκάλεσε, καὶ τὸν Σεβῆρον αὖ βουληθέντα
αὐτὴν μετὰ τοῦτο λαβεῖν, διὰ τῶν στρατιωτῶν ἐκώλυσεν. οὕτως
γοῦν ὁ Σεβῆρος ἐπὶ τούτοις διηπορήθη, ὥστε τινὸς τῶν ἀμφ'
αὐτὸν ὑποσχομένου αὐτῷ, ἐάν γε αὐτῷ δῶσι πεντακοσίους καὶ
πεντήκοντα μόνους τῶν Εὐρωπαίων στρατιωτῶν, ἄνευ τοῦ τῶν ἄλλων D
κινδύνου τὴν πόλιν ἐξαιρήσειν, ἔφη πάντων ἀκουόντων, καὶ
πόθεν τοσούτους στρατιώτας ἔχω, πρὸς τὴν ἀπείθειαν τῶν στρα-
τιωτῶν τοῦτο εἰπών. εἴκοσι δ' οὖν ἡμέρας τῇ πολιορκίᾳ

προσενδιατρίψας, ἐς τὴν Παλαιστίνην μετὰ τοῦτο ἦλθε, καὶ τῷ Πομ-
πηΐῳ ἐνήγισεν. ἐλθὼν δὲ καὶ ἐς τὴν Αἴγυπτον, πᾶσάν τι εἶδε, καὶ
ἐπολυπραγμόνησε πάντα καὶ τὰ πάνυ κεκρυμμένα. ἦν γὰρ
οἷος μηδὲν μήτε ἀνθρώπινον μήτε θεῖον ἀδιερεύνητον κατα-
294 λιπεῖν. κἀκ τούτου τά τε βιβλία πάντα τὰ ἀπόρρητόν τι ἔ-
A χοντα, ὅσα καὶ εὑρεῖν ἠδυνήθη, ἐκ πάντων ὡς εἰπεῖν τῶν ἀδύ-
των ἀνεῖλε, καὶ τὸ τοῦ Ἀλεξάνδρου μνημεῖον συνέκλεισεν, ἵνα
μηδεὶς ἔτι μήτε τὸ σῶμα τούτου ἴδῃ, μήτε τὰ ἐν ἐκείνοις γε-
γραμμένα ἀναλέξηται. καὶ ὁ μὲν ταῦτ' ἐποίει. ἐγὼ δὲ τὰ μὲν
ἄλλα τῆς Αἰγύπτου οὐδὲν δέομαι γράφειν· ὃ δὲ δὴ περὶ τοῦ
Νείλου πολλαχόθεν ἀκριβώσας ἔχω, δικαιότατός εἰμι εἰπεῖν.
ἐκ γὰρ τοῦ Ἄτλαντος τοῦ ὄρους σαφῶς ἀναδίδοται· τοῦτο δὲ ἐστὶν
ἐν τῇ Μακεννίτιδι παρ' αὐτῷ τῷ ὠκεανῷ πρὸς ἑσπέραν, καὶ
B ὑπεραίρει πολὺ πλεῖστον ἁπάντων ὀρῶν· ὅθεν οἱ ποιηταὶ κίονα
αὐτὸν τοῦ οὐρανοῦ εἶναι ἔφησαν. οὔτε γὰρ ἀνέβη ποτέ τις ἐπ' ἄ-
κρον αὐτοῦ, οὔτε τὰς κορυφὰς αὐτοῦ εἶδε. χιόνος τε οὖν ἀεὶ
διὰ ταῦτα πεπλήρωται, καὶ τὸ ὕδωρ ἐξ αὐτῆς παμπληθὲς
ὑπὸ τὸ θέρος ἀφίησιν. ἔστι μὲν καὶ ἄλλως ἑλώδη πάντα τὰ
περὶ τοὺς πρόποδας αὐτοῦ, τότε δὲ ἐπὶ μᾶλλον πληθύνεται, καὶ
ἐκ τούτου τὸν Νεῖλον τὴν ὡραίαν ἐπαύξει. πηγὴ γάρ ἐστιν
αὐτοῦ, ὥσπερ που καὶ τοῖς κροκοδείλοις, καὶ ἄλλοις ἑκατέρω-
θι ὁμοίως γινομένοις τεκμηριοῦται. καὶ θαυμάσῃ μηδεὶς
C εἰ τὰ τοῖς ἀρχαίοις Ἕλλησιν ἄγνωστα ἐξευρήκαμεν. πλησίον
γὰρ οἱ Μακεννῖται τῇ Μαυριτανίᾳ τῇ κάτω οἰκοῦσι, καὶ πολ-
λοὶ τῶν ἐκεῖ στρατευομένων καὶ πρὸς τὸν Ἄτλαντα ἀφικνοῦν-
ται. τοῦτο μὲν οὕτως ἔχει. Πλαυτιανὸς δὲ παραδυναστεύων
τῷ Σεβήρῳ, καὶ τὴν ἐπαρχικὴν ἔχων ἐξουσίαν, πλεῖστά τε
ἀνθρώπων καὶ μέγιστα δυνηθεὶς, πολλοὺς μὲν τῶν ἐλλογίμων
ἀνδρῶν καὶ ὁμοτίμων αὐτῷ ἐθανάτωσε· πάντων δὲ ἐπεθύμει,
καὶ πάντα παρὰ πάντων ᾔτει, καὶ πάντα ἐλάμβανε. καὶ
οὔτε ἔθνος οὐδὲν οὔτε πόλιν οὐδεμίαν ἀσύλητον εἴασεν· ἀλλὰ

πάντα δὲ καὶ πανταχόθεν ἥρπαζε, καὶ συνεφόρει· καὶ πολὺ D
πλείονα αὐτῷ ἢ τῷ Σεβήρῳ πάντες ἔπεμπον. καὶ τέλος ἵππους
ἡλίῳ τιγροειδεῖς ἐκ τῶν ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ νήσων, πέμ-
ψας ἑκατοντάρχοις, ἐξέκλεψεν. ἓν γὰρ τοῦτο εἰπὼν, πᾶσαν αὐτοῦ
τὴν περιεργίαν καὶ τὴν ἀπληστίαν δεδηλωκέναι νομίζω. καίτοι
καὶ ἐκεῖνο προσθήσω ὅτι ἀνθρώπους ἑκατὸν ἀγαθοὺς Ῥωμαίους
ἐξέτεμεν οἴκοι. καὶ τοῦτο οὐδεὶς ἡμῶν πρὸ τοῦ τελευτῆσαι αὐτὸν
ᾔσθετο. τῷ δὲ γὰρ ἐκ τούτου τήν τε παρανομίαν αὐτοῦ καὶ ἐξου- 295
σίαν ἄν τις καταμάθοι. ἐξέτεμε δὲ οὐ παῖδας μόνον, εἴτε μει- A
ράκια, ἀλλὰ καὶ ἄνδρας, καὶ ἔστιν οὓς αὐτῶν καὶ γυναῖκας ἔ-
χοντας, ὅπως ἡ Πλαυτίλλα ἡ θυγάτηρ αὐτοῦ (ἣν ὁ Ἀντωνῖνος
μετὰ ταῦτ' ἔγημε) δι' εὐνούχων τήν τε ἄλλην θεραπείαν ἔχῃ.
καὶ εἴδομεν τοὺς αὐτοὺς ἀνθρώπους εὐνούχους τε καὶ ἄνδρας καὶ
πατέρας ἀνόρχεις, ἐκτομίας τε καὶ πωγωνίας. ἀφ' οὗ δὴ οὐκ ἀ-
πεικότως ὑπὲρ πάντας τὸν Πλαυτιανὸν, καὶ εἰς αὐτοὺς τοὺς
αὐτοκράτορας ἰσχῦσαι ἄν τις εἴπῃ. τά τε γὰρ ἄλλα καὶ ἀνδριάντες
αὐτοῦ εἰκόνες οὐ μόνον πολλῷ πλείους, ἀλλὰ καὶ μείζους τῶν B
ἐκείνων, οὐδ' ἐν ταῖς ἄλλαις πόλεσι μόνον, ἀλλὰ καὶ ἐν αὐτῇ
τῇ Ῥώμῃ, οὐδ' ὑπὸ ἰδιωτῶν ἤδη μόνον, ἀλλὰ καὶ ὑπ' αὐ-
τῆς τῆς γερουσίας ἀνετέθησαν. τήν τε τύχην αὐτοῦ πάντες οἱ
στρατιῶται καὶ οἱ βουλευταὶ ὤμνυσαν, καὶ ὑπὲρ τῆς σωτηρίας
αὐτοῦ δημοσίᾳ ἅπαντες ηὔχοντο. αἴτιος δὲ τούτων αὐτὸς ὁ Σε-
βῆρος μάλιστ' ἐγένετο, ὃς οὕτως αὐτῷ ὑπεῖκεν ἐς πάντα, ὥστ'
ἐκεῖνον μὲν ἐν αὐτοκράτορος, αὐτὸν δὲ ἐν ἐπάρχου μοίρᾳ εἶναι.
τά τε γὰρ ἄλλα, καὶ ὁ μὲν πάνθ' ἁπλῶς ὅσα ὁ Σεβῆρος καὶ
ἔλεγεν καὶ ἔπραττεν ᾔδει, τῶν δὲ δὴ τοῦ Πλαυτιανοῦ ἀπορρή-
των οὐδεὶς οὐδὲν ἠπίστατο. τήν τε θυγατέρα αὐτοῦ τῷ υἱεῖ ἐμνή-
στευσε, πολλὰς καὶ σεμνὰς κόρας παραλιπὼν, ὕπατόν τε ἀπέ- C
δειξε, καὶ διάδοχον τῆς αὐταρχίας, ὡς εἰπεῖν, ἔχειν ηὔξατο.
καί ποτε καὶ ἐπέστειλε, Φιλῶ τὸν ἄνδρα, ὥστε καὶ εὔχεσθαι προα-
ποθανεῖν αὐτοῦ. ἠνείχετο γέ τοι ὁρῶν καὶ ἐν ταῖς καταλύσεσιν

αὐτὸν ταῖς κρείττοσιν αὐλιζόμενον, καὶ τὰ ἐπιτήδεια καὶ ἀμείνω καὶ ἀφθονώτερα αὐτοῦ ἔχοντα· ὥστε δινηθείς ποτε ἐν τῇ Νικαίᾳ τῇ πατρίδι μου σκάρους, οὓς ἡ λίμνη μεγάλους ἐκτρέφει, παρ' ἐκείνου μετεπέμψατο. ὅθεν εἰ καί τι ἐπὶ μειώ-
D σει τῆς δυναστείας αὐτοῦ ποιεῖν ἐδόκει, ἀλλ' ἔκ γε τῶν ἐναντίων πολὺ καὶ μειζόνων καὶ λαμπροτέρων ὄντων, καὶ ἐκεῖνο πᾶν ἀπημβλύνετο. τοῦ γοῦν Σεβήρου ἐν Τυανοῖς νοσήσαντα αὐτὸν ἐπισκεψόμενοι οἱ στρατιῶται οἱ περὶ τὸν Πλαυτιανὸν ὄντες οὐκ εἴασαν τοὺς ἀκολουθοῦντας αὐτῷ συνεισελθεῖν· ὅ τε τὰς δίκας τὰς ἐπ' αὐτοῦ λεγομένας διατάττων, κελευσθείς ποτε ὑπὸ τοῦ Σεβήρου ἀργοῦντος δίκην τινὰ εἰσαγαγεῖν, οὐκ ἠθέλησεν, εἰπὼν ὅτι οὐ δύναμαι τοῦτο ποιῆσαι, ἂν μὴ Πλαυτιανός μοι κελεύσῃ. καὶ οὕτω καὶ εἰς τὰ ἄλλα πάντα ὁ Πλαυτιανὸς αὐτοῦ κα-
295 τεκράτει, ὥστε καὶ τὴν Ἰουλίαν τὴν Αὔγουσταν πρὸς τὸν Σεβῆ-
A ρον ἀεὶ διέβαλλεν, ἐξετάσεις τε κατ' αὐτῆς καὶ βασάνους κατ' ἀλλ' ἐγενῶν γυναικῶν ποιούμενος. καὶ ἡ μὲν αὐτή τε φιλοσοφεῖν διὰ ταῦτ' ἤρξατο, καὶ σοφισταῖς συνημέρευεν· ὁ δὲ δὴ Πλαυτιανὸς ἀσωτότατός τε ἀνθρώπων γενόμενος, ὥστε καὶ [illegible] ἅμα καὶ ἐμεῖν, ἐπεὶ μηδὲν ὑπὸ τοῦ πλήθους τῶν τε σιτίων καὶ τοῦ οἴνου πέψαι ἠδύνατο. καὶ τοῖς μειρακίοις ταῖς τε κόραις οὐκ ἄνευ διαβολῆς χρώμενος, τῇ γυναικὶ τῇ ἑαυτοῦ οὔθ' ὁρᾶν τινα οὔθ' ὁρᾶσθαι τὸ παράπαν οὐδ' ὑπὸ τοῦ Σεβήρου ἢ τῆς Ἰουλίας ἐπέτρεπεν. ἐγένετο δ' ἐν ταύταις ταῖς ἡμέραις
B καὶ ἀγὼν γυμνικός, ἐν ᾧ τοσοῦτον πλῆθος ἀθλητῶν ἀναγκασθὲν συνῆλθεν, ὥστε ἡμᾶς θαυμάσαι πῶς αὐτοὺς τὸ στάδιον ἐχώρησε. καὶ γυναῖκες δὲ ἐν τῷ ἀγῶνι τούτῳ ἀγριώτατα ἀγωνισάμεναι ἐμαχέσαντο, ὥστε καὶ ἐς τὰς ἄλλας πάνυ ἐπιφανεῖς ἀπ' αὐτῶν ἀποσκώπτεσθαι· καὶ διὰ τοῦτ' ἐκωλύθη μηκέτι μηδεμίαν γυναῖκα μηδαμόθεν μονομαχεῖν. εἰκόνων δέ ποτε πολλῶν τοῦ Πλαυτιανοῦ γενομένων (ἄξιον γὰρ ἀφηγήσασθαι τὸ πραχθὲν) δυσχεράνας πρὸς τὸ πλῆθος ὁ Σεβῆρος,

ξυνας

τινὰς αὐτῶν συνεχώνευσε· καὶ εἰς τὰς πόλεις ἐκ τούτου θροῦς
διῆλθεν ὡς καὶ καθῄρηται καὶ διέφθαρται· καί τινας συνέτρι- C
ψαν εἰκόνας αὐτοῦ, ἐφ' ᾧ ὕστερον ἐκολάσθησαν· ἐν οἷς ἦν καὶ ὁ
τῆς Σαρδοῦς ἄρχων Ράκιος Κώνστας, ἀνὴρ ἐλλογιμώτατος. ἀλλ'
οὐ χάριν τούτων ἐμνήσθην, ὅτι τοῦ ῥήτορος, ὃς τοῦ Κώνσταντος
κατηγόρησε, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰπόντος, θᾶσσον ἂν τὸν οὐ-
ρανὸν συμπεσεῖν ἢ Πλαυτιανόν τι ὑπὸ Σεβήρου παθεῖν, καὶ
μᾶλλον ἂν εἰκότως ἐκείνῳ τῷ λόγῳ, εἴπερ τι τοιοῦτον ἐλέχθη, πι-
στεῦσαί τινα· ταῦτα τοῦ ῥήτορος εἰπόντος, καὶ προσέτι καὶ αὐτοῦ τοῦ
Σεβήρου νεανιευσαμένου πρὸς ἡμᾶς τοὺς συνδικάζοντας αὐτῷ D
καὶ φήσαντος, ὅτι ἀδύνατόν ἐστι κακόν τι ὑπ' ἐμοῦ Πλαυτια-
νῷ γενέσθαι, οὐδ' ἀπενιαύτισεν αὐτοῖς ἔτι ὁ Πλαυτιανὸς, ἀλλ'
ἐσφάγη, καὶ αἱ εἰκόνες αὐτοῦ σύμπασαι διεφθάρησαν. πρὸ δὲ
τούτου κῆτος ὑπερμέγεθες ἐς τὸν τοῦ Αὐγούστου ἐπίκλην λιμένα
ἐξώκειλε, καὶ ἑάλω, καὶ τὸ μίμημα αὐτοῦ εἰς τὸ κυνηγέσιον εἰσα-
χθὲν, πεντήκοντα ἄρκτους εἴσω ἐδέξατο. ὤφθη δὲ ἐπὶ πολλὰς
ἡμέρας καὶ κομήτης ἀστὴρ ἐν τῇ Ῥώμῃ, καὶ οὐκ αἴσιόν τι ση-
μαίνειν ἐλέγετο. ὁ δὲ Σεβῆρος ἐπὶ τῆς δεκετηρίδος τῆς ἀρχῆς 297
αὐτοῦ ἐδωρήσατο τῷ τε ὁμίλῳ παντὶ τῷ σιτοδοτουμένῳ καὶ τοῖς A
στρατιώταις τοῖς δορυφόροις ἰσαρίθμους τοῖς τῆς ἡγεμονίας ἔ-
τεσι χρυσοῦς. ἐφ' ᾧ καὶ μέγιστον ἠγάλλετο. καὶ γὰρ ὡς ἀληθῶς
οὐδεὶς πώποτε τοσοῦτον αὐτοῖς ἀθρόοις ἐδεδώκει. εἰς γὰρ τὴν
δωρεὰν ταύτην πεντακισχίλιαι μυριάδες δραχμῶν ἀνηλώ-
θησαν· ἐποιήθησαν δὲ καὶ οἱ γάμοι τοῦ τε Ἀντωνίνου τοῦ υἱοῦ τοῦ
Σεβήρου καὶ τῆς Πλαυτίλλης τῆς τοῦ Πλαυτιανοῦ θυγατρὸς,
καὶ τοσαῦτα τῇ θυγατρὶ ἐπιδέδωκεν ὅσα καὶ πεντήκοντα
γυναιξὶ βασιλίσσαις ἤρκεσαν ἄν. εἴδομεν δὲ αὐτὰ διὰ τῆς
ἀγορᾶς εἰς τὸ παλάτιον κομιζόμενα. εἱστιάθημεν δὲ ἐν τῷ B
ἅμα, τὰ μὲν βασιλικῶς, τὰ δὲ βαρβαρικῶς, ἑφθά τε πάντα
ὅσα νομίζεται, καὶ ὠμὰ ζῶντά τε ἄλλα λαβόντες. ἐγίνοντο δὲ
καὶ θέαι τηνικαῦτα παντοδαπαὶ ἐπί τε τῇ ἀνακομιδῇ τοῦ

Σεβήρου, καὶ ἐπὶ τῇ δεκετηρίδι αὐτοῦ, καὶ ἐπὶ ταῖς νίκαις. ἐν ταύταις ταῖς θέαις καὶ σύες τοῦ Πλαυτιανοῦ ἑξήκοντα ἄγριοι ἐπάλαισαν ἀλλήλοις ὑπὸ παραγγέλματος. ἐσφάγησαν δὲ ἄλλα τε πολλὰ θηρία, καὶ ἐλέφας, καὶ κοροκόττας. τὸ δὲ ζῶον τοῦτο, Ἰνδικόν τέ ἐστι, καὶ τότε πρῶτον ἐς τὴν Ῥώμην, ὅσα καὶ
C ἐγὼ ἐπίσταμαι, εἰσήχθη. ἔχει δὲ χροιὰν μὲν λεαίνης τίγριδι μεμιγμένης, εἶδος δὲ ἐκείνων τε καὶ κυνὸς καὶ ἀλώπεκος ἰδίως πως συγκεκραμένον. τῆς δὲ δεξαμενῆς ἁπάσης τῆς ἐν τῷ θεάτρῳ εἰς πλοίου σχῆμα κατασκευασθείσης, ὡς τετρακόσια θηρία καὶ δέξασθαι καὶ ἀφεῖναι ἀθρόως, ἔπειτα ἐξαίφνης διαλυθείσης, ἀνέθορον ἄρκτοι, λέαιναι, πάνθηρες, λέοντες, στρουθοί, ὄναγροι, βίσωνες, (βοῶν τι τοῦτο εἶδος, βαρβαρικὸν τὸ γένος καὶ τὴν ὄψιν) ὥστε ἑπτακόσια τὰ πάντα καὶ θηρία καὶ βοτὰ ὁμοῦ καὶ διαθέοντα ὀφθῆναι καὶ σφαγῆναι. πρὸς γὰρ τὸν τῆς ἑορτῆς
D ἀριθμὸν ἑπταημέρου γενομένης, καὶ ἐκεῖνα ἑπτάκις ἑκατὸν ἐγένετο. ἐν δὲ τῷ Βαιβίῳ τῷ ὄρει πῦρ τε πλεῖστον ἐξέλαμψε, καὶ μυκήματα μέγιστα ἐγένετο, ὥστε καὶ ἐς τὴν Καπύην (ἐν ᾗ, ὁσάκις ἂν ἐν τῇ Ἰταλίᾳ οἰκῶ, διάγω) ἐξακουσθῆναι. τοῦτο γὰρ τὸ χωρίον ἐξειλόμην τῶν τε ἄλλων ἕνεκα, καὶ τῆς ἡσυχίας ὅτι μάλιστα, ἵνα σχολὴν ἀπὸ τῶν ἀστικῶν πραγμάτων ἄγων ταῦτα γράψαιμι. ἐδόκει οὖν ἐκ τῶν περὶ τὸ Βαίβιον γενομένων
298 νεοχμόν τι ἔσεσθαι. καὶ μέντοι καὶ τὰ περὶ τὸν Πλαυτιανὸν
A αὐτίκα ἐνεοχμώθη. μέγας μὲν γὰρ ὡς ἀληθῶς ὁ Πλαυτιανὸς καὶ ὑπέρμεγας ἐγεγόνει, ὥστε καὶ τὸν δῆμον ἐν τῷ ἱπποδρόμῳ ποτὲ εἰπεῖν, Τί τρέμεις, τί δὲ ὠχριᾷς; πλεῖον τῶν τριῶν κέκτησαι. ἔλεγον δὲ τοῦτο οὐ πρὸς ἐκεῖνον δῆθεν, ἀλλ' ἄλλως. τρεῖς δὲ ἐνέφαινον, τόν τε Σεβῆρον καὶ τοὺς υἱέας αὐτοῦ Ἀντωνῖνον καὶ Γέταν. ὠχρία δὲ ἀεὶ καὶ ἔτρεμεν ἔκ τε τῆς διαίτης ἣν διῃτᾶτο, καὶ ἐκ τῶν ἐλπίδων ὧν ἤλπιζε, καὶ ἐκ τῶν φόβων ὧν ἐφοβεῖτο. οὐ μὴν ἀλλὰ τέως μὲν ἤτοι ἐλάνθανε τὰ πλείω
B αὐτὸν τὸν Σεβῆρον, ἢ καὶ εἰδὼς αὐτὰ οὐ προσεποιεῖτο. ἐπεὶ

καὶ ὁ ἀδελφὸς αὐτοῦ Γέτας τελευτῶν πάντα δὲ κατὰ τὸν Πλαυ-
τιανόν, ἅτε καὶ μισῶν αὐτόν, καὶ μηκέτι φοβούμενος, ἐμήνυ-
σεν, ἐκεῖνόν τε χαλκοῦν ἐν τῇ ἀγορᾷ ἔστησε, καὶ τοῦτον οὐκέτι ὁ-
μοίως ἐτίμησεν, ἀλλὰ καὶ τῆς δυνάμεως τῆς πολλῆς παρέ-
λυσεν. ὅθεν ὁ Πλαυτιανὸς δεινῶς ἠγανάκτησε, καὶ τὸν Ἀν-
τωνῖνον καὶ πρότερον διὰ τὴν θυγατέρα ἀτιμαζομένην
ὑπ' αὐτοῦ μισῶν, τότε δὴ καὶ μάλιστα ἤχθαιρεν, ὡς αἴτιον τῆς
ἀτιμίας ἐκείνης αὐτῷ, καὶ τραχύτερον αὐτῷ προσφέρεσθαι
ἤρξατο. δι' οὖν ταῦτα ὁ Ἀντωνῖνος τῇ τε γυναικὶ αὐθαδεστά- C
τῃ οὔσῃ ἀχθόμενος, καὶ αὐτῷ ἐκείνῳ, ὅτι τε πάντα ὅσα ἔπρατ-
τεν ἐπολυπραγμόνει, καὶ ὅτι ἐπὶ πᾶσιν αὐτῷ ἐπετίμα, βα-
ρυνόμενος, ἀπαλλαγῆναι τρόπον τινὰ αὐτοῦ ἐπεθύμησε. κἀκ
τούτου δι' Εὐόδου τοῦ τροφέως αὐτοῦ Σατορνῖνόν τινα ἑκατόν-
ταρχον καὶ ἄλλους δύο ὁμοίους αὐτῷ ἔπεισεν ἐσαγγεῖλαί οἱ,
ὅτι δέκα τισὶν ἑκατοντάρχοις, ἐξ ὧν καὶ αὐτοὶ ἦσαν, ὁ Γλαυ-
τιανὸς κεκελευκὼς εἴη καὶ τὸν Σεβῆρον καὶ τὸν Ἀντωνῖνον
κτεῖναι· καί τινα καὶ γραφὴν ὡς καὶ ἐπ' αὐτῷ τούτῳ εἰληφότες,
ἀνεγίνωσκον. ἐξαίφνης δὲ ταῦτ' ἐν ταῖς θεωρίαις ταῖς ἐν τῷ πα- D
λατίῳ ἥρωσι ποιουμέναις, τῆς τε θέας ἀφειμένης, καὶ δείπνου
μέλλοντος ἔσεσθαι, ἐγίνοντο, ὅθεν οὐχ ἥκιστα τὸ σκευώρημα κα-
τεφάνη. οὐ γὰρ ἂν οὔτε ἑκατοντάρχοις δέκα ἅμα, οὔτε ἐν τῇ Ῥώ-
μῃ, οὔτε ἐν τῷ παλατίῳ, οὔτε ἐκείνῃ τῇ ἡμέρᾳ, οὔτε ἐκείνῃ τῇ
ὥρᾳ τοιοῦτό τι ὁ Πλαυτιανός, ἄλλως τε καὶ γράψας, προστά-
ξαι ἐτετολμήκει· ὅμως πιστὸν αὐτὸ ἔδοξε τῷ Σεβήρῳ, ὅτι τῇ
νυκτὶ τῇ προτεραίᾳ τὸν Ἀλβῖνον ὄναρ ζῶντά τε καὶ ἐπιβου-
λεύοντα αὐτῷ ἑωράκει. σπουδῇ οὖν ὡς καὶ ἐπ' ἄλλο τι τὸν
Γλαυτιανὸν μετεπέμψατο. καὶ ὃς οὕτως ἠπείχθη, μᾶλλον δὲ 299
οὕτως αὐτῷ τὸν ὄλεθρον τὸ δαιμόνιον προεμήνυσεν, ὥστε A
τὰς ἡμιόνους τὰς ἀγούσας αὐτόν, πεσεῖν ἐν τῷ παλατίῳ, καὶ αὐ-
τὸν εἰσιόντα οἱ θυρωροὶ οἱ ἐπὶ τῶν κιγκλίδων μόνον εἰσεδέξαν-
το, οὐδ' εἴασαν οὐδένα αὐτῷ συνεισελθεῖν, ὅπερ ποτὲ αὐτὸς

περὶ τὸν Σεβῆρον ἐν τοῖς Τυαίοις ἐπεποιήκει. καὶ ὑποτοπήσας
μέν τι ἐκ τούτου, περίφοβός τε ἐγένετο, οὐ μέντοι ἔχων ὅπως
ἀναχωρήσῃ, ἐσῆλθε· καὶ ὁ Σεβῆρος καὶ πάνυ πράως αὐτῷ διε-
λέχθη, Τί τι τοῦτο ἔδοξέ σοι ποιῆσαι, καὶ διὰ τί ἀποκτεῖναι ἡ-
B μᾶς ἠθέλησας; λόγον τε αὐτῷ ἔδωκε, καὶ παρεσκευάζετο ὡς
καὶ ἀπολογουμένου αὐτοῦ ἀκούσων, ἀλλ᾽ ὁ Ἀντωνῖνος ἀρνούμε-
νόν τε αὐτὸν καὶ θαυμάζοντα τὰ λεγόμενα, τό, τε ξίφος προσ-
πηδήσας ἀφείλετο, καὶ πὺξ ἔπαισε· καὶ ἠθέλησε μὲν καὶ αὐτοχει-
ρίᾳ σφάξαι, εἰπόντα, ὅτι Ἔφθης με κτεῖναι· ὑπὸ δὲ τοῦ πατρὸς
κωλυθεὶς, ἐκέλευσέ τινι τῶν ὑπηρετῶν φονεῦσαι αὐτόν. καὶ αὐ-
τόν τις τῶν τριχῶν τοῦ γενείου ἐκτίλας, τῇ τε Ἰουλίᾳ καὶ τῇ Πλαυ-
τίλλῃ προσήνεγκεν ὁμοῦ οὔσαις, πρὶν καὶ ὁτιοῦν αὐτὰς ἀκοῦ-
C σαι· καὶ εἶπεν, Ἴδετε τὸν Πλαυτιανὸν ὑμῶν. κἀκ τούτου τῇ μὲν
πένθος, τῇ δὲ χαρὰν ἐνέβαλεν. ἐκεῖνος μὲν καὶ μέγιστον τῶν ἐφ᾽
ἐμοῦ ἀνθρώπων δυνηθεὶς, ὥστε καὶ αὐτῶν τῶν αὐτοκρατόρων μᾶλλον
πάντας καὶ φοβεῖσθαι αὐτὸν καὶ τρέμειν, καὶ ἐπὶ μειζόνων ἐλπί-
δων αἰωρηθεὶς, οὕτως ὑπό τε τοῦ γαμβροῦ ἐσφάγη, καὶ ἄνω-
θεν ἀπὸ τοῦ παλατίου εἰς ὁδόν τινα ἐρρίφη. μετὰ ταῦτα γὰρ καὶ
ἀνῃρέθη καὶ ἐτάφη, τοῦ Σεβήρου κελεύσαντος. καὶ ὁ Σεβῆρος μετὰ
ταῦτα συνήγαγε μὲν τὴν βουλὴν ἐς τὸ συνέδριον· οὐ μέντοι
καὶ κατηγόρησέ τι τοῦ Πλαυτιανοῦ, ἀλλ᾽ αὐτὸς μὲν τήν τε φύ-
σιν τὴν ἀνθρωπίνην, ὡς μὴ δυναμένην τιμὰς ὑπερόγκους στέ-
γειν, ὠδύρετο, καὶ ἑαυτὸν ᾐτιάσατο ὅτι οὕτως αὐτὸν ἐτετι-
D μήκει καὶ ἐπεφιλήκει. τοὺς δὲ δὴ μηνύσαντάς οἱ τὴν βουλὴν
αὐτοῦ, πάνθ᾽ ἡμῖν εἰπεῖν ἐκέλευσεν, ἐκβαλὼν ἐκ τοῦ συνεδρίου
τοὺς οὐκ ἀναγκαίους, ἵν᾽ ἔκ τε τοῦ μηδὲν διηγήσασθαι ἐνδείξηται
ὅτι οὐ πάνυ σφίσιν πιστεύει. πολλοὶ μὲν οὖν διὰ τὸν Πλαυτιανὸν
ἐκινδύνευσαν· καί τινες καὶ ἀπέθανον. ὁ μέντοι Κοίρανος ἔλεγε
μὲν οἷά που πλεῖστοι πρὸς τοὺς ἀτυχοῦντας πλάττονται ἀεὶ,
300 ἑταῖρός τε αὐτοῦ εἶναι, καὶ ὁσάκις γε ἐκεῖνοι πρὸ τῶν ἄλλων τῶν
A ἀσπαζομένων αὐτὸν εἰσκαλοῦντο, συνεφείπετο σφίσι μέχρι

τῆς κιγκλίδος τῆς πλουταίας· οὐ μέντοι καὶ ἐκοινώνει τῶν ἀποῤ-
ῥήτων, ἀλλ' ἐν τῷ μεταιχμίῳ διατρίβων, Πλαυτιανῷ μὲν ἔ-
ξω, τοῖς δὲ ἔσω, ἔνδον ἐδόκει εἶναι. καὶ διὰ τοῦτο πλέον ὑπωπτεύθη·
καὶ διότι ὄναρ ποτὲ τοῦ Πλαυτιανοῦ ἰδόντος ἰχθῦς τινας ἐκ τοῦ Τι-
βέριδος ἀναβάντας πρὸς τοὺς πόδας αὐτοῦ προσπεπτωκέναι,
ἔφη καὶ τῆς γῆς αὐτὸν καὶ τοῦ ὕδατος ἄρξειν. ἀλλ' οὗτος ἐπὶ ἑπτὰ
ἔτη ἐν νήσῳ περιορισθεὶς, κατήχθη τε μετὰ τοῦτο, καὶ ἐς τὴν γερου- B
σίαν παρά τινος Αἰγυπτίων κατελέχθη, καὶ ὑπάτευσε, μηδεμίαν
ἄλλην ἀρχὴν προάρξας, ὥσπερ ὁ Πομπήϊος. Καικίλιος μέντοι
Αγρικόλας ἐν τοῖς πρώτοις τῶν κολάκων αὐτοῦ ἀριθμούμενος,
πονηρίᾳ δὲ καὶ ἀσελγείᾳ οὐδενὸς ἀνθρώπων δεύτερος ὤν,
κατεψηφίσθη ἀποθανεῖν· ἐλθὼν δὲ οἴκαδε, καὶ οἴνου ἐψυγμέ-
νου ἐμπλησθεὶς, τό, τε ποτήριον ὃ πέντε μυριάδων ἐώνητο,
συνέτριψε, καὶ ἐπαπέθανεν αὐτῷ τὰς φλέβας τεμών. Σατορ-
νῖνος μέν τοι καὶ Εὔοδος τότε μὲν ἐτιμήθησαν, ὕστερον δὲ ὑπὸ τοῦ
Αντωνίνου ἐθανατώθησαν. ψηφιζομένων δὲ ἡμῶν ἐπαίνους τι-
νὰς τῷ Εὐόδῳ, ὁ Σεβῆρος ἐκώλυσεν, εἰπὼν, Αἰσχρόν ἐστιν ἐν δό- C
γματι ὑμῶν τοιοῦτό τι περὶ Καισαρείου ἀνδρὸς γεγράφθαι. καὶ
οὐ τοῦτον μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας τοὺς βασιλικοὺς
ἀπελευθέρους οὔτε ὑβρίζειν, οὔτε ὑπεραυχεῖν εἴα· ἐφ' ᾧ καὶ
καλῶς ἤκουεν. ἡ δ' αὖ γερουσία ὑμνοῦσά ποτε αὐτὸν, καὶ αὐ-
τὸ τοῦτο ἄντικρυς ἐξεβόησεν, ὅτι Πάντες πάντα καλῶς ποιοῦ-
σιν, ἐπειδὴ σὺ καλῶς ἄρχεις. Γλαυτίλλα δὲ καὶ Πλαῦτος οἱ τοῦ
Γλαυτιανοῦ υἱεῖς τότε μὲν ἐσώθησαν εἰς Λιπάραν ἐξορισθέν-
τες, ἐπὶ δὲ Αντωνίνου ἀπώλοντο, καίτοι καὶ ζῶντες ἔν τε δέει D
καὶ ταλαιπωρίᾳ πολλῇ, τῶν τε ἀναγκαίων ἐν ἀπορίᾳ διῆ-
γον. οἱ δὲ τοῦ Σεβήρου παῖδες, ὅ, τε Αντωνῖνος καὶ ὁ Γέτας,
ὥσπερ παιδαγωγοῦ τινὸς ἀπηλλαγμένοι τοῦ Πλαυτιανοῦ, οὐδὲν
ὅ, τι οὐκ ἐποίουν. καὶ γὰρ καὶ γυναῖκας ᾔσχυνον, καὶ παῖδας ὕ-
βριζον· χρήματά τε παρεξέλεγον, καὶ τοὺς μονομάχους τούς
τε ἁρματηλάτας προσεταιρίζοντο, τῇ μὲν ὁμοιότητι τῶν ἔργων

ζηλοῦντες ἀλλήλους, τὰ δὲ ἀντισπουδάζειν στασιάζοντες. εἰ
γάρ τι ὁ ἕτερος προσέθετο, πάντως ἂν τὸ ἐναντίον ὁ ἕτερος
301 αἱρεῖτο· καὶ τέλος συμβαλόντες ἐν γυμνασίᾳ τινὶ ἵππων
A σμικρῶν ζεύγεσιν, ἐς μεγάλην φιλονεικίαν ἤλασαν, ὥστε τὸν
Ἀντωνῖνον πεσεῖν τε ἐκ τοῦ δικύκλου, καὶ τὸ σκέλος κατεάξαι.
ὁ μέντοι Σεβῆρος ἐπὶ πολλοῖς ἐπιφανῶν φόνοις, καὶ δὴ καὶ ἐπὶ
τῷ Κυϊντίλλου τοῦ Πλαυτιανοῦ ἀρτὶ ἔσχεν. οὗτος γὰρ εὐγενέστα-
τός τε ὤν, καὶ ἐν τοῖς πρώτοις τῆς βουλῆς ἀριθμούμενος, ἐν
τε ταῖς τοῦ γήρως πύλαις ἑστώς, καὶ ἐν ἀγρῷ ζῶν, καὶ οὔτε πο-
λυπραγμονῶν τι, οὔτε περιπράσσων, ὅμως καὶ ἐσυκοφαντή-
θη καὶ ἀνῃρέθη. μέλλων δ' οὖν τελευτήσειν, ᾔτησε τὰ ἐντά-
B φια ἃ πρὸ πολλοῦ παρεσκευάσατο· καὶ ἐπειδὴ διερρυηκότα αὐ-
τὰ ὑπὸ τοῦ χρόνου εἶδε, Τί τοῦτο, ἔφη, ἐβραδύναμεν; καὶ μετὰ
τοῦτο θυμιάσας εἶπεν ὅτι Τὴν εὐχὴν ταύτην εὔχομαι ἣν καὶ
Σεβηριανὸς ἐπ' Ἀδριανοῦ ηὔξατο. ἐκεῖνός τε οὖν ἀπώλετο,
καὶ μονομάχων ἀγῶνες ἐγένοντο, ἐν οἷς τά τε ἄλλα καὶ τί-
γρεις δέκα ἅμα ἐσφάγησαν. καὶ μετὰ τοῦτο τὰ περὶ τὸν Ἀπρω-
νιανὸν ἐπράχθη, παράδοξα ὄντα καὶ ἀκουσθῆναι. ἔσχε γὰρ
αἰτίαν ὅτι ποτὲ ἡ τίτθη αὐτοῦ ὄναρ ἑωρακέναι ἐλέχθη ὡς βα-
C σιλεύσει, καὶ ὅτι μαγείᾳ τινὶ ἐπὶ τούτῳ χρήσασθαι ἔδοξε· καὶ
ἀπὼν ἐν τῇ ἀρχῇ τῆς Ἀσίας κατεψηφίσθη. ἀναγινωσκομέ-
νων οὖν ἡμῖν τῶν βασάνων τῶν περὶ αὐτοῦ γενομένων, καὶ τοῦτ'
ἐνεγέγραπτο, ὅτι ὁ μέν τις ἐπύθετο τῶν ἐπὶ τῆς ἐξετάσεως τεta-
γμένων, τίς τε διηγήσατο τὸ ὄναρ, τίς τε ἤκουσεν, ὁ δέ τις ἔφη
τά τε ἄλλα, καὶ ὅτι φαλακρόν τινα βουλευτὴν παρακύψαντα
εἶδον. ἀκούσαντες δὲ τοῦθ' ἡμεῖς, ἐν δεινῷ πάθει ἐγενόμεθα. ὄ-
νομα μὲν γὰρ οὐδενὸς οὔτε ἐκεῖνος εἰρήκει, οὔτε ὁ Σεβῆρος ἐγε-
D γράφει, ὑπὸ δὲ ἐκπλήξεως καὶ οἱ μηδεπώποτε ἐς τοῦ Ἀπρω-
νιανοῦ φοιτηκότες, οὐχ ὅτι οἱ φαλακροί, ἀλλὰ καὶ οἱ ἄλ-
λως ἀναφαλαντίαι ἔδεισαν. καὶ ἐθάρσει μὲν οὐδείς, πλὴν τῶν
πάνυ κομώντων, πάντες δὲ τοὺς τοιούτους περιεβλέπομεν, καὶ

τὴν ὥραν, ὁ δεῖνα ἐστὶν, οὐκ, ἀλλ' ὁ δεῖνα. οὐκ ἀποκρύψομαι τὸ
τότε μοι συμβὰν, εἰ καὶ γελοιότατόν ἐστι. τοσαύτῃ γὰρ ἀμηχανίᾳ
συνεσχέθην ὥστε καὶ τῆς κεφαλῆς τὰς τρίχας τῇ χειρὶ ζητῆ-
σαι· τὸ δ' αὐτὸ τοῦτο καὶ ἕτεροι πολλοὶ ἔπαθον. καὶ πάνυ γε εἰς τοὺς 302
φαλακροειδεῖς ἀφεωρῶμεν, ὡς καὶ εἰς ἐκείνους τὸν ἑαυτῶν A
κίνδυνον ἀπωθούμενοι· πρὶν δὴ προσανεγνώσθη ὅτι ἄρα πε-
ριπόρφυρον ἱμάτιον ὁ φαλακρὸς ἐκεῖνος εἶχε. λεχθέντος γὰρ τού-
του, πρὸς Βαίβιον Μαρκελλῖνον ἀπείδομεν. ἠγορανομήκει γὰρ
τότε, καὶ ἦν φαλακρότατος. ἀναστὰς γοῦν καὶ παρελθὼν ἐς
μέσον, Πάντως που γνωριεῖ με, εἰ ἑώρακεν, ἔφη. ἐπαινεσάν-
των δ' ἡμῶν, εἰσήχθη τε ὁ μηνυτὴς, καὶ χρόνον πολὺν ἐσιώ-
πησε παρεστῶτος αὐτοῦ, περιβλέπων ὃν γνωρίσειε. τέλος δὲ νεύ- B
ματί τινος ἀφανεῖ προσσχὼν, ἔφη τοῦτον ἐκεῖνον εἶναι. καὶ οὕτω
καὶ ὁ Μαρκελλῖνος ἑάλω φαλακροῦ παρακύψεως, ἐξήχθη τε
ἐκ τοῦ βουλευτηρίου ὀλοφυρόμενος, καὶ διὰ τῆς ἀγορᾶς διεξ-
ελθὼν, οὐκέτ' ἠθέλησε περαιτέρω προχωρῆσαι, ἀλλ' αὐτοῦ
ταύτῃ τὰ τέκνα τέσσαρα ὄντα ἀσπασάμενος, λόγον εἶπε πε-
ριπαθέστατον. ἔφη γὰρ, Ἕν με τοῦτο λυπεῖ, τέκνα, ὅτι ὑμᾶς ζῶν-
τας καταλείπω. καὶ ὁ μὲν οὕτω τὴν κεφαλὴν ἀπετμήθη,
πρὶν τὸν Σεβῆρον μαθεῖν ὅτι καὶ κατεψηφίσθη. τῷ μέντοι γε
αἰτίαν αὐτῷ τοῦ θανάτου παρασχόντι Πολληνίῳ Σεβεννῷ δί- C
κη τιμωρὸς ἀπήντησεν. ἐκδοθεὶς γὰρ ὑπὸ Σαβίνου τοῖς Νωρι-
κοῖς, ὧν ἄρξας οὐδὲν χρηστὸν ἐπεποιήκει, αἴσχιστα πέπονθε· καὶ
εἴδομεν αὐτὸν ἐπὶ τῆς γῆς κείμενον, καὶ ἱκετεύοντα οἰκτρῶς.
καὶ εἰ μὴ διὰ τὸν Ἄσπακα τὸν θεῖον αὐτοῦ φειδοῦς ἔτυχε, κἂν
ἀπολώλει οἰκτρῶς· εἰ δὲ δὴ ἅπαξ οὗτος δεινότατος ἀνθρώπων
ἐγένετο σκῶψαι, στωμύλασθαι, πάντων ἀνθρώπων καταφρονῆ-
σαι, φίλοις χαρίσασθαι, ἐχθρὸν ἀμύνασθαι. καὶ αὐτοῦ πολλὰ
μὲν καὶ πρὸς ἄλλους πικρὰ καὶ ἀστεῖα ἀποφθέγματα φέρε-
ται, πολλὰ δὲ καὶ πρὸς τὸν Σεβῆρον αὐτὸν, ὧν ἓν καὶ τοῦτο. ἐς D
γὰρ τὸ γένος αὐτοῦ τὸ τοῦ Μάρκου ἐγγραφέντος, Συγχαίρω

σοι καὶ σὺ, ἔφη, ὅτι πατέρα εὗρες· ὡς καὶ ἀπάτορος αὐτοῦ τὸν
ἔμπροσθεν χρόνον ὑπ' ἀφανείας ὄντος. ἐν δὲ τῷ καιρῷ τούτῳ
Βούλας τις Ἰταλὸς ἀνὴρ, λῃστήριον συστησάμενος ὡς ἑξακοσίων
ἀνδρῶν, ἐλῄζετο τὴν Ἰταλίαν ἐπὶ ἔτη δύο, παρόντων μὲν τῶν
αὐτοκρατόρων, παρόντων δὲ καὶ στρατιωτῶν τοσούτων. ἐδιώκετο
903 μὲν γὰρ ὑπὸ συχνῶν ἀνδρῶν, φιλοτίμως αὐτὸν ἀνιχνεύοντος τοῦ
A Σεβήρου· οὔτε δὲ ἑωρᾶτο ὁρώμενος, οὔτε εὑρίσκετο εὑρισκόμενος,
οὔτε κατελαμβάνετο ἁλισκόμενος. τοσαύτῃ καὶ μεγαλοδωρείᾳ
καὶ σοφίᾳ ἐχρῆτο. ἐμάνθανε γὰρ πάντας τούς τε ἀπὸ τῆς Ῥώ-
μης ἐξιόντας, καὶ τοὺς ἐς τὸ Βρεντέσιον καταίροντας, τίνες τε
καὶ πόσοι εἰσί, καὶ τίνα καὶ ὁπόσα κέκτηνται. καὶ τοὺς μὲν ἄλ-
λους, μέρος ἄν τι παρ' αὐτῶν ὧν εἶχον λαβὼν, εὐθὺς ἠφίει·
τοὺς δὲ δὴ τεχνίτας κατεῖχε χρόνον τινὰ, καὶ χρησάμενος σφί-
B σιν, εἶτα καὶ προσδούς τι ἀπέλυε. καί ποτε δύο λῃστῶν αὐτοῦ ἁ-
λόντων, καὶ θηρίοις δοθήσεσθαι μελλόντων, πρός τε τὸν δεσμο-
φύλακα κατῆλθε, πλασάμενος ὡς τῆς πατρίδος ἄρχων, καὶ
τινων ἀνθρώπων τοιούτων δεόμενος· καὶ οὕτω λαβὼν αὐτοὺς
ἔσωσε. τῷ δὲ ἑκατοντάρχῳ τῷ τὸ λῃστρικὸν καθαιροῦντι προσελ-
θὼν, κατηγόρησεν αὐτὸς ἑαυτοῦ, ὥσπερ ἄλλος τις ὤν, καὶ ὑπέσχε-
το, εἰ ἀκολουθήσει αὐτῷ, παραδώσειν οἱ τὸν λῃστήν· καὶ οὕτως
αὐτὸν εἰς κοῖλόν τινα καὶ λοχμώδη τόπον, ὡς καὶ ἐπὶ τὸν Φίλι-
κα, ἀγαγὼν (καὶ τοῦτο γὰρ αὐτὸς προσωνόμαστο) ῥᾳδίως συνέλα-
C βε, καὶ μετὰ τοῦτ' ἐπὶ τὸ βῆμα ἀνέβη, σχῆμα ἄρχοντος ἀναλα-
βὼν· καὶ καλέσας τὸν ἑκατόνταρχον, τῆς κεφαλῆς ἀπεξύρη-
σε, καὶ ἔφη, Ἄγγελλε τοῖς δεσπόταις σου ὅτι τοὺς δούλους ὑμῶν
τρέφετε, ἵνα μὴ λῃστεύωσι. πλείστους γὰρ ὅσους τῶν καισαρείων
εἶχε, τοὺς μὲν, ὀλιγομίσθους, τοὺς δὲ καὶ παντελῶς ἀμίσθους γεγο-
νότας. ταῦτ' οὖν ὁ Σεβῆρος ὡς ἕκαστα πυνθανόμενος, ὀργῇ
ἔφερεν ὅτι ἐν τῇ Βρεττανίᾳ τοὺς πολέμους δι' ἑτέρων νικῶν,
αὐτὸς ἐν τῇ Ἰταλίᾳ λῃστοῦ ἥττων ἐγίγνετο· καὶ τέλος χιλίαρχον
ἐκ τῶν σωματοφυλάκων σὺν ἱππεῦσι πολλοῖς ἔστειλε, δεινὰ ἀπει-

αὐτῷ ἀπειλήσας ἂν μὴ ζῶντα αὐτὸν ἀγάγῃ. καὶ πρὶν ἐκεῖνος μα- D
θὼν ὅτι γυναικί τινι ἀλλοτρίᾳ χρῷτο, ἀνέπεισεν αὐτὴν διὰ
τοῦ ἀνδρὸς ἐπ' ἀδείας συναίρεσθαι σφίσι· κἀκ τούτου ἐν σπη-
λαίῳ τινὶ καθεύδων συνελήφθη, καὶ αὐτὸν ὁ Παπινιανὸς ὁ ἔ-
παρχος ἀνήρετο, Διὰ τί ἐλῄστευσας; καὶ αὐτὸς ἀπεκρίνατο, Διὰ
τί σὺ ἔπαρχος εἶ; καὶ θηρίοις μετὰ τοῦτο ὑπὸ κηρύγματος ἐδόθη,
καὶ αὐτοῦ καὶ τὸ λῃστρικὸν διελύθη. οὕτω που ἐν ἐκείνῳ πᾶσα ἡ 304
τῶν ἑξακοσίων ἰσχὺς ἦν. ὁ δὲ δὴ Σεβῆρος ἐπὶ Βρεττανίαν ἐστρά- A
τευσε, τούς τε παῖδας ἐκδιαιτωμένους ὁρῶν, καὶ τὰ στρατεύματα
ὑπὸ ἀργίας ἐκλυόμενα, καίπερ εἰδὼς ὅτι οὐκ ἀνακομισθή-
σεται. ᾔδει δὲ τοῦτο μάλιστα μὲν ἐκ τῶν ἀστέρων ὑφ' ὧν ἐγεγένη-
το (καὶ γὰρ ἐς τὰς ὀροφὰς αὐτοὺς τῶν οἴκων τῶν ἐν τῷ παλατίῳ
ἐν οἷς ἐδίκαζεν, ἐνέγραψεν, ὥστε πᾶσι πλὴν τοῦ μορίου τοῦ τὴν
ὥραν ὥς φασιν ἐπισκοπήσαντος ὅτε ἐς τὸ φῶς ἐξῄει, ὁρᾶ-
σθαι. τοῦτο γὰρ οὐ τὸ αὐτὸ ἑκατέρωθι ἐνετύπωσεν) ᾔδει δὲ καὶ παρὰ B
μάντεων ἀκούσας. ἀνδριάντι γὰρ αὐτοῦ, πρὸς ταῖς πύλαις
δι' ὧν ἐκστρατεύσειν ἔμελλεν, ἑστῶτι, καὶ πρὸς τὴν ὁδὸν τὴν ἐκεῖσε
φέρουσαν ἀποβλέποντι, σκηπτὸς ἐμπεσὼν, τρία ἀπὸ τοῦ ὀνό-
ματος αὐτοῦ γράμματα ἀπήλειψε. καὶ διὰ τοῦθ', ὡς οἱ μάν-
τεις ἀπεφήναντο, οὐκ ἐπανῆκεν, ἀλλὰ καὶ τρίτῳ ἔτει μετὰ τοῦτο
μετήλλαξε. καὶ χρήματα δὲ πάμπολλα συνεξήγαγε. Δύο δὲ
γένη τῶν Βρεττανῶν μέγιστά εἰσι, Καληδόνιοι καὶ Μαιάται· καὶ
ἐς αὐτὰ καὶ τὰ τῶν ἄλλων προσρήματα ὡς εἰπεῖν συγκεχώ-
ρηκεν. οἰκοῦσι δὲ οἱ μὲν Μαιάται πρὸς αὐτῷ τῷ διατειχίσματι,
ὃ τὴν νῆσον δίχῃ τέμνει, Καληδόνιοι δὲ μετ' ἐκείνους. καὶ νέ- C
μονται ἑκάτεροι ὄρη ἄγρια καὶ ἄνυδρα, καὶ πεδία ἔρημα καὶ
ἑλώδη, μήτε τείχη μήτε πόλεις μήτε γεωργίας ἔχοντες, ἀλλ'
ἔκ τε νομῆς καὶ θήρας ἀκροδρύων τέ τινων ζῶντες. τῶν γὰρ ἰ-
χθύων ἀπείρων καὶ ἀπλέτων ὄντων οὐ γεύονται. διαιτῶνται δὲ
ἐν σκηναῖς γυμνοὶ καὶ ἀνυπόδετοι, ταῖς γυναιξὶν ἐπικοίνοις
χρώμενοι, καὶ τὰ γεννώμενα πάντα ἐκτρέφοντες. δημοκρα-

ποιοῦνταί τε ὡς πλήθη, καὶ ληστεύουσιν ἥδιστα. στρατεύονται δὲ ἐπί
τε ἁρμάτων, ἵππους ἔχοντες μικρούς, ταχεῖς· καὶ πεζοί τε εἰσί,
D καὶ δραμεῖν ὀξύτατοι, καὶ συστῆναι παγιώτατοι. τὰ δὲ ὅπλα αὐ-
τῶν, ἀσπὶς, καὶ δόρυ βραχύ, μῆλον χαλκοῦ ἐπ' ἄκρου τοῦ
σύρακος ἔχον, ὥστε σειόμενον κτυπεῖν πρὸς κατάπληξιν τῶν
ἐναντίων. εἰσὶ δ' αὐτοῖς καὶ ἐγχειρίδια. δύνανται δὲ καὶ λιμὸν καὶ
ψῦχος καὶ ταλαιπωρίαν πᾶσαν ὑπομένειν. ἔς τε γὰρ τὰ ἕλη κα-
ταδυόμενοι καρτεροῦσιν ἐπὶ πολλὰς ἡμέρας, τὴν κεφαλὴν
μόνον ἔξω τοῦ ὕδατος ἔχοντες, καὶ ἐν ταῖς ὕλαις τῷ τε φλοιῷ καὶ
ταῖς ῥίζαις διατρέφονται καὶ πρὸς πάντα σκευάζουσί τι βρῶ-
305 μα, ἀφ' οὗ κυάμου τι μέγεθος ἐμφαγόντες, οὔτε πεινῶσιν, οὔτε
A διψῶσι. τοιαύτη μὲν τις ἡ νῆσος ἡ Βρεττανία ἐστὶ, καὶ τοιούτους
οἰκήτορας ἥ γε πολεμία ἔχει. νῆσος γάρ ἐστι, καὶ τότε σαφῶς
ὥσπερ εἶπον ἐλήλεγκται. καὶ αὐτῆς τὸ μὲν μῆκος στάδιοι ἑπτακισ-
χίλιοι καὶ ἑκατὸν τριάκοντα δύο εἰσὶ, τοῦ δὲ διπλάτους τὸ μὲν
πλεῖστον δέκα καὶ τριακόσιοι καὶ δισχίλιοι, τὸ ἐλάχιστον τριακό-
σιοι. καὶ τούτων ἡμεῖς οὐ πολλῷ τινι τῆς ἡμισείας ἔλαττόν τι
ἔχομεν. ὁ δ' οὖν Σεβῆρος πᾶσαν αὐτὴν καταστρέψασθαι θε-
λήσας, ἐσέβαλεν ἐς τὴν Καληδονίαν, καὶ διιὼν αὐτὴν, ἀμύ-
B θητα πράγματα ἔσχε, τάς τε ὕλας τέμνων, καὶ τὰ μετέωρα
κατασκάπτων, τά τε ἕλη χωννύων, καὶ τοὺς ποταμοὺς ζευ-
γνύων. οὔτε γὰρ μάχην τινὰ ἐμαχέσατο, οὔτε πολέμιόν τινα
ἐν παρατάξει εἶδε. πρόβατα δὲ καὶ βοῦς προβαλλομένων αὐ-
τῶν ἐξεπίτηδες, οἱ στρατιῶται ἥρπαζον, ὅπως ἐπὶ πλεῖον ἀ-
πατώμενοι τρύχωνται. καὶ γὰρ ὑπὸ τῶν ὑδάτων δεινῶς ἐκακοῦν-
το, καὶ ἀποσκεδαννύμενοι ἐπεβουλεύοντο. εἶτ' ἀδυνατοῦντες
βαδίζειν, ὑπ' αὐτῶν οἰκείων ἐφονεύοντο, ἵνα μὴ ἁλίσκωνται,
ὥστε ἐς πέντε μυριάδας ὅλας τελευτῆσαι. οὐ μέντοι ἀπέστη
C πρὶν τῷ ἐσχάτῳ τῆς νήσου πλησιάσαι, ὅπου γε τὰ μάλιστα τὴν
τοῦ ἡλίου παράλλαξιν, καὶ τὸ τῶν ἡμερῶν τῶν τε νυκτῶν καὶ τῶν θερι-
νῶν καὶ τῶν χειμερινῶν μέγεθος ἀκριβέστατα κατεφώρασε. καὶ ὁ μὲν

οὕτω διὰ πάσης ὡς εἰπεῖν τῆς πολεμίας κομισθεὶς (ἐκομίσθη γὰρ
ὡς ἀληθῶς ἐν σκιμποδίῳ καταστέγῳ τινὶ τὰ πολλὰ διὰ τὴν ἀ-
σθένειαν) ἐς τὴν φιλίαν ἐπανῆλθεν, ἐς ὁμολογίαν τοὺς Βρετα-
νοὺς ἐπὶ τῷ χώρας οὐκ ὀλίγης ἐκστῆναι ἀναγκάσας ἐλθεῖν.
ἐξέπληττε δὲ αὐτὸν ὁ Ἀντωνῖνος, καὶ ἐς φροντίδας ἀνηνύτους κα-
θίστη, ὅτι τε ἀκολάστως ἔζη, καὶ ὅτι καὶ τὸν ἀδελφὸν δῆλος ἦν (εἰ
δυνηθείη) φονεύσων, καὶ τὸ τελευταῖον, ὅτι καὶ αὐτῷ ἐκείνῳ ἐπε-
βούλευσε. ποτὲ μὲν γὰρ ἐξεπήδησεν ἐξαίφνης ἐκ τοῦ σκηνώμα- D
τος, βοῶν καὶ κεκραγὼς, ὡς ὑπὸ τοῦ Κάστορος ἀδικούμενος. οὗτος
δὲ ἀνὴρ ἄριστος τῶν περὶ τὸν Σεβῆρον καισαρείων ἦν, καὶ ἐπεπί-
στευτο τήν τε γνώμην αὐτοῦ καὶ τὸν κοιτῶνα. καὶ συνέστησαν μέν
τινες ἐπὶ τούτῳ στρατιῶται προπαρεσκευασμένοι, καὶ συνε-
βόησαν, κατελήφθησαν δὲ δι' ὀλίγου, αὐτοῦ τε τοῦ Σεβήρου
ἐπιφανέντος σφίσι, καὶ τοὺς ταραχωδεστέρους κολάσαντος. ἄλ-
λοτε δὲ προσήλαυνον μὲν ἀμφότεροι πρὸς τοὺς Καληδονίους,
ἵνα τά τε ὅπλα παρ' αὐτῶν λάβωσι, καὶ περὶ τῆς ὁμολογίας 306
διαλεχθῶσιν. ὁ δὲ Ἀντωνῖνος ἀποκτεῖναι αὐτὸν ἄντικρυς αὐ- A
τοχειρίᾳ ἐπεχείρησεν. ᾔεσαν μὲν γὰρ ἐπὶ ἵππων, (καὶ ὁ Σεβῆρος,
καίπερ καὶ τοὺς ταρσοὺς ὑπὸ ἀσθενείας ὑποτετμημένος, ὅμως
ἵππευσε καὶ αὐτός) καὶ τὸ ἄλλο στράτευμα συνεφείπετο, τό, τε τῶν
πολεμίων καὶ αὐτὸ συνεωρᾶτο· κἀν τῷ καιρῷ τούτῳ, τῇ τε σι-
γῇ καὶ τῷ κόσμῳ τὸν ἵππον ὁ Ἀντωνῖνος ἀναχαιτίσας, ἐσπάσα-
το τὸ ξίφος, ὡς καὶ κατὰ νώτου τὸν πατέρα πατάξων. ἰδόντες δὲ
τοῦτο οἱ ἄλλοι συνιππεύοντες ἐξεβόησαν. καὶ οὕτως ἐκεῖνός τε ἐκ-
πλαγεὶς, οὐκέτι οὐδὲν ἔδρασε· καὶ ὁ Σεβῆρος μετεστράφη μὲν
πρὸς τὴν βοὴν αὐτῶν, καὶ εἶδε τὸ ξίφος, οὐ μέντοι καὶ ἐφθέγ- B
ξατό τι, ἀλλ' ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ τελέσας ὅσα ἐχρῆν, ἐς
τὸ στρατήγιον ἐπανῆλθε, καὶ καλέσας τόν τε υἱὸν καὶ τὸν Παπινια-
νὸν καὶ τὸν Κάστορα, ξίφος τέ τι τεθῆναι ἐς τὸ μέσον ἐκέλευσε, καὶ
ἐγκαλέσας αὐτῷ ὅτι τε ὅλως τοιοῦτόν τι ἐτόλμησε, καὶ ὅτι πάν-
των ὁρώντων τῶν τε συμμάχων καὶ τῶν πολεμίων τηλικοῦτον

κακὸν δρᾶσαι ἔμελλεν, τέλος ἔφη, Ἀλλ' εἴγε ἀποσφάξαι με ἐπιθυμεῖς, ἐνταῦθά με κατάχρησαι. ἔρρωσαι γὰρ ἔγωγε, καὶ γέρων εἰμὶ, καὶ κεῖμαι. ὡς εἴγε τοῦτο μὲν οὐκ ἀναδύῃ, τὸ δὲ αὐτόχειρ μου γενέσθαι ὀκνεῖς, παρέστηκέ σοι Παπινιανὸς ὁ ἔπαρχος
C ᾧ δύνασαι κελεῦσαι ἵνα με ἐξεργάσηται. πάντως γάρ που πᾶν τὸ κελευσθὲν ὑπό σου, ἅτε καὶ αὐτοκράτορος ὄντος, ποιήσει. τοιαῦτα εἰπὼν, ὅμως οὐδὲν δεινὸν αὐτὸν ἔδρασε, καίτοι πολλάκις μὲν τὸν Μάρκον αἰτιασάμενος ὅτι τὸν Κόμμοδον οὐχ ὑπεξεῖλε· πολλάκις δὲ καὶ αὐτὸς τῷ υἱεῖ ἀπειλήσας τοῦτο ποιήσειν. ἀλλ' ἐκεῖνα μὲν ὀργιζόμενος, ἀεί ποτε ἔλεγε· τότε δὲ φιλότεκνος μᾶλλον ἢ φιλόπολις ἐγένετο, καίτοι καὶ τὸν ἕτερον ἐν τούτῳ παῖδα προέδωκε, σαφῶς εἰδὼς τὰ γενησόμενα. ἀποστάντων δὲ τῶν ἐν τῇ νήσῳ αὖθις, καλέσας τοὺς στρατιώτας, ἐκέλευσεν εἰς τὴν χώραν αὐτῶν ἐμβαλεῖν, καὶ οἷς ἂν ἐντύχωσι
D ἀποκλεῖναι, αὐτὸ τοῦτο εἰπών,

-- τῶν μήτις ὑπεκφύγῃ αἰπὺν ὄλεθρον
Χεῖράς θ' ὑμετέρας· μηδ' ὅντινα γαστέρι μήτηρ
Κοῦρον ἐόντα φέροι, μηδ' ὃς φύγοι αἰπὺν ὄλεθρον.

γενομένου δὲ τούτου, καὶ τῶν Καληδονίων προσαποστάντων τοῖς
307 Μαιάταις, ἡτοιμάζετο μὲν ὡς καὶ αὐτὸς αὐτοῖς πολεμήσων.
A καὶ αὐτὸν περὶ ταῦτ' ἔχοντα ἡ νόσος τῇ τετάρτῃ τοῦ Φεβρουαρίου ἀπέκτεινε, συνεργασαμένου τι πρὸς τοῦτο καὶ τοῦ Ἀντωνίνου ὡς λέγεται. πρὶν γοῦν μεταλλάξαι, τάδε λέγεται τοῖς παισὶν εἰπεῖν (ἐρῶ γὰρ αὐτὰ λεχθέντα, μηδὲν ὅ,τι καλλωπίσας) Ὁμονοεῖτε· τοὺς στρατιώτας πλουτίζετε, τῶν ἄλλων πάντων καταφρονεῖτε. ἐκ δὲ τούτου τό,τε σῶμα αὐτοῦ στρατιωτικῶς κοσμηθὲν, ἐπὶ πυρὰν ἐτέθη, καὶ τῇ τε τῶν στρατιωτῶν καὶ τῇ τῶν παίδων περιδρομῇ ἐτιμήθη· τά τε δῶρα τὰ στρατιωτικὰ οἵ τι τῶν παρόντων ἔ-
B χοντες εἰς αὐτὴν ἐνέβαλον, καὶ τὸ πῦρ οἱ υἱεῖς ἐνῆκαν· καὶ μετὰ τοῦτο τὰ ὀστᾶ ἐς ὑδρίαν πορφύρου λίθου ἐμβληθέντα, ἔς τε τὴν Ῥώμην ἐκομίσθη, καὶ ἐς τὸ Ἀντωνίνειον ἀπετέθη. λέγεται δὲ τὴν

ὑδρίαν ὀλίγον πρὸ τοῦ θανάτου μεταπέμψασθαί τε αὐτὸν, καὶ
ἐπιψηλαφήσαντα εἰπεῖν, Χωρήσεις ἄνδρα ὃν ἡ οἰκουμένη οὐκ
ἐχώρησεν. ἦν δὲ τὸ σῶμα βραχὺς μὲν, ἰσχυρὸς δὲ, καίπερ ἀσθε-
νέστατος ὑπὸ τῆς ποδάγρας γενόμενος· τὴν δὲ δὴ ψυχὴν δριμύ-
τατος καὶ ἐρρωμενέστατος. παιδείας μὲν γὰρ ἐπεθύμει μᾶλλον, ἢ
καὶ διὰ τοῦτο πολύγνωμος μᾶλλον ἢ πολυλόγος ἦν, φίλοις οὐκ ἀ-
μνήμων, ἐχθροῖς βαρύτατος, ἐπιμελὴς τῶν πρακτέων, ἀμελὴς C
τῶν περὶ αὐτοῦ λογοποιουμένων· χρηματιστὴς ἐξ ἅπαντος τρόπου,
πλὴν καθ᾽ ὅτι οὐδένα τούτων χάριν ἀπέκτεινε· περὶ τὰς δα-
πάνας ἀφειδέστατος. καὶ πολλὰ μὲν ᾠκοδομηκὼς ἐκ καινῆς,
πολλὰ δὲ καὶ ἐπεσκευακὼς· ὅς γε καὶ τῷ Διονύσῳ καὶ τῷ Ηρα-
κλεῖ νεὼν ὑπερμεγέθη ᾠκοδομήσατο. καίτοι δὲ παμπλεῖστα
δαπανήσας, ὅμως οὐκ ὀλιγαριθμήτους τινὰς μυριάδας δρα-
χμῶν κατελέλοιπεν, ἀλλὰ καὶ πάνυ πολλάς. καὶ ἐνεκάλει μὲν
τοῖς μὴ σωφρονοῦσιν, ὡς καὶ περὶ τῆς μοιχείας νομοθετῆσαί τινα,
καὶ διὰ τοῦτο γραφαὶ αὐτῆς οὖσαι πλεῖσται ἐγένοντο. τρισχιλίας
γοῦν ὑπατεύων εὗρον ἐν τῷ πίνακι ἐγγεγραμμένας. ἐπεὶ δὲ ὀ- D
λίγοι πάνυ αὐταῖς ἐπεξῄεσαν, οὐκέτι οὐδὲ αὐτὸς ἐπολυπρα-
γμόνει. ὅθεν καὶ μάλιστα ἀστείως Αργεντοκόξου τινὸς γυνὴ
Καληδονίου πρὸς τὴν Ιουλίαν τὴν αὔγουσταν ἀποσκώπτου-
σάν τι πρὸς αὐτὴν μετὰ τὰς σπονδὰς ἐπὶ τῇ ἀνέδην σφῶν
πρὸς τοὺς ἄρρενας συνουσίᾳ, εἰπεῖν λέγεται, ὅτι Πολλῷ ἄμει-
νον ἡμεῖς τὰ τῆς φύσεως ἀναγκαῖα ἀποπληροῦμεν ὑμῶν τῶν
Ρωμαϊκῶν. ἡμεῖς γὰρ φανερῶς τοῖς ἀρίστοις ὁμιλοῦμεν, ὑμεῖς δὲ
λάθρα ὑπὸ τῶν κακίστων μοιχεύεσθε. τοῦτο μὲν ἡ Βρεττανὶς 308
εἶπεν. ἐχρῆτο δὲ Σεβῆρος καταστάσει τοῦ βίου εἰρήνης οὔσης A
τοιᾷδε. ἔπραττέ τι πάντως νυκτὸς ὑπὸ τὸν ὄρθρον, καὶ μετὰ
τοῦτ᾽ ἐβάδιζε, καὶ λέγων καὶ ἀκούων τὰ τῇ ἀρχῇ πρόσφορα·
εἶτ᾽ ἐδίκαζε χωρὶς, εἰ μή τις ἑορτὴ μεγάλη εἴη. καὶ μέντοι
καὶ ἄριστα αὐτῷ ἔπραττε. καὶ γὰρ τοῖς δικαζομένοις ὕδωρ ἱκα-
νὸν ἐνεῖχε, καὶ ἡμῖν τοῖς συνδικάζουσιν αὐτῷ παρρησίαν

πολλὴν ἐδίδου. ἔκρινε δὲ μέχρι μεσημβρίας, καὶ μετὰ τοῦθ'
B ἵππευεν, ἐφ' ὅσον ἂν ἐδυνήθη· εἶτ' ἐλοῦτο, γυμνασάμενος
τινὰ τρόπον. ἠρίστα δὲ ἢ καθ' ἑαυτὸν, ἢ μετὰ τῶν παίδων, οὐκ ἐν-
δεῶς· εἶτ' ἐκάθευδεν ὡς πλήθει, ἔπειτ' ἐξαρθεὶς, τά τε λοι-
πὰ προσδιῴκει, καὶ λόγοις καὶ Ἑλληνικοῖς καὶ Λατίνοις συνεγί-
νετο ἐν περιπάτῳ, εἶθ' οὕτω πρὸς ἑσπέραν ἠγέετο αὖθις, καὶ ἐ-
δείπνει μετὰ τῶν ἀμφ' αὐτόν. ἥκιστα γὰρ ὀθνεῖον τινὰ συνέστιον ἐ-
ποιεῖτο, καὶ ἐν μόναις ταῖς πάνυ ἀναγκαίαις ἡμέραις τὰ πολυτε-
λῆ δεῖπνα συνεκρότει. ἐβίω δὲ ἔτη ἑξήκοντα πέντε, καὶ μῆνας
C ἐννέα, καὶ ἡμέρας πέντε καὶ εἴκοσι. τῇ γὰρ ἑνδεκάτῃ τοῦ Ἀπριλλίου
ἐγεγέννητο, ἀφ' ὧν ἦρξεν ἔτη ἑπτακαίδεκα, καὶ μῆνας ὀκτὼ, καὶ
ἡμέρας τρεῖς. τό, τε σύμπαν οὕτως ἐνεργὸς ἐγένετο, ὥστε καὶ
ἀποψύχων ἀναφθέγξασθαι, Ἄγετε, δότε, εἴ τι πρᾶξαι ἔχομεν.

ΑΝΤΩΝΙΝΟΣ Ο ΚΑΙ ΚΑΡΑΚΑΛΛΟΣ.

ΜΕΤΑ δὲ ταῦτα ὁ Ἀντωνῖνος πᾶσαν τὴν ἡγεμονίαν ἔλαβε. λόγῳ μὲν γὰρ μετὰ τοῦ ἀδελφοῦ, τῷ δὲ δὴ ἔργῳ μόνος εὐθὺς ἦρξε, καὶ πρὸς μὲν τοὺς πολεμίους κατελύσατο, καὶ τῆς χώρας αὐτῆς ἐξέστη, καὶ τὰ φρούρια
D ἐξέλιπε. τοὺς δὲ δὴ οἰκείους, τοὺς μὲν ἀπήλλαξεν, ὧν καὶ Παπι-
νιανὸς ὁ ἔπαρχος ἦν· τοὺς δὲ καὶ ἀπέκτεινεν, ὧν ἦν καὶ Εὔο-
309 δος ὁ τροφεὺς αὐτοῦ, ὁ Κάστωρ, ἥ τε γυνὴ αὐτοῦ ἡ Πλαυτίλλα, καὶ
A ὁ ταύτης ἀδελφὸς Πλαύτιος. καὶ ἐν τῇ Ῥώμῃ δὲ αὐτῇ ἄνδρα
δι' ἄλλο μὲν οὐκ ἐλλόγιμον, διὰ δὲ τὴν ἐπιτήδευσιν ἐπιφανέστατον
ἐξειργάσατο. τὸν δὲ εὐπρεπῆ τὸν ἁρματηλάτην, ἐπειδὰν τοὐναν-
τία αὐτῷ ἐσπούδαζεν, ἀπέκτεινε. καὶ ὁ μὲν οὕτως ἐν γήρᾳ ἀπέ-

θανε, πλείστοις ἀγῶσιν ἵππων στεφανωθείς. δύο γὰρ καὶ ὀγδοήκοντα καὶ ἑπτακοσίους ἀνείλετο, ὅσους οὐδεὶς ἄλλος. τὸν δὲ ἀδελφὸν ἠθέλησε μὲν καὶ ζῶντος ἔτι τοῦ πατρὸς φονεῦσαι, οὐκ ἠδυνήθη δὲ οὔτε τότε δι' ἐκεῖνον, οὔθ' ὕστερον ἐν τῇ ὁδῷ διὰ τὰ στρατεύματα· πάνυ γὰρ εὔνοιαν αὐτοῦ εἶχον, ἄλλως τε ὅτι καὶ τὸ εἶδος ὁμοιό- B
τατος τῷ πατρὶ ἦν. ἐπεὶ δὲ ἐν τῇ Ῥώμῃ ἀνῆλθε, καὶ τοῦτον κατειργάσατο. προσεποιοῦντο μὲν γὰρ καὶ φιλεῖν ἀλλήλους καὶ ἐπαινεῖν, πάντα δὲ τὰ ἐναντιώτατα ἔδρων, καὶ ἦν οὐκ ἄδηλον ὅτι δεινόν τι παρ' αὐτῶν γενήσοιτο· ὅπερ που καὶ πρὶν πρὸς τὴν Ῥώμην αὐτοὺς ἐλθεῖν προεγνώσθη. θύειν τε γὰρ ὑπὲρ τῆς ὁμονοίας αὐτῶν τοῖς τε ἄλλοις θεοῖς, καὶ αὐτῇ Ὁμονοίᾳ ψηφισθὲν ὑπὸ τῆς βουλῆς, οἱ μὲν ὑπηρέται τὸ τῇ Ὁμονοίᾳ τυθησόμενον ἱερεῖον ἡτοίμασαν, καὶ ὁ ὕπατος ὡς καὶ βουθυτήσων ἀφίκετο· οὔτε δὲ οὗτος ἐκείνους οὔθ' οἱ ὑπηρέται τὸν ὕπατον εὑρεῖν ἠδυ- C
νήθησαν· ἀλλὰ διετέλεσαν πᾶσαν, ὡς εἰπεῖν, τὴν νύκτα ζητοῦντες ἀλλήλους, ὥστε μὴ δυνηθῆναι τότε τὴν θυσίαν γενέσθαι. καὶ τῇ ὑστεραίᾳ δύο λύκοι ἐς τὸ Καπιτώλιον ἀναβάντες, ἐκεῖθεν ἐξεδιώχθησαν, καὶ ὁ μὲν ἐν τῇ ἀγορᾷ που καταληφθείς, ὁ δὲ μετὰ ταῦτα ἔξω τοῦ πωμηρίου, ἐσφάγη. καὶ τοῦτο καὶ περὶ ἐκείνους ἐγένετο. ἐβουλήθη μὲν οὖν ἐν τοῖς Κρονίοις τὸν ἀδελφὸν ὁ Ἀντωνῖνος φονεῦσαι, οὐκ ἠδυνήθη δέ. καὶ γὰρ ἐκφανέστερον ἤδη τὸ κακὸν ἢ ὥστε συγκρυφθῆναι, ἐγεγόνει· καὶ ἐκ τούτου πολλαὶ μὲν μάχαι αὐτῶν, ὡς καὶ ἐπιβουλευόντων ἀλλήλοις, D
πολλαὶ δὲ καὶ ἀντιφυλακαὶ συνέβαινον. ἐπεὶ οὖν καὶ στρατιῶται καὶ γυμνασταὶ καὶ ἔξω καὶ οἴκοι καὶ μεθ' ἡμέραν καὶ νύκτωρ συχνοὶ τὸν Γέταν ἐφρούρουν, ἔπεισε τὴν μητέρα μόνους σφᾶς ἐς τὸ δωμάτιον, ὡς καὶ συναλλάξουσι, μεταπέμψασθαι. καὶ οὕτω πιστεύσαντος τοῦ Γέτα, εἰσῆλθε μὲν μετ' αὐτοῦ, ἐπεὶ δὲ εἴσω ἐγένοντο, ἑκατόνταρχοί τινες εἰσεπήδησαν ἀθρόοι παρὰ τοῦ Ἀντωνίνου προπαρεσκευασμένοι· καὶ αὐτὸν πρὸς τὴν μητέρα, ὡς εἶδε σφᾶς, προκαταφυγόντα, καὶ ἀπὸ τοῦ αὐχένος 310
A

αὐτῆς ἐξαρτηθέντα, καὶ τοῖς στήθεσι τοῖς τε μαστοῖς προσφύν-
τα, κατέκοψαν, ὀλοφυρόμενον καὶ βοῶντα, Μῆτερ μῆτερ, τεκοῦ-
σα τεκοῦσα βοήθει, σφάζομαι. καὶ ἡ μὲν οὕτως ἀπατηθεῖσα,
τόν τε υἱὸν ἐν τοῖς ἑαυτῆς κόλποις ἀνοσιώτατα ἀπολλύμενον
ἐπεῖδε, καὶ τὸν θάνατον αὐτοῦ ἐς αὐτὰ τὰ σπλάγχνα ὅθεν τρόπον τι-
νὰ ἐξ ὧν ἐγεγέννητο εἰσεδέξατο. καὶ γὰρ τοῦ αἵματος πᾶσα ἐ-
πλήσθη, ὡς ἐν μηδενὶ λόγῳ τὸ τῆς χειρὸς τραῦμα ὃ ἐτρώθη
ποιήσασθαι. οὔτε δὲ πενθῆσαι, οὔτε θρηνῆσαι τὸν υἱόν, καίπερ
πρόωρον οὕτως οἰκτρῶς ἀπολωλότα, ὑπῆρξεν αὐτῇ (δύο γὰρ
B καὶ εἴκοσι ἔτη καὶ μῆνας ἐννέα ἐβίω) ἀλλ' ἠναγκάζετο ὡς
καὶ ἐν μεγάλῃ τινὶ ἀτυχίᾳ οὖσα, χαίρειν καὶ γελᾶν. οὕτω που
πάντα ἀκριβῶς καὶ τὰ ῥήματα αὐτῆς καὶ τὰ νεύματα τά τε
χρώματα ἐτηρεῖτο. καὶ μόνῃ ἐκείνῃ τῇ Αὐγούστῃ τῇ τοῦ αὐτοκρά-
τορος γυναικί, τῇ τῶν αὐτοκρατόρων μητρί, οὐδ' ἰδίᾳ που ἐπὶ
τηλικούτῳ παθήματι δακρῦσαι ἐξῆν. ὁ δ' Ἀντωνῖνος, καίπερ
ἑσπέρας οὔσης, τὰ στρατόπεδα κατέλαβε, διὰ πάσης τῆς ὁ-
δοῦ κεκραγὼς ὡς ἐπιβεβουλευμένος καὶ κινδυνεύων. εἰσελ-
θὼν δὲ ἐς τὸ τεῖχος, Χαίρετε, εἶπεν, ὦ ἄνδρες συστρατιῶται· καὶ
C γὰρ ἤδη ἔξεστί μοι εὐεργετεῖν ὑμᾶς. καὶ πρὶν πάντα ἀκοῦσαι, ἐ-
νέφραξε σφῶν τὰ στόματα τοσαύταις καὶ τηλικαύταις ὑπο-
σχέσεσιν, ὥστε μήτ' ἐννοῆσαι μήτε φθέγξασθαί τι αὐτοὺς εὐσε-
βὲς δυνηθῆναι. εἷς γὰρ (ἔφησεν) ἐξ ὑμῶν εἰμι, καὶ δι' ὑμᾶς μό-
νους ζῆν ἐθέλω, ἵν' ὑμῖν πολλὰ χαρίζωμαι. ὑμέτεροι γὰρ οἱ θη-
σαυροὶ πάντες εἰσί. καὶ δὴ καὶ τοῦτο εἶπεν ὅτι Μάλιστα μὲν μεθ' ὑ-
μῶν ζῆν, εἰ δὲ μή, ἀλλὰ μεθ' ὑμῶν γε ἀποθανεῖν εὔχομαι. οὔτε
γὰρ ἄλλως δὴ διὰ τὸν θάνατον καὶ ἐν πολέμῳ τελευτῆσαι βούλο-
μαι. ἢ γὰρ ἐνταῦθα δεῖ τὸν ἄνδρα ἀποθνήσκειν ἢ μηδαμοῦ.
πρὸς δὲ τὴν σύγκλητον τῇ ὑστεραίᾳ ἄλλα τέ τινα διελέχθη, καὶ
I μετὰ τὸ ἐκ τοῦ βάθρου ἐξαναστῆναι, καὶ πρὸς τῇ θύρᾳ γενέ-
σθαι, Ἀκούσατέ μου, εἶπε, μέγα πρᾶγμα, ἵνα πᾶσα ἡ οἰκου-
μένη χαρῇ· πάντες οἱ φυγάδες οἱ καὶ ἐφ' ὁτῳοῦν ἐγκλήματι καὶ
ὁπωσοῦν

ὁπωσοῦν καταδεδικασμένοι κατηλθέτωσαν. τὰς μὲν οὖν νή-
σους οὕτω τῶν φυγάδων κενώσας, καὶ τοῖς κακίστοις τῶν καταδεδι-
κασμένων ἄδειαν δεδωκώς, εἶτ' οὐ πολλῷ ὕστερον αὖ ἐπλήρω-
σε. τῶν δὲ δὴ καισαρείων τῶν στρατιωτῶν τῶν μετὰ τοῦ Γέτα γενο-
μένων καὶ εἰς δύο μυριάδας παραχρῆμα ἀπέκτεινεν, ἄνδρας
ἁπλῶς καὶ γυναῖκας, ὥς που τις καὶ ἔτυχεν ἐν τῷ βασιλείῳ ὤν·
ἐκ δὲ τῶν ἐπιφανῶν ἀνδρῶν ἄλλους τε καὶ τὸν Παπινιανόν· καὶ τῷ 311
γε τὸν Παπινιανὸν φονεύσαντι ἐπετίμησεν, ὅτι ἀξίνῃ αὐτὸν καὶ A
οὐ ξίφει διεχρήσατο. τὸν δὲ δὴ Κίλωνα τὸν τροφέα, τὸν εὐεργέ-
την, τὸν ἐπὶ τοῦ πατρὸς αὐτοῦ πεπολιαρχηκότα, ὃν καὶ πατέρα
πολλάκις ἐκεκλήκει, ἠβουλήθη μὲν ἀποστερῆσαι τοῦ ζῆν, καὶ οἱ στρα-
τιῶται οἱ πεμφθέντες ἐπ' αὐτόν, τὰ μὲν ἀργυρώματα καὶ τὰ ἱ-
μάτια, τά τε χρήματα καὶ τὰ ἄλλα πάντα τὰ ἐκείνου διήρπα-
σαν· αὐτὸν δὲ ἀνήγαγον διὰ τῆς ἱερᾶς ὁδοῦ, ὡς καὶ ἐς τὸ παλά-
τιον κομιοῦντες, κλάπας τε ὑποδεδεμένον (ἐν βαλανείῳ γὰρ ὢν
ἔτυχε) καὶ χιτωνίσκον ἐνδεδυμένον, ὡς καὶ ἐκεῖ που καταχρη-
σόμενοι· καὶ τήν τε ἐσθῆτα αὐτοῦ περιέρρηξαν, καὶ τὸ πρόσω- B
πον ᾐκίσαντο, ὥστε καὶ τὸν δῆμον καὶ τοὺς στρατιώτας τοὺς ἀστυ-
κοὺς ὑποθορυβῆσαι· καὶ διὰ τοῦτο καὶ τὸν Ἀντωνῖνον, καὶ αἰδε-
σθέντα αὐτοὺς καὶ φοβηθέντα, ἀπαντῆσαι σφίσι, καὶ τῇ χλα-
μύδι (τὴν γὰρ στρατιωτικὴν ἐσθῆτα εἶχε) περιβαλόντα αὐτὸν εἰ-
πεῖν, Μήτε τὸν πατέρα ὑβρίζετε, μήτε τὸν τροφέα παίετε. ὁ δὲ
δὴ χιλίαρχος ὁ κελευσθεὶς αὐτὸν φονεῦσαι, καὶ οἱ στρατιῶται οἱ
συμπεμφθέντες αὐτῷ ἀνῃρέθησαν, λόγῳ μὲν ὡς ἐπιβεβουλευκό-
τες αὐτῷ, τὸ δ' ἀληθές, ὅτι μὴ κατέσφαξαν αὐτόν. Πάντας δὲ
οὐκ ἂν ἐγὼ μνησθήσομαι οὐδ' ὀνομάσω, ὅσους τῶν ἐπιφανῶν
οὐδεμιᾷ δίκῃ ἀπέκτεινεν. ὁ μὲν γὰρ Δίων, ἅτε γνωριμωτάτων C
κατ' ἐκείνους τοὺς καιροὺς τῶν πεφονευμένων ὄντων, καὶ ἐξ ὀ-
νόματος αὐτῶν ποιεῖται κατάλογον· ἐμοὶ δὲ εἰπεῖν ἐξαρκεῖ
ὅτι πάντας ὁμοίους οὓς ἤθελε κατεχειρίζετο, -ὅστ' αἴτιος, ὅστε
καὶ οὐκί· καὶ ὅτι τὴν Ῥώμην ἠκρωτηρίασεν, ἀγαθῶν αὐ-

δρῶν στερήσας αὐτήν. ἐν δὲ τῶν φόνων ἐς τὰς παιδιὰς ἀπο-
κλίνων, οὐδὲν ἧττον καὶ ἐν ταύταις ἐφόνα. ἐλέφαντα μὲν γὰρ καὶ
D ῥινοκέρωτα, καὶ τίγριν καὶ ἱππότιγριν ἐν οὐδενὶ λόγῳ θεῖν αὐ-
τοῖς φονευομένοις ἐν τῷ θεάτρῳ· ὁ δὲ καὶ μονομάχων ἀνδρῶν
ὅτι πλεῖστον ἔχαιρεν αἵμασι, καὶ ἕνα γε αὐτῶν Βάτωνα τρισὶν
ἐφεξῆς ἀνδράσιν ὁπλομαχῆσαι τῇ αὐτῇ ἡμέρᾳ ἀναγκάσας,
ἔπειτα ἀποθανόντα ὑπὸ τοῦ τελευταίου, περιφανεῖ ταφῇ ἐ-
τίμησε. περὶ δὲ τὸν Ἀλέξανδρον οὕτω τι ἐπτόητο ὥστε καὶ ὅ-
πλοις τισὶ καὶ ποτηρίοις, ὡς καὶ ἐκείνου γεγονόσι, χρῆσθαι, καὶ
προσέτι καὶ εἰκόνας αὐτοῦ πολλὰς καὶ ἐν τοῖς στρατοπέδοις καὶ
ἐν αὐτῇ τῇ Ῥώμῃ στῆσαι· φάλαγγά τέ τινα ἐκ μόνων τῶν Μα-
312 κεδόνων ἐς μυρίους καὶ ἑξακισχιλίους συντάξαι, καὶ αὐτὴν
A Ἀλεξάνδρου τε ἐπονομάσαι, καὶ τοῖς ὅπλοις, οἷς ποτε ἐπ' ἐκεί-
νου ἐκέχρηντο, ὁπλίσαι. ταῦτα δ' ἦν, κράνος ὠμοβόειον, θώ-
ραξ λινοῦς τρίμιτος, ἀσπὶς χαλκῆ, δόρυ μακρὸν, αἰχμὴ
βραχεῖα, κρηπῖδες, ξίφος. καὶ οὐδὲ ταῦτα μέντοι αὐτῷ ἐξ-
ήρκεσεν, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον ἑῷον αὔγουστον ἐπεκαλεῖτο.
καί ποτε καὶ τῇ βουλῇ ἔγραψεν, ὅτι ἐς τὸ σῶμα αὖθις τὸ τοῦ
Αὐγούστου εἰσῆλθεν, ἵνα, ἐπειδὴ ὀλίγον τότε χρόνον ἐβίω, πλείο-
να αὖθις δι' ἐκείνου ζήσῃ. καὶ δὴ καὶ τοὺς φιλοσόφους τοὺς Ἀρι-
B στοτελείους ὠνομασμένους τά τε ἄλλα δεινῶς ἐμίσει, ὥστε καὶ
τὰ βιβλία αὐτῶν κατακαῦσαι ἐθελῆσαι, καὶ τὰ συσσίτια, ἃ ἐν
τῇ Ἀλεξανδρείᾳ εἶχον, τάς τε λοιπὰς ὠφελείας, ὅσας ἐκαρ-
ποῦντο, ἀφείλετο, ἐγκαλέσας σφίσιν ὅτι συναίτιος τῷ Ἀλε-
ξάνδρῳ τοῦ θανάτου Ἀριστοτέλης γεγονέναι ἔδοξε. ταῦτα μὲν
οὕτως ἐποίησε. καὶ νὴ Δία καὶ ἐλέφαντας πολλοὺς συμπεριήγε-
το, ὅπως καὶ ἐν τούτῳ τὸν Ἀλέξανδρον, μᾶλλον δὲ τὸν Διόνυσον
μιμεῖσθαι δόξῃ. οὕτω δ' οὖν διὰ τὸν Ἀλέξανδρον καὶ τοὺς Μα-
κεδόνας ἐφίλει, ὥστε ποτὲ χιλίαρχον Μακεδόνα ἐπαινέσας
C ὅτι κούφως ἐπὶ τὸν ἵππον ἀνεπήδησεν, ἐπύθετο αὐτοῦ τὸ μὲν
πρῶτον, πόθεν εἴη, ἔπειτα μαθὼν ὅτι Μακεδὼν ἦν, ἐπανήρετο,

Τίς δὲ ὀνομάζῃ; καὶ μετὰ τοῦτο ἀκούσας ὅτι Ἀντίγονος, προσεπα-
νήρετο, Τίς δέ σου ὁ πατὴρ ἐκαλεῖτο; ὡς δὲ καὶ τοῦτο Φίλιππος
ὢν εὑρέθη, Πάντ᾽ ἔχω, φησίν, ὅσα ἤθελον. καὶ εὐθὺς τὸν αὐτὸν
ταῖς λοιπαῖς στρατείαις ἐσημήνυσε, καὶ οὐ μετ᾽ οὐ πολὺ ἐς τοὺς βου-
λευτὰς τοὺς ἐστρατηγηκότας κατέταξεν. ἕτερον δέ τινα, τῇ μὲν
Μακεδονίᾳ μηδὲν προσήκοντα, πολλὰ δὲ καὶ δεινὰ δεδρακότα,
καὶ διὰ τοῦτο παρ᾽ αὐτοῦ ἐξ ἐκκλήτου δίκης κρινόμενον, ἐπειδὴ
Ἀλέξανδρός τε ἐκαλεῖτο, καὶ ὁ κατήγορος αὐτοῦ ῥήτωρ συνε-
χῶς ἔλεγεν, Ὁ μιαιφόνος Ἀλέξανδρος, ὁ θεοῖς ἐχθρὸς Ἀλέ- D
ξανδρος, ὠργίσθη τε ὡς καὶ αὐτὸς κακῶς ἀκούων, καὶ ἔφη, Εἰ
μὴ ἀρκέσει σοι ὁ Ἀλέξανδρος, ἀπολέλυσαι. οὗτος οὖν ὁ φιλαλε-
ξανδρότατος Ἀντωνῖνος εἰς μὲν τοὺς στρατιώτας φιλαναλώ-
της ἦν, τοὺς δὲ λοιποὺς πάντας ἀνθρώπους ἔργον εἶχε περιδύειν,
ἀποσυλᾶν, ἐκτρύχειν, οὐχ ἥκιστα τοὺς συγκλητικούς. ἔξω γὰρ τῶν
ἄλλων εἰσπράξεων, καίπερ ἀναριθμήτων οὐσῶν, καὶ οἰκίας
αὐτῷ παντοδαπάς, ἐπειδὴ τῆς Ῥώμης ἐξώρμησε, καὶ καταλύ-
σεις πολυτελεῖς ἐν μέσαις ταῖς ὁδοῖς καὶ ταῖς βραχυτάταις οἰκείοις 313
δαπανήμασι κατασκευάζειν ἠναγκαζόμεθα, ἐν αἷς οὐχ ὅσον A
οὐκ ᾤκησέ ποτε, ἀλλ᾽ οὐδὲ ὄψεσθαι αὐτῶν τινὰ ἔμελλε. προσέ-
τι καὶ θέατρα κυνηγετικά, καὶ ἱπποδρόμους πανταχοῦ, ὅπου
περ καὶ ἐχείμασεν ἢ καὶ χειμάσειν ἤλπισε, κατεσκευάσαμεν,
μηδὲν παρ᾽ αὐτοῦ λαβόντες, καὶ αὐτίκα πάντα κατεσκάφη.
οὕτω πως διὰ τοῦτο μόνον ἐγένετο, ἵν᾽ ἡμεῖς ἐπιτριβῶμεν. αὐ-
τὸς δὲ τὰ χρήματα ἔς τε τοὺς στρατιώτας, ὡς ἔφαμεν, καὶ ἐς
θηρία ἵππους τε ἐδαπάνα. πάμπολλα γάρ τοι καὶ θηρία
ἵππους τε καὶ βοτά, τὰ μὲν πλεῖστα παρ᾽ ἡμῶν καὶ ἀνάγ-
κῃ λαμβάνων, ἤδη δέ τινα καὶ ὠνούμενος, ἀπεκτίννυε. καί ποτε
ἑκατὸν ὗς ἅμα αὐτοχειρίᾳ ἔσφαξεν, ἡρματηλάτει τε τῇ οὐε- B
νετίῳ στολῇ χρώμενος. ἦν γὰρ εἰς πάντα καὶ θερμότατος καὶ κου-
φότατος. πρὸς δὲ τούτοις εἶχε καὶ τὸ πανοῦργον τῆς μητρός, καὶ τῶν
Σύρων, ὅθεν ἐκείνη ἦν. ἀγωνοθέτην δὲ ἢ τῶν ἐξελευθέρων τινὰ

ἢ παρὰ ἄλλων τῶν πλουσίων ἐκάθιζεν, ἵνα καὶ ἐν τούτῳ αἰσχύνηται·
προσκυνῇ τε αὐτοὺς κάτωθεν τῇ μάστιγι, καὶ χρυσοῦς ὥσπερ τις
τῶν ταπεινοτάτων ᾔτει. καὶ ἔλεγε κατὰ τὸν ἥλιον τῇ ἁρματηλασίᾳ
χρῆσθαι, καὶ ἐσεμνύνετο ἐπ' αὐτῇ. οὕτω δὲ παρὰ πάντα τὸν τῆς
C ἀρχῆς αὐτοῦ χρόνον πᾶσα ἡ γῆ ἡ ὑπακούουσα αὐτῷ ἐπορθήθη,
ὥστε τοὺς Ῥωμαίους ποτὲ ἐν ἱπποδρομίᾳ ἄλλα τε συμβοῆσαι, καὶ
ὅτι τοὺς ζῶντας ἀπολοῦμεν, ἵνα τοὺς τεθνεῶτας θάψωμεν. καὶ
γὰρ ἔλεγε πολλάκις ὅτι οὐδένα ἀνθρώπων πλὴν ἐμοῦ ἀργύ-
ριον ἔχειν δεῖ, ἵνα αὐτὸ τοῖς στρατιώταις χαρίζωμαι. καί ποτε
τῆς Ἰουλίας ἐπιτιμώσης αὐτῷ ὅτι πολλὰ ἐς αὐτοὺς ἀνήλι-
σκε, καὶ εἰπούσης ὅτι οὐκέτι ἡμῖν οὔτε δίκαιος οὔτ' ἄδικος πό-
ρος ὑπολείπεται, ἀπεκρίνατο, τὸ ξίφος δείξας, ὅτι Θάρρει μῆ-
τερ· ἕως γὰρ ἂν τοῦτ' ἔχωμεν, οὐδὲ ἡμᾶς ἐπιλείψει χρήματα. καὶ
μέντοι καὶ τοῖς κολακεύουσιν αὐτὸν καὶ κτήματα καὶ χρήματα
D ἀπένειμεν. Ἰουνίῳ γοῦν Παυλίνῳ πέντε καὶ εἴκοσι μυριάδας
ἐχαρίσατο, ὅτι καὶ ἄκων διασιλλῶσαί τι αὐτὸν σκωπτόλης ὢν
προήχθη. ἔφη γὰρ αὐτὸν ὀργιζομένῳ τινὶ ἐοικέναι, ἐπεὶ πρὸς
τὸ θυμοειδέστερόν πως ἑαυτὸν ἐσχημάτιζεν. οὐδὲν γὰρ τῶν καλῶν
ἐλογίζετο· οὐδὲ γὰρ ἔμαθέ τι αὐτῶν, ὡς καὶ αὐτὸς ὡμολόγει.
διόπερ καὶ ἐν ὀλιγωρίᾳ ἡμᾶς τούς τι παιδείας ἐχομένους εἰδό-
τας ἐποιεῖτο. ὁ μὲν γὰρ Σεβῆρος καὶ πάνυ πᾶσι τοῖς εἰς ἀρετὴν
τείνουσιν καὶ κατὰ σῶμα καὶ κατὰ τὴν ψυχὴν ἤσκησεν αὐτόν, ὥστε καὶ
314 αὐτοκράτορα ἤδη ὄντα καὶ διδασκάλοις συνεῖναι, καὶ τὸ πολὺ
A τῆς ἡμέρας φιλοσοφεῖν. ἐξηραλοίφει τε, καὶ ἵππευε καὶ ἐς
πεντήκοντα καὶ ἑπτακοσίους σταδίους, καὶ προσέτι καὶ νήχεσθαι
καὶ ἐν κλύδωνι ἤσκητο. ὁ δὲ ἐκ μὲν τούτων τρόπον τινὰ ἐρρώ-
σθη, τῆς δὲ δὴ παιδεύσεως, ὡς οὐδὲ τοὔνομα αὐτῆς ποτε ἀκη-
κοώς, ἐπελάθετο. οὐ μέντοι καὶ κακογνώμων ἦν, ἀλλὰ καὶ
συνίει τὰ πολλὰ ὀξύτατα, καὶ ἔφραζεν ἑτοιμότατα. τῇ τε
γὰρ ἐξουσίᾳ καὶ τῇ προπετείᾳ, τῷ πάνθ' ὁμοίως τὰ ἐπελθόν-
τα οἱ ἀπερισκέπτως ἐκλαλεῖν, καὶ σὺν τῷ μηδὲν αὐτῶν

ἐκφαίνειν αἰχμάζειν, καὶ ἐπιτυχίᾳ τινὶ πολλάκις περιέπιπτε. B
τὰ μὲν οὖν σύμπαντα τοιοῦτος ἦν· ἐν δὲ τοῖς πολέμοις ὁποῖος, ἐ-
ρῶ μέν. ἠπατηκὼς γὰρ τὸν βασιλέα τῶν Ὀσροηνῶν Αὔγαρον, ὡς
δὴ παρὰ φίλον αὐτὸν ἥκειν, ἔπειτα συλλαβὼν ἔδησε, καὶ τὴν Ὀσ-
ροηνὴν οὕτω ἀβασίλευτον οὖσαν λοιπὸν ἐχειρώσατο. τὸν δὲ τῶν
Ἀρμενίων βασιλέα διαφερόμενον μετὰ τῶν ἰδίων παίδων, ἐκά-
λεσε μὲν φιλικοῖς γράμμασιν, ὡς δὴ εἰρηνεύσων αὐτοῖς, ἔ-
δρασε καὶ περὶ τούτους ἃ καὶ περὶ τὸν Αὔγαρον. οὐ μὴν καὶ οἱ
Ἀρμένιοι προσεχώρησαν αὐτῷ, ἀλλ' εἰς ὅπλα ἐχώρησαν, καὶ
οὐκέτ' οὐδεὶς αὐτῶν τὸ παράπαν οὐδὲν ἐπίστευσεν· ὥστε καὶ C
ἔργῳ αὐτὸν ἐκμαθεῖν ὅσον αὐτοκράτορι ζημίωμά ἐστι, τὸ τὶ
ἀπατηλὸν πρὸς φίλους πρᾶξαι. οὐκ ὤκνησε δὲ γράψαι πρὸς
τὸ συνέδριον καὶ περὶ τῶν ἐν Πάρθοις βασιλευόντων, ἀδελ-
φῶν τε ὄντων καὶ πρὸς ἀλλήλους στασιαζόντων, ὅτι ἡ τῶν ἀδελ-
φῶν διαφορὰ μέγα τι κακὸν τὸ κοινὸν τῶν Πάρθων ἐργάσεται,
ὥσπερ που τῶν βαρβαρικῶν πραγμάτων φθαρῆναι διὰ τοῦτο
δυναμένων, τῶν δὲ Ῥωμαϊκῶν σεσωσμένων, ἀλλ' οὐκ ἄρδην
τρόπον τινὰ ἀνατετραμμένων, οὐ κατ' ἐκεῖνο μόνον ὅτι ἐπὶ με-
γάλῳ τῶν ἀνθρώπων κακῷ τοσαῦτα καὶ τοιαῦτα τῆς τοῦ ἀδελ-
φοῦ σφαγῆς ὑποφόνια τοῖς στρατιώταις ἐδεδώκει, ἀλλ' ὅτι
πάμπολλοι ἐσυκοφαντήθησαν, οὐχ ὅπως οἱ ἐπιστείλαντές τι D
ἢ δορυφορήσαντες αὐτῷ ἢ καίσαρι ἔτι ὄντι, ἢ καὶ αὐτοκρά-
τορι γενομένῳ, ἀλλὰ καὶ οἱ λοιποὶ οἷς μηδεπώποτε πρᾶγμα
πρὸς αὐτὸν ἐγεγόνει. καὶ εἴ γέ τις ἔγραψε τὸ ὄνομα τὸ τοῦ Γέ-
τα μόνον, ἢ εἶπε μόνον, εὐθὺς ἀπώλετο. ὅθεν οὐδ' ἐν ταῖς κω-
μῳδίαις οἱ ποιηταὶ ἔτι αὐτῷ ἐχρῶντο. καὶ γὰρ καὶ οὐσίαι πάν-
των, ὧν ἐν ταῖς διαθήκαις αὐτοῦ τὸ ὄνομα γεγραμμένον εὑρέ-
θη, ἐδημοσιώθησαν. ἐν μέντοι ταῖς ἀνάγκαις καὶ κατεπειγού-
σαις στρατείαις λιτὸς ἦν καὶ ἀπέριττος, τὰ μὲν διακονικὰ ὑπη- 315
ρετήματα καὶ πάνυ ἀκριβῶς ἐξ ἴσου τοῖς ἄλλοις διαπονού- A
μενος. καὶ γὰρ συνεβάδιζε τοῖς στρατιώταις, καὶ συνέτρεχε, μὴ

λουτρῷ χρώμενος, μὴ τὴν ἐσθῆτα ἀλλάσσων, ἀλλὰ καὶ παντὶ ἔργον συμβραζόμενος, καὶ πᾶσαν τροφὴν τὴν αὐτὴν ἐκείνοις αἱρούμενος. καὶ πολλάκις πρὸς τοὺς προέχοντας τῶν πολεμίων πέμπων, παρεκαλεῖτο αὐτοὺς εἰς μονομαχίαν. τὰ δὲ στρατηγικὰ, ὧν περ που καὶ μάλιστα διαπεφυκέναι αὐτὸν ἐχρῆν, ἥκιστα καλῶς μεταχειριζόμενος, ὡς αὖ τῆς νίκης ἐν ἐκείνοις τοῖς ὑπηρετήμασιν, ἀλλ᾽ οὐκ ἐν ταύτῃ τῇ ἐπιστήμῃ οὔσης.

B ἐπολέμησε καὶ πρός τινας Κέννους, Κελτικὸν ἔθνος, οὓς λέγεται μετὰ τοσούτου θυμοῦ προσπεσεῖν τοῖς Ῥωμαίοις, ὥστε καὶ τὰ βέλη, οἷς ὑπὸ τῶν Οσροηνῶν ἐτιτρώσκοντο, τοῖς στόμασιν ἐκ τῶν σαρκῶν ἀποσπᾷν, ἵνα μὴ τὰς χεῖρας ἀπὸ τῶν σφαγῶν αὐτῶν ἀποδιατρίβωσιν. οὐ μέντοι ἀλλὰ καὶ αὐτοὶ τὸ τῆς ὄνομα πολλῶν χρημάτων ἀποδόμενοι, συνεχώρησαν αὐτῷ ἐς τὴν Γερμανίαν ἀποσωθῆναι. τούτων γυναῖκες ἁλοῦσαι ὑπὸ τῶν Ῥωμαίων, ἐρωτήσαντος αὐταῖς τοῦ Ἀντωνίνου πότερον πραθῆναι ἢ φονευθῆναι βούλονται, τοῦθ᾽ εἵλοντο· ἔπειτ᾽ ἀπεμπωληθεῖσαι πᾶσαι μὲν ἑαυτὰς, εἰσὶ δ᾽ αἳ καὶ τὰ τέκνα ἀπέκτειναν.

C τῷ οὖν Ἀντωνίνῳ τά τε ἄλλα καὶ τὸ νόμισμα κίβδηλον ἦν. τό, τε ἀργύρεον καὶ τὸ χρυσίον ὃ παρεῖχεν ἡμῖν, τὸ μὲν ἐκ μολίβδου καταργυρούμενον, τὸ δὲ καὶ ἐκ χαλκοῦ καταχρυσούμενον ἐσκευάζετο. ἐνόσει δὲ καὶ τῷ σώματι, τὰ μὲν ἐμφανέσι, τὰ δὲ καὶ ἀῤῥήτοις ἀῤῥωστήμασιν. ἐνόσει δὲ καὶ τῇ ψυχῇ πικροῖς τισι φαντάσμασι. καὶ πολλάκις καὶ ἐλαύνεσθαι ὑπό τε τοῦ πατρὸς ὑπό τε τοῦ ἀδελφοῦ ξιφήρων ἐδόκει· καὶ διὰ ταῦτα ἐψυχαγώγησε μὲν, ὅπως τινὰ ἄκεσιν αὐτῶν λάβῃ, ἄλλας τε τινὰς καὶ τὴν τοῦ πατρὸς τοῦ τε Κομμόδου ψυχήν, εἶπεν δ᾽ οὖν οὐδεὶς αὐτῷ οὐδὲν πλὴν τοῦ Κομμόδου. ἔφη γὰρ ταῦτα, Στεῖχε

D δίκης ἆσσον. εἶθ᾽ ἕτερον, καὶ ἐπὶ τηλεδαπῆς, κρυφίοισι τόποισιν ἔχων δυσαλθέα νοῦσον. τέσσαρας δὲ τῶν ἀειπαρθένων ἀπέκτεινεν, ὧν μίαν βίᾳ, ὅσα γε καὶ ἠδύνατο, ᾔσχυνε. ὕστερον γὰρ ἐξησθένησεν αὐτῷ πᾶσα ἡ περὶ τὰ ἀφροδίσια ἰσχὺς, ἀφ᾽ οὗπερ καὶ ἑτέρω

ἵνα τόπον αἰσχρουργεῖν ἐλέγετο. ἡ δὲ κόρη αὕτη περὶ ἧς λέγω,
Κλωδία Λαῖτα ὠνομάζετο, ἥτις καὶ μέγα βοῶσα, Οἶδεν
αὐτὸς Ἀντωνῖνος ὅτι παρθένος εἰμί, ζῶσα κατωρύγη. ἐδίκα-
ζε μὲν οὖν ἤ τι, ἢ οὐδέν. τὸ δὲ δὴ πλεῖστον τοῖς τε ἄλλοις καὶ τῇ 316
φιλοπραγμοσύνῃ ἐσχόλαζε. πάντα γὰρ δὴ οἱ πανταχόθεν καὶ τὰ A
βραχύτατα ἀνηγγέλλετο· καὶ διὰ τοῦτο καὶ τοὺς στρατιώτας τοὺς
ὠτακουστοῦντάς τι καὶ διοπτεύοντας αὐτά, προσέταξεν ὑπὸ
μηδενὸς πλὴν ὑφ' ἑαυτοῦ κολάζεσθαι. καὶ ἐγίνετο κατὰ τοῦτο οὐδὲν
χρηστόν, ἀλλ' ἐτυράννησαν ἡμῶν καὶ ἐκεῖνοι. καὶ ὅγε μάλιστα καὶ
ἀσχημονέστατον καὶ ἀναξιώτατον καὶ τῆς γερουσίας καὶ τοῦ δή-
μου Ῥωμαίων ἐγένετο, καὶ εὐνοῦχος ἡμῶν τὸ γένος Ἴβηρ, τὸ δὲ
ὄνομα Σεμπρώνιος Ῥοῦφος, τὸν δὲ δὴ τρόπον φαρμακεὺς καὶ
γόης (ἐφ' ᾧ δὴ καὶ ὑπὸ Σεβήρου ἐς νῆσον κατεκέκλειστο) κα-
τεκράτησε· καὶ ὁ μὲν ἔμελλέ που δίκην ἐπὶ τούτῳ δώσειν, ὥσ- B
περ καὶ οἱ ἄλλοι οἱ ἐνδείξαντές τινας· ἐκεῖνος δὲ ἐπήγγελλε μὲν,
ὡς καὶ μετὰ τὴν ἕω αὐτίκα δικάσων, ἢ καὶ ἄλλό τι δημόσιον πρά-
ξων, παρέτεινε δὲ ἡμᾶς καὶ ὑπὲρ τὴν μεσημβρίαν, καὶ πολλάκις καὶ
μέχρι τῆς ἑσπέρας, μηδὲ εἰς τὰ πρόθυρα εἰσδεχόμενος, ἀλλὰ
ἔξω που ἑστῶτας. ὀψὲ γάρ ποτε ἔδοξεν αὐτῷ μηκέτι μηδ' ἀ-
σπάζεσθαι ἡμᾶς ὡς πλήθει. ἐν δὲ τούτῳ τά τε ἄλλα ἐφιλοπρα-
γμόνει, ὥσπερ εἶπον, καὶ ἅρματα ἤλαυνε, θηρία τε ἔσφαζε, καὶ
ἐμονομάχει, καὶ ἔπινε, καὶ ἐκραιπάλα, καὶ τοῖς στρατιώταις τοῖς
τὴν ἔνδον αὐτοῦ φρουρὰν ἔχουσι καὶ κρατῆρας πρὸς τῇ ἄλλῃ
τροφῇ ἐκεράννυε, καὶ κύλικας, παρόντων καὶ ἡμῶν καὶ ὁρών-
των, διέπεμπε· καὶ μετὰ τοῦτο ἔστιν ὅτε καὶ ἐδίκαζε. ταῦτά τε ἐν C
τῇ Νικομηδείᾳ χειμάσας ἔπραξε, καὶ τὴν φάλαγγα τὴν Μα-
κεδονικὴν ἐξήσκησε· μηχανήματά τε δύο μέγιστα πρός τε τὸν
Ἀρμενικὸν καὶ πρὸς τὸν Παρθικὸν πόλεμον κατεσκεύασεν, ἵνα
διαλύσας αὐτὰ ἐπὶ πλοίων ἐς τὴν Συρίαν ἀποκομίσῃ. τὰ δ'
ἄλλα ἐμιαιφόνει καὶ παρῳνόμει, καὶ τὰ χρήματα κατανήλι-
σκε. οὐδὲ ἐπείθετο οὔτε περὶ τούτων οὔτε περὶ τῶν ἄλλων τῷ

D μιμεῖται πολλὰ καὶ χρηστὰ παραινούσῃ· καίτοι καὶ τινὰ τῶν βι-
βλίων τῶν τε ἐπιστολῶν ἑκατέρων, πλὴν τῶν πάνυ ἀναγκαίων,
διοίκησιν αὐτῇ ἐπιτρέψας, καὶ τὸ ὄνομα αὐτῆς ἐν τῇ πρὸς τὴν
βουλὴν ἐπιστολαῖς ὁμοίως, τῷ τε ἰδίῳ καὶ τῷ τῶν στρατευμάτων,
ὅτι σώζεται, μετ' ἐπαίνων πολλῶν ἐνέγραφεν. τί γὰρ δεῖ λέ-
γειν, ὅτι καὶ ἠσπάζετο πάντας τοὺς πρώτους, καθάπερ καὶ ἐ-
κεῖνος. ἀλλ' ἡ μὲν καὶ μετὰ τούτων ἔτι μᾶλλον ἐφιλοσόφει· ὁ δὲ
ἔλεγε μὲν μηδενὸς τῶν ἀναγκαίων προσδεῖσθαι, καὶ ἐπὶ τού-
317 τῳ καὶ ἐσεμνύνετο, ὡς ὅτι ἀτελεστάτῃ τῇ διαίτῃ χρῆσθαι δυνά-
A μενος. ἦν δὲ οὐδὲν οὐκ ἐπίγειον, οὐ θαλάττιον, οὐκ ἀέριον, ὃ
μὴ καὶ ἰδίᾳ καὶ δημοσίᾳ αὐτῷ παρείχομεν. τοῖς δὲ μάγοις καὶ
γόησιν οὕτως ἔχαιρεν ὡς καὶ Ἀπολλώνιον τὸν Καππαδόκην τὸν
ἐπὶ τοῦ Δομιτιανοῦ ἀνθήσαντα, ἐπαινεῖν καὶ τιμᾶν, ὅστις καὶ
γόης καὶ μάγος ἀκριβὴς ἐγένετο, καὶ ἡρῷον αὐτῷ κατασκευά-
σαι. ἐκστρατεύσαντι δὲ αὐτῷ κατὰ τῶν Πάρθων πρόφασις τοῦ πο-
λέμου ἦν ὅτι Οὐολόγαισος τόν τε Τηριδάτην, καὶ Ἀντίοχόν
τινα μετ' αὐτοῦ ἐξαιτήσαντι αὐτῷ οὐκ ἐξέδωκεν. ὁ δὲ Ἀντίο-
B χος Κίλιξ μὲν ἦν, καὶ φιλοσοφεῖν κυνηδὸν τὰ πρῶτα ἐπλάτ-
τετο· καὶ πλεῖστά γε ἐκ τούτου τοὺς στρατιώτας ἐν τῷ πολέμῳ
ὠφέλησεν· ἀπαλγοῦντας γὰρ αὐτοὺς ὑπὸ τοῦ πολλοῦ ῥίγους ἐ-
περρώννυεν, ἐς τὴν χιόνα ῥιπτῶν ἑαυτὸν, καὶ ἐν αὐτῇ καλινδού-
μενος. ὅθεν καὶ χρημάτων καὶ τιμῶν καὶ παρ' αὐτοῦ τοῦ Σεβήρου καὶ
παρὰ τοῦ Ἀντωνίνου ἔτυχεν. ἐπαρθεὶς δὲ ἐπὶ τούτοις, τῷ Τηρι-
δάτῃ συνεξητάσθη, καὶ μετ' αὐτοῦ πρὸς τὸν Πάρθον ηὐτομό-
λησε. πρὶν δὲ ἀπᾶραι ἀπὸ Νικομηδείας, ἀγῶνα μονομαχίας
ἐν αὐτῇ ἐπὶ τοῖς ἑαυτοῦ γενεθλίοις ἐποίησεν. οὐδὲ γὰρ ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ τῶν φόνων ἀπείχετο. ἔνθα λέγεται, ἡττηθέντος τινὸς,
C καὶ ἱκετεύοντος αὐτὸν ὅπως σωθῇ, τὸν Ἀντωνῖνον εἰπεῖν, Ἄπελθε,
καὶ τοῦ ἀνταγωνιστοῦ δεήθητι. ἐμοὶ γὰρ οὐκ ἔξεστί σου φείσασθαι. καὶ
οὕτως ὁ ἄθλιος τάχ' ἂν ὑπὸ τοῦ ἀνταγωνιστοῦ σωθεὶς, εἰ μὴ
τοῦτο εἴρητο, διεφθάρη· οὐ γὰρ ἐτόλμησεν αὐτὸν ἀφεῖναι, ἵνα μὴ

καὶ φιλανθρωπότερος τοῦ αὐτοκράτορος εἶναι δόξῃ. καὶ μέντοι τοι-
αῦτα ποιῶν, καὶ ἐν τῇ Ἀντιοχείᾳ τρυφῶν, ὥστε καὶ τὸ γένειον
πάνυ ψιλίζεσθαι, αὐτός τι ὠδύρετο ὡς μεγάλοις δή τισι καὶ πό-
νοις καὶ κινδύνοις ὢν· καὶ τῇ γερουσίᾳ ἐπετίμα τά τε ἄλλα, ῥᾳστω-
νεύειν σφᾶς λέγων, μήτε συνιέναι προθύμως, μήτε κατ' ἄν- D
δρα τὴν γνώμην διδόναι, καὶ τέλος ἔγραψεν, ὅτι Οἶδα μὲν
ὅτι οὐκ ἀρέσκει τὰ ἐμὰ ὑμῖν. διὰ τοῦτο μέντοι καὶ ὅπλα καὶ
στρατιώτας ἔχω, ἵνα μηδὲν τῶν λογοποιουμένων ἐπιστρέφω-
μαι. τοῦ δὲ Πάρθου φοβηθέντος, καὶ τὸν Τηριδάτην καὶ τὸν Αν-
τίοχον ἐκδόντος, ἀφῆκε τὴν στρατείαν ἐν τῷ παραυτίκα. εἰς δὲ
τοὺς Ἀρμενίους στείλας τὸν Θεόκριτον μετὰ στρατιᾶς, ἰσχυρῶς ἔπται-
σε παρ' αὐτῶν ἡττηθείς. ἦν δὲ ὁ Θεόκριτος ἐκ δούλου γεγονώς, 318
καὶ τῇ ὀρχήστρᾳ ἐμπαιδοτριβηθείς. εἰς τοσαύτην μέντοι ἤλα- A
σε δυναστείαν παρ' Ἀντωνίνῳ ὡς μηδὲν εἶναι ἄμφω πρὸς αὐ-
τὸν ἐπάρχους. τὰ δ' ἴσα δ' αὐτῷ καὶ Ἐπάγαθος, καισάρειος καὶ
αὐτὸς ὤν, καὶ ἠδύνατο καὶ παρῳνόμει. ὁ γοῦν Θεόκριτος
(διεφοίτα γὰρ ἄνω καὶ κάτω, τῶν τε ἐπιτηδείων καὶ παρασκευῆς
καὶ καπηλείας ἕνεκα) συχνοὺς διά τε ταῦτα καὶ ἄλλως ἀπέκτεινε,
μεθ' ὧν καὶ Τιτιανὸς Φλάβιος ἐφονεύθη. ἐπιτροπεύων γὰρ ἐν τῇ
Ἀλεξανδρείᾳ, προσέπταισέ τι αὐτῷ. κἀκεῖνος ἀναπηδήσας ἐκ
τοῦ βάθρου, τὸ ξίφος ἐσπάσατο, ἐφ' ᾧ ὁ Τιτιανὸς καὶ τοῦτο εἶπεν, B
Ὡς ὀρχηστὴς ἐποίησας. ὅθεν ἐκεῖνος ὑπεραγανακτήσας, ἀπο-
σφαγῆναι αὐτὸν ἐκέλευσεν. ὁ δὲ Ἀντωνῖνος, καίτοι τὸν Ἀλέ-
ξανδρον ὑπεραγαπᾶν φάσκων, τοὺς ἐκείνου πολίτας μικροῦ δεῖν
πάντας ἄρδην ἀπώλεσεν. ἀκούων γὰρ ὅτι διαβάλλοιτο καὶ σκώ-
πτοιτο παρ' αὐτῶν ἐπί τε τοῖς ἄλλοις, καὶ οὐχ ἥκιστα τῇ ἀδελ-
φοκτονίᾳ, ὥρμησεν ἐπὶ τὴν Ἀλεξάνδρειαν, ἐπικρυπτόμενος
τὴν ὀργήν, καὶ ποθεῖν αὐτοὺς προσποιούμενος. ἐπεὶ δὲ εἰς τὸ
προάστειον ἦλθε, τοὺς μὲν πρώτους αὐτῶν μεθ' ἱερῶν τινῶν
ἀπορρήτων ἐλθόντας δεξιωσάμενος, ὡς καὶ συνεστίους ποιῆ- C
σαι, ἀπέκτεινε· μετὰ δὲ τοῦτο πάντα τὸν στρατὸν ἐξοπλίσας, ἐς

τὴν πόλιν ἐνέβαλε, πᾶσι μὲν τῆδε ἀνθρώποις προεπαγγεί-
λας οἴκοι μένειν, πάσας δὲ τὰς ὁδοὺς καὶ προσέτι καὶ τὰ τέγη
προκαταλαβών, καὶ, ἵνα τὰς κατὰ μέρος συμφορὰς τὰς τότε κα-
ταλαβούσας τὴν ἀθλίαν πόλιν πάρω, τοσούτους κατέσφαξεν ὥσ-
τε μηδὲ εἰπεῖν περὶ τοῦ πλήθους αὐτῶν τολμῆσαι, ἀλλὰ καὶ τῇ
βουλῇ γράψαι ὅτι οὐδὲν διαφέρει πόσοι σφῶν, ἢ τίνες ἐτελεύ-
τησαν, πάντες γὰρ τοῦτο παθεῖν ἄξιοι ἦσαν. τῶν δὲ χρημάτων τὰ
μὲν διηρπάσθη, τὰ δὲ διεφθάρη. συναπώλοντο δ' οὖν αὐτοῖς
D καὶ τῶν ξένων πολλοί. καὶ συχνοί γε τῶν μετ' Ἀντωνίνου ἐλθόν-
των ἀγνοίᾳ συνδιεφθάρησαν. τῆς τε γὰρ πόλεως μεγάλης οὔ-
σης, καὶ τῶν ἀνθρώπων ἐν πάσῃ ἅμα αὐτῇ καὶ νύκτωρ καὶ μεθ'
ἡμέραν φονευομένων, οὐδένα, οὐδὲ εἰ πάνυ τις ἐβούλετο, δια-
κρῖναι ἠδύνατο· ἀλλὰ καὶ ἔθνησκον, ὥς που ἔτυχον, καὶ τὰ σώ-
ματα σφῶν αὐτίκα εἰς τάφρους βαθείας ἐνεβάλλοντο, ὅπως
ἀφανὲς ᾖ τοῖς λοιποῖς τὸ μέγεθος τῆς συμφορᾶς. ταῦτα μὲν οἱ
ἐπιχώριοι ἔπαθον. οἱ δὲ δὴ ξένοι πάντες ἐξηλάθησαν πλὴν τῶν
ἐμπόρων, καὶ δηλονότι καὶ τὰ ἐκείνων πάντα διηρπάσθη. καὶ
319 γὰρ ἱερά τινα ἐσυλήθη, καὶ τούτων τὰ μὲν πλείω αὐτὸς ὁ Ἀν-
A τωνῖνος παρὼν καὶ ὁρῶν ἐποίει, τὰ δὲ καὶ ἐκ τοῦ Σεραπίου
προσέταττε πάντ. ἐν γὰρ τῷ τεμένει διῃτᾶτο καὶ ταῖς τῶν μιαι-
φονιῶν αὐτῶν νυξὶ καὶ ἡμέραις. καὶ τί τοῦτο εἶπον, ὁπότε καὶ τὸ
ξίφος δι' οὗ τὸν ἀδελφὸν ἀπεκτόνει, ἀναθεῖναι τῷ θεῷ ἐτόλ-
μησεν; ἐκ δὲ τούτου τάς τε θέας καὶ τὰ συσσίτια τῶν Ἀλεξαν-
δρέων καταλύσας, τὴν Ἀλεξάνδρειαν διατειχισθῆναί τε καὶ
φρουρίοις διατειχισθῆναι ἐκέλευσεν, ὅπως μηκέτ' ἀδεῶς παρ'
ἀλλήλους φοιτῷεν. Τοιαῦτα περὶ τὴν ταλαίπωρον Ἀλεξάν-
δρειαν ἔδρασεν ὁ Αὐσόνιος θὴρ, ὡς τὸ ἀκροτελεύτιον τοῦ περὶ
B τοῦ χρησμοῦ τοῦτο ὠνόμασεν, ᾧ καὶ χαίρειν ἔφασαν αὐτὸν, τῇ
τοῦ θηρὸς κλήσει καλλωπιζόμενον· εἰ καὶ πολλοὺς προφάσει τοῦ χρη-
σμοῦ ἐφόνευσεν, ὡς προσενεγκαμένους αὐτόν. μετὰ δὲ ταῦτα ἐς
τοὺς Πάρθους στρατεύσας, πρόφασιν ὅτι οὐκ ἠθέλησεν αὐτῷ

ὁ Ἀρτάβανος τὴν θυγατέρα μνηστευσαμένῳ συνοικίσαι, (καὶ γὰρ εὖ
ἠπίστατο ὅτι λόγῳ μὲν ἐκείνην γῆμαι, ἔργῳ δὲ τὴν τῶν Παρ-
θων βασιλείαν παρασπάσασθαι ἐπιθυμεῖ) πολλὰ μὲν τῆς χώ-
ρας τῆς περὶ τὴν Μηδίαν, ἅτε καὶ ἐξαπιναίως ἐμπεσὼν ἐς αὐ-
τὴν, ἐκάκωσε, πολλὰ δὲ καὶ τείχη ἐπόρθησε. τά τε Ἄρβηλα παρε C
στήσατο, καὶ τὰ μνημεῖα τὰ βασιλικὰ τῶν Πάρθων ἀνορύξας,
τὰ ὀστᾶ ἔρριψεν. οἱ γὰρ Πάρθοι οὐδὲ ἐς χεῖρας αὐτῷ ἦλθον. οὐκ-
οῦν οὐδὲ ἔχω τι ἐξαίρετον περὶ τῶν τότε πραχθέντων συγγρά-
ψαι, πλὴν ὅτι δύο στρατιῶται, ἀσκὸν οἴνου ἁρπάσαντες, προσ-
ῆλθον αὐτῷ, ἰδιούμενος ὅλον ἑκάτερος τὸ λάφυρον, καὶ κελευσθέν-
τες ὑπ' αὐτοῦ νείμασθαι τὸν οἶνον, τά τε ξίφη ἐσπάσαντο, καὶ τὸν
ἀσκὸν διέτεμον, ὡς καὶ ἐξ ἡμισείας αὐτῶν μετὰ τοῦ οἴνου ληψό-
μενοι. οὕτω γὰρ καὶ τὸν αὐτοκράτορα σφῶν ᾐδοῦντο ὥστ' αὐτὸν
καὶ περὶ τῶν τοιούτων ἐνοχλεῖν, καὶ φρονήσει ἐχρῶντο ὡς καὶ τὸν ἀ-
σκὸν καὶ τὸν οἶνον ἀπολέσαι. οἱ μὲν οὖν βάρβαροι ἐς τὰ ὄρη D
καὶ ὑπὲρ τὸν Τίγριν ἀπέφυγον, ἵνα παρασκευάσωνται. ὁ δὲ
δὴ Ἀντωνῖνος τοῦτο μὲν ἀπεκρύπτετο, ὡς δὲ δὴ καὶ παντελῶς αὐ-
τῶν οὓς μηδὲ ἑωράκει κεκρατηκὼς, ἐσεμνύνετο· καὶ μάλι-
στα ὅτι λέων τις ἐξαίφνης ἐξ ὄρους καταδραμὼν, συνεμάχη-
σεν αὐτῷ, ὡς αὐτὸς ἐπέστελλεν. οὐ μόνον δὲ τὰ ἄλλα ἐκδιῃτᾶτο
καὶ παρηνόμει καὶ ἐν αὐταῖς ταῖς στρατείαις, ἀλλὰ καί τινα ἰδίαν
ἔνδυσιν βαρβαρικῶς πως κατακόπτων καὶ συρράπτων ἐς
μανδύης τρόπον, προσεξεῦρε· καὶ αὐτός τε συνεχέστατα αὐ- 320
τὴν ἐνέδυεν, ὥστε καὶ Καράκαλλος διὰ τοῦτ' ἐπικληθῆ- A
ναι, καὶ τοὺς στρατιώτας μάλιστα ἀμφιέννυσθαι ἐκέλευσεν. αὐ-
τόν τε τοιοῦτον οἱ βάρβαροι ὁρῶντες ὄντα, καὶ τοὺς στρατιώτας
ἐκλελυμένους ὑπὸ τῆς τρυφῆς (τά τε γὰρ ἄλλα καὶ ἐν οἰκίαις
ἐχείμαζον, πάντα τὰ τῶν ξενοδοκούντων σφᾶς ὡς ἴδια ἀνα-
λίσκοντες) ἐπόρθουν, ὡς καὶ συναγωνιστὰς αὐτοῖς, ἀλλ' οὐ
πολεμίους ἔχοντες. καὶ ὁ Ἀντωνῖνος ἀντιπαρεσκευάζετο·
οὐ μέντοι καὶ πολεμῆσαι αὐτοῖς ἐξεγένετο, ἀλλ' ἐν μέσοις τοῖς B

στρατιώταις, οὓς μάλιστα ἐτίμα, καὶ οἷς ἰσχυρῶς ἐθάρρει, ἀνῃρέ-
θη. ἐπειδὴ γὰρ μάντις τις ἐν τῇ Ἀφρικῇ εἶπεν, ὥστε καὶ δημοσιευ-
θῆναι, ὅτι καὶ τὸν Μακρῖνον τὸν ἔπαρχον, καὶ τὸν υἱὸν αὐτοῦ Δια-
δουμενιανὸν αὐταρχῆσαι δεῖ, καὶ τοῦτο καὶ ἐς τὴν Ῥώμην πεμφθεὶς
Φλαβίῳ Ματερνιανῷ τῷ τῶν ἐν αὐτῇ στρατιωτῶν ἄρχοντι ἐξέ-
φηνε, καὶ ὃς παραχρῆμα τῷ Ἀντωνίνῳ ἐπέστειλε. καὶ συνέβη
ταῦτα μὲν τὰ γράμματα ἐς τὴν Ἀντιόχου πρὸς τὴν Ἰουλίαν
παραπεμφθῆναι, ἐπειδὴ ἐκεκέλευστο αὐτῇ πάντα τὰ ἀφικνού-
μενα διαλέγειν, ἵνα μὴ μάτην αὐτῷ ὄχλος γραμμάτων ἐν τῇ πο-
C λεμίᾳ ὄντι πέμπηται. ἕτερα δὲ ὑπὸ Οὐλπίου Ἰουλιανοῦ τοῦ
τότε τὰς τιμήσεις ἐγκεχειρισμένου, δι' ἄλλων γραμματοφό-
ρων ὀρθὴν πρὸς τὸν Μακρῖνον δηλοῦντα τὰ γιγνόμενα ἀφι-
κέσθαι. καὶ κατὰ τοῦτο τὰ μὲν πρὸς τὸν αὐτοκράτορα γραφέντα
διατριβὴν γενέσθαι, τὰ δὲ ἐκείνῳ ἐπισταλέντα φθῆναι γνω-
σθέντα αὐτῷ, ἐφοβήθη ὁ Μακρῖνος μὴ καὶ διαφθαρῇ ὑπ'
αὐτοῦ διὰ τοῦτο, καὶ ὅτι Σεραπίων τις Αἰγύπτιος ἄντικρυς τῷ
Ἀντωνίνῳ πρὸ ὀλίγων ἡμερῶν εἰρήκει ὅτι τε ὀλιγοχρόνιος ἔ-
D σοιτο, καὶ ὅτι ἐκεῖνος αὐτὸν διαδέξοιτο. ἐφ' ᾧ καὶ παραυτίκα
λέοντι παρεβλήθη· ἐπεὶ δ' οὐχ ἥψατο αὐτοῦ, τὴν χεῖρα μόνον,
ὥς φασι, προτείναντος, ἐφονεύθη, δυνηθεὶς ἂν (ὥς γε ἔφη) μη-
δὲ τοῦτο παθεῖν δαιμόνων τινῶν ἐπικλήσει, εἰ μίαν ἡμέραν ἐβε-
βιώκει. διὰ ταῦτα οὖν ὁ Μακρῖνος φοβηθείς, καὶ ὑποπτεύ-
σας ἀπολεῖσθαι, οὐκ ἀνεβάλετο, ἄλλως τε ὅτι καὶ τοὺς ἑταίρους
αὐτοῦ, ἄλλον κατ' ἄλλην πρόφασιν ὁ Ἀντωνῖνος ὡς καὶ τιμῶν
ἀπεώσατο. καὶ διὰ ταῦτα παρασκευάσας τῶν στρατιωτῶν τινας
321 δύο ἐν τῷ δορυφορικῷ χιλιαρχοῦντας, καὶ ὀργήν τινα ἰ-
A δίαν τῷ Ἀντωνίνῳ ἔχοντας, ἐπιβουλεύσειν αὐτῷ. ἐπράχθη δὲ
ὧδε. τῇ ὀγδόῃ τοῦ Ἀπριλλίου ἐξορμήσαντα αὐτὸν ἐξ Ἐδέσσης
ἐς Κάρρας, καὶ κατελθόντα ἐκ τοῦ ἵππου ὅπως ἀποπατήσῃ,
προσελθών τις τῶν χιλιάρχων ὑποπεμψάντων, ὡς καὶ εἰπεῖν
τι δεόμενος, ἐπάταξε ξιφιδίῳ μικρῷ. καὶ αὐτὸς μὲν αὐτίκα

ἀπέφυγε, καὶ δῆλα δὴ αὖ εἰ τὸ ξίφος ἀπέῤῥιψε· νῦν δὲ γνωρισθεὶς ὑπ' αὐτοῦ, ὑπό τινος τῶν Σκυθῶν τῶν σὺν Ἀντωνίνῳ ὄντων κατηκοντίσθη, ἐκεῖνον δὲ οἱ χιλίαρχοι ὡς καὶ βοηθοῦντες κατέσφαξαν. τοιούτῳ μὲν τέλει Ἀντωνῖνος ἐχρήσατο, βιοὺς ἔτη B
ἐννέα καὶ εἴκοσι, καὶ αὐταρχήσας ἔτη ἕξ, καὶ μῆνας δύο, καὶ ἡμέρας * καί μοι καὶ ἐνταῦθα τοῦ λόγου θαυμάσαι πάμπολλα ἐπέρχεται. μέλλοντι γὰρ αὐτῷ ἐκ τῆς Ἀντιοχείας τὴν τελευταίαν ἔξοδον ποιήσασθαι, ὁ πατὴρ αὐτοῦ ξιφήρης ὄναρ ἐπέστη, λέγων, Ὡς σὺ τὸν ἀδελφὸν ἀπέκτεινας, καὶ ἐγώ σε ἀποσφάξω, καὶ οἱ μάντεις εἶπον αὐτῷ τὴν ἡμέραν ἐκείνην φυλάξασθαι, τούτῳ τῷ ῥήματι αὐτῷ χρησάμενοι, ὅτι αἱ τοῦ ἥπατος τοῦ ἱερείου πύλαι κέκλεινται. ἀφ' οὗ καὶ διὰ θύρας τινὸς ἐξῆλθε, μηδὲν μηδὲ τοῦ λέοντος, ὃν ἀκινάκην ὠνόμαζε, καὶ ὁμοτράπεζον ὁμόκλινόν τε ἐποιεῖτο, φροντίσας, ὅτι καὶ ἐκράτησεν αὐτὸν C
ἐξιόντα, καὶ τὴν ἐσθῆτα αὐτοῦ προσκατέῤῥηξεν. ἔτρεφε μὲν γὰρ καὶ ἄλλους λέοντας πολλοὺς, καὶ ἀεί τινας περὶ αὐτὸν εἶχεν, ἐκεῖνον δὲ καὶ δημοσίᾳ πολλάκις κατεφίλει. ταῦτα οὖν οὕτως ἔσχε, καὶ ὀλίγον πρὸ τοῦ θανάτου αὐτοῦ ἔν τε τῇ Ἀλεξανδρείᾳ πῦρ ἐξαίφνης πολὺ (ὥς γε καὶ ἤκουσα) πάντα τὸν τοῦ Σεράπιδος ναὸν ἔνδοθεν καταλαβὸν, ἄλλο μὲν οὐδὲν ἐλυμήνατο, τὸ δὲ δὴ ξίφος ἐκεῖνο ᾧ τὸν ἀδελφὸν ἀπεσφάκει, μόνον ἔφθειρεν. ἐν δὲ τῇ Ῥώμῃ ἱπποδρομίας γιγνομένης, κατέπεσε τὸ τοῦ Ἄρεος ἄγαλμα πομπεῦον. D
ἀλλὰ τοῦτο μὲν ἧττον ἄν τις θαυμάσειε· τὸ δὲ δὴ μέγιστον, ἠθροισμένοι οἱ περίσσοι στρατιῶται, ἔπειτα κολοιὸν ἐπ' ἄκρου τοῦ ὀβελίσκου πάνυ σφόδρα κρώζοντα ἰδόντες, πάντες τι πρὸς αὐτὸν ἀπέβλεψαν, καὶ πάντες ἐξαίφνης ὡς καὶ ἐκ συγκειμένου τινὸς ἀνεβόησαν, Μαρπάλιε χαῖρε, Μαρπάλιε διὰ χρόνου σε ἑωράκαμεν. οὐχ ὅτι καὶ κολοιός ποτε οὕτως ὠνομάσθη, ἀλλ' ὅτι δι' ἐκείνου τὸν Μαρπάλιον τὸν τοῦ Ἀντωνίνου φονέα, ὡς καὶ ἐξ ἐπιπνοίας τινὸς θείας, ἠσπάσαντο. ἤδη δέ πως καὶ αὐτὸς 322
ἑαυτῷ ὁ Ἀντωνῖνος τὴν τελευτὴν προδηλῶσαι ἔδοξεν, ἐπειδὴ A

ἐν τῇ ἐπιστολῇ, ἣν τελευταίαν τῇ γερουσίᾳ ἔπεμψεν, ἔφη ὅτι Παυσανίου ἀρξάμενοί με ἑκατὸν ἔτεσι μοναρχῆσαι. τὸ μὲν γὰρ ἐπιβόημα τοῦτο ἀεὶ καὶ ἀπ᾽ ἀρχῆς αὐτῷ ἐγίνετο· ἐκεῖνος δὲ τότε πρῶτον καὶ μόνον ἠσπάσατο αὐτό, λόγῳ μὲν ἐγκαλῶν σφίσιν ὡς καὶ ἀδύνατα ἀρχομένοις, ἔργῳ δὲ προδηλῶν ὅτι οὐκέτ᾽ οὐδένα χρόνον ἄρξει. καὶ ἐπειδή γε ἅπαξ τοῦτό τινες ἐπεσημήναντο, καὶ ἐμοὶ ἐνθύμιον ἐγένετο, ὅτι ἐν τῇ Νικομηδείᾳ τοῖς Κρονείοις ἑστιῶν ἡμᾶς, καὶ πολλὰ ἄλλα, οἷα ἐν συμ-
B ποσίῳ εἰκὸς ἦν, εἰπών, ἔπειτ᾽ ἐξανισταμένων ἡμῶν προσκαλεσάμενος ἔφη, Κάλλιστα ὦ Δίων καὶ ἀληθέστατα ὁ Εὐριπίδης εἰρήκει ὅτι,

Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
Πολλὰ δ᾽ ἀέλπτως κραίνουσι θεοί·
Καὶ τὰ δοκηθέντ᾽ οὐκ ἐτελέσθη.
Τῶν δ᾽ ἀδοκήτων πόρον εὗρε θεός.

τοιόνδ᾽ ἀπέβη τὸ πρᾶγμα. παραχρῆμα μὲν γὰρ ἄλλως ἀπολεληρηκέναι τι τὸ
C ἔπος ἔδοξεν· ἐπειδὴ δὲ οὐκ ἐς μακρὰν ἀπώλετο, καὶ τελευταίαν φωνὴν πρός ἐμὲ ἔρρηξε, καὶ πάνυ κεχρησμῳδηκέναι τρόπον τινὰ τὰ συμβησόμενα αὐτῷ ἐνομίσθη· ὥσπερ καὶ ὁ Ζεὺς ὁ Βῆλος ὀνομαζόμενος, καὶ ἐν τῇ Ἀπαμείᾳ τῆς Συρίας τιμώμενος. καὶ γὰρ ἐκεῖνος τῷ Σεβήρῳ πρότερον ἰδιωτεύοντι ἔτι, τὰ ἔπη ταῦτα εἰρήκει.

Ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ,
Ἄρει δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.

Καὶ μετὰ ταῦτα
D αὐτοκράτορι γενομένῳ εἶπε χρωμένῳ, ὅτι Οἶκος δέ σοι πᾶς βήσεται δι᾽ αἵματος. τελευτήσαντος δὲ τοῦ Ἀντωνίνου, καὶ τὸ τῶν φαρμάκων διεγνώσθη. πολλὰ γὰρ καὶ ποικίλα παρά τε τῶν ἐν τῇ ἄνω Ἀσίᾳ ἀνθρώπων, τὰ μὲν μετεπέμψατο, τὰ δὲ καὶ ἐπρίατο, ὥστε πεντακοσίας καὶ πεντήκοντα μυριάδας ἐς αὐτὰ ἀριθμηθῆναι, ἵνα καὶ παμπόλλους, οὓς ἂν ἐθελήσῃ, καὶ διαφόρως δολοφονήσῃ· ἅ τινα καὶ εὑρεθέντα σύμπαντα κατεκαύθη. καὶ διὰ

ταῦτα ἰδόντες τὸ τῶν ἀνθρώπων μῖσος ἐς αὐτὸν ἐπλεόνασε, καὶ πολλὰ καὶ κακὰ ἤκουε περὶ πάντων. οὐδὲ γὰρ Ἀντωνῖνον ἔτ' αὐτὸν ἐκάλουν, ἀλλὰ Καράκαλλόν τε, ὥσπερ εἶπον, καὶ Τάραυτα ἐκ 323
μονομάχου προσηγορίᾳ τινὸς εἰδεχθεστάτου καὶ σμικροτάτου A
καὶ μιαιφονωτάτου. καὶ τὰ μὲν ἐκείνου, ὅπως ποτ' ἄν τις ὀνομάσῃ τις αὐτὸν, οὕτως ἔσχεν. ἐμοὶ δὲ καὶ πρὶν ἐς τὴν μοναρχίαν καταστῆναι, προεδηλώθη τρόπον τινὰ περὶ τοῦ πάθους αὐτοῦ ὅτι καὶ ταῦτα γράψοιμι. ἐν γὰρ πεδίῳ μεγάλῳ τινὶ πᾶσαν τὴν τῶν Ῥωμαίων δύναμιν ἐξωπλισμένην ὁρᾶν τεθνηκότος αὐτοῦ ἤδη ἔδοξα, καὶ τὸν Σεβῆρον ἐπὶ βήματος ὑψηλοῦ καθήμενον διαλέγεσθαί τι αὐτοῖς. καί με προστάντα ἰδὼν, ὅπως τῶν λεγομένων ἀκούσω, Δεῦρο, ἔφη, Δίων, ἐνταῦθα πλησίον πρόσελθε, ἵνα πάντα καὶ τὰ λεγόμενα καὶ τὰ γινόμενα καὶ μάθῃς ἀ- B
κριβῶς καὶ συγγράψῃς. τοιοῦτος μὲν ὁ τοῦ Ταραύτου καὶ βίος καὶ ὄλεθρος ἐγένετο.

ΜΑΚΡΙΝΟΣ.

Ο ΔΕ δὴ Μακρῖνος, τὸ μὲν γένος Μαῦρος ἀπὸ Σικελίας Καισαρείας, γονέων ἀδοξοτάτων ἦν, (τά τε γὰρ ἄλλα καὶ τὸ οὖς τὸ ἕτερον, κατὰ τὸ τῶν Μαύρων ἐπιχώριον, διετέτρητο) τῇ δὲ ἐπιεικείᾳ καὶ ἐκεῖνο συνεσκίαζεν. τά τε νόμιμα οὐχ οὕτως ἀκριβῶς ἠπίστατο ὡς πιστῶς μετεχειρίζετο. ἀποδειχθεὶς δὲ ὑπὸ τοῦ Ἀντωνίνου ἔπαρχος, διῴ- C
κησε τὰ τῆς ἡγεμονίας ταύτης ἄριστα καὶ δικαιότατα. φονευθέντος δὲ ἐκείνου, τοῖς στρατιώταις ἀλλά τε ἐπαγγειλάμενος, καὶ τοῦ πολέμου ᾧ μάλιστα ἐβαρύνοντο, ἀπαλλάξειν ἐλπίσας, ἔλαβε τὴν ἡγεμονίαν μετὰ τετάρτην ἡμέραν. γενόμενος δὲ αὐτοκράτωρ, ἀλλὰ

τι πρὸς τὸν ἐναντίον ζῆλον τοῦ Ἀντωνίνου διετάξατο καὶ κα-
λῶς ἔπραξε, καὶ μηδεμίαν εἰκόνα αὐτοῦ μήτε ἀργυρᾶν ὑ-
πὲρ πέντε λίτρας, μήτε χρυσῆν ὑπὲρ τρεῖς γίνεσθαι ἐκέλευσε. πε-
ρί γε μὴν τὰς τῶν ἀρχόντων ἐκλογάς τε καὶ καταστάσεις οὐ μι-
D κρὰς ἠδόξησεν, ὡς ἀναξίοις τισὶ τὰς ἀρχὰς ἐγχειρίζων, ὅπερ
μέγιστόν ἐστι μέρος τῆς αὐτοκρατορικῆς διοικήσεως καὶ τῆς ὅλων
προνοίας. ἤρξατο δὲ καὶ τρυφερώτερον ζῆν, καὶ βαρύτερον
324 χρῆσθαι τῇ ἐξουσίᾳ, τὰ τῆς δυσγενείας ἐντεῦθεν συγκαλύψειν
A οἰόμενος. ὅθεν καὶ τοῖς τὴν δυσγένειαν αὐτοῦ καὶ τὴν παράλογον
τῆς μοναρχίας κτῆσιν διεχεραίνειν ὑποπτευομένοις οὐκ ὀρθῶς
ἐπεξῄει, ἐμποδὼν ποιούμενος. τοῦ γὰρ τοὐναντίον ἐχρῆν αὐ-
τὸν ποιεῖν, εἰδότα ὅστις τε ἀρχὴν ἐπεφύκει, καὶ ὅστις τότε
ἦν· μήθ' ὑπερφρονεῖν, καὶ τοὺς ἀνθρώπους τῇ τε εὐεργεσίᾳ καὶ
τῇ τῆς ἀρετῆς διὰ πάντων ὁμοίως ἐπιδείξει παραμυθεῖσθαι.
ὅμως οἱ ἄνθρωποι, προκαταληφθέντες τῇ διὰ τὸν τοῦ τυραν-
νου θάνατον χαρᾷ, οὐδὲ ἐνενόησάν τι περὶ τῆς ταπεινότητος
B αὐτοῦ ἐσχόλασαν, ἀλλ' ἀγαπητῶς αὐτὸν εἰς τὴν ἀρχὴν ἐδέ-
ξαντο· οὐχ οὕτως ὅτι τινὶ δουλεύσουσιν, ὡς οὗ ἐστέροντο ἐνθυ-
μούμενοι, καὶ πάντα τινὰ καὶ τὸν τυχόντα αἱρετώτερον αὐτοῦ
νομίζοντες ἔσεσθαι. Λούκιος δέ τις Πρισκιλλιανὸς οὕτω πε-
ριβόητος ἐπὶ ταῖς ἐπηρείαις γενόμενος, ὥσπερ καὶ ἐπὶ ταῖς
τῶν θηρίων σφαγαῖς, ὑπὸ μὲν τοῦ Καρακάλλου μεγάλως ἐτι-
μήθη, ὑπ' αὐτοῦ δὲ ἐς νῆσόν τινα κατεκλείσθη. οὗτος ἄρκτῳ πο-
τὲ καὶ παρδάλει, λεαίνῃ τε καὶ λέοντι ἅμα μόνος συνηνέχθη,
καὶ πλεῖστα ἄλλα θηρία ἀπέκτεινε· πολύ γε μὴν πλείους ἄν-
δρας καὶ τῶν ἱππέων καὶ τῶν βουλευτῶν ἐκ τῶν διαβολῶν ἐξώλεσεν.
C ἡ δὲ δὴ Ἰουλία ἡ τοῦ Ταραύτου μήτηρ, ἔτυχε μὲν ἐν τῇ Ἀντιο-
χείᾳ οὖσα, καὶ οὕτω παραχρῆμα ἅμα τῇ πύστει τοῦ θανάτου
αὐτοῦ διετέθη ὥστε καὶ πλήξασθαι ἰσχυρῶς καὶ ἀποκαρτερῆ-
σαι ἐπιχειρῆσαι. ὃν γὰρ ζῶντα ἐμίσει, τετελευτηκότα ἐπό-
θει, οὐχ ὅτι ἐκεῖνον ζῆν ἤθελεν, ἀλλ' ὅτι αὐτὴ ἰδιωτεύουσα
ἤχθετο·

ἤχθετο· καὶ διὰ τοῦτο καὶ τὸν Μακρῖνον πολλὰ καὶ δεινὰ ἐλοιδό-
ρησεν, ἐπειδὴ ὡς οὔτε τι τῆς βασιλικῆς θεραπείας καὶ τῆς τῶν
δορυφόρων περὶ αὐτῇ φρουρᾶς ἠλλοιώθη, καὶ ἐκεῖνος χρη-
στά ἄττα αὐτῇ ἐπέστειλε, θαρσήσασα τὴν τοῦ θανάτου ἐπιθυ- D
μίαν κατέθετο. ἐπεὶ δὲ τὰ λεχθέντα ὑπ' αὐτῆς ὁ Μακρῖνος
ἐπύθετο, καίτοι μηδὲν αὐτῷ ἀντιγραψάσης ἐκείνης, καί τι καὶ
εἰς τοὺς συνόντας αὐτῇ στρατιώτας πράσσουσαν ᾔσθετο, καὶ τῆς
αὐταρχίας μεταδιώκουσαν παραπλησίως τῇ Σεμιράμιδι καὶ
τῇ Νιτώκριδι, ἅτε καὶ ἐκ τῶν αὐτῶν τρόπον τινὰ χωρίων ἐκείναις
οὖσαν, καὶ ἐξελθεῖν ὅτι τάχιστα ἐκ τῆς Ἀντιοχείας ὅποι βούλοιτο αὐ-
τὴν ἐκέλευσεν, οὐκέτ' ἐφιλοψύχησεν, ἀλλὰ διέφθειρεν ἑαυτὴν
ἀποκαρτερήσασα· ἐπειδὴ καὶ ὁ καρκῖνος, ὃν ἐκ πάνυ πολλοῦ
χρόνου ἡσυχάζοντα ἐν τῷ μαστῷ ἔχουσα, εἶτα κοψαμένη τὰ στέρ- 325
να, ταῖς πληγαῖς ἠρέθισεν, εἰς τὸν θάνατον αὐτῇ συνεβάλετο. ὁ δὲ A
Μακρῖνος ἰδὼν τὸν Ἀρτάβανον δυνάμεσί τε μεγάλαις καὶ
θυμῷ φερόμενον ἐς τὸν πόλεμον, ἐπειράθη μὲν, τούς τε αἰχμα-
λώτους καὶ λόγους ἐπιεικεῖς αὐτῷ πέμψας, καταπραῦναι καὶ
ἀποστρέψαι· ὡς δὲ ἐκεῖνος ἔπραττεν οὐδὲν ἐλαφρὸν, ἀλλὰ τάς
τε πόλεις τὰς ὑπὸ τοῦ Ἀντωνίνου κατασκαφείσας, αὐτὸν ἀνα-
στῆναι, τῆς τε Μεσοποταμίας παντελῶς ἐκστῆναι, καὶ ἐπὶ τῇ λύμῃ τῶν
βασιλικῶν μνημάτων δίκας δοῦναι, οὐδὲ καιρὸν οὐδένα
διαβουλεύσασθαι ἔσχεν, ἀλλ' ἀπαντήσας αὐτῷ πρὸς τὴν Νί- B
σιβιν ἤδη προσιόντι, ἡττήθη, μάχης περὶ τοῦ ὕδατος τοῖς στρα-
τιώταις ἐν τῇ αὐτοῦ στρατοπεδεύσει γενομένης· καὶ αὖθις συμβα-
λὼν, οὐχ ὡς ἤθελεν ἀπήλλαξεν. ὥστε ἠναγκάσθη πέμψας τῶν
ἐπικηρυκεύσασθαι, καὶ πολλῶν πάνυ χρημάτων τὴν εἰρήνην
ὠνήσασθαι, ἃ ἔς τε αὐτὸν τὸν Ἀρτάβανον καὶ τοὺς παραδυ-
ναστεύοντας αὐτῷ ἐδαπάνησεν· ὡς ἐς πεντακισχιλίας μυριά-
δας τὸ σύμπαν ἀνάλωμα γενέσθαι. ταῦτα μὲν οὕτως ἔσχε. πό-
λεμος δὲ τοῖς Ῥωμαίοις ἕτερος οὐκέτ' ὀθνεῖος ἀλλ' ἐμφύλιος
συνερράγη. οἱ γὰρ στρατιῶται, ἐπειδὴ οὐχ ἥδιστον αὐτοῖς ὁ

C Μακρῖνος, οὐδὲ ἄπλετά τινα σφίσιν ἐδίδου, καὶ ὅσα ὁ Ἀντωνῖ-
νος ἐνεώπεισιν. ὑπὸ δὲ τὰς ἡμέρας ἐκείνας ἄστρον τι ἀπὸ
δυσμῶν πρὸς ἀνατολὰς τὸ ἀκροφύσιον ἐπὶ πολλὰς νύκτας
ἀνατεῖνον, δεινῶς ἡμᾶς ἐξεπλήττεν, ὥστε τοῦτο δὴ τὸ τοῦ Ὁμή-
ρου διὰ στόματος ἀεὶ ποιεῖσθαι, Ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρα-
νός, ἄϊε δὲ Ζεύς. ἐπράχθη δὲ ὧδε. ἡ Μαῖσα ἡ τῆς Ἰουλίας τῆς
βασιλίδος ἀδελφή, δύο τε θυγατέρας Σοαιμίδα καὶ Μαμ-
μαίαν καὶ δύο ἐγγόνους ἄρσενας ἔχουσα ἦν, ὧν ἡ μὲν Οὐά-
D ρῳ Μαρκέλλῳ Σύρῳ ἀνδρί, ἡ δὲ Γεσσίῳ Μαρκιανῷ Σύρῳ
καὶ αὐτῷ ὄντι συνῴκησεν, οἷς καὶ ἀμφοτέροις τελευτῆσαι ἤδη
συμβεβήκει. Εὐτυχιανὸς δέ τις τῶν καισαρείων, ἔν τε ἀθύρμα-
σι καὶ γυμνασίοις ἀρέσας, τήν τε τῶν στρατιωτῶν ἐς τὸν Μακρῖ-
νον ἀπέχθειαν συνιδών, καί τι καὶ ὑπὸ τοῦ ἡλίου, ὃν Ἐλεγά-
βαλον ἐπικαλοῦσι καὶ μεγάλως θρησκεύουσιν, ἄλλων τέ τι-
νων μαντειῶν ἀναπεισθείς, ἐπεχείρησεν τόν τε Μακρῖνον καθε-
λεῖν, καὶ τὸν Λοῦπον τὸν τῆς Μαίσης ἔγγονον, αὐτοκράτορα,
καίπερ παιδίον ἔτι ὄντα, ἀντικαταστῆσαι, καὶ κατειργάσατο ἑ-
326 κάτερον. τοῦ τε γὰρ Ταράντου υἱὸν αὐτὸν μοιχίδιον εἶναι πλασά-
A μενος, καὶ τῇ ἐσθῆτι τῇ ἐκείνου, ᾗ ποτε ἐν παισὶν ἐχρῆτο, κο-
σμήσας, ἐς τὸ στρατόπεδον νυκτός, μήτε τῆς μητρὸς αὐτοῦ μήτε
τῆς τήθης ἐπισταμένης, εἰσήγαγε, καὶ τοὺς στρατιώτας ἅμα τῇ
ἕῳ τῆς τοῦ Μαΐου ἑκκαιδεκάτης, γλιχομένους τινὰ ἀφορμὴν
ἐπαναστάσεως λαβεῖν, ἀνέπεισε νεοχμῶσαι, οἳ καὶ Ἀντωνῖνον
αὐτὸν ὀνομάσαντες, αὐτοκράτορα παραχρῆμα ἀνέδειξαν. ὁ
δὲ δὴ Μακρῖνος ἔγραψε μὲν καὶ τῇ βουλῇ περὶ τοῦ Ψευδαντω-
νίνου, παιδίον τε ἀποκαλῶν αὐτόν, καὶ ἔμπληκτον εἶναι λέγων, καὶ
περὶ τῶν στρατιωτῶν ὀδυρόμενος, ὡς διά τε περὶ τὰ χρήματα ἀ-
πληστίαν ἀφισταμένων αὐτοῦ. τελευτῶν δ' οὖν, παραμύθιον τῆς
B συμφορᾶς ἔχειν ἔφη, ὅτι τὸν ἀδελφοκτόνον τὸν τῆς οἰκουμένης
καταλῦσαι ἐπιχειρήσαντι ἐπεβίω· καὶ τοιόνδε τι προσεπέ-
γραψεν, ὅτι πολλοὺς οἶδα μᾶλλον ἐπιθυμοῦντας αὐτοκρά-

πρὸς σφαγιάσαι, ἢ αὐτοὺς βιῶναι. τοῦτο δ' οὐ περὶ ἐμαυτοῦ
λέγω, ὅτι τις ἐπιθυμήσειεν ἂν ἢ εὔξαιτό με ἀπολέσθαι· ἐφ' ᾧ
Φουλούιος Διογενιανὸς ἐξεβόησεν ὅτι πάντα ηὐξάμεθα. ἦν
δ' οὗτος μὲν ἐκ τῶν ὑπατευκότων, σφόδρα δ' οὐ φρενήρης, καὶ
κατὰ τοῦτο οὔτε τοῖς ἄλλοις ἤρεσκεν, οὔτ' αὐτὸς ἑαυτῷ. ταῦτά τε
ἐπέστελλεν ὁ Μακρῖνος, καὶ ἑαυτὸν μὲν πατέρα, τὸν δὲ Διαδουμε-
νὸν υἱὸν αὐτοῦ συνεχέστατα ἀπεκάλει, καὶ τὴν ἡλικίαν τοῦ Ψευ-
δαντωνίνου διέβαλλε, πολὺ νεώτερον αὐτοῦ τὸν υἱὸν αὐτοκρά- C
τορα ἀποφήνας. ἐξ ὧν ἔτι καὶ μᾶλλον τὴν ταπεινότητα καὶ τὴν μω-
ρίαν αὐτοῦ πάντες κατέγνωσαν. ὁ δὲ δὴ Ψευδαντωνῖνος οὕτω
ταχέως ἐπ' αὐτὸν ἤλασεν, ὥστε χαλεπῶς τὸν Μακρῖνον ἐν κώ-
μῃ τινὶ τῶν Ἀντιοχέων, ἑκατὸν καὶ ὀγδοήκοντα τῆς πόλεως στα-
δίους ἀπεχούσης, συμβαλεῖν αὐτῷ. τῇ μὲν οὖν προθυμίᾳ τῇ
τῶν δορυφόρων ἐκράτησε. τούς τε γὰρ θώρακας τοὺς λεπιδω-
τοὺς, καὶ τὰς ἀσπίδας τὰς σωληνοειδεῖς ἀφελόμενος αὐτῶν,
κουφοτέρους σφᾶς ἐν ταῖς μάχαις πεποιήκει. τῇ δὲ ἑαυτοῦ δει-
λίᾳ ἡττήθη, καθάπερ καὶ τὸ δαιμόνιον αὐτῷ προεδήλωσεν· D
ὅτι γὰρ τὰ πρῶτα αὐτοῦ περὶ τῆς ἀρχῆς γράμματα ἡμῖν ἀ-
νεγνώσθη, περιστερά τις ἐπὶ εἰκόνα αὐτοῦ ἐν τῷ συνεδρίῳ ἀ-
νακειμένην ἐπέπτατο. οὐδὲ τὰς γυναῖκας γοῦν τὰς περὶ τὸν
Ψευδαντωνῖνον τήν τε Μαῖσαν καὶ τὴν Σοαιμίδα μιμή-
σασθαι ἴσχυσεν. αὗται γὰρ συνοῦσαι τῷ παιδίῳ, ἐπειδὴ τὸ ἑαυ-
τῶν στράτευμα ἀσθενέστατα ἑώρων ἀγωνιζόμενον, ἀπὸ τῶν ὀ-
χημάτων καταπηδήσασαι, καὶ ἐς τοὺς φεύγοντας εἰσπεσοῦσαι, ἐ-
πέσχον αὐτοὺς τῆς φυγῆς ὀδυρόμεναι· καὶ τὸ παιδίον σπασάμενον
τὸ ξιφίδιον ὃ παρέζωστο, ὤφθη σφίσιν ἐπὶ ἵππου θείᾳ τινὶ φο- 327
ρᾷ, ὡς καὶ ἐπὶ τοὺς ἐναντίους ἐλάσον. οὕτω γὰρ ἰδόντες ἔστησαν. ἐτρά- A
ποντο δ' ἂν καὶ ὣς πάλιν, εἰ μὴ ὁ Μακρῖνος ἰδὼν αὐτοὺς ἀνθιστα-
μένους ἔφυγε. καὶ ὁ μὲν οὕτως ἡττηθεὶς, τὸν μὲν υἱὸν πρὸς τὸν Ἀρτάβα-
νον ἔπεμψεν, αὐτὸς δὲ ἐς Ἀντιόχειαν, ὡς καὶ νενικηκὼς, ὅπως
καταδεχθῇ, εἰσελθών· ἔπειτα διαγγελθείσης τῆς ἥττης αὐτοῦ,

καὶ φόνων ἐκ τούτου πολλῶν κἀν ταῖς ὁδοῖς κἀν τῇ πόλει, ὥσ-
που τῆς ἀνοίας ἑκατέρῳ αὐτῶν εἶχε, γιγνομένων, ἀπέδρα ἐ-
κεῖθεν νυκτὸς ἐπὶ ἵππου, τήν τε κεφαλὴν καὶ τὸ γένειον πᾶν
B ξυρησάμενος, καὶ ἐσθῆτα φαιὰν κατὰ τὰς ἁλουργῖς, ἵν' ὅτι μά-
λιστα ἰδιώτῃ τινὶ ἐοίκοι, λαβών· καὶ οὕτω μετ' ὀλίγων εἰς Αἰ-
γὰς τῆς Κιλικίας ἐλθών, ὀχημάτων τε ἐνταῦθα, ὡς καὶ στρα-
τιώτης τις τῶν ἀγγελιαφόρων ὤν, ἐπέβη, καὶ διεξήλασε διά
τε τῆς Καππαδοκίας καὶ τῆς Γαλατίας, τῆς τε Βιθυνίας, μέ-
χρις Ἐριβώλου τοῦ ἐπινείου, τοῦ καταντικρὺ τῆς τῶν Νικο-
μηδέων πόλεως ὄντος. καὶ ἐς μὲν τὴν Νικομήδειαν οὐκ ἐτόλ-
μησεν εἰσελθεῖν, διαπλέων δὲ ἐς Χαλκηδόνα, ἔπεμψε πρός
τινα τῶν ἐπιτρόπων ἀργύριον αἰτῶν, καὶ κατὰ τοῦτο ἐγνώσθη, κα-
τελήφθη τε ἐν τῇ Χαλκηδόνι. καὶ ἐπελθόντων τῶν ὑπὸ τοῦ
Ψευδαντωνίνου πεμφθέντων, συνελήφθη, καὶ μέχρι τῆς Καπ-
C παδοκίας ἤχθη. ἐνταῦθα δὲ μαθὼν ὅτι καὶ ὁ υἱὸς αὐτοῦ ἑα-
λώκει, ἔρριψέ τε αὑτὸν ἀπὸ τοῦ ὀχήματος (οὐ γὰρ ἐδέδετο) καὶ
τότε μὲν τὸν ὦμον συνέτριψε, μετ' οὐ πολὺ δὲ καὶ ἐσφάγη. ὁ
μὲν οὖν Μακρῖνος οὕτω, καὶ γέρων ὤν (πεντήκοντα γὰρ καὶ τέσ-
σαρα ἔτη ἦγε) καὶ ἐμπειρίᾳ πραγμάτων προφέρων, ἀρε-
τήν τε ὑποδεικνύων, καὶ τοσούτων στρατευμάτων ἄρχων, ὑπὸ
παιδαρίου, οὗ μηδὲ τὸ ὄνομα πρότερον ἠπίστατο, κατελύθη,
ὥς που καὶ τὸ μαντεῖον αὐτῷ προεμήνυσε· χρωμένῳ γὰρ αὐτῷ
τοῦτο ἔφη, Ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί,
Σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ἱκάνει. οὕτω που οὐ-
D δεὶς οὐδὲ τῶν σφόδρα δοκούντων ἐρρῶσθαι βεβαίαν τὴν ἰ-
σχὺν ἔχει, ἀλλὰ καὶ οἱ πάνυ εὖ πράττοντες ἐξ ἴσου τοῖς λοιποῖς
αἰωροῦνται. ὁ δ' οὖν Μακρῖνος καὶ τάχιστα καὶ βαρυσυμ-
φορώτατα τὴν ἀρχὴν ἀπέβαλεν. ἐνιαυτῷ τε γάρ, καὶ δύο
μησὶ, τριῶν ἡμερῶν, ὥστε καὶ μέχρι τῆς μάχης λογιζομένοις
συμβῆναι, δέουσιν, ἦρξεν.

ΑΒΙΤΟΣ, Ο ΚΑΙ ΨΕΥΔΑΝΤΩΝΙΝΟΣ ΚΑΙ ΣΑΡΔΑΝΑΠΑΛΟΣ.

ὉΔΕ δὴ Ἄβιτος, εἴτε Ψευδαντωνῖνος, εἴτε 328
καὶ Ἀσσύριος, ἢ καὶ Σαρδανάπαλος, Τι- A
βερινός τε (καὶ γὰρ ταύτην τὴν προσηγορίαν,
ἐπειδὴ τὸ σῶμα σφαγέντος αὐτοῦ ἐς τὸν Τί-
βεριν ἐνεβλήθη, ἔλαβεν) ἐπειδὴ τὸ κρά-
τος ἐβεβαιώθη, ἐς τὴν Ῥώμην ἐλθὼν, ἓν μὲν τι καὶ σφόδρα
ἀγαθοῦ αὐτοκράτορος ἔργον ἐποίησε. πολλὰ γὰρ παρὰ πάντων
καὶ ἰδίᾳ καὶ κοινῇ ἔν τε τοῖς τοῦ Μακρίνου γραμμάτων καὶ λόγων καὶ
ἔργων ὑβρισθεὶς, οὐδενὶ τῶν παραιτίων ἐπεξῆλθεν. ἐς δὲ δὴ τἆλλα
πάντα καὶ αἴσχιστος καὶ παρανομώτατος καὶ μιαιφονώτα-
τος ὤφθη, καίτοι τρισὶν ἔτεσιν, ἐννέα μησὶν, ἡμέραις τε τέτταρ-
σιν ἄρξας, ὡς ἄν τις ἀπὸ τῆς μάχης, ἐν ᾗ τὸ παντελὲς κράτος B
ἔσχηκεν, ἀριθμήσειεν. ὁ μὲν γὰρ Εὐτυχιανὸς, ὁ καὶ Κωμάζων (καὶ
τοῦτο γὰρ τοὔνομα ἔκ τε μίμων καὶ γελωτοποιΐας ἔσχε) τῶν τε δορυ-
φόρων ἦρξεν, ἐν μηδεμιᾷ τῶν παρ᾽ ἑαυτῷ ἐπιτροπείᾳ ἢ καὶ προσ-
τασίᾳ πλὴν τοῦ στρατοπέδου ἐξετασθεὶς, καὶ μετὰ τοῦτο καὶ ὑπά-
τευσεν οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον· ὃ μη-
δενὶ πώποτε ἄλλῳ ὑπῆρξεν. ὅθεν που καὶ τοῦτ᾽ ἐν τοῖς παρα-
νομωτάτοις ἀριθμηθήσεται. οἱ δὲ δὴ ἄλλοι, ὅσοις οὐκ ἠρέσκε-
το τῶν ἐπιφανῶν ἀνδρῶν, εἴτε μετὰ προφάσεώς τινος, ἢ καὶ
χωρὶς προφάσεως ἐφονεύοντο. Οὐαλεριανὸς μὲν γὰρ Παῖ-
τος, ὅτι εἰκόνας τινὰς ἐπιχρύσους πρὸς παλλακίδων κοσμή- C
ματα ἐξετύπωσε, διεφθάρη. Μεσσάλας δὲ Σίλιος καὶ Βάσ-
σος Πομπώνιος ἐγκλήματα ἔλαβον ὅτι τοῖς πραττομένοις
παρ᾽ αὐτοῦ οὐκ ἠρέσκοντο. ἤτοι γὰρ οὐδὲ τῇ βουλῇ γράψαι περὶ

αὐτῶν ἀκούσῃ, ἐξετάσας αὐτοὺς τοῦ ἑαυτοῦ βίου, καὶ ἐπιτιμήσας τῶν ἐν τῷ παλατίῳ δρωμένων εἰπών τι. ὑπῆν δέ τι καὶ ἕτερον αἰτίαμα τῷ Βάσσῳ, ὅτι γυναῖκα εὐπρεπῆ καὶ εὐγενῆ εἶχε. τοῦ τε γὰρ Σεβήρου Κλαυδίου καὶ τοῦ Ἀντωνίνου τοῦ Μάρκου ἀπόγονος ἦν. ἀμέλει καὶ ἔγημεν αὐτήν, μηδὲ θρηνῆσαι
D τὴν συμφορὰν ἐπιτρέψας. καὶ περὶ μὲν τῶν γάμων αὐτοῦ,
329 ὧν τε ἐγάμει, ὧν τε ἐγήματο, αὐτίκα λελέξεται. καὶ γὰρ ἠν-
A δρίζετο καὶ ἐθηλύνετο, καὶ ἔπραττε καὶ ἔπασχεν ἑκάτερα ἀσελγέστατα. καὶ τί λέγω τοῖς ἄλλοις, οὓς οὐδενὶ λόγῳ ἐφόνευσε; καὶ τὸν πάνυ γὰρ αὐτῷ φίλτατον εἶναι, ἐπειδὴ σωφρόνως τε καὶ ἀφρόνως ζῆν αὐτὸν ἐνουθέτησεν, θανάτῳ ἐζημίωσε. τῶν δὲ δὴ παρανομημάτων αὐτοῦ καὶ τὸ κατὰ τὸν Ἐλιογάβαλον ἔχεται, οὐχ ὅτι θεόν τινα ξενικὸν εἰς τὴν Ῥώμην εἰσήγαγεν, οὐδ' ὅτι καινοπρεπέστατα αὐτὸν ἐμεγάλυνεν, ἀλλ' ὅτι καὶ πρὸ τοῦ Διὸς αὐτοῦ ἤγαγεν αὐτόν, καὶ ὅτι καὶ ἱερέα αὐτοῦ
B ἑαυτὸν ψηφισθῆναι ἐποίησεν, ὅτι τὸ αἰδοῖον περιέτεμε, καὶ ὅτι χοιρείων κρεῶν ἀπέχοιτο, καὶ μέντοι καὶ ὅτι τὴν ἐσθῆτα τὴν βαρβαρικήν, ᾗ τῶν Σύρων ἱερεῖς χρῶνται, καὶ δημοσίᾳ πολλάκις ἑωρᾶτο ἐνδεδυμένος· ἀφ' οὗπερ οὐχ ἥκιστα καὶ τὴν τοῦ Ἀσσυρίου ἐπωνυμίαν ἔλαβεν. ἔγημε δὲ Κορνηλίαν Παῦλαν, ἵνα δὴ θᾶσσον (ὥσπερ ἔφη) πατὴρ γένηται, ὁ μηδ' ἀνὴρ εἶναι δυνάμενος. ἐν δ' οὖν τοῖς γάμοις οὐχ ὅπως ἡ γερουσία, ἤ τε ἱππεῖς, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ τῶν βουλευτῶν διανομήν τινα ἔλαβον· ὅ, τε δῆμος πεντήκοντα καὶ ἑκατὸν δραχμαῖς, καὶ οἱ στρατιῶται ἑκατὸν πλείοσιν εἱστιάθησαν. μονομάχων τε ἀγῶνες ἐγένοντο, ἱμάτιον αὐτοῦ περιπόρφυρον ἐνδύντος, ὃ καὶ
C ἐν ταῖς εὐχωλιμαίαις θέαις ἐπεποιήκει, καὶ θηρία ἄλλα τε πολλὰ, καὶ ἐλέφας, τίγρεις δέ τε μία καὶ πεντήκοντα ἐσφάγησαν, ὃ μηδέποτε ἀθρόον ἐγεγόνει. εἶτα τὴν Παῦλαν, ὡς καὶ κηλῖδά τινα περὶ τὸ σῶμα ἔχουσαν, ἀποπέμψας, Ἀκυλίᾳ Σεβήρᾳ συνῴκησεν, ἐκφανέστατα παρανομήσας. ἱερωμένην γὰρ

αὐτὴν τῇ Ἑστίᾳ ἀσεβέστατα ἤγαγεν. ἐτόλμησε δὲ καὶ εἰπεῖν ὅτι,
ἵνα δὴ καὶ θεοπρεπεῖς παῖδες ἔκ τε ἐμοῦ τοῦ ἀρχιερέως, ἔκ τε
ταύτης τῆς ἀρχιερείας γεννῶνται, τοῦτ' ἐποίησα. καὶ ἐφ' οἷς αὐτὸν ἐν τῇ
ἀγορᾷ αἰκισθέντα, εἶτα ἐς τὸ δεσμωτήριον ἐμβληθῆναι, κἀν-
ταῦθα θανατωθῆναι ἔδει, ἐπὶ τούτοις ἐκαλλωπίζετο. καὶ οὐδὲ
ἐκείνην μέντοι ἐπὶ πολὺ κατέσχεν, ἀλλὰ ἑτέραν, εἶθ' ἑτέραν, καὶ D
μάλα δὴ ἄλλην ἔγημε, καὶ μετὰ τοῦτο πρὸς τὴν Σεβήραν ἐπανῆλθεν.
ἐγένοντο δὲ καὶ τέρατα ἐν τῇ Ῥώμῃ ἄλλα τε, καὶ ἐκ τοῦ ἀγάλ-
ματος τῆς Ἴσιδος, ὅπερ τὸ ἀέτωμα τοῦ ναοῦ αὐτῆς ἐπὶ κυνὸς ὀ-
χεῖται. τὸ γὰρ πρόσωπον ἐς τὸ εἴσω μετέστρεψεν. ὁ δὲ Σαρδανά-
παλος καὶ ἀγῶνας ἐποίει, καὶ θέας συχνάς, ἐν αἷς Αὐρήλιος Ἕ-
λιξ ὁ ἀθλητὴς ηὐδοκίμησεν, ὃς τοσοῦτον τοὺς ἀνταγωνιστὰς ὑ-
περῆρεν, ὥστε πάλην τε ἅμα καὶ παγκράτιον ἐν τῇ Ὀλυμπίᾳ
ἀγωνίσασθαι ἐθελῆσαι, κἂν τοῖς Καπιτωλίοις καὶ ἄμφω νικῆ-
σαι. οἱ μὲν γὰρ Ἠλεῖοι φθονήσαντες αὐτῷ μὴ (τὸ λεγόμενον δὴ 330
τοῦτο) ἀφ' Ἡρακλέους ὄγδοος γένηται, οὐδὲ ἐκάλεσαν ἐς τὸ στά- A
διον παλαιστὴν οὐδένα, καίπερ ἐν τῷ λευκώματι καὶ τοῦτο τὸ
ἄθλημα προσγράψαντες. ἐν δὲ δὴ τῇ Ῥώμῃ καὶ ἐνίκησεν ἑκά-
τερον, ὃ μηδεὶς ἄλλος ἐπεποιήκει. ἵνα δὲ παρῶ τάς τε βαρβαρι-
κὰς ᾠδάς, ἃς ὁ Σαρδανάπαλος τῷ Ἐλεγαβάλῳ ᾖδε τῇ
μητρὶ ἅμα καὶ τῇ τήθῃ, τάς τε ἀπορρήτους θυσίας ἃς αὐτῷ
ἔθυε, παῖδας σφαγιαζόμενος, καὶ μαγγανεύμασι χρώμενος.
ἀλλὰ καὶ εἰς τὸν ναὸν αὐτοῦ λέοντα καὶ πίθηκον καὶ ὄφιν τινὰ ζῶν-
τα ἐγκατακλείσας, αἰδοῖά τε ἀνθρώπου ἐμβαλών, καὶ ἄλλ' ἄττα
ἀνοσιουργῶν, περιάπτοις τέ τισι μυρίοις ἀεί ποτε χρώμενος, ἵνα B
ταῦτα παραδράμω, καὶ γυναῖκα τῷ γελοιοτάτῳ Ἐλεγαβά-
λῳ ἐμνήστευσε, καθάπερ καὶ γάμου παίδων τε δεομένῳ. καὶ ἔδει
γὰρ μήτε πενιχρὰν μήτε δυσγενῆ τινα εἶναι αὐτήν, τὴν Οὐρανίαν
τὴν τῶν Καρχηδονίων ἐπελέξατο, καὶ ἐκεῖθέν τε αὐτὴν μετεπέμ-
ψατο, καὶ ἐς τὸ παλάτιον καθίδρυσεν, ἕδνα τε αὐτῇ παρὰ
πάντων τῶν ὑπηκόων, ὥσπερ καὶ ἐπὶ τῆς ἑαυτοῦ γυναικὸς

ἤθροισε.

ἤθροισε. τὰ μὲν δὴ οὖν ἔδνα ὅσα ἐδόθη ζῶντος αὐτοῦ, μετὰ
ταῦτα εἰσεπράχθη. τὴν δὲ δὴ προῖκα οὐκ ἔφη κομίσασθαι,
πλὴν δύο λεόντων χρυσῶν, οἳ καὶ συνεχωνεύθησαν. ἀλλ' οὗτος
C ὁ Σαρδανάπαλος, ὁ καὶ τοὺς θεοὺς γάμου νόμῳ συνοικίζειν
ἀξιῶν, ἀσελγέστατα αὐτὸς διεβίω. γυναιξὶ μὲν γὰρ καὶ πλείοσι
συνειργνυτο, οὐ μέντοι ὡς καὶ αὐτός τι αὐτῶν δεόμενος, ἀλλὰ
ἵνα τῇ συγκοιμήσει τῇ μετὰ τῶν ἐραστῶν, τὰ ἔργα αὐτῶν μι-
μῆται. πολλὰ δὲ καὶ ἄτοπα, ἃ μήτε λέγων μήτε ἀκούων τις
καρτερήσειεν, ἔδρασε τῷ σώματι καὶ ἔπαθε· τὰ δὲ δὴ περιφα-
νέστατα, καὶ ἃ μηδ' ἂν ἀποκρύψαιτό τις, τάδε ἐστίν. ἐς καπη-
λεῖα εἰσῄει νύκτωρ, περιθεταῖς κόμαις χρώμενος, καὶ τὰ τῶν
καπηλίδων εἰργάζετο. ἐς τὰ πορνεῖα τὰ περιβόητα εἰσεφοί-
τα, καὶ τὰς ἑταίρας ἐξελαύνων, ἐπόρνευε. καὶ τέλος ἐν τῷ πα-
D λατίῳ οἴκημά τι ἀποδείξας, ἐνταῦθα ἠσέλγαινε, γυμνός τε
ἀεὶ ἐπὶ τῆς θύρας αὐτοῦ ἑστώς, ὥσπερ αἱ πόρναι, καὶ τὸ σιν-
δόνιον χρυσοῖς κρίκοις ἐξηρτημένον διασείων, τούς τε παριόν-
τας ἁβρᾷ τε καὶ κεκλασμένῃ τῇ φωνῇ προσεταιριζόμενος.
ἦσαν γὰρ οἷς ἐξεπίτηδες τοῦτο ποιεῖν προσετέτακτο. ὥσπερ γὰρ
καὶ ἐς τὰ ἄλλα καὶ ἐς ἐκεῖνο διερευνητὰς συχνοὺς εἶχε, δι' ὧν
ἐπολυπραγμόνει τοὺς μάλιστα αὐτῷ ἀρέσαι τῇ ἀκαθαρσίᾳ
δυναμένους· χρήματά τε παρ' αὐτῶν συνέλεγε, καὶ ἐγαυροῦτο
ταῖς ἐμπολαῖς· πρός τε τοὺς συνασχημονοῦντας οὐ διεφέρε-
331 το, πλείους τε ἐραστὰς αὐτῶν ἔχειν καὶ πλεῖον ἀργυρίζεσθαι λέ-
A γων. καὶ ταῦτα μὲν πρὸς πάντας ὁμοίως τοὺς χρωμένους αὐ-
τῷ ἔδρα. ἤδη καὶ ἐξαίρετόν τινα ἄνδρα ἔσχεν, ὃν καίσαρα
διὰ τοῦτ' ἀποδεῖξαι ἠθέλησεν. ἤλαυνε μὲν γὰρ ἅρμα τῇ πρα-
σίῳ στολῇ χρώμενος· ἰδίᾳ τε καὶ οἴκοι ἔνι φαίαι τοῦτ' εἶναι, ἔνθα ἠ-
γωνοθέτουν οἵ τε ἄλλοι οἱ περὶ αὐτὸν πρῶτοι, καὶ οἱ ἔπαρχοι
αὐτοί, ἥ τε τήθη καὶ ἡ μήτηρ, καὶ αἱ γυναῖκες, καὶ προσέτι καὶ
τῶν ἐκ τῆς βουλῆς ἄλλοι τε, καὶ ὁ Λέων ὁ πολίαρχος· καὶ ἐθεῶντο αὐτὸν
B καὶ ἁρματηλατοῦντα, καὶ χρυσοῦς, ὥσπερ τινὰ τῶν τυχόντων,

αὐτὸς ὢν, τούς τε ἀγωνοθέτας καὶ τοὺς στρατιώτας προσκυνοῦν-
τα. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὠρχεῖτο, οὔτι γε ἐν ὀρχήστρᾳ μό-
νον, ἀλλὰ καὶ ἐκβαδίζων τρόπον τινὰ καὶ θύων, ἀσπαζόμενός τε καὶ
δημηγορῶν. καὶ τέλος (ἵν᾽ ἤδη ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον ἐπανέλ-
θω) καὶ ἐγήματο, γυνή τε καὶ δέσποινα, βασιλίς τε ὠνομάζετο·
καὶ ἐριούργει, κεκρύφαλόν τε ἔστιν ὅτε ἐφόρει, καὶ τοὺς ὀφθαλμοὺς ἐ-
νηλείφετο. ἅπαξ μὲν γὰρ ἀπεκείρατο τὸ γένειον, καὶ ἐπ᾽ αὐτῷ
ἑορτὴν ἤγαγε. μετὰ δὲ τοῦτ᾽ ἐψιλίζετο, ὥστε καὶ ἐκ τούτου γυναι- C
κίζειν. καὶ πολλάκις καὶ κατακείμενος, τοὺς βουλευτὰς ἠσπάζετο.
ὁ δὲ δὴ ἀνὴρ αὐτῆς, Ἱεροκλῆς ἦν, Καρικὸν ἀνδράποδον, καὶ ἁρ-
ματηλάτης ἐγένετο. κἀκ τούτου καὶ παραδοξότατα αὐτῷ ἠρέ-
σθη. ἐν γάρ τοι ἱπποδρομίᾳ τινὶ ἐκπεσὼν τοῦ ἅρματος κατ᾽ αὐ-
τὴν τὴν τοῦ Σαρδαναπάλου ἕδραν, τό, τε κράνος ἐν τῇ πτώσει
ἀπέρριψε, καὶ ἐκφανεὶς αὐτῷ (λειογένειος δέ τι ἦν, καὶ κόμῃ ξαν-
θῇ ἐκεκόσμητο) ἀνηρπάσθη τε εὐθὺς ἐς τὸ παλάτιον, κἀν τοῖς
νυκτερινοῖς ἔργοις, καὶ μᾶλλον ἑλὼν αὐτὸν, ὑπερηυξήθη, ὥστε
καὶ ὑπὲρ αὐτὸν ἐκεῖνον ἰσχῦσαι, καὶ βραχὺ νομισθῆναι, τὸ τὴν μη-
τέρα αὐτοῦ ἔτι δούλην οὖσαν, ἔς τε τὴν Ῥώμην ὑπὸ στρατιωτῶν D
ἀχθῆναι, κἀν ταῖς τῶν ὑπατευκότων γυναιξὶ συναριθμηθῆναι.
πολλάκις μὲν γὰρ καὶ ἄλλοι ἐτιμήθησαν ὑπ᾽ αὐτοῦ καὶ ἐδυνή-
θησαν, οἱ μὲν ὅτι συνεπανέστησαν, οἱ δ᾽ ὅτι ἐμοίχευον αὐτόν. καὶ
γὰρ μοιχεύεσθαι δοκεῖν (ἵνα κἀν τούτῳ τὰς ἀσελγεστάτας γυναῖ-
κας μιμῆται) ἤθελε, καὶ πολλάκις ἑκὼν καὶ ἐπ᾽ αὐτοφώρῳ ἡ-
λίσκετο. καὶ διὰ τοῦτο καὶ ἐλοιδορεῖτο ἀσελγῶς πρὸς τοῦ ἀν-
δρός, καὶ ὥστε καὶ ὑπώπια σχεῖν, πληγὰς ἐλάμβανε. ἐκεῖνον
δ᾽ οὖν οὕτως οὐ κούφῃ τινὶ φορᾷ, ἀλλὰ πόνῳ καὶ δευσοποιῷ 332
ἔρωτι ἠγάπα, ὥστε μὴ ὅτι ἐπὶ τοιούτῳ τινὶ ἀγανακτῆσαι, ἀλ- A
λὰ καὶ τοὐναντίον ἐπ᾽ αὐτοῖς ἐκείνοις μᾶλλον αὐτὸν φιλῆ-
σαι, καὶ καίσαρα ὄντως ἀποφῆναι θελῆσαι, καὶ τῇ τε τήθῃ
διὰ τοῦτο ἐμποδὼν γενομένῃ ἀπειλῆσαι, καὶ τοῖς στρατιώταις
οὐχ ἥκιστα δι᾽ αὐτὸν προσκροῦσαι. καὶ ὁ μὲν ἔμελλέ που καὶ

διὰ ταῦτα ἀπολεῖσθαι. Αὐρήλιος δὲ δὴ Ζωτικὸς ἀνὴρ Σμυρ-
ναῖος, ὃν καὶ Μάγειρον ἀπὸ τῆς τοῦ πατρὸς τέχνης ἐκάλουν, καὶ
B ἐφιλήθη πάνυ ὑπ' αὐτοῦ καὶ ἐμισήθη, καὶ διὰ τοῦτο καὶ ἐσώθη.
οὗτος γὰρ δὴ καλὸν μὲν καὶ τὸ πᾶν σῶμα, ἅτε καὶ ἀθλητὴς, εἶχεν,
πολὺ δὲ δὴ πάντας τῷ τῶν αἰδοίων μεγέθει ὑπεραίρων, ἐμηνύθη
τε αὐτῷ ὑπὸ τῶν ταῦτα ἐξεταζόντων, καὶ ἐξαίφνης ἐκ τῶν ἀ-
γώνων ἀναρπασθεὶς, ἀνήχθη τε εἰς τὴν Ῥώμην ὑπὸ πομ-
πῆς ἀπλέτου, καὶ ὅσην οὔτε Αὔγαρος ἐπὶ τοῦ Σεβήρου, οὔτε Τη-
ριδάτης ἐπὶ τοῦ Νέρωνος ἔσχε. προκοιτής τε καὶ πρὶν ὀφθῆναι
ἀποδειχθεὶς, ἐς τὸ παλάτιον λυχνοκαΐᾳ πολλῇ λαμπόμενος
εἰσῆλθε. καὶ ὃς ἰδὼν, ἀνέθορέ τε ἐρυθριασμένως, καὶ προσειπόν-
C τα, οἷα εἰκὸς ἦν, Κύριε αὐτοκράτωρ χαῖρε, θαυμαστῶς τόν τε
αὐχένα γυναικίσας, καὶ τοὺς ὀφθαλμοὺς ἐπικλάσας, ἠμείψα-
το, καὶ ἔφη οὐδὲν διστάσας, Μή με λέγε κύριον· ἐγὼ γὰρ κυρία
εἰμί. καὶ ὁ μὲν συλλουόμενός τε αὐτῷ παραχρῆμα, καὶ ἐπὶ
πλεῖον ἐκ τῆς γυμνώσεως, ἅτε καὶ ἰσόρροπον τῇ φήμῃ εὑρὼν
αὐτὸν ὄντα, παχηπάσας, ἔν τε τοῖς στέρνοις αὐτοῦ κατεκλίθη,
κἀν τοῖς κόλποις ὥσπερ ἐρωμένη δεῖπνον εἵλετο. ὁ δὲ Ἱεροκλῆς
φοβηθεὶς μὴ καὶ μᾶλλον αὐτὸν ἑαυτοῦ δουλώσηται, καί τι δι'
αὐτοῦ δεινὸν, οἷα ἐν ἀντερασταῖς εἴωθε γίνεσθαι, πάθῃ, φαρμά-
κῳ τινὶ αὐτὸν διὰ τῶν οἰνοχόων, προσφιλῶν που ἑαυτῷ ὄντων,
D ἐξεθήλυνε. καὶ οὕτως ἐκεῖνος ἀστυσίᾳ περὶ πᾶσαν τὴν νύκτα συ-
σχεθεὶς, ἀφῃρέθη τε πάντων ὧν τετύχηκει, καὶ ἐξηλάθη ἔκ τε τοῦ
παλατίου καὶ ἐκ τῆς Ῥώμης, καὶ μετὰ ταῦτα καὶ ἐκ τῆς λοι-
πῆς Ἰταλίας· ὃ καὶ ἔσωσεν αὐτόν. ἔμελλε δέ που καὶ αὐτὸς ὁ
Σαρδανάπαλος ἀξιώτατον τῆς μιαρίας τῆς ἑαυτοῦ μισθὸν
οὐ πολὺ ὕστερον κομιεῖσθαι. ἅτε γὰρ ταῦτα ποιῶν καὶ ταῦτα πά-
σχων, ἐμισήθη ὑπό τε τοῦ δήμου καὶ ὑπὸ τῶν στρατιωτῶν, οἷς
μάλιστα προσέκειτο, καὶ τελευταῖον καὶ ἐν αὐτῷ τῷ στρατοπέδῳ
ὑπ' αὐτῶν ἐσφάγη. ἔσχε δὲ οὕτως. τὸν Βασσιανὸν τὸν ἀνεψιὸν
333 αὐτοῦ ἐς τὸ συνέδριον εἰσαγαγὼν, καὶ τὴν Μαῖσαν καὶ τὴν Σοαιμίδα
A

ἐκ πατέρωθεν προσποιησάμενος, παῖδα ἔθετο· ἑαυτὸν δὲ ὡς καὶ
πατέρα ἐξαίφνης τηλικούτου παιδίου, ὃς καὶ πολὺ τῇ ἡλικίᾳ
αὐτοῦ προέχοντα ἐμακάριζε, καὶ μηδὲν ἄλλου τέκνου δεῖσθαι ἔ-
φησεν, ἵνα ἡ οἰκία αὐτοῦ ἄνευ ἀθυμιῶν διαγίνηται· καὶ γὰρ τὸν
Ἐλεγάβαλον τοῦτό τε οἱ ποιῆσαι, καὶ Ἀλέξανδρον αὐτὸν προσο-
νομάσαι κεκελευκέναι. καὶ ἔγωγε πείθομαι ἐκ θείας τινὸς
παρασκευῆς ὡς ἀληθῶς αὐτὰ γεγονέναι, τεκμαιρόμενος οὐχ
οἷς ἐκεῖνος εἶπεν, ἀλλ' ἔκ τε τοῦ λεχθέντος αὐτῷ ὑπό τινος, ὅτι
ἄρα ὡς Ἀλέξανδρος ἐξ Ἐμέσης ἐλθὼν αὐτὸν διαδέξεται· καὶ
ἐκ τοῦ συμβεβηκότος ἔν τε τῇ Μυσίᾳ τῇ ἄνω, καὶ τῇ Θρᾴκῃ. B
ὀλίγον γὰρ τούτων πρότερον δαίμων τις, Ἀλέξανδρός τε ὁ Μα-
κεδὼν ἐκεῖνος εἶναι λέγων, καὶ τὸ εἶδος αὐτοῦ τήν τε σκευὴν
ἅπασαν φέρων, ὡρμήθη τε ἐκ τῶν περὶ τὸν Ἴστρον χωρίων, οὐκ
οἶδ' ὅπως ἐκείνῃ ἐκφανείς, καὶ διά τε τῆς Ἀσίας καὶ τῆς Θρᾴ-
κης διεξῆλθε βακχεύων μετ' ἀνδρῶν τετρακοσίων, θύρσους
τε καὶ νεβρίδας ἐνεσκευασμένων, κακὸν οὐδὲν δρώντων. ὡ-
μολόγητο δὲ παρὰ πάντων τῶν ἐν τῇ Θρᾴκῃ τότε γενομένων, ὅ-
τι καὶ καταγωγαὶ, καὶ τὰ ἐπιτήδεια αὐτῷ πάντα δημοσίᾳ παρε-
σκευάσθη, καὶ οὐδεὶς ἐτόλμησεν οὔτ' ἀντειπεῖν οὔτ' ἀντᾶραι, C
οὐκ ἄρχων, οὐ στρατιώτης, οὐκ ἐπίτροπος, οὐχ οἱ τῶν ἐθνῶν ἡγού-
μενοι, ἀλλ' ὥσπερ ἐν πομπῇ τινι μεθ' ἡμέραν ἐκ προρρήσεως ἐκο-
μίσθη μέχρι τοῦ Βυζαντίου. ἐντεῦθεν γὰρ ἐξαναχθεὶς προσέσχε μὲν
τῇ Καρχηδονίᾳ γῇ, ἐκεῖ δὲ δὴ νυκτὸς ἱερά τινα ποιήσας, καὶ ἵπ-
πον ξύλινον καταχώσας, ἀφανὴς ἐγένετο. ταῦτα μὲν, ἐν τῇ Α-
σίᾳ ἔτι, ὡς εἶπον, ὤν, πρὶν καὶ ὁτιοῦν περὶ τὸν Βασσιανὸν ἐν τῇ Ῥώ-
μῃ γενέσθαι, ἔμαθον. ἕως μὲν οὖν ὁ Σαρδανάπαλος τόν τε ἀνεψιὸν
ἐφίλει, ἐσώζετο· ἐπεὶ δὲ πάντας ὑπώπτευε, καὶ ἐμάνθανε πρὸς
ἐκεῖνον ῥέποντας ὁλοσχερῶς τὰς εὐνοίας, ἐτόλμησε μετα-
γνῶναι, καὶ πάντα ἐπὶ καθαιρέσει αὐτοῦ ἔπραττεν. ὡς δέ πο- D
τε καὶ ἀνελεῖν αὐτὸν ἐπεχείρησεν, οὐ μόνον οὐδὲν ἤνυσεν, ἀλ-
λὰ καὶ αὐτὸς ἀποθανεῖν ἐκινδύνευσεν. ὅ,τι γὰρ Ἀλέξανδρος

ὑπό τε τῆς μητρὸς καὶ τῆς τήθης ὑπό τε τῶν στρατιωτῶν ἰσχυ-
ρῶς ἐφυλάσσετο· καὶ οἱ δορυφόροι αἰσθόμενοι τὴν ἐπιχείρη-
σιν τοῦ Σαρδαναπάλου, δεινῶς ἐθορύβησαν, οὐ πρίν τε ἐπαύ-
σαντο στασιάζοντες ἢ τὸν Σαρδανάπαλον τὸ στρατόπεδον
σὺν τῷ Ἀλεξάνδρῳ καταλαβόντα, πολλά τε ἱκετεύσαντα, καὶ
τοὺς ἐξαιτηθέντας παρ' αὐτῶν τῶν συνασελγαινόντων αὐτῷ
334 ἐκδοῦναι ἀναγκασθέντα, ὑπέρ τε τοῦ Ἱεροκλέους οἰκτρὰ λαλή-
A σαντα, καὶ δάκρυσι κλαύσαντα, τήν τε σφαγὴν τὴν ἑαυτοῦ
προδείξαντα, καὶ ἐπειπόντα, Ἕνα μοι τοῦτον χαρίσασθε, ὅ,τι
βούλεσθε περὶ αὐτοῦ ὑποτοπήσαντες, ἢ ἐμὲ ἀποκτείνατε, μό-
λις αὐτοὺς ἐκμειλίξασθαι. τότε μὲν οὖν μόλις ἐσώθη. καὶ γὰρ
καὶ ἡ τήθη αὐτοῦ ἐμίσει τε αὐτὸν ἐφ' οἷς ἔπραττεν, ὡς οὐδὲ
τοῦ Ἀντωνίνου υἱὸν ὄντα, καὶ πρὸς τὸν Ἀλέξανδρον ὡς ὄντως
καὶ ἐξ αὐτοῦ γεγονότα ἀπέκλινε. μετὰ δὲ ταῦτα ἐπιβεβουλευ-
κὼς πάλιν τῷ Ἀλεξάνδρῳ, καὶ θορυβησάντων ἐπὶ τούτῳ τῶν
B δορυφόρων, σὺν αὐτῷ ἐς τὸ στρατόπεδον εἰσελθών, ὡς ᾔσθετο
φυλαττόμενον ἑαυτὸν ἐπὶ ἀναιρέσει, ἐπειδὴ καὶ αἱ μητέρες
αὐτῶν ἐκφανέστερον ἢ πρὶν ἀλλήλαις μαχόμεναι τοὺς στρατιώ-
τας ἠρέθιζον, φεύγειν πως ἐπεχείρησε· καὶ ἔμελλεν ἐς τύλλον
ἐμβληθεὶς ἐκδρᾶναί ποι, φωραθεὶς δὲ ἀπεσφάγη, ὀκτωκαίδε-
κα ἔτη γεγονώς. καὶ αὐτῷ καὶ ἡ μήτηρ (περιπλακεῖσα γὰρ ἀ-
πρὶξ εἴχετο) συναπώλετο, καὶ αἵ τε κεφαλαὶ αὐτῶν ἀπεκό-
πησαν, καὶ τὰ σώματα γυμνωθέντα, τὸ μὲν πρῶτον διὰ πά-
σης τῆς πόλεως ἐσύρη, ἔπειτα τὸ μὲν τῆς γυναικὸς ἄλλως πως
ἐρρίφη, τὸ δὲ ἐκείνου ἐς τὸν ποταμὸν ἐνεβλήθη· καὶ αὐτῷ ἄλλοι
C τε καὶ ὁ Ἱεροκλῆς οἵ τε ἔπαρχοι συναπώλοντο· καὶ Αὐρήλιος
Εὔβουλος, ὃς Ἐμεσηνὸς μὲν τὸ γένος ἦν, τοὺς δὲ δὴ καθόλου
λόγους ἐπιτετραμμένος, οὐδὲν ὅ,τι οὐκ ἐδήμευσε, τότε δ' οὖν
ὑπό τε τοῦ δήμου καὶ τῶν στρατιωτῶν διεσπάσθη. καὶ Φούλ-
βιος σὺν αὐτῷ ὁ πολίαρχος· καὶ αὐτὸν ὁ Κωμάζων, ὡς καὶ
τὸν πρὸ αὐτοῦ, διεδέξατο. ὥσπερ γὰρ προσωπεῖόν τι ἐς τὰ

θατρα ἐν τῷ διασκήνῳ τῆς τῶν κωμῳδῶν ὑποκρίσεως εἰσεφέρετο, καὶ οὕτω καὶ ἐκεῖνος τῇ τῶν πολιαρχησάντων ἐπ' αὐτῇ κενῇ χώρᾳ προσετάττετο ὅ,τι Ἐλιογάβαλος αὐτὸς ἐκ τῆς Ῥώμης παντάπασιν ἐξέπεσε. τὰ μὲν τοῦ Τιβερίνου οὕτως ἔσχε, καὶ οὐδεὶς οὐδὲ τῶν συγκατασκευασάντων αὐτῷ τὴν ἐπανάστασιν, καὶ μέγα ἐπ' αὐτῷ δυνηθέντων, πλὴν ἑνός που, ἐσώθη. D

ΑΛΕΞΑΝΔΡΟΣ.

ΑΛΕΞΑΝΔΡΟΣ δὲ μετ' ἐκεῖνον εὐθὺς αὐταρχήσας, Δομιτίῳ τινὶ Οὐλπιανῷ τήν τε τῶν δορυφόρων προστασίαν καὶ τὰ λοιπὰ τῆς ἀρχῆς ἐπέτρεψε πράγματα. ταῦτα μὲν ἀκριβώσας ὡς ἕκαστα ἠδυνήθην, συνέγραψα· τὰ δὲ δὴ λοιπὰ ἀκριβῶς ἐπεξελθεῖν οὐχ 335 A
οἷός τε ἐγενόμην, διὰ τὸ μὴ ἐπὶ πολὺ χρόνον ἐν τῇ Ῥώμῃ διατρῖψαι. ἔκ τε γὰρ τῆς Ἀσίας ἐς τὴν Βιθυνίαν ἐλθὼν ἠρρώστησα, κἀκεῖθεν πρὸς τὴν ἐν τῇ Ἀφρικῇ ἡγεμονίαν ἠπείχθην, ἐπανελθών τε εἰς τὴν Ἰταλίαν, εὐθέως (ὡς εἰπεῖν) ἔς τε τὴν Δαλματίαν, κἀντεῦθεν ἐς τὴν Παννονίαν τὴν ἄνω ἄρξων ἐπέμφθην· καὶ μετὰ τοῦτ' εἰς τὴν Ῥώμην καὶ ἐς τὴν Καμπανίαν ἀφικόμενος, παραχρῆμα οἴκαδε ἐξωρμήθην. διὰ μὲν οὖν ταῦτα οὐκ ἠδυνήθην ὁμοίως τοῖς πρόσθεν καὶ τὰ λοιπὰ συνθεῖναι. κεφαλαιώσας μέντοι ταῦτα, ὅσα γε καὶ μέχρι τῆς δευτέρας μου ὑπατείας ἐπράχθη, διηγήσομαι. ὁ Οὐλπιανὸς πολλὰ μὲν τῶν οὐκ ὀρθῶς ὑπὸ τοῦ Σαρδαναπάλου πραχθέντων ἐπηνώρθωσε· τὸν δὲ δὴ Φλαβιανὸν τόν τε Χρῆστον ἀποκτείνας, ἵνα αὐτοὺς διαδέξηται, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ὑπὸ τῶν δορυφόρων B

ἐπιθεμένων οἱ νυκτὸς κατεσφάγη, καίτοι καὶ πρὸς τὸ πα-
λάτιον ἀναδραμὼν, καὶ πρὸς αὐτὸν τὸν αὐτοκράτορα, τήν
τε μητέρα αὐτοῦ καταφυγών. ζῶντος δ' οὖν ἔτι αὐτοῦ, στά-
C σις μεγάλη πρὸς τοὺς δορυφόρους ἐκ βραχείας τινὸς αἰτίας
ἐγένετο, ὥστε καὶ ἐπὶ τρεῖς ἡμέρας μάχεσθαί τε ἀλλήλοις,
καὶ πολλοὺς ὑπ' ἀμφοτέρων ἀπολέσθαι. ἡττώμενοι δὲ οἱ στρα-
τιῶται πρὸς ἔμπρησιν τῶν οἰκοδομημάτων ἐτράποντο·
κἀκ τούτου δείσας ὁ δῆμος μὴ καὶ πᾶσα ἡ πόλις φθαρῇ,
καὶ ἄκων σφίσι συνηλλάγη. ταῦτά τε οὖν ἐγένετο, καὶ ὁ Ἐπά-
γαθος, ὡς καὶ αἴτιος τῷ Οὐλπιανῷ τοῦ ὀλέθρου πλεῖον γενό-
μενος, εἰς τὴν Αἴγυπτον ὡς ἄρξων αὐτῆς ἐπέμφθη, ἵνα μή τις
ἐν τῇ Ῥώμῃ κολασθέντος αὐτοῦ ταραχὴ γένηται, κἀκεῖθεν εἰς
Κρήτην ἀπαχθεὶς ἐδικαιώθη. πολλαὶ δὲ καὶ παρὰ πολλῶν ἐ-
D παναστάσεις γενόμεναι, καί τινες καὶ ἰσχυρῶς ἐκφοβήσασαι
κατεπαύθησαν. τὰ δὲ ἐν τῇ Μεσοποταμίᾳ καὶ φοβερώτερα
καὶ ἀληθέστερον δέος σύμπασιν, οὐχ ὅτι τοῖς ἐν Ῥώμῃ, ἀλλὰ
καὶ τοῖς ἄλλοις παρέσχεν. Ἀρταξέρξης γάρ τις Πέρσης τούς τε
Πάρθους τρισὶ μάχαις νικήσας, καὶ τὸν βασιλέα αὐτῶν Ἀρ-
τάβανον ἀποκτείνας, ἐπὶ τὴν Ἀρμενίαν ἤλασε, κἀνταῦθα
πρός τε τῶν ἐπιχωρίων καὶ πρὸς Μήδων τινῶν, τῶν τε τοῦ
Ἀρταβάνου παίδων πταίσας, ὡς μέν τινες λέγουσιν, ἔφυγεν,
336 ὡς δ' ἕτεροι, ἀνεχώρησε πρὸς παρασκευὴν δυνάμεως μεί-
A ζονος. οὗτός τε οὖν φοβερὸς ἡμῖν ἐγένετο, στρατεύματι πολλῷ
οὐ μόνον τῇ Μεσοποταμίᾳ, ἀλλὰ καὶ τῇ Συρίᾳ ἐφεδρεύσας,
καὶ ἀπειλῶν ἀνακλήσασθαι πάντα, ὡς καὶ προσήκοντά οἱ
ἐκ προγόνων, ὅσα ποτὲ οἱ πάλαι Πέρσαι μέχρι τῆς Ἑλλην-
ικῆς θαλάσσης ἔσχον, οὐχ ὅτι αὐτός τις ἄμαχος εἶναι δοκεῖ, ἀλλ'
ὅτι οὕτω τὰ στρατιωτικὰ ἡμῖν διάκειται ὥστε τοὺς μὲν καὶ
προστίθεσθαι αὐτῷ, τοὺς δ' οὐκ ἐθέλειν ἀμύνεσθαι. τοσαύτῃ γὰρ
ἅμα τρυφῇ καὶ ἐξουσίᾳ, ἀνεπιπληξίᾳ τε χρῶνται, ὥστε τολ-
B μῆσαι Φλάβιον Ἡρακλέωνα τοὺς ἐν τῇ Μεσοποταμίᾳ τὸν

ἄρχοντα σφῶν ἀποκτεῖναι, καὶ τοὺς δορυφόρους πρὸς τὸν Οὐλ-
πιανὸν καὶ ἐμὲ αἰτιάσασθαι, ὅτι τῶν ἐν τῇ Παννονίᾳ στρατιω-
τῶν ἐγκρατῶς ἦρξα, καὶ ἐξαιτῆσαι, φοβηθέντας μὴ καὶ ἐκεί-
νους τις ὁμοίως τοῖς Παννονικοῖς ἄρχεσθαι καταναγκάσῃ. οὐ
μέντοι προσεποιήσατό τι αὐτῶν ὁ Ἀλέξανδρος, ἀλλὰ καὶ τοὐ-
ναντίον ἄλλως τε ἐσέμνυνέ με, καὶ δεύτερον ὑπατεύσαντα σὺν
αὐτῷ ἀπέδειξε, τό, τε ἀνάλωμα τὸ τῆς ἀρχῆς αὐτῷ αὐτὸς ἀνα-
λώσειν ὑπεδέξατο. ἀχθεσθέντων δὲ αὐτῶν ἐπὶ τούτοις, ἐφο-
βήθη μὴ καὶ ἀποκτείνωσί με, ἐν τῷ τῆς ἀρχῆς σχήματι ἰδόν-
τες· καὶ ἐκέλευσεν ἔξω τῆς Ῥώμης ἐν τῇ Ἰταλίᾳ που διατρί- C
ψαι τὸν τῆς ὑπατείας χρόνον. καὶ οὕτω μετὰ ταῦτα ἔς τε τὴν
Ῥώμην καὶ ἐς τὴν Καμπανίαν πρὸς αὐτὸν ἦλθον, καὶ συν-
διατρίψας τινὰς ἡμέρας αὐτῷ, τοῖς τε στρατιώταις μετὰ πάσης
αἰδοῦς ὀφθεὶς, ἀπῆρα οἴκαδε, παρεθεὶς ἐπὶ τῇ τῶν ποδῶν
ἀρρωστίᾳ· ὥστε πάντα τὸν λοιπὸν τοῦ βίου χρόνον ἐν τῇ πατρί-
δι ζῆσαι, ὥσπερ που καὶ τὸ δαιμόνιον ἐν τῇ Βιθυνίᾳ ἤδη μοι
ὄντι σαφέστατα ἐδήλωσεν. ὄναρ γάρ ποτε ἔδοξα προστάσσε-
σθαι ὑπ' αὐτοῦ προσγράψασθαι τῷ ἀκροτελευτίῳ τὰ ἔπη
τάδε, D

Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς, ἔκ τε κονίης,
Ἔκ τ' ἀνδροκτασίης, ἔκ θ' αἵματος, ἔκ τε κυδοιμοῦ.

ἩΡΩΔΙΑΝΟΥ̃

τῆς μετὰ Μάρκον βασιλείας
ἱστοριῶν βιβλία
ὀκτώ.

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας ἱστοριῶν βιβλίον πρῶτον.

ΠΡΟΟΙΜΙΟΝ.

ΟΙ πλεῖστοι τῶν περὶ συγκομιδὴν ἱστορίας ἀ- 343
σχοληθέντων, ἐνίων τε πάλαι γεγονότων μνή- A
μην ἀνανεώσασθαι σπουδασάντων, παι-
δείας κλέος ἀΐδιον μνώμενοι, ὅπως μὴ σιω-
πήσαντες λάθοιεν εἰς τὸν πολὺν ὅμιλον ἀρι-
θμούμενοι, τῆς μὲν ἀληθείας ἐν ταῖς ἀφηγήσεσιν ὠλιγώρησαν,
οὐχ ἥκιστα δὲ ἐπεμελήθησαν φράσεώς τε καὶ εὐφωνίας· θαρ-
ῥοῦντες ὡς εἴ τι καὶ μυθῶδες λέγοιεν, τὸ μὲν ἡδὺ τῆς ἀκροά-
σεως αὐτοὶ καρπώσονται, τὸ δ᾽ ἀκριβὲς τῆς ἐξετάσεως οὐκ
ἐλεγχθήσεται. εἰσὶ δ᾽ οἳ πρὸς ἔχθραν ἢ μῖσος τυράννων, κο- B
λακείαν τε ἢ τιμὴν βασιλέων, πόλεώς τε καὶ ἰδιωτῶν, εὐτε-
λῆ καὶ μικρὰ ἔργα, λόγων ἀρετῇ, δόξῃ παρέδωκαν τῆς ἀλη-
θείας μείζονι. ἐγὼ δ᾽ ἱστορίαν οὐ παρ᾽ ἄλλων ἀποδεξάμενος
ἄγνωστόν τε καὶ ἀμάρτυρον, ὑπὸ νεαρᾷ δὲ τῇ τῶν ἐκδεξομένων
μνήμῃ, μετὰ πάσης ἀληθοῦς ἀκριβείας ἤθροισα ἐς συγγραφήν,
οὐκ ἀτερπῆ τὴν γνῶσιν καὶ τοῖς ὕστερον ἔσεσθαι προσδοκή-
σας, ἔργων μεγάλων τε καὶ πολλῶν ἐν ὀλίγῳ χρόνῳ γενομένων. C
εἰ γοῦν τις παραβάλλοι πάντα τὸν ἀπὸ τοῦ Σεβαστοῦ χρόνον,
ἐξ οὗπερ ἡ Ῥωμαίων δυναστεία μετέπεσεν εἰς μοναρχίαν, οὐκ
ἂν εὕροι ἐν ἔτεσι περὶ που διακοσίοις, μέχρι τῶν Μάρκου και- 344
ρῶν, οὔτε βασιλειῶν οὕτως ἐπαλλήλους διαδοχάς, οὔτε πολέ- A

μὲν ἐμφυλίων τε καὶ ξένων τύχας ποικίλας, ἐθνῶν τε κινήσεις, καὶ πόλεων ἁλώσεις, τῶν τε ἐν τῇ ἡμεδαπῇ καὶ ἐν πολλοῖς βαρβάροις, γῆς τε σεισμοὺς, καὶ ἀέρων φθορὰς, τυράννων τε καὶ βασιλέων βίους παραδόξους, πρότερον ἢ σπανίως ἢ μηδ' ὅλως μνημονευθέντας. ὧν οἱ μὲν ἐπιμηκέστερον ἔσχον τὴν ἀρχὴν, οἱ δὲ πρόσκαιρον τὴν δυναστείαν· εἰσὶ δ'
B οἳ μέχρι προσηγορίας καὶ τιμῆς ἐφημέρου μόνης ἐλθόντες, ἀθλίως κατελύθησαν. μερισθεῖσα γὰρ ἡ Ῥωμαίων ἀρχὴ ἐν ἔτεσιν ἑξήκοντα εἰς πλείους δυναστείας ἢ ὁ χρόνος ἀπῄτει, πολλὰ καὶ ποικίλα ἤνεγκε καὶ θαύματος ἄξια. οὕτω γὰρ οἱ μὲν τὴν ἡλικίαν πρεσβύτεροι, τῇ ἐμπειρίᾳ τῶν πραγμάτων ἐπιμελέστερον ἑαυτῶν τε καὶ τῶν ὑπηκόων ἦρξαν· οἱ δὲ κομιδῇ νέοι, ῥᾳθυμότερον βιώσαντες, πολλὰ ἐκαινοτόμησαν. διόπερ εἰκότως ἐν ἡλικίαις τε καὶ ἐξουσίαις διαφόροις, οὐχ ὅμοια γέγονε τὰ ἐπιτηδεύματα. ὡς δὲ ἕκαστα τούτων πέπρακται κατὰ
C χρόνους καὶ δυναστείας, διηγήσομαι.

Τῷ βασιλεύοντι Μάρκῳ θυγατέρες μὲν ἐγένοντο πλείους, ἄρρενες δὲ δύο· τῶν δὲ ἀρρένων τούτων, ὁ μὲν ἕτερος κομιδῇ νέος τὸν βίον μετήλλαξε. (Βηρίσσιμος δ' ἦν ὄνομα αὐτῷ) τὸν δὲ περιόντα, Κόμμοδον καλούμενον, ὁ πατὴρ μετὰ πάσης ἄλλης ἐπιμελείας ἀνεθρέψατο, πανταχόθεν τοὺς ἐν τοῖς ἔθνεσιν ἐπὶ λόγοις δοκιμωτάτους ἐπὶ συντάξεσιν οὐκ εὐκαταφρονήτοις καλῶν, ὅπως συνόντες ἀεὶ, παιδεύοιεν αὐτῷ τὸν υἱόν. τάς τε θυγατέρας ἐν ὥρᾳ γενομένας ἐξέδοτο ἀνδράσι τῆς συγκλήτου
D βουλῆς τοῖς ἀρίστοις, οὐ τοὺς γένους μακραῖς διαδοχαῖς εὐπατρίδας, οὐδὲ τοὺς πλούτου περιβολαῖς λαμπροὺς, κοσμίους δὲ τὸν τρόπον, καὶ σώφρονας τὸν βίον, γαμβροὺς αὐτῷ γενέσθαι θέλων. ταῦτα γὰρ μόνα ψυχῆς ἴδια καὶ ἀναφαίρετα ἡγεῖτο κτήματα. ἀρετῆς δὲ πάσης ἔμελεν αὐτῷ· λόγων τε ἀρχαιότητος ἦν ἐραστὴς, ὡς μηδενὸς μήτε Ῥωμαίων μήτε Ἑλλήνων ἀπολείπεσθαι. δηλοῖ δὲ ὅσα καὶ εἰς ἡμᾶς ἦλθεν, ἢ λεχθέντα πρὸς αὐτοῦ, ἢ

χαρέντα. παρεῖχε δὲ καὶ τοῖς ἀρχομένοις ἑαυτὸν ἐπιεικῆ καὶ μέ- 345
τριον βασιλέα, τούς τε προσιόντας δεξιούμενος, κωλύων τε τοὺς A
περὶ αὐτὸν δορυφόρους ἀποσοβεῖν τοὺς ἐντυγχάνοντας· μόνος
τε βασιλέων φιλοσοφίαν οὐ λόγοις, οὐδὲ δογμάτων γνώσεσι,
σεμνῷ δὲ ἤθει καὶ βίῳ σώφρονι ἐπιστώσατο· πολύ τε πλῆθος
ἀνδρῶν σοφῶν ἤνεγκεν ἡ τῶν ἐκείνου καιρῶν φορά. Φιλεῖ γάρ
πως ἀεὶ τὸ ὑπήκοον ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν.
ὅσα μὲν οὖν ἐκείνῳ πέπρακται ἀνδρεῖα καὶ σώφρονα, στρα-
τηγικὴν ἢ πολιτικὴν ἀρετὴν ἔχοντα, πρός τε τοὺς τὰ ἀρκτῷα B
τῆς γῆς ἔθνη βάρβαρα κατοικοῦντας, πρός τε τοὺς ὑπὸ ταῖς
ἀνατολαῖς ποιουμένους τὸν βίον, πολλοῖς καὶ σοφοῖς ἀνδράσι
συγγέγραπται· ἃ δὲ μετὰ τὴν Μάρκου τελευτὴν παρὰ πάν-
τα τὸν ἐμαυτοῦ βίον εἶδόν τε καὶ ἤκουσα, ἔστι δ' ὧν καὶ πεί-
ρᾳ μετέσχον, ἐν βασιλικαῖς ἢ δημοσίαις ὑπηρεσίαις γενό-
μενος, ταῦτα συνέγραψα. Γηραιὸν ὄντα Μάρκον, καὶ μὴ
μόνον ὑφ' ἡλικίας, ἀλλὰ καμάτοις τε καὶ φροντίσι τετρυχω-
μένον, διατρίβοντά τε ἐν Παίοσι, νόσος χαλεπὴ καταλαμ-
βάνει. ἐπεὶ δὲ αὐτῷ τὰς πρὸς σωτηρίαν ἐλπίδας φαύλως ἔ- C
χειν ὑπώπτευεν, ἑώρα τε τὸν παῖδα τῆς μειρακίων ἡλικίας ἀρ-
χόμενον ἐπιβαίνειν, δεδιὼς μὴ νεότης ἀκμάζουσα, καὶ ἐν ὀρ-
φανίᾳ ἐξουσίαν αὐτοκράτορα καὶ ἀκώλυτον προσλαβοῦ-
σα, μαθημάτων μὲν καλῶν καὶ ἐπιτηδευμάτων ἀφηνιάσῃ, μέ-
θαις δὲ καὶ κραιπάλαις ἐπιδῷ ἑαυτήν. Ῥᾷστα γὰρ αἱ τῶν νέων ψυ-
χαὶ εἰς ἡδονὰς ἐξολισθαίνουσαι, ἀπὸ τῆς παιδείας καλῶν με-
τοχλίζονται. εἶτα δὴ ἀνὴρ πολυίστωρ, μάλιστα ἐτάραττε μνή-
μη τῶν ἐν νεότητι βασιλείαν παραλαβόντων. τοῦτο μὲν, Διονυσίου
τοῦ Σικελιώτου τυράννου, ὃς ὑπὸ τῆς ἄγαν ἀκρασίας, καινὰς ἡδο-
νὰς ἐπὶ μεγίστοις μισθοῖς ἐθήρατο. τοῦτο δὲ, αἱ τῶν Ἀλεξάνδρου D
διαδόχων εἰς τοὺς ὑπηκόους ὕβρεις τε καὶ βίαι, δι' ὧν τὴν ἐκείνου
ἀρχὴν κατῄσχυναν. Πτολεμαῖος μὲν, καὶ μέχρις ἀδελφῆς ἰδίας
ἔρωτος προχωρήσας, παρά τε τοὺς Μακεδόνων καὶ Ἑλλήνων

τόμοις· Ἀντίγονος δὲ, Διόνυσον πάντα μιμούμενος, καὶ κισ-
σὸν μὲν περιτιθεὶς τῇ κεφαλῇ ἀντὶ καυσίας καὶ διαδήμα-
346 τος Μακεδονικοῦ, θύρσον δὲ ἀντὶ σκήπτρου φέρων. ἔτι δὲ καὶ
A μᾶλλον αὐτὸν ἐλύπει τὰ μὴ πρὸ πολλοῦ, ἀλλ' ὑπόγυον ἔ-
χοντα τὴν μνήμην, τά τε Νέρωνι πεπραγμένα, (ὃς ἐχώρη-
σε μέχρι μητρῴου φόνου, παρεῖχέ τε τοῖς δήμοις ἑαυτὸν κατα-
γέλαστον θέαμα) τά τε Δομετιανῷ τετολμημένα, τῆς ἐσχάτης
ὠμότητος οὐδὲν ἀπολείποντα. τοιαύτας δὴ τυραννίδος εἰκόνας
ὑποτυπούμενος, ἐδεδίει τε καὶ ἤλπιζεν. οὐ μετρίως δ' αὐ-
τὸν ἐτάραττον καὶ οἱ Γερμανοὶ γειτνιῶντες, οὓς οὐδέπω πάν-
τας ἐκεχείρωτο, ἀλλὰ τοὺς μὲν πειθοῖ ἐς συμμαχίαν προση-
γάγετο, τῶν δὲ καὶ κρατήσας ἦν τοῖς ὅπλοις. ἦσαν δέ τινες οἳ
διαδράντες, πρὸς τὸ παρὸν ἀνακεχωρήκεισαν, δέει τῆς παρου-
B σίας τοσούτου βασιλέως. ὑπώπτευεν οὖν μὴ τῆς ἡλικίας τοῦ
μειρακίου καταφρονήσαντες, ἐπιθῶνται αὐτῷ. ἐρᾷ γὰρ τὸ
βάρβαρον καὶ ἐπὶ ταῖς τυχούσαις ἀφορμαῖς ῥᾷστα κινεῖσθαι.
κυμαινούσαν οὖν ἔχων τοιαύταις φροντίσι τὴν ψυχὴν, συγ-
καλέσας τοὺς φίλους, ὅσοι τε παρῆσαν τῶν συγγενῶν, καὶ τὸν
παῖδα παραστησάμενος, ἐπειδὴ πάντες συνῆλθον, ἠσυχῇ τοῦ
σκίμποδος κουφίσας ἑαυτὸν, τοιούτων λόγων ἤρξατο,

Ἄχθεσθαι μὲν ὑμᾶς ἐφ' οἷς ὁρᾶτέ με διακείμενον, θαυ-
μαστὸν οὐδέν. φύσει τε γὰρ τὸ ἀνθρώπινον ἐλεεινὸν ἐν ταῖς τῶν ὁ-
C μοφύλων συμφοραῖς τά τε δεινὰ ὑπ' ὄψιν πεσόντα, οἶκτον
προκαλεῖται μείζονα. ἐμοὶ δέ τι καὶ πλέον ὑπάρχειν παρ'
ὑμῶν οἴομαι· ἐκ γὰρ ὧν αὐτὸς διάκειμαι πρὸς ὑμᾶς, ἀμοι-
βαίαν εὔνοιαν εἰκότως ἤλπικα. νῦν δὲ καιρὸς εὔκαιρος ἐμοί
τε αἰσθέσθαι μὴ μάτην πρὸς ὑμᾶς τοσούτου χρόνου τιμήν τε
καὶ σπουδὴν κατατεθεῖσθαι, ὑμῖν τε ἀποδοῦναι χάριν, δεί-
ξασιν ὅτι ὧν ἐτύχετε, οὐκ ἀμνημονεῖτε. ὁρᾶτε δή μοι τὸν
υἱὸν, ὃν αὐτοὶ ἀνεθρέψασθε, ἄρτι τῆς μειρακίων ἡλικίας ἐπι-
D βαίνοντα, καὶ δεόμενον ὥσπερ ἐν χειμῶνι καὶ ζάλῃ τῶν κυ-

ἑρπησόντων, μή ποι φερόμενος ὑπ' ἀπουσίας τῆς τῶν δεόντων ἐμπειρίας εἰς φαῦλα ἐπιτηδεύματα προσαρραχθῇ. γίνεσθε δὴ οὖν αὐτῷ ὑμεῖς ἀνθ' ἑνὸς ἐμοῦ πατέρες πολλοί, περιέποντές τε καὶ τὰ ἄριστα συμβουλεύοντες. οὔτε γὰρ χρημάτων πλῆθος οὐδὲν αὔταρκες πρὸς τυραννίδος ἀκρασίαν, οὔτε δορυφόρων φρουρὰ ἱκανὴ ῥύεσθαι τὸν ἄρχοντα, εἰ μὴ προϋπάρχοι ἡ τῶν ὑπηκόων εὔνοια. μάλιστα δὲ ἐκεῖνοι εἰς ἀρχῆς μῆκος ἀκινδύνως ἤλασαν, ὅσοι μὴ φόβον ἐξ ὠμότητος, πόθον δὲ τῆς αὐτῶν χρηστότητος ταῖς τῶν ἀρχομένων 347.
ψυχαῖς ἐνέσταξαν. οὐ γὰρ οἱ ἐξ ἀνάγκης δουλεύοντες, ἀλλ' οἱ A
μετὰ πειθοῦς ὑπακούοντες, ἀνύποπτοι, καὶ ἔξω κολακείας προσποιήτου δρῶντές τε καὶ πάσχοντες διατελοῦσιν, οὐδέ ποτε ἀφηνιάζουσιν, ἢν μὴ βίᾳ καὶ ὕβρει ἐπὶ τοῦτο ἀχθῶσι. χαλεπὸν δὲ μετρῆσαί τε καὶ ὅρον ἐπιθεῖναι ἐπιθυμίαις, ὑπηρετούσης ἐξουσίας. τοιαῦτα δὲ συμβουλεύοντες αὐτῷ, καὶ ὧν ἀκούει παρὼν ὑπομιμνήσκοντες, ὑμῖν τε αὐτοῖς καὶ πᾶσιν ἄριστον ἀποδείξετε βασιλέα, τῇ τε ἐμῇ μνήμῃ χαριεῖσθε τὰ B
μέγιστα· οὕτω τε μόνως ἀΐδιον αὐτὴν ποιῆσαι δυνήσεσθε.

Τοσαῦτα εἰπόντα τὸν Μάρκον ἐπιπεσοῦσα λειποθυμία κατεσίγασεν· ὑπὸ δὲ ἀσθενείας καὶ ἀθυμίας, αὖθις ὑπτίαζεν. οἶκτος δὲ πάντας ἐλάμβανε τοὺς παρόντας, ὡς μηδὲ κατασχόντας τινὰς αὐτῶν εἰς οἰμωγὴν ἀναβοῆσαι. ὁ μὲν οὖν, νυκτός τε καὶ ἡμέρας ἐπιβιώσας μιᾶς, ἀνεπαύσατο, πόθον τε τοῖς καθ' αὐτὸν ἀνθρώποις ἐγκαταλιπὼν, ἀρετῆς ἀΐδιον μνήμην εἰς τὸν ἐσόμενον αἰῶνα. τελευτήσαντος δὲ Μάρκου, ἐπειδὴ διεφοί- C
τησεν ἡ φήμη, πᾶν τε τὸ παρὸν στρατιωτικὸν καὶ τὸ δημῶδες πλῆθος ὁμοίως πένθει κατείχετο· οὐδέ τις ἦν ἀνθρώπων τῶν ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν, ὃς ἀδακρυτὶ τοιαύτην ἀγγελίαν ἐδέχετο· πάντες δὲ ὥσπερ ἐκ μιᾶς φωνῆς, οἱ μὲν πατέρα χρηστὸν, οἱ δὲ ἀγαθὸν βασιλέα, γενναῖον δὲ ἕτεροι στρατηγὸν, οἱ δὲ σώφρονα καὶ κόσμιον ἄρχοντα ἀνεκάλουν. καὶ οὐδεὶς ἐψεύ-

δειπ. ὀλίγων δὲ διελθουσῶν ἡμερῶν, ἐν ὅσαις περὶ τὴν κηδείαν
τοῦ πατρὸς τὸν υἱὸν ἀπησχόλουν, ἔδοξε τοῖς φίλοις προσαγαγεῖν
D τὸ μειράκιον εἰς τὸ στρατόπεδον, ὡς διαλεχθείη τε τοῖς στρα-
τιώταις, καὶ χρήματα δωρησάμενος, ὡς ἔθος ἐπὶ τοῖς βασι-
λείαν διαδεχομένοις, μεγαλόφρονι ἐπιδόσει οἰκειώσηται τὸ
στράτευμα.. παρηγγέλθη τε δὴ πᾶσιν ἐλθεῖν εἰς τὸ εἰωθὸς πε-
δίον αὐτοὺς ὑποδέξασθαι. προελθὼν δὲ ὁ Κόμμοδος, τάς τε
βασιλείους θυσίας ἐπετέλει, καὶ βήματος αὐτῷ εἰς ὕψος ἀρ-
θέντος ἐν μέσῳ τοῦ στρατοπέδου, ἀνελθὼν ἐπ' αὐτὸ, καὶ περι-
στησάμενος τοὺς πατρῴους φίλους (πολλοὶ δὲ καὶ λόγιοι παρῆσαν
αὐτῷ) ἔλεξε τοιάδε,

348 Κοινὴν εἶναί μοι πρὸς ὑμᾶς τὴν ἐπὶ τοῖς καταλαβοῦ-
A σιν ἀλγηδόνα, καὶ μηδέν τι ἧττον ὑμᾶς ἐμοῦ δυσφορεῖν, ἐμαυ-
τὸν ἀκριβῶς πέπεικα. οὐδὲ γὰρ περιόντος μοι τοῦ πατρὸς, πλεο-
νεκτεῖν ὑμῶν ἠξίουν. ἐκεῖνος γὰρ πάντας ἡμᾶς ὡς ἕνα ἠγά-
πα. ἔχαιρεν οὖν μᾶλλον συστρατιώτην με ἢ υἱὸν καλῶν·
τὴν μὲν γὰρ, προσηγορίαν ἡγεῖτο φύσεως, τὴν δ', ἀρετῆς
κοινωνίαν. φέρων τέ με πολλάκις νήπιον ὄντα, ταῖς ὑμετέ-
B ραις ἐνεχείριζε πίστεσι. διόπερ καὶ ῥᾷστα πάσης εὐνοίας με-
θέξειν πρὸς ὑμῶν ἤλπικα· τῶν μὲν πρεσβυτέρων, τροφεῖά μοι
ταῦτα ὀφειλόντων· τοὺς δὲ ἡλικιώτας, εἰκότως ἂν καὶ συμ-
φοιτητὰς τῶν ἐν ὅπλοις ἔργων ἀποκαλοίην. πάντας γὰρ ὑμᾶς
ὡς ἕνα ὁ πατὴρ ἐφίλει τε καὶ πᾶσαν ἀρετὴν ἐπαίδευεν. ἔ-
δωκε δὲ μετ' ἐκεῖνον ἐμὲ βασιλέα ἡ τύχη, οὐκ ἐπείσακτον,
ὥσπερ οἱ πρὸ ἐμοῦ, προσκτήτῳ σεμνυνόμενοι ἀρχῇ, ἀλλὰ
μόνος τε ὑμῖν ἐγὼ ἐν τοῖς βασιλείοις ἀπεκυήθην· καὶ μὴ
πειραθέντα με ἰδιωτικῶν σπαργάνων, ἅμα τῷ τῆς γαστρὸς
C προελθεῖν, βασίλειος ὑπεδέξατο πορφυρίς· ὁμοῦ δέ με
εἶδεν ἥλιος ἄνθρωπον καὶ βασιλέα. εἰκότως ἂν οὖν ταῦτα
λογιζόμενοι, στέργοιτε οὐ δοθέντα ὑμῖν, ἀλλὰ γεννηθέντα αὐ-
τοκράτορα. ὁ μὲν γὰρ πατὴρ εἰς οὐρανὸν ἀναπτὰς, ὀπαδὸς ἤδη

καὶ σύνεδρός ἐστι θεῶν. ἡμῖν δὲ χρὴ μέλειν τῶν ἐν ἀνθρώποις, καὶ τὰ ἐπὶ γῆς διοικεῖν. κατορθοῦν δὲ αὐτὰ καὶ βεβαιοῦν, ὑμέτερον ἔργον, εἴ τά τε τοῦ πολέμου λείψανα μετὰ πάσης ἀνδρείας ἀπαλείψοιτε, καὶ τὴν Ῥωμαίων ἀρχὴν μέχρις ὠκεανοῦ προαγάγοιτε. ὑμῖν τε γὰρ ταῦτα δόξαν οἴσει, καὶ τὴν τοῦ κοινοῦ πατρὸς μνήμην χάρισιν ἀξίαις οὕτως ἀμείψεσθε, ὃν ἐπακούειν τε τῶν λεγομένων, καὶ τὰ πραττόμενα ἐφορᾶν ἡγεῖσθε. εὐδαιμονοίημεν δ᾽ ἂν τὰ δέοντα πράττοντες ὑπὸ τοιούτῳ μάρτυρι. καὶ τὰ μὲν πρότερον ὑμῖν ἀνδρείως κατορθωθέντα, εἰς τὴν ἐκείνου σοφίαν τε καὶ στρατηγίαν, τὴν ἀναφορὰν ἔχει· ὅσα δ᾽ ἂν σὺν ἐμοὶ βασιλεῖ νέῳ προθύμως ἐπιδείξησθε, τούτων τὴν δόξαν πίστεώς τε ἀγαθῆς καὶ ἀνδρείας ἀποίσεσθε. τό, τε ἐν ἡμῖν νέοι σεμνότητος πληρώσετε τῇ τῶν ὑμετέρων ἔργων ἀνδραγαθίᾳ, τό, τε βάρβαροι ἐν ἀρχῇ νέας ἡγεμονίας κωλυθὲν, οὔτε εἰς τὸ παρὸν καταθαρσήσει τῆς ἡλικίας καταφρονῆσαν, τά τε μέλλοντα φοβήσεται δέει τῶν πεπειραμένων. D 349 A

Τοσαῦτα ὁ Κόμμοδος εἰπὼν, καὶ μεγαλόφροσι δωρεαῖς χρημάτων οἰκειωσάμενος τὸ στρατιωτικὸν, εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν. ὀλίγου μὲν οὖν τινος χρόνου πάντα ἐπράττετο τῇ γνώμῃ τῶν πατρῴων φίλων, οἳ παρημέρευον συνῆσαν αὐτῷ, τὰ βέλτιστα συμβουλεύοντες, καὶ τοσοῦτον ἐνδιδόντες χρόνον ὅσον ἐνόμιζον αὐτάρκη πρὸς σώφρονα τοῦ σώματος ἐπιμέλειαν. παρεισδύντες δέ τινες τῶν ἐπὶ τῆς αὐλῆς οἰκετῶν, διαφθείρειν ἐπειρῶντο νέον ἦθος βασιλέως, ὅσοι τε κόλακες τραπέζης, καὶ τὸ εὔδαιμον γαστρὶ καὶ τοῖς αἰσχίστοις μετροῦσιν, ὑπομιμνήσκοντες αὐτὸν τῆς ἐν Ῥώμῃ τρυφῆς, θεάματά τε καὶ ἀκούσματα τερπνὰ διηγούμενοι, τήν τε τῶν ἐπιτηδείων δαψίλειαν καταριθμοῦντες· διαβάλλοντές τε πᾶσαν τὴν ἐπὶ ταῖς ὄχθαις τοῦ Ἴστρου ὥραν, μήτε ὀπώρας εὔφορον, κρυεράν τε ἀεὶ καὶ συννεφῆ· Οὐ παύσῃ γὰρ, ἔλεγον, ὦ δέσποτα, πηγνύμενόν τε B C

καὶ ὀρυττόμενον πίνων ὕδωρ· ἄλλοι δὲ ἀπολαύσεις πηγῶν τε θερμῶν καὶ ψυχροῦ νάματος, ἀτμίδων τε καὶ ἀέρων, ὧν Ἰταλία μόνη εὔφορος. τοιαῦτα δή τινα τῷ μειρακίῳ ὑποτιθέμενοι, ἤγειρον αὐτοῦ τὰς ὀρέξεις εἰς τὴν ἡδονῶν ἐπιθυμίαν. αἰφνιδίως δὲ καλέσας τοὺς φίλους, ποθεῖν ἔλεγε τὴν πατρίδα. ὁμολογεῖν δὲ τὰς αἰτίας τῆς αἰφνιδίου ὁρμῆς αἰδούμενος, δε-
D διέναι προσεποιεῖτο μή τις ἐκεῖσε προκαταλάβοι τὴν βασίλειον ἑστίαν τῶν ἀπὸ πατρίδων πλουσίων, εἶτα ὥσπερ ἐξ ὀχυρᾶς ἀκροπόλεως, δύναμιν καὶ περιβολὴν συγκροτήσας, ἐπιθῆται τῇ ἀρχῇ. αὐτάρκης δὲ ὁ δῆμος χορηγῆσαι πλῆθος ἐπιλέκτων νεανιῶν. τοιαῦτά τινα προφασιζομένου τοῦ μειρακίου, οἱ μὲν ἄλλοι συνεστάλησάν τε τὴν ψυχὴν, καὶ σκυθρωπαῖς τε ὄψεσιν εἰς γῆν ἔνευσαν· Πομπηϊανὸς δὲ, ὃς πρεσβύτατός τε ἦν ἁπάντων, καὶ κατ' ἐπιγαμίαν προσήκων αὐτῷ (συνῴκει γὰρ τῇ πρεσβυτάτῃ τῶν ἀδελφῶν τοῦ Κομμόδου)

Ποθεῖν μέν σε, ἔφη, τέκνον καὶ δέσποτα, τὴν πατρίδα, εἰκός. καὶ
350 γὰρ αὐτοὶ τῶν οἴκοι ὁμοίᾳ ἐπιθυμίᾳ ἐχόμεθα. ἀλλὰ τὰ ἐνταῦ-
A θα προὐργιαίτερα ὄντα, καὶ μᾶλλον ἐπείγοντα, ἀνέχει τὴν ἐπιθυμίαν. τῶν μὲν γὰρ ἐκεῖσε καὶ ὕστερον ἐπὶ πλεῖστον αἰῶνα ἀπολαύσεις· ἐκεῖ τε ἡ Ῥώμη ὅπου ποτ' ἂν ὁ βασιλεὺς ᾖ. τὸν δὲ πόλεμον ἀτελῆ καταλιπεῖν μετὰ τοῦ ἀπρεποῦς καὶ ἐπισφαλές· θάρσος γὰρ ἐμβαλοῦμεν τοῖς βαρβάροις, οὐκ ἐπανόδου πόθον, ἀλλὰ φυγὴν καὶ δέος ἡμῶν καταγνοῦσι. καλὸν δέ σοι χειρωσαμένῳ πάντας αὐτοὺς, καὶ τὴν ὑπὸ τῇ ἄρκτῳ ἀρχὴν ὠκεανῷ ὁρίσαντα, ἐπα-
B νήκειν οἴκαδε, θριαμβεύοντί τε καὶ δεσμίους ἀπάγοντι καὶ αἰχμαλώτους βασιλεῖς τε καὶ σατράπας βαρβάρους. τούτοις γὰρ καὶ οἱ πρὸ σοῦ Ῥωμαῖοι, μεγάλοι τε καὶ ἔνδοξοι γεγόνασι. δεδιέναι δέ σε οὐ χρὴ μή τις ἐκεῖ τοῖς πράγμασιν ἐπιθῆται. οἵ τε γὰρ ἄριστοι τῆς βουλῆς ἐνταῦθα σύνεισι, ἥ τε στρατιωτικὴ δύναμις παροῦσα πᾶσα, τῆς σῆς ἀρχῆς προασπίζει· ταμιεῖά τε χρημάτων βασιλικῶν ἐνταῦθα πάντα· ἥ τε τοῦ πατρὸς

μνήμην, αἰώνιόν σοι πίστιν καὶ εὔνοιαν παρὰ τῶν ἀρχόντων ἐ-
βεβαίωσε. Τοιαῦτά τινα εἰς προτροπὴν, καὶ τὴν πρὸς τὰ
κρείττονα ὁρμὴν ὁ Πομπηϊανὸς εἰπὼν, διέτρεψε πρὸς ὀλί-
γον τὸ μειράκιον. αἰδεσθεὶς γὰρ ὁ Κόμμοδος τὰ λεχθέντα, οὐ-
δὲν δὲ οἷός τε ὢν εὐλόγως ἀποκρίνασθαι, τοὺς φίλους ἀπε-
πέμψατο, φήσας ἀκριβέστερον καθ' αὑτὸν ἐπισκέψασθαι τὸ
πρακτέον. ἐγκειμένων δὲ τῶν περὶ αὐτὸν θεραπόντων, οὐκέτι μὲν
τοῖς φίλοις οὐδὲν ἐκοινώσατο, ἐκπέμψας δὲ γράμματα, καὶ
διανείμας οἷς ἐδοκίμασε τῆς ὄχθης τοῦ Ἴστρου τὴν πρόνοιαν,
προστάξας τε αὐτοῖς εἴργειν τὰς τῶν βαρβάρων ἐπιδρομὰς,
ἐπαγγέλλει τὴν ἔξοδον. οἱ μὲν οὖν διῴκουν τὰ ἐγκεχειρισμέ-
να, οἳ καὶ οὐ πολλῷ χρόνῳ πλείστους τῶν βαρβάρων ὅπλοις ἐ-
χειρώσαντο· τοὺς δὲ ἐπὶ μεγάλαις συντάξεσιν ἐς φιλίαν ἐπη- D
γάγοντο, ῥᾷστα πείσαντες. φύσει γὰρ τὸ βάρβαρον φιλοχρήμα-
τον· καὶ κινδύνων καταφρονήσαντες, ἢ δι' ἐπιδρομῆς καὶ ἐφό-
δου τὸ χρειῶδες πρὸς τὸν βίον πορίζονται, ἢ μεγάλων μισθῶν
τὴν εἰρήνην ἀντικαταλλάσσονται. ὅπερ ὁ Κόμμοδος εἰδὼς, καὶ
τὸ ἀμέριμνον ὠνούμενος, ἀφειδῶς τε ἔχων χρημάτων, πάντα
ἐδίδου τὰ αἰτούμενα. τῆς δὲ ἐξόδου διαγγελθείσης, κίνησις δὴ
μεγίστη καταλαμβάνει τὸ στρατόπεδον· καὶ πάντες αὐτῷ συνα- 351
πελθεῖν ἤθελον, ὡς ἀπαλλαγεῖεν μὲν τῆς ἐν τῇ πολεμίᾳ διατρι- A
βῆς, ἀπολαύσαιεν δὲ τῆς ἐν Ῥώμῃ τρυφῆς. ἐπειδὴ δὲ διεφοίτη-
σεν ἡ φήμη, ἄγγελοί τε ἧκον κηρύττοντες τὴν τοῦ βασιλέως ἄφι-
ξιν, ἐξήρτητο τε ὁ Ῥωμαίων δῆμος, καὶ χρηστὰς εἶχεν ἐλπίδας
νέου αὐτοκράτορος ἐπιδημίᾳ, πατρῴζειν τὸ μειράκιον ἡγού-
μενοι. ἀνύσας δὲ τὴν ὁδοιπορίαν ὁ Κόμμοδος μετὰ νεανικῆς
σπουδῆς, καὶ διαδραμὼν τὰς ἐν μέσῳ πόλεις, ὑποδεχθείς τε
πανταχοῦ βασιλικῶς, καὶ δήμοις ἑορτάζουσιν ἐπιφανεὶς, ἀ-
σπαστός τε καὶ ποθεινὸς πᾶσιν ὤφθη. ὡς δὲ πλησίον ἐγένετο τῆς B
Ῥώμης, πᾶσά τε ἡ σύγκλητος βουλὴ, καὶ πανδημεὶ ὅσοι τὴν
Ῥώμην κατῴκουν ἄνθρωποι, μὴ κατασχόντες αὑτῶν, ἀλλ'

ἕκαστος φθάσαι θέλων, δαφνηφόροι τε καὶ πάντα ἐπιφερό-
μενοι ἄνθη τότε ἀκμάζοντα, ὡς ἕκαστος οἷός τε ἦν, πόρρω τῆς
πόλεως ὑπήντων, θεασόμενοι τὸν νέον καὶ εὐγενῆ βασιλέα·
ἐπόθουν γὰρ αὐτὸν ἀληθεῖ ψυχῆς διαθέσει, ἅτε παρ' αὐτοῖς γεν-
νηθέντα τε καὶ τραφέντα καὶ ἄνωθεν ἐκ τριγονίας βασι-
λέα τε καὶ εὐπατρίδην ὄντα Ῥωμαίων. τὸ μὲν γὰρ πρὸς πα-
C τρὸς αὐτῷ γένος ἐκ τῶν τῆς συγκλήτου βουλῆς ἐπισήμων ἦν.
Φαυστῖνα δὲ ἡ μήτηρ βασίλισσα γεγένητο, θυγάτηρ τε οὖσα
Ἀντωνίνου τοῦ Εὐσεβοῦς ἐπικληθέντος, καὶ Ἀδριανοῦ ἔκ-
γονος κατὰ θηλυγονίαν. ἀνῆγέ τε τὸ γένος αὐτῆς ἐπὶ Τραϊα-
νὸν τὸν πρόπαππον. γένους μὲν οὖν ὁ Κόμμοδος οὕτως εἶχε. προσῆν
δὲ τῇ τῆς ἡλικίας ἀκμῇ, καὶ τὴν ὄψιν ἦν ἀξιοθέατος, σώμα-
τός τε συμμετρίᾳ καὶ κάλλει προσώπου μετ' ἀνδρείας. ὀφθαλ-
μῶν τε γὰρ ἐρρυθμίαι καὶ πυρώδεις βολαί, κόμη τε φύσει ξανθὴ καὶ
οὔλη, ὡς, εἴ ποτε φοιτῴη δι' ἡλίου, τοσοῦτον ἐκλάμπειν αὐτῆς
πυροειδές τι, ὡς τοὺς μὲν οἴεσθαι ῥίνημα χρυσοῦ προϊόντι ἐπι-
πάττεσθαι, τοὺς δὲ ἐκθειάζειν, λέγοντας αἴγλην τινὰ οὐρά-
D νιον περὶ τὴν κεφαλὴν συγγεγενῆσθαι αὐτῷ. ἴουλοί τε αὐτοῦ κα-
ταβαίνοντες τῇ παρειαῖς ἐπήνθουν. τοιοῦτον δὴ θεασάμενοι τὸν βα-
σιλέα οἱ Ῥωμαῖοι, εὐφημίαις τε παντοδαπαῖς καὶ στεφάνων
καὶ ἀνθῶν βολαῖς ὑπεδέχοντο. ὡς δ' εἰς τὴν Ῥώμην εἰσή-
λασεν, εἴς τε τοῦ Διὸς τὸ τέμενος καὶ τοὺς ἄλλους νεὼς ἀνελθὼν,
εὐθὺς τῇ τε συγκλήτῳ καὶ τοῖς ἐν Ῥώμῃ καταλειφθεῖσι στρα-
τιώταις χαριστήρια ὁμολογήσας τῆς φυλαχθείσης πίστεως, εἰς
τὴν βασίλειον αὐλὴν ἀνεχώρησε. χρόνου μὲν οὖν τινος ὀλί-
352 γων ἐτῶν, τιμὴν πᾶσαν ἀπένεμε τοῖς πατρῴοις φίλοις, πάντα
A τε ἔπραττεν ἐκείνοις συμβούλοις χρώμενος· ἐπεὶ δὲ τὴν πρό-
νοιαν ἐνεχείρισε τῆς ἀρχῆς ἑαυτοῦ, ἐπιστήσας τοῖς στρατοπέδοις
Περέννιον ἄνδρα τὸ μὲν γένος Ἰταλιώτην, στρατιωτικὸν δὲ εἶναι
δοκοῦντα (διὸ καὶ μάλιστα αὐτὸν ἔπαρχον ἐποίησε τῶν στρατο-
πέδων) τῇ τοῦ μειρακίου ἀποχρώμενος ἡλικίᾳ ἐκεῖνος, εἴασεν

αὐτὸν τρυφαῖς σχολάζοντα καὶ κραιπάλαις, τῆς τε φροντίδος καὶ τῶν βασιλείων καμάτων ἀπῆγεν αὐτὸν, καὶ πᾶσαν τὴν διοίκησιν τῆς ἀρχῆς αὐτὸς ἀνεδέξατο, πλούτου τε ἀκρατήτῳ ἐπιθυμίᾳ, καὶ τῶν μὲν προσκτωμένων ἀεὶ καταφρονῶν, τῶν δὲ οὔπω παρόντων ἀπλήστως ἀντιποιούμενος. τούς τε πατρῴους φίλους πρῶτος διαβάλλειν ἤρξατο, καὶ ὅσοι πλούσιοί τε ἦσαν καὶ εὐγενεῖς, τούτους B
εἰς ὑποψίαν ἄγων, τὸ μειράκιον ἐφόβει, ὡς ἂν αὐτοὺς διαχρησάμενος, ἀφορμὴν αὐτῷ παρέχοι καὶ ἐξουσίαν ἁρπάζειν τὰ ἐκείνων κτήματα. μέχρι μὲν οὖν τινος ἐπεῖχε τὸν νεανίσκον ἥ τε τοῦ πατρὸς μνήμη, καὶ ἡ πρὸς τοὺς φίλους αἰδώς. ἀλλὰ γὰρ ὥσπερ τινὸς πονηρᾶς καὶ βασκάνου τύχης ἀνατρεπούσης αὐτοῦ τὴν ἔτι σώφρονα καὶ κόσμιον, συνέβη τι τοιοῦτο. Λυκίλλα ἦν τῷ Κομμόδῳ πρεσβυτάτη πάντων ἀδελφή· αὕτη πρότερον Λυκίῳ Βήρῳ αὐτοκράτορι συνῴκει, ὃν κοινωνὸν τῆς βασιλείας C
Μάρκος ποιησάμενος, ἐκδούς τε αὐτῷ τὴν θυγατέρα, δεσμὸν εὐνοίας ὀχυρώτατον τὴν πρὸς αὐτὸν ἐπιγαμίαν ἐποιήσατο. ἀλλ' ἐπεὶ συνέβη τὸν Λύκιον τελευτῆσαι, μενόντων τῇ Λυκίλλῃ τῶν τῆς βασιλείας συμβόλων, Πομπηϊανῷ ὁ πατὴρ αὐτὴν ἐξέδοτο. οὐδὲν ἧττον μέντοι καὶ ὁ Κόμμοδος ἐφύλαττε τὰς τιμὰς τῇ ἀδελφῇ· καὶ γὰρ ἐπὶ τοῦ βασιλείου θρόνου καθῆστο ἐν τοῖς θεάτροις, καὶ τὸ πῦρ προεπόμπευεν αὐτῆς· ἐπεὶ δὲ ὁ Κόμμοδος γυναῖκα ἠγάγετο Κρισπῖναν ὄνομα, ἀνάγκη τε ἐγένετο τὴν προεδρίαν ἀπονέμεσθαι τῇ τοῦ βασιλεύοντος γυναικὶ, δυσφόρως ὑπέφερεν ἡ Λυκίλλα, καὶ τὴν ἐκείνης τιμὴν ἑαυτῆς ὕβριν νομίζουσα, τὸν μὲν ἑαυτῆς ἄνδρα Πομπηϊανὸν εἰδυῖα ἀγαπῶντα τὸν D
Κόμμοδον, οὐδὲν αὐτῷ περὶ ἐπιθέσεως τῆς ἀρχῆς ἀνακοινοῦται· Κοδράτου δὲ νεανίσκου εὐγενοῦς τινος καὶ πλουσίου, ἐφ' οὗ καὶ λανθανούσῃ συνουσίᾳ διεβάλλετο, πεῖραν τῆς γνώμης λαμβάνουσα, περί τε τῆς συνεδρίας χαλεπῶς ἀπωδύρετο, καὶ κατ' ὀλίγον ἀνέπεισε τὸν νεανίσκον ὀλέθρια βουλεύσασθαι ἑαυτῷ τε καὶ πάσῃ τῇ συγκλήτῳ. συνωμότας γὰρ ἐκεῖνος τῶν 353
A

βουλῆς λαβὼν τινας τῶν ἐξεχόντων, ἀναπείθει νεανίσκον τι-
νά, καὶ αὐτὸν ὄντα τῆς βουλῆς, Κυϊντιανὸν ὄνομα, προπετῆ
δὲ καὶ θρασύν, λαβόντα ἐγχειρίδιον ὑπὸ κόλπου, καιρὸν φυ-
λάξαντα καὶ τόπον ἐπιτήδειον, ἐπιστῆναί τε τῷ Κομμόδῳ
καὶ φονεῦσαι, τὰ λοιπὰ φήσας αὐτὸς κατορθώσειν χρημάτων
ἐπιδόσει. ὁ δ' ὑποστὰς ἐν τῇ τοῦ ἀμφιθεάτρου εἰσόδῳ, (ζοφώδης
δὲ αὕτη) καὶ λήσεσθαι ἤλπιζε, γυμνώσας τὸ ξιφίδιον, ἐπελ-
θών τε αἰφνιδίως τῷ Κομμόδῳ, καὶ μεγάλῃ φωνῇ προει-
πὼν ὑπὸ τῆς συγκλήτου αὐτῷ ἐπιπεπέμφθαι, βοῆσαι μὲν φθά-
σας, ἀλλ' ἐν ᾧ περὶ τὴν τῶν ῥημάτων προφορὰν ἠσχολεῖτο, καὶ τὴν
B δεῖξιν τοῦ ξίφους, συλληφθεὶς ὑπὸ τῶν σωματοφυλάκων τοῦ βα-
σιλέως, δίκην ἀνοίας ὑπέσχεν. ὃς προειπὼν τὸ βεβουλευμένον
μᾶλλον ἢ δράσας, παρέσχε τε αὐτῷ μὴ προγνωσθέντι ἁλῶναι,
ἐκείνῳ δὲ προμαθόντι φυλάξασθαι. αὕτη μὲν δὴ πρώτη καὶ
μεγίστη αἰτία τῷ μειρακίῳ μίσους ἐγένετο πρὸς τὴν σύγκλη-
τον βουλήν. ἔτρωσέ τε αὐτοῦ τὴν ψυχὴν τὰ λεχθέντα, καὶ κοινοὺς
ἐχθροὺς πάντας ἡγεῖτο, μεμνημένος ἀεὶ τῆς τοῦ ἐπιδραμόντος
φωνῆς. ὑπῆρξε δὲ καὶ τῷ Περεννίῳ πρόφασίς τε καὶ ὑπόθεσις
αὐτάρκης· ἐνέκοπτεν γὰρ ἀεὶ καὶ κωλύειν αὐτῷ συνεβούλευε
τοὺς ὑπερέχοντας, ὧν ἁρπάζων τὰς οὐσίας, ῥᾷστα πλουσιώτα-
C τος ἐγένετο τῶν καθ' αὐτὸν ἀνθρώπων. γινομένης δὲ ἐξετά-
σεως διὰ τοῦ Περεννίου ἀκριβεστέρας, τήν τε ἀδελφὴν ὁ Κόμ-
μοδος διεχρήσατο, καὶ πάντας ἀφειδῶς τούς τε ὄντας ἐν τῇ
συνωμοσίᾳ, καὶ τοὺς ἐφ' οἵαις δήποτε διαβληθέντας ὑποψίαις.
ὁ δὲ Περέννιος ἀποσκευασάμενος πάντας οὓς καὶ ὁ Κόμμοδος
ᾐδεῖτο, καὶ ὅσοι πατρῴαν αὐτῷ εὔνοιαν ἐπεδείκνυντο, τῆς τε ἐκεί-
νου σωτηρίας προμεμνῆσθαι εἶχον, ποιησάμενός τε αὐτὸν ἐφ' ἐξου-
σίαν, ἐπεβούλευε τῇ ἀρχῇ, καὶ τοῖς τε υἱοῖς ἑαυτοῦ νεανίαις οὖ-
σιν ἐγχειρίσαι πείθει τὸν Κόμμοδον προνοίας τῶν Ἰλλυρικῶν
D στρατευμάτων· αὐτός τε πλεῖστα χρήματα ἤθροιζεν, εἰς τὸ ἐπι-
δόσεσι λαμπραῖς ἀποστῆσαι τὸ στρατιωτικόν. οἱ δὲ παῖδες αὐτοῦ

λανθάνοντες συνεκρότουν δύναμιν, ὡς αὐτοῦ τοῦ Περεννίου καὶ
πραγματευομένου τὸν Κόμμοδον ἐπιθῆσθαι τῇ ἀρχῇ. ἐγνώσθη δὲ ἡ
ἐπιβουλὴ παραδόξῳ τρόπῳ. ἱερὸν ἀγῶνα τελοῦσι Ῥωμαῖοι Διὶ
Καπετωλίῳ, θεάματά τε καὶ ἰσχύος πάντα ἀθροίζεται, ὡς εἰς
βασιλίδα πόλιν πανηγυρίζουσαν. θεατὴς δὲ καὶ ἀθλοθέτης
σὺν τοῖς λοιποῖς ἱερεῦσιν, οὓς ἐκ περιόδων χρόνου ἡ τάξις κα- 354
λεῖ, ὁ βασιλεὺς γίνεται. κατελθόντος δὴ τοῦ Κομμόδου ἐπὶ A
τὴν ἀκρόασιν τῶν ἐνδόξων ἀγωνιστῶν, καὶ αὐτοῦ μὲν προ-
καθίσαντος ἐν τῇ βασιλείῳ ἕδρᾳ, πληρωθέντος δὲ τοῦ θεά-
τρου, μετὰ πάσης εὐκοσμίας τῶν τε ἐν ἀξιώσει ἐξαιρέτοις
ἕδραις καὶ ὡς ἑκάστοις διετέτακτο ἱδρυμένων, πρίν τι λέγε-
σθαι ἢ πράττεσθαι ἐπὶ τῆς σκηνῆς, ἀνὴρ φιλοσόφου φέρων
σχῆμα (βάκτρον γὰρ ἦν αὐτοῦ μετὰ χεῖρας, ἡμιγύμνῳ τε αὐτοῦ
ἐκκρεμὴς πήρα) εἰσδραμὼν καὶ στὰς ἐν μέσῃ τῇ σκηνῇ, τῷ
τε τῆς χειρὸς νεύματι τὸν δῆμον καταστείλας,

Οὐ πανηγυρίζειν σοι καιρὸς, ἔφη, Κόμμοδε, νῦν, οὐδὲ
θέαις καὶ ἑορταῖς σχολάζειν. ἐπίκειται γάρ σου τοῖς αὐχέσι B
τὸ τοῦ Περεννίου ξίφος, καὶ εἰ μὴ φυλάξῃ κίνδυνον οὐκ ἐπαι-
ωρούμενον, ἀλλ' ἤδη παρόντα, λήσεις ἀπολούμενος. αὐτός τε
γὰρ ἐνταῦθα δύναμιν ἐπὶ σοὶ καὶ χρήματα ἀθροίζει· οἵ τε
παῖδες αὐτοῦ τὴν Ἰλλυρικὴν στρατιὰν ἀναπείθουσιν· εἰ δὲ μὴ
φθάσῃς, διαφθείρῃ.

Ταῦτα εἰπόντος αὐτοῦ, εἴτε ὑπό τινος δαιμονίου τύχης ἐ-
πειχθέντος, εἴτε καὶ τολμήσαντος ἵνα δόξαν ἄρηται, πρότερον
ἄγνωστος καὶ ἄσημος ὢν, εἴτε καὶ ἐλπίσαντος ἀμοιβῆς με-
γαλοδώρου παρὰ τοῦ βασιλέως τεύξεσθαι, ἀφασία τὸν Κόμ-
μοδον καταλαμβάνει· καὶ πάντες ὑπώπτευον μὲν τὰ λε-
χθέντα, πιστεύειν δὲ οὐ προσεποιοῦντο. κελεύει δὲ αὐτὸν συλλη- C
φθῆναι ὁ Περέννιος, οἷα δὲ μεμηνότα καὶ ψευδῆ λέγοντα,
πυρὶ παραδοθῆναι. ὁ μὲν δὴ ἀκαίρου παρρησίας τοιαύτην
ὑπέσχε δίκην. οἱ μέντοι περὶ τὸν Κόμμοδον, ὅσοι τι εὐνοεῖν

προσποιούμενοι, καὶ πάλαι μὲν ἀπεχθῶς πρὸς τὸν Περέν-
νιον διακείμενοι (βαρὺς γὰρ καὶ ἀφόρητος ἦν ὑπεροψίᾳ καὶ
ὕβρει) τότε καιρὸν εὔκαιρον ἔχοντες, διαβάλλειν ἐπειρῶντο.
ἐξῆν τε ἅμα τὸν Κόμμοδον τὴν ἐπιβουλὴν ἐκφυγεῖν, καὶ
τὸν Περέννιον σὺν τοῖς παισὶ διολέσθαι κακῶς. ἦλθον γὰρ μεθ'
οὐ πολὺ στρατιῶταί τινες λαθόντες τὸν τοῦ Περεννίου παῖδα,
D καὶ νομίσματα ἐκόμισαν ἐκτετυπωμένα τὴν ἐκείνου εἰκόνα·
λαθόντες δὲ καίτοι ἔπαρχον ὄντα τὸν Περέννιον, καὶ δείξαν-
τες τῷ Κομμόδῳ τὰ νομίσματα, διδάξαντές τε τῆς ἐπι-
βουλῆς τὰ λανθάνοντα, αὐτοὶ μὲν ἔτυχον μεγάλων δω-
ρεῶν· ἀγνοοῦντος δὲ ταῦτα τοῦ Περεννίου, μηδέν τέ τι τοι-
οῦτον προσδεχομένου, νύκτωρ ὁ Κόμμοδος πέμψας ἀ-
ποτέμνει τὴν κεφαλήν· καὶ τὴν ταχίστην, ὅπως τὴν τῶν πραττ-
ομένων γνῶσιν φθάσωσιν, ἐκπέμπει τοὺς προλυσομένους ὀξυ-
τέρῳ δρόμῳ, ἐπιστῆναί τε δυνησομένους τῷ παιδὶ τοῦ Περεν-
νίου τὰ ἐπὶ τῆς Ῥώμης ἀγνοοῦντι· γράμματά τε φιλικὰ ποιή-
355 σας, καὶ μείζοσι φήσας καλεῖν ἐλπίσιν αὐτόν, ἥκειν κελεύει.
A ὁ δέ, μήτε τῆς παρασκευῆς τι, καὶ τῶν βεβουλευμένων, μήτε
τι τῶν κατὰ τὸν πατέρα εἰδώς, τῶν τε ἀγγέλων εἰπόντων ταῦτα
καὶ τὸν πατέρα ἐντετάλθαι ῥήμασι, μηδὲν δὲ ἐπεσταλκέναι,
τοῖς βασιλείοις ἀρκούμενον γράμμασι, πιστεύσας ὁ νεανίας,
ἀσχάλλων μὲν καὶ δυσφορῶν ὅτι δὴ ἀτελῆ κατέλιπε τὰ βεβου-
λευμένα, ὅμως δὲ θαρρῶν τῇ τοῦ πατρὸς ὡς ἔτι συνεστώσῃ
δυνάμει, ποιεῖται τὴν ἔξοδον. γενόμενον δὲ αὐτὸν κατὰ τὴν
B Ἰταλίαν, οἷς τοῦτο ἐντέταλτο διεχρήσαντο. τοιοῦτον μὲν δὴ
τέλος ἐκείνους κατέλαβεν. ὁ δὲ Κόμμοδος δύο τοὺς ἐπάρ-
χους καταστήσας, ἀσφαλέστερον ᾠήθη μὴ ἑνὶ πιστεύειν τοσαύ-
την ἐξουσίαν· μερισθεῖσαν δὲ αὐτήν, ἀσθενεστέραν ἔσεσθαι ἤλ-
πισε, πρὸς τὴν βασίλειον ἐπιθυμίαν. χρόνου δὲ οὐ πολλοῦ δια-
γενομένου, ἑτέρα τις ἐπιβουλὴ τοιαύτη κατὰ τὸ αὐτὸ συνεσκευά-
σθη· Μάτερνος ἦν τις στρατιώτης μὲν πρότερον, πολλὰ δὲ καὶ
δεινὰ τολ-

δεινὰ τολμήσας, τήν τε τάξιν λιπὼν, καὶ πείσας ἑτέρους ἀπὸ τῶν αὐτῶν ἔργων συναποδρᾶν, χεῖρα πολλὴν κακούργων ἐν ὀλίγῳ ἀθροίσας χρόνῳ, τὰ μὲν πρῶτα κώμαις τε καὶ ἀ- C
γροῖς ἐπιβαίνων, ἐλῄστευεν· ἐπεὶ δὲ πολλῶν χρημάτων ἐγκρατὴς ἐγένετο, μεῖζόν τι πλῆθος ἤθροισε κακούργων, μεγάλαις τε δωρεῶν ὑποσχέσεσι καὶ τῶν ἁλισκομένων κοινωνίᾳ, ὡς μηκέτι λῃστῶν ἀλλὰ καὶ πολεμίων ἔχειν ἀξίωμα. πόλεσι γὰρ ἤδη μεγίσταις ἐπετίθεντο, καὶ τὰ ἐν αὐταῖς δεσμωτήρια βίᾳ ῥηγνύντες, τοὺς ἐφ' οἵαις δὴ καθειρχθέντας αἰτίαις, δεσμῶν ἐλευθέρους ἀφιέντες, ἄδειάν τε ὑπισχνούμενοι, εὐεργεσίαις ἐς τὴν συμμαχίαν προσήγοντο. πᾶσάν τε κατατρέχοντες τὴν Κελτῶν καὶ Ἰβήρων χώραν, πόλεσί τε ταῖς μεγίσταις ἐπιόντες, καὶ μέρη μὲν ἐμ- D
πιπράντες, τὰ δὲ λοιπὰ ἁρπαγῆς ποιούμενοι, ἀνεχώρουν. ὡς δὲ ταῦτα ἐδηλώθη τῷ Κομμόδῳ, μετὰ πάσης ὀργῆς τε καὶ ἀπειλῆς ἐπιστέλλει τοῖς τῶν ἐθνῶν ἡγουμένοις, ῥᾳθυμίαν ἐγκαλῶν, καὶ κελεύει στρατὸν ἐπ' αὐτοὺς ἀθροισθῆναι. μαθόντες δὲ ἐκεῖνοι δύναμιν ἀγειρομένην ἐπ' αὐτούς, τῶν μὲν χωρίων ἃ ἐπόρθουν, ἀπέστησαν· λαθόντες δὲ, διὰ ταχείας καὶ ἀβάτου ὁδοιπορίας κατ' ὀλίγους εἰς τὴν Ἰταλίαν παρεδύοντο. καὶ περὶ βασιλείας ἤδη καὶ μειζόνων πραγμάτων ὁ Μάτερνος ἐβουλεύετο. ἐπεὶ γὰρ αὐτῷ τὰ προπεπραγμένα πάσης ἐλπίδος μεῖζον 356
ἦν προχωρήσαντα, ᾤετο δεῖν μέγα τι δράσας καὶ κατορθῶσαι, A
ἤ, ἐπεὶ ἅπαξ ἐν κινδύνῳ καθέστηκε, μὴ ἀσήμως μηδ' ἀδόξως τελευτῆσαι. ἐπεὶ δὲ αὐτῷ μὴ τοσαύτην ὑπάρχειν δύναμιν ἡγεῖτο, ὡς ἐξ ἀντιτάσεως ἰσορρόπου καὶ φανερᾶς ἐφόδου συστῆναι πρὸς τὸν Κόμμοδον, (τό τε γὰρ πλῆθος τοῦ Ῥωμαίων δήμου ἐλογίζετο, εὔνουν ἔτι τῷ Κομμόδῳ ὑπάρχον, τήν τε περὶ αὐτὸν τῶν δορυφόρων εὔνοιαν) τέχνῃ καὶ σοφίᾳ ἤλπισε περιέσεσθαι. καὶ μηχανᾶται τοιόνδε τι. ἦρος ἀρχῇ ἑκάστου ἔτους ὡρισμένης ἡμέρας, μητρὶ θεῶν πομπὴν τελοῦσι Ῥωμαῖοι, καὶ πάντα ὅσα παρ' ἑκάστοις πλούτου σύμβολα, B

κειμήλια τῶν βασιλέων, ὕλης τε ἢ τέχνης θαύματα, τῆς θεοῦ
προπομπεύει. ἄδειά τε πᾶσι δίδοται ἐξουσία παντοδαπῆς
παιδιᾶς· ἕκαστός τε ὃ βούλεται σχῆμα ὑποκρίνεται, οὐδ' ἔστιν
οὕτω μέγα ἢ ἐξαίρετον ἀξίωμα, ὃ μὴ παντὶ τῷ βουλομένῳ
ἀμφιεσθέντι ὑπάρχει παῖξαί τε καὶ κρύψαι τὴν ἀλήθειαν,
ὡς μὴ ῥᾳδίως διαγνῶναι τόν τε ὄντα καὶ τὸν μιμούμενον. ἔ-
δοξε δὴ τῷ Ματέρνῳ καιρὸς ἐπιτήδειος εἶναι εἰς τὸ τὴν ἐπι-
βουλὴν λαθεῖν· ἤλπισε γὰρ αὐτὸς τὸ ἀναλαβὼν τὸ τῶν δορυφό-
C ρων σχῆμα, καὶ τοὺς σὺν αὐτῷ ὁπλίσας ὁμοίως, ἀναμίξας τε
τῷ πλήθει τῶν αἰχμοφόρων, καὶ τῆς πομπῆς νομισθεὶς μέρος,
μηδενὸς τοῦ προφυλαττομένου, αἰφνιδίας ἐπιπεσὼν, τὸν Κόμ-
μοδον διαχειρίσασθαι. ἀλλὰ προδοσίας γενομένης, καί τινων
τῶν σὺν αὐτῷ προκατελθόντων εἰς τὴν πόλιν, καὶ τὴν ἐπιβου-
λὴν καταγγειλάντων (φθόνος γὰρ αὐτοὺς εἰς τοῦτο παρώξυνεν, εἰ δὴ
ἔμελλον ἀντὶ λῃστοῦ δεσπότην ἕξειν καὶ βασιλέα) πρὶν ἐλ-
θεῖν τὴν ἑορτὴν, αὐτός τε ὁ Μάτερνος συλληφθεὶς τὴν κεφα-
λὴν ἀπετμήθη, καὶ οἱ συνωμόται ἀξίας ὑπέσχον δίκας. ὁ δὲ
Κόμμοδος θύσας τῇ θεῷ, καὶ χαριστήρια ὁμολογήσας, τὴν
D ἑορτὴν ἐπετέλει, παρέπεμπέ τε τὴν θεὸν χαίρων. καὶ τὰ σωτή-
ρια τοῦ βασιλέως ὁ δῆμος μετὰ τῆς ἑορτῆς ἐπανηγύριζε. θρη-
σκεύουσι δὲ μάλιστα τὴν θεὸν τήνδε Ῥωμαῖοι ἐξ αἰτίας τοι-
αύτης, ὡς ἱστορίᾳ παρειλήφαμεν, ἧς ἐπιμνησθῆναι ἔδοξε,
διὰ τὴν παρ' Ἕλλησιν ἀγνωσίαν. αὐτὸ μὲν τὸ ἄγαλμα,
διοπετὲς, ὡς λέγουσιν· οὔτε δὲ τὴν ὕλην, οὔτε τεχνίτην ὅστις ἐ-
ποίησεν ἐγνωσμένον, οὐδὲ ψαυστὸν χειρὸς ἀνθρωπίνης. τοῦτο δὲ
357 πάλαι μὲν ἐξ οὐρανοῦ κατενεχθῆναι λόγος εἴς τινα τῆς Φρυ-
A γίας χῶρον, Πεσσινοῦς δὲ ὄνομα αὐτῷ· τὴν δὲ προσηγορίαν λα-
βεῖν τὸν τόπον ἐκ τοῦ πεσόντος ἀγάλματος ἐξ οὐρανοῦ, καὶ
πρῶτον ἐκεῖσε ὀφθῆναι. ὡς δὲ παρ' ἑτέροις εὕρομεν, Ἴλῳ τῷ
Φρυγὶ καὶ Ταντάλῳ τῷ Λυδῷ πόλεμον ἐκεῖ γενέσθαι λέγου-
σιν, οἱ μὲν περὶ ὅρων, οἱ δὲ περὶ τῆς Γανυμήδους ἁρπαγῆς. ἱστορ-

ῥόπου δὲ ἐπὶ πολὺ τῆς μάχης γενομένης, ἑκατέρωθεν πεσεῖν ἱκανούς, καὶ τῆς συμφορᾶς ὄνομα δοῦναι τῷ χωρίῳ· ἔνθα καὶ τὸν Γανυμήδην ἁρπασθέντα, ἀφανῆ γενέσθαι λόγος, ἀνθελκόντων αὐτὸν τοῦ ἀδελφοῦ καὶ τοῦ ἐραστοῦ. ἀφανοῦς δὲ γενομένου τοῦ σώματος, ἐκθειασθῆναι τὸ πάθος τοῦ μειρακίου ἐς μῦθον καὶ τὴν Διὸς ἁρπαγήν. ἐν δὲ τῷ προειρημένῳ Πεσσινοῦντι, πάλαι μὲν Φρύγες ὠργίαζον ἐπὶ τῷ ποταμῷ Γάλλῳ παραρρέοντι, ἀφ' οὗ τὴν ἐπωνυμίαν φέρουσιν οἱ τῇ θεῷ τομίαι ἱερώμενοι. ἐπεὶ δὲ Ῥωμαίων ηὔξετο τὰ πράγματα, φασὶν αὐτοῖς χρησθῆναι, μενεῖν τε τὴν ἀρχὴν καὶ εἰς μέγα προχωρήσειν, εἰ τὴν Πεσσινουντίαν θεὸν μεταγάγοιεν ὡς αὐτούς. πέμψαντες δὲ πρέσβεις εἰς Φρύγας, τὸ ἄγαλμα ᾔτουν. ἔτυχον δὲ ῥᾳδίως, συγγένειαν προβαλλόμενοι, καὶ τὴν ἀπ' Αἰνείου τοῦ Φρυγὸς εἰς αὐτοὺς διαδοχὴν καταλέγοντες. κομισθὲν δὲ ἐπὶ νεὼς τὸ ἄγαλμα, καὶ γενόμενον ἐν ταῖς τοῦ Θύμβριδος ἐκβολαῖς, (ταύταις γὰρ αὐτῇ λιμένι ἐχρῶντο Ῥωμαῖοι) ἔστησε θείᾳ δυνάμει τὸ σκάφος. ἐπὶ πολὺ δὲ πανδημεὶ τῶν Ῥωμαίων τὴν ναῦν ἐφελκόντων, ἀντεχούσης τῆς ἰλύος, οὐ πρότερον ἡ ναῦς ἀνέδραμε πρὶν ἢ τὴν ἱέρειαν ἐνεχθῆναι τῆς θεοῦ, ἥτις τῆς Ἑστίας οὖσα ταύτην ἔδει παρθενεύεσθαι· αἰτίαν δὴ διαφθορᾶς εἶχεν. ὡς μέλλουσα δὲ κριθήσεσθαι, ἱκέτευσε τὸν δῆμον ἐπιτρέψαι τῇ Πεσσινουντίᾳ θεῷ τὴν κρίσιν· καὶ λυσαμένη τὴν ζώνην, ἐπαφῆκε τῇ πρώρᾳ τῆς νεώς, προσευξαμένη, εἰ παρθένος εἴη καὶ ἁγνή, πεισθῆναι τὸ σκάφος. ῥᾳδίως δὲ τῆς ζώνης ἐξηρτημένης ἡ ναῦς ἠκολούθησεν· ὁμοῦ δὲ τὸ ἐναργὲς τῆς θεοῦ, καὶ τὸ σεμνὸν τῆς παρθένου Ῥωμαῖοι ἐθαύμασαν. τοσαῦτα μὲν δὴ τῆς Πεσσινουντίας θεοῦ φιλοτιμότερον ἱστορήσαμεν, οὐκ ἄχρηστα ἔχοντα γνῶσιν τοῖς τὰ Ῥωμαίων οὐκ ἀκριβοῦσι. ὁ δὲ Κόμμοδος, ἐκφυγὼν τὴν Ματέρνου ἐπιβουλήν, πλείονί τε περὶ αὑτὸν ἐχρῆτο φρουρᾷ, καὶ σπανίως τοῖς δήμοις ἐνεφαίνετο, τὰ πλεῖστα ἐν προαστείοις καὶ τοῖς ἀπωτέρω τῆς πόλεως βασιλικοῖς κτήμασι διατρίβων, καὶ ἑαυτὸν δικαστηρίων 358

ἀπείργων, καὶ βασιλικῶν πράξεων. συνέβη δὲ κατ' ἐκεῖνο
καιροῦ λοιμώδη νόσον κατασχεῖν τὴν Ἰταλίαν· μάλιστα δὲ τὸ
πάθος τῇ Ῥωμαίων πόλει ἤκμασεν, ἅτε πολυανθρώπῳ τε οὔ-
σῃ καὶ τοὺς πανταχόθεν ὑποδεχομένῃ· πολλή τέ τις φθορὰ ἐ-
γίνετο ὑποζυγίων ἅμα καὶ ἀνθρώπων. τότε ὁ Κόμμοδος,
συμβουλευσάντων αὐτῷ τινῶν ἰατρῶν, εἰς τὴν Λαύρεντον
ἀνεχώρησεν. εὐψυχέστερον γὰρ τὸ χωρίον καὶ μεγίστοις κατά-
σκιον δαφνηφόροις ἄλσεσιν (ὅθεν καὶ τὸ ὄνομα τῷ χωρίῳ)
B σωτήριον εἶναι ἐδόκει, καὶ πρὸς τὴν τοῦ ἀέρος φθορὰν ἀντί-
παλον ἐλέγετο, εὐωδίᾳ τε τῇ τῶν δαφνῶν ἀποφορᾶς καὶ τῆς τῶν
δένδρων ἡδείας σκιᾶς. ἀλλὰ καὶ οἱ κατὰ τὴν πόλιν, κελευόντων
τῶν ἰατρῶν, μύρου εὐωδεστάτου τάς τε ὀσφρήσεις καὶ τὰ ὦτα
ἐνεπίμπλασαν, θυμιάμασί τε καὶ ἀρώμασι συνεχῶς ἐχρῶν-
το· φασκόντων τινῶν τὴν εὐωδίαν φθάσασαν ἐμπιμπλάναι
τοὺς πόρους τῶν αἰσθήσεων, καὶ κωλύειν δέχεσθαι τὸ φθινῶδες τοῦ
ἀέρος, ἢ, εἰ καί τι παρεμπίπτοι, κατεργάζεσθαι δυνάμει κρείτ-
τονι. πλὴν οὐδὲν ἧττον ἡ νόσος ἐπὶ πλεῖστον ἤκμασε, πολλῆς
ἀνθρώπων φθορᾶς γινομένης, πάντων τε ζώων τοῖς ἀνθρώ-
C ποις συνοίκων. ὑπέσχε δὲ κατ' αὐτὸ καὶ λιμὸς τὴν πόλιν ἐξ
αἰτίας τοιαύτης· Κλέανδρός τις ἦν, τὸ μὲν γένος Φρύξ, τῶν δη-
μοσίᾳ εἰωθότων ὑπὸ κήρυκι πιπράσκεσθαι, οἰκέτης δὲ βασιλι-
κὸς γενόμενος, συναυξηθεὶς τῷ Κομμόδῳ, εἰς τοσοῦτον ὑπ'
αὐτοῦ τιμῆς καὶ ἐξουσίας προήχθη, ὡς τήν τε τοῦ σώματος
φρουρὰν, καὶ τὴν τοῦ θαλάμου ἐξουσίαν, τήν τε τῶν στρατῶν ἀρχὴν
ἐγχειρισθῆναι· ὑπὸ δὲ πλούτου καὶ τρυφῆς ἀνεπείσθη καὶ
πρὸς βασιλείας ἐπιθυμίαν. ἀθροίζων δὲ χρήματα, καὶ σῖτον
D πλεῖστον συνωνούμενος καὶ ἀποκλείων, ἤλπιζε προσάξασθαι τόν
τε δῆμον καὶ τὸ στρατόπεδον, εἰ πρότερον ἐν ἀπορίᾳ τῶν ἐπιτη-
δείων καταστήσας, ἐπιδόσεσι λαμπραῖς, ἁλόντας πόθῳ τῶν
χρειωδῶν, προσαγάγοιτο. μέγιστον δὲ γυμνάσιον κατασκευά-
σας, λουτρὸν δημόσιον ἀνῆκεν αὐτοῖς. ὁ μὲν οὖν οὕτω τὸν δῆμον

ἐδελέαζεν. οἱ δὲ Ῥωμαῖοι, ἀπεχθῶς ἔχοντες πρὸς αὐτόν, καὶ τῶν
δεινῶν τὰς αἰτίας εἰς ἐκεῖνον ἀναφέροντες, μισοῦντες αὐτοῦ
τὸ ἀκόρεστον τῆς τοῦ πλούτου ἐπιθυμίας, τὰ μὲν πρῶτα ἐν θεά-
τροις συνιστάμενοι κατὰ πλήθη, κακῶς ἠγόρευον· ἐς τὸ τελευταῖον,
διάγοντος ἐν προαστείῳ τοῦ Κομμόδου, ἐπελθόντες πανδημεὶ 359
ἐβόων, καὶ τὸν Κλέανδρον εἰς θάνατον ᾔτουν. ταραχῆς δὲ οὔσης A
περὶ τὸ προάστειον, τοῦ τε Κομμόδου ἐν τοῖς ἀνακεχωρηκόσι τό-
ποις ἡδοναῖς σχολάζοντος, ἀγνοοῦντός τε τὰ θρυλούμενα, ἐ-
πειδὴ ὁ Κλέανδρος ἀγγέλλεσθαί τι τῶν πραττομένων ἐκώ-
λυεν αὐτῷ, αἰφνιδίως οὐ προσδοκῶντος τοῦ δήμου, ἐπιφαίνον-
ται ὡπλισμένοι κελεύσαντος τοῦ Κλεάνδρου πάντες δὲ οἱ βασί-
λειοι ἱππεῖς, οὕς τε ἐντυγχάνοντας ἔβαλλον καὶ ἐτίτρωσκον. ὁ
δὲ δῆμος οὐδὲ ἀντιστῆναι οἷός τε ἦν, ἄοπλοι πρὸς ὡπλι-
σμένους, καὶ πεζοὶ πρὸς ἱππεῖς. τροπῆς δὲ γενομένης, ἔφευγον B
εἰς τὴν πόλιν. ἐφθείρετο δὲ ὁ δῆμος οὐ μόνον βαλλόμενος ὑπὸ
τῶν στρατιωτῶν, οὐδὲ πατούμενος ὑπὸ τῶν ἵππων, ἀλλὰ καὶ
ὑπὸ τοῦ πλήθους ὠθούμενος καὶ ὑπὸ τῶν ἱππέων ἐπάλληλοι πί-
πτοντες πολλοὶ ἀπώλοντο. μέχρι μὲν οὖν τῶν τῆς Ῥώμης πυλῶν
ἀκωλύτως οἱ ἱππεῖς διώκοντες τοὺς ἐμπίπτοντας, ἀφειδῶς ἀνῄ-
ρουν· ἐπεὶ δὲ οἱ ἐν τῇ πόλει μείναντες, αἰσθόμενοι τὸ κατειλη-
φὸς πάθος, ἀποκλείσαντες τὰς τῶν οἰκιῶν εἰσόδους, ἔς τε τὰ
δώματα ἀναβάντες, λίθοις καὶ κεράμοις ἔβαλλον τοὺς ἱππεῖς,
οἱ δὲ ἔπασχον, ἅπερ δεδράκεσαν, οὐδενὸς μὲν αὐτοῖς συστάδην
μαχομένου, τοῦ δὲ πλήθους ἐξ ἀσφαλοῦς ἤδη βάλλοντος αὐτούς· C
τιτρωσκόμενοι τοίνυν καὶ μὴ φέροντες, ἐς φυγὴν ἐτράπησαν.
πολλοὶ δὲ αὐτῶν διεφθείροντο ὑπό τε τῆς τῶν λίθων συνεχοῦς
βολῆς· οἱ δὲ ἵπποι, κυλινδουμένοις τοῖς λίθοις ἐπιβαίνοντες
ὠλίσθαινον, καὶ τοὺς ἐπιβάτας ἀπωθοῦντο. πολλῶν δὲ ἑκατέρω-
θεν πιπτόντων, ἐπεβοήθουν τῷ δήμῳ καὶ οἱ τῆς πόλεως πεζοὶ στρα-
τιῶται, μίσει τῶν ἱππέων. ὄντος δὲ πολέμου ἐμφυλίου, ἄλλος μὲν
οὐδεὶς ἀγγεῖλαι τὰ πραττόμενα τῷ Κομμόδῳ ἐβούλετο, δέει

τῆς Κλεάνδρου ἐξουσίας. ἡ δὲ πρεσβυτάτη τῶν Κομμόδου ἀδελφῶν (Φαδίλλα ἦν ὄνομα αὐτῇ) εἰσδραμοῦσα πρὸς τὸν βασιλέα (ῥᾳδία δὲ ἡ εἴσοδος αὐτῇ καὶ ἀκώλυτος, ἅτε ἀδελφῇ)
D λυσαμένη τὰς τρίχας, ῥίψασά τε εἰς τὴν γῆν ἑαυτήν, οὐδὲν ἀλλ' ἢ πένθους σχῆμα δείξασα,

Σὺ μὲν, ἔφη, ὦ βασιλεῦ, μένων ἐπὶ ἡσυχίᾳ τῶν πραττομένων ἀγνοίᾳ, ἐσχάτῳ καθέστηκας κινδύνῳ· ἡμεῖς δὲ τὸ σὸν γένος ὅσον οὐδέπω ἀπολούμεθα· οἴχεται δέ σοι ὅ, τε δῆμος Ῥωμαίων, καὶ τὸ πλεῖστον τοῦ στρατιωτικοῦ. ἃ δὲ πρὸς μηδενὸς βαρβάρων πώποτ' ἂν προσεδοκῶμεν, ταῦτα δρῶσιν ἡμᾶς οἱ οἰκεῖοι. καὶ οὓς μάλιστα εὐηργέτησας, τούτους ἐχθροὺς ἔχεις. Κλέανδρος
360 ἐπί σε τόν τε δῆμον καὶ τὸ στρατιωτικὸν ὥπλισεν. ἐκ δὲ διαφό-
A ρου καὶ ἐναντίας γνώμης, οἱ μὲν μισοῦντες αὐτὸν, ὁ δῆμος· οἱ δὲ στέργοντες, πᾶν τὸ ἱππικὸν τάγμα, ἐν ὅπλοις εἰσὶ, καὶ φθείροντες ἀλλήλους ἐμφυλίου αἵματος τὴν Ῥώμην ἐπλήρωσαν. τὰ δ' ἑκατέρου τοῦ πλήθους δεινὰ ἡμᾶς περιελήψεται, εἰ μὴ τὴν ταχίστην πρὸς τὸν θάνατον ἐκδώσεις πονηρὸν οἰκέτην, ὀλέθρου τοσούτου τοῖς μὲν αἴτιον ἤδη γενόμενον, ἡμῖν δὲ ἐσόμενον ὅσον οὐδέπω. Τοιαῦτά τινα εἰποῦσα, ῥηξαμένη τε τὴν ἐσθῆτα, καὶ τῶν παρόντων τινὲς θαρρήσαντες τοῖς τῆς ἀδελφῆς τοῦ βασιλέως λόγοις, τὸν Κόμμοδον ἐτάραξαν. ἐκπλαγεὶς δὲ ἐκεῖνος, τόν τε ἐπικείμενον κίνδυνον οὐ μέλλοντα ἀλλὰ παρόντα ἤδη φοβηθεὶς, με-
B ταπέμπεται τὸν Κλέανδρον, οὐδὲν μέντοι εἰδότα τῶν ἀπηγγελμένων, οἰόμενον δέ. ἐλθόντα δ' αὐτὸν συλληφθῆναι κελεύει, καὶ τὴν κεφαλὴν ἀποτεμὼν, δόρατί τε ἐπιμήκει ἐγκαταπήξας, ἐκπέμπει τερπνὸν, καὶ ποθεινὸν τῷ δήμῳ θέαμα. ἔστη γοῦν οὕτω τὸ δεινὸν, καὶ ἑκάτεροι πολεμοῦντες ἐπαύσαντο, οἱ μὲν στρατιῶται, ἠρημένοι ἰδόντες ὑπὲρ οὗ ἐμάχοντο, δέει τε τῆς βασιλέως ὀργῆς· (συνίεσαν γὰρ ἐξηπατῆσθαι καὶ τὰ δρασθέντα παρὰ γνώμην αὐτοῦ
C τετολμηκέναι) ὁ δὲ δῆμος ἐκόρεστο, τιμωρίαν παρὰ τοῦ τὰ δεινὰ δράσαντος εἰληφώς. προσανεῖλον δὲ καὶ τοὺς παῖδας τοῦ

Κλεάνδρου (δύο δὲ ἦσαν ἄρρενες αὐτῷ) πάντας τε ὅσους ᾔδεσαν
ἐκείνῳ φίλους, διεχρήσαντο· σύροντές τε τὰ σώματα καὶ πᾶσαν
ὕβριν ἐνυβρίσαντες, τέλος λελωβημένους εἰς τοὺς ὀχετοὺς ἔρρι-
ψαν φέροντες. τοιούτῳ μὲν δὴ τέλει Κλέανδρός τε καὶ οἱ περὶ
αὐτὸν ἐχρήσαντο, φιλοτιμησαμένης (ὡς ἄν τις εἴποι) τῆς ἀνθρω-
πίνης φύσεως ἐν ἑνὶ δεῖξαι ὅτι ἐκ τῆς ἐσχάτης εὐτελείας εἰς τὸ
μέγιστον ὕψος ἆραι, καὶ πάλιν τὸν ἀρθέντα ῥῖψαι ὀλίγη καὶ ἀ-
πίστως δύναται τύχης ῥοπή. ὁ δὲ Κόμμοδος, δεδιὼς μὲν τὴν D
τοῦ δήμου κίνησιν, μή τι καὶ περὶ αὐτοῦ νεωτερίσειεν, ὅμως δὲ
παρορμησάντων αὐτὸν τῶν οἰκείων, κατελθὼν εἰς τὸ ἄστυ, μετὰ
πάσης εὐφημίας τε καὶ παραπομπῆς τοῦ δήμου ὑποδεχθείς,
εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν. πειραθεὶς δὲ τοσούτων κιν-
δύνων, ἀπίστως προσεφέρετο πᾶσι, ἀφειδῶς τε φονεύων, καὶ
πάσαις διαβολαῖς ῥᾳδίως πιστεύων, μὴ δή τινα προσιέμενος
τῶν λόγου ἀξίων· ἀλλὰ τῆς μὲν περὶ τὰ καλὰ σπουδῆς ἀπῆ-
γεν ἑαυτόν, ἐδεδούλωντο δὲ πᾶσαν αὐτοῦ τὴν ψυχὴν νύκτωρ
τε καὶ μεθ᾽ ἡμέραν ἐπάλληλοι καὶ ἀκόλαστοι σώματος ἡδοναί. 361
καὶ σώφρων μὲν πᾶς καὶ παιδείας κἂν μετρίως μεμνημένος, A
τῆς αὐλῆς ὡς ἐπίβουλος ἐδιώκετο· γελωτοποιοὶ δὲ καὶ τῶν αἰ-
σχίστων ὑποκριταὶ εἶχον αὐτὸν ὑποχείριον, ἁρμάτων τε ἡνιο-
χείας καὶ θηρίων ἐξ ἀντιστάσεως μάχας ἐπαιδεύετο· τῶν μὲν
κολάκων εἰς ἀνδρείας δόξαν αὐτὰ ὑμνούντων, τοῦ δὲ ἀπρε-
πέστερον μετιόντος ἢ βασιλεῖ σώφρονι ἥρμοζεν. ἐγένοντο δέ τι-
νες κατ᾽ ἐκεῖνο καιροῦ καὶ διοσημίαι. ἀστέρες γὰρ ἡμέριοι συνε- B
χῶς ἐβλέποντο, ἕτεροί τε εἰς μῆκος κεχαλασμένοι, ὡς ἐν μέ-
σῳ ἀέρι κρέμασθαι δοκεῖν· ζῷά τε παντοῖα, καὶ τὴν ἑαυτῶν φύ-
σιν μὴ τηροῦντα, σχήμασί τε ἀλλοδαποῖς, καὶ μέρεσι σώματος
ἀναρμόστοις, πολλάκις ἀπεκυήθη. μέγιστον δὲ δεινὸν καὶ τὸν
παρόντα καιρὸν ἐλύπησε, καὶ πρὸς τὸ μέλλον οἰωνίσμα-
τι καὶ φαύλῳ συμβόλῳ χρωμένους πάντας ἐτάραξεν. οὔ-
τε γὰρ ὄμβρου προϋπάρξαντος, οὔτε νεφῶν ἀθροισθέντων,

σεισμοῦ δὲ ὀλίγου προγενομένου γῆς, εἴτε σκηπτοῦ νύκτωρ
C κατενεχθέντος, εἴτε καὶ πυρός ποθεν ἐκ τοῦ σεισμοῦ διαρρυέντος,
πᾶν τὸ τῆς Εἰρήνης τέμενος κατεφλέχθη, μέγιστον καὶ κάλλιστον
γενόμενον τῶν ἐν τῇ πόλει ἔργων. πλουσιώτατον δὲ ἦν πάντων
ἱερῶν διὰ ἀσφάλειαν, ἀναθήμασι κεκοσμημένον χρυσοῦ τε
καὶ ἀργύρου· ἕκαστος δὲ ἃ εἶχεν, ἐκεῖσε ἐθησαυρίζετο. ἀλλὰ
τὸ πῦρ ἐκ τῆς νυκτὸς, πολλοὺς ἐκ πλουσίων πένητας ἐποίησεν·
ὅθεν ὠλοφύροντο κοινῇ μὲν πάντες τὰ δημόσια, ἕκαστος δὲ τὰ
D ἴδια αὐτοῦ. καταφλέξαν δὲ τὸ πῦρ τόν τε νεὼν καὶ πάντα
τὸν περίβολον, ἐπενεμήθη καὶ τὰ πλεῖστα τῆς πόλεως καὶ
κάλλιστα ἔργα. ὅτε καὶ τῆς Ἑστίας τοῦ νεὼ καταφλεχθέντος
ὑπὸ τοῦ πυρὸς, γυμνωθὲν ὤφθη τὸ τῆς Παλλάδος ἄγαλμα (ὃ
σέβουσί τε καὶ κρύπτουσι Ῥωμαῖοι) κομισθὲν ἀπὸ Τροίας (ὡς
λόγος) ὅτε πρῶτον καὶ μετὰ τὴν ἀπ' Ἰλίου εἰς Ἰταλίαν ἄ-
φιξιν, εἶδον οἱ καθ' ἡμᾶς ἄνθρωποι. ἁρπάσασαι γὰρ τὸ ἄγαλ-
μα αἱ τῆς Ἑστίας ἱέρειαι παρθένοι, διὰ μέσης τῆς ἱερᾶς ὁδοῦ εἰς
τὴν τοῦ βασιλέως αὐλὴν μετεκόμισαν. κατεφλέχθη δὲ καὶ
πλεῖστα ἄλλα τῆς πόλεως μέρη κάλλιστα. ἱκανῶν τε ἡμερῶν
362 πάντα ἐπιὸν τὸ πῦρ ἐπεβόσκετο, οὐδὲ πρότερον ἐπαύσατο
A πρὶν ἢ κατενεχθέντες ὄμβροι ἐπέσχον αὐτοῦ τὴν ὁρμήν. ὅ-
θεν καὶ τὸ πᾶν ἔργον ἐξεθειάσθη, πιστευόντων κατ' ἐκεῖνο και-
ροῦ τῶν τότε ἀνθρώπων, ὅτι γνώμῃ θεῶν καὶ δυνάμει ἤρ-
ξατό τε τὸ πῦρ καὶ ἐπαύσατο. συνεβάλλοντο δέ τινες ἐκ τῶν
καταληφότων, πολέμων σημεῖον εἶναι τὴν τοῦ νεὼ τῆς Εἰρήνης
ἀπώλειαν. τὰ γοῦν ἀκολουθήσαντα (ὡς ἐν τοῖς ἑξῆς ἐροῦ-
μεν) ἐκ τῆς ἀποβάσεως τὴν προϋπάρχουσαν φήμην ἐπι-
στώσατο. πολλῶν δὴ καὶ δεινῶν συνεχῶς καταληφότων τὴν
πόλιν, οὐκέτι ὁ Ῥωμαίων δῆμος μετ' εὐνοίας τὸν Κόμμοδον
ἐπέβλεπεν, ἀλλὰ καὶ τὰς αἰτίας τῶν ἑκάστοτε συμφο-
B ρῶν εἰς τοὺς ἐκείνου ἀκρίτους φόνους καὶ τὰ λοιπὰ τοῦ βίου
ἀνέφερεν ἁμαρτήματα. οὐδὲ γὰρ ἐλάνθανε τὰ πραττόμενα

πάντας, ἀλλ' οὐδὲ αὐτὸς λανθάνειν ἤθελεν. ἃ δὲ πρότερον
οἴκοι διεβάλλετο, ταῦτα καὶ δημοσίᾳ δεῖξαι ἐτόλμησεν· εἰς
τοσοῦτόν τε μανίας καὶ παροινίας προεχώρησεν, ὡς πρῶτον
μὲν τὴν πατρῴαν προσηγορίαν παραιτήσασθαι, ἀντὶ δὲ Κομ-
μόδου καὶ Μάρκου υἱοῦ, Ἡρακλέα τε καὶ Διὸς υἱὸν αὑτὸν κε-
λεύσας καλεῖσθαι. ἀποδυσάμενός τε τὸ Ῥωμαίων καὶ βασί-
λειον σχῆμα λεοντῆν ὑπεστρώννυτο, καὶ ῥόπαλον μετὰ χεῖρας
φέρων ἀμφιέννυτό τε ἁλουργεῖς καὶ χρυσοϋφεῖς ἐσθῆτας, ὡς
εἶναι καταγέλαστον αὐτὸν, καὶ ὑφ' ἑνὶ σχήματι θηλειῶν πολυ- C
τέλειαν καὶ ἡρώων ἰσχὺν μιμούμενον. τοιοῦτος μὲν δὴ προϊὼν
ἐφαίνετο. ἤλλαξε δὲ καὶ τῶν ἐνιαυσιαίων μηνῶν τὰ ὀνόμα-
τα, ὅσα μὲν ἀρχαῖα καταλύσας, πάντας δὲ ταῖς ἑαυτοῦ
προσηγορίαις ὀνομάσας, ὧν αἱ πλεῖσται εἰς Ἡρακλέα δῆθεν
ὡς ἀνδρειότατον ἀνεφέροντο. ἔστησε δὲ καὶ ἀνδριάντας αὐτοῦ
κατὰ πᾶσαν τὴν πόλιν· ἀλλὰ μὴν καὶ ἀντικρὺ τοῦ τῆς συγκλήτου
συνεδρίου τόξον διηγκυλημένον. ἐβούλετο γὰρ δὴ καὶ τὰς εἰκόνας
αὐτοῦ φόβον ἀπειλεῖν. τὸν μὲν οὖν ἀνδριάντα μετὰ τὴν ἐκείνου
τελευτὴν καθελοῦσα ἡ σύγκλητος, ἐλευθερίας εἰκόνα ἱδρύ-
σατο. ὁ δὲ Κόμμοδος μηκέτι κατέχων ἑαυτὸν, δημοσίᾳ θέας D
ἐπετέλεσεν, ὑποσχόμενος τά τε θηρία πάντα ἰδίᾳ χειρὶ κα-
τακτενεῖν, καὶ τοῖς ἀνδρειοτάτοις τῶν νεανιῶν μονομαχήσειν.
διαδραμούσης δὲ τῆς φήμης, συνέθεον ἔκ τε τῆς Ἰταλίας
πάσης καὶ τῶν ὁμόρων ἐθνῶν, θεασόμενοι ἃ μὴ πρότερον
μήτε ἑωράκεσαν μήτε ἠκηκόεσαν. καὶ γὰρ διηγγέλλετο αὐτοῦ
τῆς χειρὸς τὸ εὔστοχον, καὶ ὅτι ἔμελεν αὐτῷ ἀκοντίζοντι καὶ 363
τοξεύοντι μὴ πταίειν. συνῆσαν δὲ παιδεύοντες αὐτὸν, Παρ- A
θυαίων οἱ τοξικὴν ἀκριβοῦντες, καὶ Μαυρουσίων οἱ ἀκοντί-
ζειν ἄριστοι, οὓς πάντας εὐχειρίᾳ ὑπερέβαλλεν. ἐπεὶ δὲ κατέ-
λαβον αἱ τῆς θέας ἡμέραι, τὸ μὲν ἀμφιθέατρον πεπλήρωτο· τῷ
δὲ Κομμόδῳ περίδρομος κύκλῳ κατεσκεύαστο, ὡς μὴ συστά-
δην τοῖς θηρίοις μαχόμενος κινδυνεύοι, ἄνωθεν δὲ καὶ ἐξ

ἀσφαλῶς ἀκοντίζων, εὐτοξίας μᾶλλον ἢ ἀνδρείας παρέχοιτο
δεῖξιν. ἐλάφους μὲν οὖν καὶ δορκάδας, ὅσα τε κερασφόρα,
πλὴν ταύρων, συνθέων αὐτοῖς καὶ καταδιώκων ἔβαλε, φθά-
B νων τε αὐτῶν τὸν δρόμον καὶ πληγαῖς καιρίοις ἀναιρῶν· λέον-
τας δὲ καὶ παρδάλεις, ὅσα τε ζῶα γενναῖα, περιθέων ἄνω-
θεν κατηκόντιζεν, οὐδέ τις εἶδεν ἀκόντιον δεύτερον, οὐδὲ τραῦ-
μα ἄλλο πλὴν τοῦ θανατηφόρου. ἅμα γὰρ τῇ τοῦ ζώου ὁρμῇ κα-
τὰ τοῦ μετώπου ἢ κατὰ καρδίας ἔφερε τὴν πληγήν, καὶ οὐδέπο-
τε σκοπὸν ἄλλον εἶχεν, οὐδὲ ἐπ᾽ ἄλλο μέρος ἦλθε τὸ ἀκόντιον
τοῦ σώματος, ὡς μὴ ἅμα τε τρῶσαι καὶ φονεῦσαι. τὰ δὲ παν-
ταχόθεν ζῶα ἠθροίζετο αὐτῷ. τότε γοῦν εἴδομεν ὅσα ἐν γρα-
C φαῖς ἐθαυμάζομεν. ἀπό τε γὰρ Ἰνδῶν καὶ Αἰθιόπων, εἴ τι πρό-
τερον ἄγνωστον ἦν, μεσημβρίας τε καὶ τῆς ἀρκτώας γῆς, ζῶα
πάντα φονεύων, Ῥωμαίοις ἔδειξε. τὸ δὲ εὔστοχον τῆς χειρὸς αὐ-
τοῦ πάντες ἐξεπλήττοντο. λαβὼν οὖν ποτε βέλη, ὧν αἱ ἀ-
κμαὶ ἦσαν μηνοειδεῖς, ταῖς Μαυρουσίαις στρουθοῖς ὀξύτατα φε-
ρομέναις καὶ ποδῶν τάχει καὶ κολπώσει πτερῶν, ἐπαφιεὶς τὰ
βέλη κατ᾽ ἄκρου τοῦ τραχήλου, ἐκαρατόμει, ὡς τῶν κεφα-
λῶν ἀφῃρημένας ὁρμῇ τοῦ βέλους ἔτι περιθεῖν αὐτάς, ὡς μη-
D δὲν παθούσας. παρδάλεως δέ ποτε ὀξυτάτῳ δρόμῳ τὸν ἐκ-
καλούμενον καταλαβούσης, φθάσας τῷ ἀκοντίῳ μέλλουσαν
δήξασθαι, τὴν μὲν ἀπέκτεινε, τὸν δὲ ἐρρύσατο, φθάσας τῇ τοῦ
δόρατος αἰχμῇ τὴν τῶν ὀδόντων ἀκμήν. λεόντων δέ ποτε ἐξ
ὑπογαίων ἑκατὸν ἀναρριφθέντων, ἰσαρίθμοις ἀκοντίοις πάν-
τας ἀπέκτεινεν, ὡς ἐπὶ πολὺ κειμένων τῶν πτωμάτων, δι᾽ αὐτὸ
τοῦτο ἐπὶ σχολῆς πάντας ἀριθμῆσαι, καὶ μηδὲν ἰδεῖν περιττὸν
364 ἀκόντιον. μέχρι μὲν τούτων, εἰ καὶ βασιλείας τὰ πραττόμενα
A ἦν ἀλλότρια, πλὴν ἀνδρείας τε καὶ εὐστοχίας παρὰ τοῖς δημώ-
δεσιν εἶχέ τινα χάριν. ἐπεὶ δὲ καὶ γυμνὸς εἰς τὸ ἀμφιθέατρον
εἰσῆλθεν, ὅπλα τε ἀναλαβὼν ἐμονομάχει, τότε σκυθρωπὸν
εἶδεν ὁ δῆμος θέαμα· τὸν εὐγενῆ καὶ Ῥωμαίων βασιλέα,

μετὰ τοσαῦτα τρόπαια πατρός τε καὶ προγόνων, οὐκ ἐπὶ βαρ-
βάρους ὅπλα λαμβάνοντα στρατιωτικὰ, ἢ Ῥωμαίων ἀρχῇ
πρέποντα, καθυβρίζοντα δὲ τὸ ἀξίωμα αἰσχίστῳ καὶ μεμια-
σμένῳ σχήματι. ὁ μὲν οὖν μονομαχῶν ῥᾳδίως τῶν ἀνταγωνιστῶν B
περιεγίνετο, καὶ μέχρι τραυμάτων προεχώρει, ὑπεικόντων ἁ-
πάντων καὶ τὸν βασιλέα οὐ τὸν μονομάχον ἐννοούντων. εἰς τοσοῦ-
τον δὲ προεχώρησε μανίας ὡς μηκέτι βούλεσθαι μηδὲ τὴν
βασίλειον ἑστίαν οἰκεῖν ἀλλὰ γὰρ μετοικισθῆναι ἐβούλετο εἰς
τὸ τῶν μονομάχων καταγώγιον. ἑαυτὸν δὲ οὐκέτι Ἡρακλέα,
ἀλλὰ τῶν μονομαχούντων ἐνδόξου τινὸς προτεθνηκότος,
ὀνόματι καλεῖσθαι προσέταξε. τοῦ δὲ μεγίστου ἀγάλματος κο-
λοσσιαίου, ὅπερ σέβουσι Ῥωμαῖοι, εἰκόνα φέρον ἡλίου, τὴν κε-
φαλὴν ἀποτεμὼν, ἱδρύσατο ἑαυτοῦ, ὑπογράψας τῇ βάσει
οὐχ ἃς εἰώθασι βασιλικὰς καὶ πατρῴους προσηγορίας, ἀν- C
τὶ δὲ Γερμανικοῦ, μονομάχους χιλίους νικήσαντος. ἔδει δὲ ἄρα
ποτὲ κἀκεῖνον παύσασθαι μεμηνότα, καὶ τὴν Ῥωμαίων ἀρχὴν
τυραννουμένην. νέου μὲν γὰρ ἔτους τῆς ἐπιούσης ἔμελλεν ἡμέρας
σέβουσί τε τὴν ἑορτὴν Ῥωμαῖοι εἰς θεὸν ἀρχαιότατον τῆς Ἰ-
ταλίας ἐπιχώριον ἀναφέροντες. φασὶ γὰρ αὐτοῦ καὶ Κρόνον
ὑπὸ Διὸς ἐκβληθέντα τῆς ἀρχῆς, κατελθόντα εἰς γῆν, γε-
νέσθαι ξένον. δεδιότα δὲ τὴν τοῦ παιδὸς δυναστείαν, παρ' αὐτοῖς
κρυπτόμενον λαθεῖν. ὅθεν καὶ τὸ ὄνομα δοθῆναι τῇ χώρᾳ τῆς
Ἰταλίας, Λάτιόν τε κληθῆναι, ἀπὸ τῆς Ἑλλάδος φωνῆς εἰς τὸ
ἐπιχώριον παραχθέν. διὰ ταῦτά τοι καὶ μέχρι νῦν Ἰταλιῶ-
ται τὰ μὲν Κρόνια προεορτάζουσι θεῷ τῷ λαθόντι, τὴν δὲ τοῦ
ἔτους ἀρχὴν ἱερομηνίαν ἄγουσι τῷ τῆς Ἰταλίας ἔθει. διπρό-
σωπον δὲ αὐτοῦ ἵδρυται τὸ ἄγαλμα, ἐπειδὴ εἰς αὐτὸν ὁ ἐνιαυ- D
τὸς ἄρχεταί τε καὶ παύεται. ταύτης δὲ τῆς ἑορτῆς περιϊούσης
ἐν ᾗ μάλιστα Ῥωμαῖοι δεξιοῦνταί τε ἀλλήλους καὶ προσα-
γορεύουσι, νομισμάτων τε ἀντιδόσει καὶ κοινωνίᾳ τῶν γῆς
καὶ θαλάττης καλῶν εὐφραίνουσιν αὐτούς, ἀρχαί τε ἐπώνυμοι

τότε πρῶτον τὴν ἔνδοξον καὶ ἐνιαύσιον πορφύραν περιτίθεν-
ται· πάντων ἑορταζόντων, ὁ Κόμμοδος ἐβουλεύετο οὐκ ἐκ τῆς
βασιλείου, ὡς ἔθος, προελθεῖν οἰκίας, ἀλλ' ἐκ τοῦ τῶν μονομά-
χων καταγωγίου, ἀντὶ δὲ τῆς εὐπαρύφου καὶ βασιλικῆς πορ-
365 φύρας, ὅπλα τε αὐτὸς φέρων, καὶ συμπροϊόντων τῶν λοιπῶν
A μονομάχων ὀφθῆναι τοῖς Ῥωμαίοις. ἐπεὶ δὲ τὴν γνώμην
αὐτοῦ ταύτην ἀνήνεγκε πρὸς Μαρκίαν, (ἣν εἶχε τῶν παλλα-
κίδων τιμιωτάτην, ἣ οὐδέν τι ἀπεῖχε γαμετῆς γυναικός,
ἀλλὰ πάντα ὑπῆρχεν, ὅσα σεβαστῇ, πλὴν τοῦ πυρὸς) ἡ μαθοῦ-
σα τὴν παράλογον οὕτω καὶ ἀπρεπῆ βούλησιν αὐτοῦ, τὰ πρῶ-
τα ἐλιπάρει, καὶ προσπίπτουσα μετὰ δακρύων ἐδεῖτο μήτε τὴν
Ῥωμαίων ἀρχὴν καθυβρίσαι, μήθ' ἑαυτὸν ἐπιδόντα μονο-
B μάχοις καὶ ἀπεγνωσμένοις ἀνθρώποις κινδυνεῦσαι· ἐπεὶ δὲ
πολλὰ ἱκετεύουσα οὐκ ἐτύγχανεν αὐτοῦ, ἡ μὲν δακρύουσα ἀπέ-
στη· ὁ δὲ Κόμμοδος μεταπεμψάμενος Λαῖτον τὸν ἔπαρχον τῶν
στρατοπέδων, Ἔκλεκτόν τε τὸν τοῦ θαλάμου προεστῶτα, ἐκέ-
λευεν αὐτοῖς παρασκευασθῆναι, ὡς διανυκτερεύσων ἐν τῷ τῶν
μονομάχων καταγωγίῳ· κἀκεῖθεν προελευσόμενος ἐπὶ τὰς
θυσίας τῆς ἱερομηνίας, ὡς Ῥωμαίοις ἔνοπλος ὀφθείη. οἱ δ' ἱκέ-
τευον καὶ πείθειν ἐπειρῶντο μηδὲν ἀνάξιον τῆς βασιλείας
ποιεῖν· ὁ δὲ Κόμμοδος ἀσχάλλων, τοὺς μὲν ἀπεπέμψατο, αὐ-
τὸς δὲ ἐπανελθὼν εἰς τὸ δωμάτιον ὡς δὴ καθευδήσων (καὶ
γὰρ μεσημβρίας εἰώθει τοῦτο ποιεῖν) λαβὼν γραμματεῖον τού-
των δὴ τῶν ἐκ φιλύρας εἰς λεπτότητα ἠσκημένων, ἐπαλλήλῳ
C τε ἀνακλάσει ἀμφοτέρωθεν ἐπτυγμένων, γράφει οὓς χρὴ
τῆς νυκτὸς φονευθῆναι· ὧν πρώτη μὲν ἦν Μαρκία, εἵπον-
το δὲ Λαῖτός τε καὶ Ἔκλεκτος, ἐπὶ δὲ τούτοις πολὺ πλῆθος
τῶν συγκλήτου πρωτευόντων. τοὺς μὲν γὰρ πρεσβυτέρους, καὶ
λοιποὺς πατρῴους φίλους ἀποσκευάσασθαι πάντας ἤθελεν, αἰ-
δούμενος ἔχειν αἰσχρῶν ἔργων σεμνοὺς ἐπόπτας· τῶν δὲ πλουσίων
τὰς οὐσίας χαρίσασθαι ἐβούλετο, μερίσαι τε εἰς τοὺς στρατιώ-

τὰς καὶ τοὺς μονομαχοῦντας· τοὺς μὲν, ἵνα φυλάττοιεν αὐτὸν,
τοὺς δὲ, ἵνα τέρποιεν. γράψας δὴ γραμματεῖον, τίθησιν ἐπὶ τοῦ
σκίμποδος, οἰηθεὶς μηδένα ἐκεῖθεν εἰσελεύσεσθαι. ἦν δὲ καὶ
παιδίον πάνυ νήπιον, τούτων δὴ τῶν γυμνῶν μὲν ἐσθῆτος, χρυ- D
σῷ δὲ καὶ λίθοις πολυτίμοις κεκοσμημένων, οἷς ἀεὶ χαίρουσι
Ρωμαίων οἱ τρυφῶντες. ὑπερηγάπα δὲ αὐτὸ ὁ Κόμμοδος,
ὡς συγκαθεύδειν πολλάκις· Φιλοκόμμοδός τε ἐκαλεῖτο, δη-
λούσης καὶ τῆς προσηγορίας τὴν στοργὴν τὴν εἰς τὸν παῖ-
δα τοῦ βασιλέως. τὸ δὴ παιδίον τοῦτο ἄλλως ἀθύρον, προελ-
θόντος τοῦ Κομμόδου ἐπὶ τὰ συνήθη λουτρά τε καὶ κραιπά-
λας, εἰσδραμὸν εἰς τὸν θάλαμον ὥσπερ εἰώθει, τὸ γραμματεῖον
ἐπὶ τοῦ σκίμποδος κείμενον ἀνελόμενον, ἵνα δὴ παίζειν ἔχοι,
πρόεισι τοῦ οἴκου. κατὰ δέ τινα δαίμονα συναντᾷ τῇ Μαρ- 366
κίᾳ· ἡ δὲ (καὶ αὐτὴ γὰρ ἔστεργε τὸ παιδίον) περιπτύξασα καὶ φι- A
λοῦσα, τὸ γραμματεῖον ἀφαιρεῖται, δεδοικυῖα δὴ μή τι τῶν
ἀναγκαίων ὑπὸ νηπιότητος ἀγνοοῦν παῖζον διαφθείρῃ. γνω-
ρίσασα δὲ τὴν τοῦ Κομμόδου χεῖρα, ταύτῃ καὶ μᾶλλον ἐ-
σπούδαζε διεξελθεῖν τὴν γραφήν. ἐπεὶ δὲ εὗρεν αὐτὸ θανα-
τηφόρον, καὶ πρὸ ἁπάντων αὐτὴν τι μέλλουσαν τεθνήξεσθαι,
Λαῖτόν τε καὶ Ἔκλεκτον ἐπακολουθήσοντας, τῶν τε λοιπῶν
τοσοῦτον φόνον, ἀνοιμώξασα, καθ' ἑαυτὴν τι εἰποῦσα, Εὖγε
ὦ Κόμμοδε ταῦτα χαριστήρια εὐνοίας τε καὶ στοργῆς, ὕβρεώς
τε καὶ παροινίας τῆς σῆς, ἧς ἐτῶν τοσούτων ἠνεσχόμην· ἀλλ'
οὐ καταπροίξῃ αὐτὸς μεθύων νηφούσης γυναικός· ταῦτα B
εἰποῦσα τὸν Ἔκλεκτον μεταπέμπεται (ἔθος δὲ ἦν αὐτῷ
προσιέναι, ἅτε τοῦ θαλάμου φύλακι, ἔτι τε καὶ ἐπὶ συνουσίᾳ
αὐτὴν διεβάλλετο) δοῦσα δὲ τὸ γραμματεῖον, Ὁρᾷ (ἔφη) ποίαν
μέλλομεν παννυχίζειν ἑορτήν. ὁ δὲ Ἔκλεκτος, ἀναγνούς τε
καὶ ἐκπλαγεὶς (ἦν δὲ τὸ γένος Αἰγύπτιος, τολμῆσαί τε ἅμα
καὶ δρᾶσαι θυμῷ τε δουλεῦσαι πρόχειρος) κατασημηνάμενος
αὐτὸ τὸ γραμματεῖον, διά τινος τῶν ἑαυτοῦ πιστῶν ἀναγκαιοτ-

σόμενον πέμπει τῷ Λαίτῳ. ὁ δὲ καὶ αὐτὸς ταραχθεὶς, ἀφι-
C νεῖται πρὸς Μαρκίαν ὡς δὴ συσκεψόμενος αὐτοῖς περὶ ὧν
ἐκέλευσεν ὁ βασιλεὺς, καὶ τοῦ τῶν μονομάχων καταγωγίου.
προσποιησάμενοι δὲ περὶ τῶν ἐκείνῳ διαφερόντων σκέπτεσθαι,
συντίθενται φθᾶσαί τι δράσαντες ἢ παθεῖν, οὐδὲ καιρὸν εἶναι
μελλήσεως ἢ ἀναβολῆς. ἀρέσκει δὴ δοῦναι φάρμακον δηλη-
τήριον τῷ Κομμόδῳ. ὑπέσχετο δ' αὐτὸ ῥᾷστα δώσειν ἡ Μαρ-
κία. εἰώθει γὰρ αὐτὴ κιρνᾶν τε καὶ διδόναι τὴν πρώτην
πόσιν, ὡς ἥδιον πίοι παρ' ἐρωμένης. ἐλθόντι δὲ αὐτῷ ἀπὸ τοῦ
λουτροῦ, ἐμβαλοῦσα εἰς κύλικα τοῦ φαρμάκου, οἴνῳ τε κερά-
σασα εὐώδη δίδωσιν. ὁ δ' ὡς συνήθη φιλοτησίαν, μετὰ πολ-
D λὰ λουτρὰ καὶ γυμνάσια τὰ πρὸς θηρία διψῶν, ἔπιεν ἀ-
ναισθήτως. εὐθέως δὲ κάρος ἐπέπεσεν αὐτῷ· εἰς ὕπνον τε κα-
θελκόμενος, ὑπὸ καμάτου πάσχειν οἰηθεὶς, ἀνεπαύσατο. ὁ δὲ
Ἔκλεκτος καὶ Μαρκία πάντας ἀποστῆναι κελεύσαντες, εἴς τε
τὰ οἰκεῖα ἀπιέναι, ἡσυχίαν δὴ παρεσκεύαζον αὐτῷ. εἰώθει δὲ
καὶ ἐπὶ ἄλλων τοῦτο πάσχειν ὁ Κόμμοδος ὑπὸ κραιπάλης.
πολλάκις γὰρ λουσάμενος καὶ πολλάκις ἐσθίων, οὐδένα καιρὸν
367 εἶχεν εἰς ἀνάπαυσιν ὡρισμένον, ἐπαλλήλοις καὶ δια-
A φόροις συνεχόμενος ἡδοναῖς, αἷς δὴ καταλαβούσῃ ὥρᾳ
καὶ ἄκων ἐδούλευεν. ἐπ' ὀλίγον μὲν οὖν ἡσύχασε, περὶ στόμα-
χον δὲ καὶ κοιλίαν τοῦ φαρμάκου γενομένου, ἴλιγγός τε αὐτὸν
καταλαμβάνει, ἔμετός τε πολὺς ἐπιγίγνεται, ἢ τῆς προεγκει-
μένης τροφῆς ἅμα ποτῷ πολλῷ ἐξωθούσης τὸ φάρμακον, ἢ
διὰ τὸ προλαμβανόμενον, ὅπερ εἰώθασι βασιλεῖς ἑκάστοτε
πρὸ πάσης τροφῆς λαμβάνειν, κώλυμα δηλητηρίων. πλὴν
B ἀλλὰ πολλοῦ γε ὄντος τοῦ ἐμέτου, φοβηθέντες μὴ πᾶν ἐξεμέ-
σας τὸ φάρμακον ἀνανήψῃ, καὶ πάντες ἀπόλωνται, νεανίαν τι-
νὰ ὀνόματι Νάρκισσον, γενναῖόν τε καὶ ἀκμαστὴν πείθουσιν εἰσελ-
θόντα τὸν Κόμμοδον ἀποπνῖξαι, μεγάλα δώσειν ἔπαθλα
ὑποσχόμενοι. ὁ δὲ, εἰσδραμὼν, παρειμένον αὐτὸν ὑπὸ τοῦ

φαρμάκου καὶ μέθης, ἀποσφίγξας τὸν τράχηλον φονεύει. τοιούτῳ μὲν τέλει βίου ὁ Κόμμοδος ἐχρήσατο, βασιλεύσας ἔτη τρισκαίδεκα μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, εὐγενέστατος τῶν πρὸ αὐτοῦ γενομένων βασιλέων, κάλλει τε τῶν καθ' ἑαυτὸν ἀνθρώπων εὐπρεπέστατος. εἰ δέ τι δεῖ καὶ περὶ ἀνδρείας εἰπεῖν, οὐδενὸς ἥττων, εὐστοχίᾳ τε καὶ εὐχειρίᾳ, εἰ μὴ τὴν τούτων εὐμοιρίαν αἰσχροῖς ἐπιτηδεύμασι κατῄσχυνεν, ὡς προείρηται. C

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας ἱστοριῶν βιβλίον δεύτερον.

ΑΝΕΛΟΝΤΕΣ δὲ τὸν Κόμμοδον οἱ ἐπιβουλεύσαντες, ὡς ἐν τῷ προτέρῳ συντάγματι τῆς ἱστορίας δεδήλωται, κρύψαι τε τὸ γενόμενον βουλόμενοι, ὡς ἂν τοὺς φυλάσσοντας τὴν βασίλειον αὐλὴν δορυφόρους λάθοιεν, εἰλίσαντές τινες στρωμνῇ τινὶ εὐτελεῖ τὸ σωμάτιον καὶ καταδήσαντες, ἐπιθέντες δυσὶν οἰκέταις τῶν πιστῶν ἑαυτοῖς, ἐκπέμπουσιν ὡς δή τι σκεῦος τῶν ἐκ τοῦ θαλάμου περιττῶν. οἱ δὲ φέροντες διὰ μέσων ἐκφέρουσι τῶν φυλάκων· ὧν οἱ μὲν, ὑπὸ μέθης ἐκραιπάλων, οἱ δὲ ἐγρηγορότες, κἀκεῖνοι εἰς ὕπνον κατεφέροντο, κατεχούσαις τε ταῖς χερσὶ τὰ δόρατα ἐπινυστάζοντο· οἱ δ' οὐ πάνυ τὸ ἐκφερόμενον τοῦ θαλάμου ὅ,τι ποτ' εἴη, ἐπολυπραγμόνουν, ἐπεὶ μηδὲ αὐτοῖς διέφερε τοῦτ' εἰδέναι. τὸ μὲν οὖν σῶμα τοῦ 368 A

βασιλέως ἔτι κλαπὲν, ἐκκομισθέν τε τῆς αὐλείου θύρας, νύ-
κτωρ ὀχήματι ἐπιθέντες, εἰς τὸ ἀρίστειον ἀπέπεμψαν. ὁ δὲ Λαῖ-
τος καὶ Ἔκλεκτος ἅμα τῇ Μαρκίᾳ τὸ πρακτέον ἐβουλεύον-
το. ἔδοξε δὲ αὐτοῖς περὶ μὲν τοῦ θανάτου φήμην ἐσπαρα-
σπεῖραι, ὅτι δὴ αἰφνιδίως τετελευτήκοι ἀποπληξίας ἐπιπεσού-
σης. καὶ γὰρ ἐνδεχομένην πίστιν ἕξειν ᾤοντο τὴν φήμην, προ-
διαβεβλημένης τῆς ἀκορέστου καὶ ὑπερβαλλούσης ἐκείνου τροφῆς.
πρὸ πάντων δὲ ἔδοξεν αὐτοῖς ἐπιλέξασθαι ἄνδρα πρεσβύτην
B τινὰ καὶ σώφρονα, τὸν διαδεξόμενον τὴν ἀρχὴν, ὅπως αὐτοί τε
σωθεῖεν, καὶ ἀπὸ τῆς πικρᾶς καὶ ἀκολάστου τυραννίδος πάντες
ἀναπνεύσωσιν. καθ' ἑαυτοὺς δὲ ἀναλογιζόμενοι, οὐδένα οὕ-
τως ἐπιτήδειον εὕρισκον ὡς Περτίνακα. ἦν δὲ ὁ Περτίναξ,
τὸ μὲν γένος, Ἰταλιώτης, ἐν δὲ πολλαῖς στρατιωτικαῖς τε καὶ πο-
λιτικαῖς ἐνδοκιμήσας πράξεσι· πολλὰ δὲ κατὰ Γερμανῶν καὶ τῶν
ὑπὸ τὴν ἀνατολὴν βαρβάρων ἐγείρας τρόπαια, μόνος τε
περιλειφθεὶς τῶν σεμνῶν πατρῴων τῷ Κομμόδῳ φίλων, ὃν
οὐκ ἀπέκτεινε, τῶν Μάρκου ἑταίρων τε καὶ στρατηγῶν ἐντιμό-
τατον γενόμενον, ἢ διὰ σεμνότητα αἰδούμενος, ἢ ὡς πένητα
C τηρήσας. ἦν γὰρ αὐτῷ καὶ τοῦτο μέρος τῶν ἐγκωμίων, ὅτι πλεῖ-
στα πάντων ἐγχειρισθεὶς, πάντων οὐσίαν εἶχεν ἐλάττονα. πρὸς
δὴ τοῦτον τὸν Περτίνακα νυκτὸς ἀκμαζούσης, πάντων τε ὕπνῳ
κατειλημμένων, ἀφικνοῦνται ὁ Λαῖτος καὶ Ἔκλεκτος ὀλίγους
τῶν συνωμοτῶν ἐπαγόμενοι. ἐπιστάντες δὲ αὐτοῦ κεκλεισμέναις
τῆς οἰκίας ταῖς θύραις, διεγείρουσι τὸν φυλάττοντα. ἀνοίξας δὲ ἐ-
κεῖνος καὶ θεασάμενος στρατιώτας ἐφεστῶτας, καὶ Λαῖτον ὃν
ἤδη ἔπαρχον ὄντα, ἐκπλαγεὶς καὶ ταραχθεὶς, ἀγγέλλει. ὁ δὲ
ἥκειν αὐτοὺς κελεύει, δεινὰ προσδοκώμενα ἑαυτῷ ἑκάστοτε
D συμβήσεσθαι φάσκων. ἐν τοσαύτῃ γοῦν αὐτὸν φασὶ μεῖναι ψυ-
χῆς ἀταραξίᾳ, ὡς μηδὲ ἀναθορεῖν τοῦ σκίμποδος, μεῖναι δὲ
ἐπὶ τοῦ σχήματος, καὶ τὸν Λαῖτον ἅμα τῷ Ἐκλέκτῳ εἰσελθόν-
τα, καίτοι δοκοῦντας ἐπὶ φόνῳ ἥκειν, προσειπεῖν τε καὶ

θαρροῦντι

θαίρουσί τε μηδὲ αἰκιάσωνται τῷ προσώπῳ,

Πάλαι μὲν, φασί, καὶ πάσης νυκτὸς τόδε τὸ τέλος τοῦ βίου εἶχον δι᾽ ἐλπίδος· μόνος τε τῶν πατρῴων ὑπολειπόμενος φίλων ἔτι, ἐθαύμαζον ἐπ᾽ ἐμοὶ Κόμμοδον βραδύνοντα. τί δὴ μέλλετε; ὑμεῖς τε γὰρ δράσετε τὸ κεκελευσμένον, ἐγώ τε πονηρᾶς ἐλπίδος καὶ φόβου συνεχοῦς ἀπαλλάξομαι. Πρὸς ταῦτα ὁ Λαῖτος, Οὐ παύσῃ, ἔφη, ἀνάξια σαυτοῦ καὶ τοῦ προβεβιωμένου σοι λέγων; οὐ γὰρ ἐπ᾽ ὀλέθρῳ τῷ σῷ ἥδε ἡμῶν ἡ ἄφιξις, ἀλλ᾽ ἐπὶ σωτηρίᾳ τῇ τε ἡμῶν αὐτῶν καὶ τῆς Ῥωμαίων ἀρχῆς. κεῖται μὲν γὰρ ὁ τύραννος, δίκην δοὺς τὴν προσήκουσαν· καὶ ἅπερ αὐτὸς ἡμᾶς δρᾶσαι διενοεῖτο, ταῦτα πρὸς ἡμῶν παθών. ἡμεῖς δὲ ἥκομέν σοι τὴν βασιλείαν ἐγχειριοῦντες, ὃν ἴσμεν προύχοντα ἐν τῇ συγκλήτῳ βουλῇ, σωφροσύνῃ βίου, μεγέθει τε ἀξιώματος καὶ ἡλικίας σεμνότητι, ποθούμενόν τε καὶ τιμώμενον ὑπὸ τοῦ δήμου. ὅθεν κἀκείνοις ἀρεστὸν, καὶ ἡμῖν σωτήριον τὸ πραττόμενον ἔσεσθαι προσδοκῶμεν. 369 A

Πρὸς ταῦτα ὁ Περτίναξ, Οὐ παύσεσθε, ἔφη, χλευάζοντες πρεσβύτην, καὶ τοσαύτην μου δειλίαν κατεγνωκότες, ὡς πρότερον ἀπατῆσαι βούλεσθε, εἶτ᾽ οὕτω φονεῦσαι; Ἀλλὰ μὴν, ἔφη ὁ Ἔκλεκτος, ἐπεὶ λέγουσιν ἡμῖν οὐ πιστεύεις, λαβὼν τουτὶ τὸ γραμματεῖον (γνωρίζεις δὲ τὴν Κομμόδου χεῖρα, οὔσης σοι τῆς ἀναγνώσεως ἐν συνηθείᾳ) ἐπίσκεψαι. οὕτω γὰρ γνώσῃ τίνα τε κίνδυνον ἐφύγομεν, καὶ ὅτι μὴ σκῆψις, ἀλλ᾽ ἀλήθεια πρόσεστι τοῖς λεχθεῖσιν. B

Ἐπιγνοὺς δὴ τὰ γεγραμμένα ὁ Περτίναξ, πεισθείς τε ἀνδράσι καὶ πρότερον αὐτοῦ φίλοις, πάντα πυθόμενος τὰ πεπραγμένα, ἐπιδίδωσιν ἑαυτόν. καὶ πρότερον ἀρέσκει προελθεῖν ἐπὶ τὸ στρατόπεδον, καὶ πεῖραν τῆς γνώμης τῶν στρατιωτῶν λαβεῖν. πίστιν δὲ αὐτοῖς ὁ Λαῖτος ὑπισχνεῖτο, ἐπείπερ αὐτῷ ἐπάρχῳ ὄντι μετρίαν ἀπένεμον αἰδῶ. συμ- C

παραλαβόντες οὖν καὶ τῶν λοιπῶν ὅσοι παρῆσαν, ἐπὶ τὸ στρατόπεδον ἠπείγοντο. ἤδη δὲ καὶ τὸ πλεῖστον τῆς νυκτὸς προκεχωρήκει, καὶ τῆς ἑορτῆς ἐνεστώσης, πρὸ ἡμέρας πάντα ἐπεπράττετο. διαπέμπουσι δή τινας τῶν πιστῶν τοὺς διαβοήσοντας ὅτι ὁ Κόμμοδος τέθνηκε μὲν, ὁ Περτίναξ δὲ εἰς τὸ στρατόπεδον βασιλεύσων ἄπεισι. διαδραμούσης δὲ τῆς φήμης, πᾶς ὁ δῆμος ἐνθουσιῶντι ἐοικὼς ἐξεβακχεύετο· διέθεόν τε, καὶ τοῖς οἰκείοις ἕκαστος χαίρων διήγγελλε,
D καὶ μάλιστα τοῖς ἐπ' ἀξιώσεως, ἢ πλουσίοις· ἐκείνοις γὰρ καὶ ἐπιβουλεύοντα ᾔδεσαν τὸν Κόμμοδον. ἔθεόν τε πρός τε τὰ ἱερὰ καὶ βωμοὺς, θεοῖς χάριτας ὁμολογοῦντες. ἐβόων δὲ διάφορα· οἱ μὲν, κεῖσθαι τὸν τύραννον λέγοντες· οἱ δὲ, τὸν μονομάχον, ἄλλοι δὲ, ἀπρεπέστερα βλασφημοῦντες. καὶ ὅσα πρότερον ἐπῆγεν ὁ φόβος ῥήματα, ταῦτα προσελθούσης ἀδείας, καὶ ἐλευθερίας, ῥᾳδίως ἐλέγετο. τὸ πλεῖ-
370 στον δὲ τοῦ δήμου συνέθει δρόμῳ, καὶ ἐπὶ τὸ στρατόπεδον ἠ-
A πείγετο, τοῦτο μάλιστα δεδιότες, μήπως ἄρα οἱ στρατιῶται ὀκνηρότερον ἐπακούσωσι τῇ Περτίνακος ἀρχῇ. ἐσομένην γὰρ σώφρονα, μὴ πάνυ τι ἀποδέξασθαι τοὺς στρατιώτας προσεδόκων, τυραννίδι δουλεύειν εἰθισμένους, ἁρπαγαῖς τε καὶ βίαις ἐγγεγυμνασμένους. ἵν' οὖν αὐτοὺς ἐκβιάσαιντο ὑπακοῦσαι, πανδημεὶ συνῆλθον. ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ στρατοπέδῳ, ὁ Λαῖτός τε καὶ Ἔκλεκτος εἰσῆλθον ἄγοντες τὸν Περτίνακα, συγκαλέσας τοὺς στρατιώτας ὁ Λαῖτος, ἔλεξε τοιάδε,

Κόμμοδος μὲν ἡμῖν ὁ βασιλεὺς τέθνηκεν ἀποπληξίᾳ· αἴτιος δὲ τοῦ τοιούτου θανάτου οὐκ ἄλλος, ἀλλ' αὐτὸς αὑτῷ.
B συμβουλευόντων γὰρ ἡμῶν αἰεὶ τὰ ἄριστα καὶ σωτήρια, οἷς μὴ πειθόμενος, βιοὺς δὲ ὡς οὐκ ἀγνοεῖτε, ὑπὸ πλήθους ἀποπνιγεὶς, διεφθάρη. τὸ μὲν οὖν κατέλαβε τέλος τὸ πεπρωμένον. οὐδὲ γὰρ μία οὐδ' ἡ αὐτὴ πᾶσιν ἀνθρώποις

θανάτου αἰτία· διάφοροι δὲ οὖσαι, εἰς ἓν τέρμα βίου συνέ-
πλευσαν. ἀλλ' ἀντ' ἐκείνου γὰρ ὑμῖν ἄγομεν ἡμεῖς τε καὶ ὁ
δῆμος Ῥωμαίων ἄνδρα τὴν μὲν ἡλικίαν, σεμνόν, τὸν δὲ
βίον, σώφρονα· ἀρετῆς δὲ τῆς ἐν ἔργοις ἔμπειρον. ὧν οἱ μὲν
πρεσβύτεροι, καὶ τῶν στρατιωτικῶν, αὐτοῦ παρατάξεων ἐπει-
ράθητε, οἱ δὲ λοιποὶ τῆς πόλεως ἐπάρχοντα τοσούτων ἐτῶν
ἀεὶ διὰ τιμῆς τε καὶ θαύματος ἔσχετε. δίδωσί τε ἡμῖν ἡ τύ- C
χη οὐ βασιλέα μόνον, ἀλλὰ καὶ πατέρα χρηστόν. εὐφρα-
νεῖ δὲ ἡ τοῦδε ἀρχὴ οὐ μόνον ὑμᾶς τοὺς ἐνταῦθοι δορυφοροῦν-
τας, ἀλλὰ καὶ τοὺς ἐπὶ ταῖς ὄχθαις τῶν ποταμῶν, καὶ τοὺς
ἐπὶ τοῖς ὅροις τῆς Ῥωμαίων ἀρχῆς ἱδρυμένους, οἳ τὴν πεῖ-
ραν αὐτοῦ τῶν ἔργων φέρουσι διὰ μνήμης. τό, τε γὰρ βάρβα-
ρον οὐ χρήμασιν ἔτι θεραπεύσομεν, πείρᾳ δὲ ὧν πρὸς αὐ-
τοῦ πεπόνθασι στρατηγοῦντος, φόβῳ ὑποτάξοι). Τοιαῦτα
δὴ λέγοντος τοῦ Λαίτου, μὴ καρτερῶν ἑαυτὸν ὁ δῆμος, μελ-
λόντων δὲ ὀκνούντων ἔτι τῶν στρατιωτῶν, σεβαστόν τε ἀναγο- D
ρεύει, καὶ πατέρα καλεῖ, πάσαις τε γεραίρει εὐφημίαις. τότε
δὲ οἱ στρατιῶται οὐχ ὁμοίᾳ μὲν προθυμίᾳ, τῇ δὲ ἐκ τοῦ πα-
ρόντος πλήθους ἀνάγκῃ (καὶ γὰρ ἦσαν πανταχόθεν ὑπὸ τοῦ δή-
μου περιειλημμένοι, ὀλίγοι τε καὶ ἄνευ τῶν ὅπλων, ὡς ἐν ἱερο-
μηνίᾳ) τὴν συνεξεβόησαν, καὶ σεβαστὸν προσεῖπον τὸν Περτί-
νακα· εἴς τε τὸ ἐκείνου ὄνομα τοὺς συνήθεις ὅρκους ὀμόσαν-
τες, καὶ θύσαντες, δαφνηφοροῦντες πᾶς ὁ δῆμος καὶ τὸ στρατιω- 371
τικὸν ἐπίσημον ἱδρύθη ἐν τῇ βασιλείῳ ἑστίᾳ (τῶν τε στρατιωτῶν A
καὶ τοῦ δήμου, ὡς προείρηται, κύκλῳ ἀναγαγόντων) φροντίσι
μεγίσταις τὴν γνώμην ἐταράττετο. πάνυ τε αὐτόν, (καίτοι δο-
κοῦντα ψυχῆς εἶναι ἐρρωμένης καὶ πρὸς πάντα ἀνδρεῖον) τὰ
παρόντα ἐφόβει, οὐχ οὕτω προνοίᾳ τῆς ἑαυτοῦ σωτηρίας,
(κινδύνων γὰρ καὶ μειζόνων πολλάκις ἦν καταφρονήσας) ἐ-
λογίζετο δὲ τήν τε αἰφνίδιον τῆς τυραννίδος μεταβολήν, τήν
τε ἐν τῇ συγκλήτῳ βουλῇ τινῶν ἀρίστων, οὓς ὑπώπτευεν ἴσω

αἰσχυνομένους, μετὰ βασιλέα εὐγενέστατον, τὴν ἀρχὴν μεταπεσοῦσαν εἰς ἄνδρα ἐξ ἰδιωτικοῦ καὶ ἀσήμου γένους ἐπὶ τοῦτο ἐλθόντα. εἰ γὰρ καὶ ὁ βίος αὐτῷ διὰ σωφροσύνην

B ἐπῃνεῖτο, καὶ τὰ ἐν ταῖς στρατιωτικαῖς πράξεσιν ἦν εὐκλεῆ, ἀλλ' ὅσον εὐγενείας χάριν, πολὺ τῶν εὐπατριδῶν ἀπελείπετο. ἡμέρας οὖν καταλαβούσης, κατῆλθεν ἐπὶ τὸ συνέδριον τῆς βουλῆς, οὔτε τὸ πῦρ ἐάσας ἑαυτοῦ προπομπεῦσαι, οὔτε τι ἄλλο τῶν βασιλικῶν συμβόλων εἰς ὕψος ἀρθῆναι, πρὶν ἢ μαθεῖν τὴν γνώμην τῆς συγκλήτου βουλῆς. ἐπεὶ δὲ αὐτὸν ἅμα τῷ ἐπιφανῆναι πάντες ὁμοθυμαδὸν εὐφήμησαν, σεβάσμιόν τε καὶ βασιλέα προσηγόρευσαν. ὁ δὲ τὰ μὲν πρῶτα, παρῃτεῖτο τῆς ἀρχῆς τὸ ἐπίφθονον· γῆράς τε προϊσχόμενος, συγγνώμης ἐδεῖτο· εἶναί τε πολλοὺς εὐπατρίδας ἔφασκεν, οἷς ἡ βασιλεία μᾶλ-

C λον ἁρμόζει. καὶ λαβόμενος τῆς χειρὸς Γλαβρίωνος, εἷλκεν αὐτὸν, καθίζεσθαι κελεύων ἐπὶ τοῦ βασιλείου θρόνου. ἦν δὲ ἐκεῖνος εὐγενέστατος μὲν πάντων εὐπατριδῶν· ἀνέφερε γοῦν εἰς Αἰνείαν τὸν Ἀφροδίτης καὶ Ἀγχίσου τὴν τοῦ γένους διαδοχήν· ἔτι δὲ καὶ τὴν ὕπατον ἀρχὴν τελέσας δεύτερον. ὁ δὲ, Ἀλλ' αὐτός τε (ἔφη) ἐγὼ ὃν σὺ νομίζεις πάντων ἀξιώτατον, σοί τε τῆς ἀρχῆς παραχωρῶ, καὶ πᾶσαν τὴν ἐξουσίαν ἐγὼ καὶ οἱ λοιποὶ πάντες ψηφιζόμεθά σοι διδόντες. τότε δὲ πάντων αὐτὸν ἐκβιαζομένων ἐκλιπαρη-

D σάντων τε, ὀκνῶν καὶ μόλις ἀνελθὼν ἐπὶ τὸν βασίλειον θρόνον, ἔλεξε τοιάδε,

Τὸ πάνυ δεξιὸν ὑμῶν τῆς πρός με τιμῆς, καὶ τὸ τῆς σπουδῆς ὑπερβάλλον, ἐπίλεκτόν τε εἰς πρόκρισιν τοσαύτης παρ' ὑμῶν εὐγενείας, οὐκ ἔχον κολακείας ὑποψίαν, ἀλλὰ δεῖξιν καὶ πίστιν εὐνοίας, ἄλλῳ μὲν ἄν τῳ θάρσος καὶ προθυμίαν ἐνέβαλεν, εἰς τὸ ἑτοίμως δέξασθαι τὰ ἐγκεχειρισμένα, ἐλπίδα τε ῥᾳστώνης ὑπέφηνεν ἄν, ὡς εὐμαρῶς

τὴν ἀρχὴν διοίσοντα ἐν ἀρχομένοις οὕτως εὐνοοῦσιν· ἐμοὶ
δὲ ταῦτα μεγάλα ὄντα καὶ ἐξαίρετα, τιμῆς τε αἰσθήσει ἐκ- 372
πλήττει, δέος τε καὶ ἀγῶνα οὐ μικρὸν ἐμποιεῖ. μεγάλων A
γὰρ εὐεργεσιῶν προϋπαρχουσῶν, τὸ ἰσότιμον δυσέφικτον. δὴ
ἐν ταῖς ἀμοιβαῖς, καὶ μικρὰ μὲν λαβοῦσιν ἀποδοῦναι μεῖ-
ζον, οὐχ οὕτως εὐμαρὲς ὡς ἀχάριστον δοκεῖν· ἐπειδὰν
δ' αὖ ὁ προλαβών τι δράσας ἀγαθὸν, ἀνυπέρβλητον κατα-
θῆται χάριν, τὸ μὴ κατ' ἀξίαν ἀποδοθὲν, οὐχ οὕτω δυσπό-
ριστον, ὡς ἀναίσθητον ἅμα καὶ ἀχάριστον ὀνομάζεται. ὁρῶ
δὴ οὐ τὸν τυχόντα μοι ἐπηρτημένον ἀγῶνα, πρὸς τὸ ἄξιον B
ἐμαυτὸν παρασχεῖν τῆς τοσαύτης παρ' ὑμῶν τιμῆς. οὐ γὰρ ἐν
τῇ καθέδρᾳ ἡ προεδρία, ἀλλ' ἐν τοῖς ἔργοις, εἴ τις αὐτὴν
μὴ καταισχύνοι. ὅσῳ δὲ τὰ γενόμενα ὡς φαῦλα μισεῖται,
τοσούτῳ τὰ μέλλοντα, ὡς ἀγαθὰ μεγάλως ἐλπίζεται. καὶ
τὰ μὲν δεινὰ τῶν ἔργων, ἀεὶ μνημονεύεται· (τὸ γὰρ λυπῆσαν,
δυσεξάλειπτον·) τὰ δὲ χρηστὰ, ἅμα τῇ ἀπολαύσει, καὶ τὴν
περὶ αὐτῶν μνήμην συναναλίσκει. ἐπεὶ μὴ ὁμοίως εὐ-
φραίνει ἐλευθερία, ὡς λυπεῖ δουλεία. οὐδὲ τις ἀδεῶς τὰ
ἑαυτοῦ ἔχων, ἐν χάριτος μοίρᾳ τίθεται, τὰ ἴδια καρποῦσθαι C
νομίζων. ὁ δὲ τῶν οἰκείων στερηθεὶς, αἰώνιον ἔχει τὴν μνή-
μην τοῦ λελυπηκότος, οὐδ' εἴ τις εἰς τὸ κοινὸν χρηστὴ γένοι-
το μεταβολὴ, αὐτός τε ἐς πλεῖον νομίζοι καρποῦσθαι. ἐπεὶ τῶν
μὲν δημωφελοῦς καὶ κοινῇ διαφέροντος ὀλίγη τοῖς καθ'
ἕνα φροντίς· τὸ δὲ καθ' αὑτὸν ἕκαστος εἰ μὴ κατὰ γνώμην
προχωροίη, οὐδέν τι μέγα ὠφελεῖσθαι νομίζει. οἵ τε εἰθι-
σμένοι ταῖς τῆς τυραννίδος ἀκρίτοις καὶ ἀφειδέσι μεγα-
λοδωρεαῖς ἐντρυφᾶν, τὴν εἰς τὸ σωφρονέστερον καὶ μεμε-
τρημένον, διὰ σπάνιν χρημάτων, μεταβολὴν, οὐ φιλοσώ-
φρονα, οὐδὲ σύμμετρον καὶ κεκριμένην διοίκησιν ὀνομά-
ζουσιν, ἀλλὰ μικρολογίαν καὶ ἀθλιότητα βίου ὀνειδίζουσιν· D
οὐκ εἰδότες ὅτι τὸ μὲν μεγάλα καὶ ὡς ἔτυχε χαρίζεσθαι, ἐκ

αὖ περιγένοιτο εἰ μὴ ἐκ τοῦ ἁρπάζειν καὶ βιάζεσθαι· τὸ δὲ
λογισμῷ πάντα καὶ κατ' ἀξίαν ἑκάστου νέμειν, αὐτό τε
δεινόν τι δρᾶσαι, μὴ παρέχον ἄδικον ἀπορίας χρημάτων,
διδάσκει φειδὼ σώφρονα τῶν καλῶς πορισθέντων. ταῦ-
τα δὴ ὑμᾶς ἐγνωκότας χρὴ συναίρεσθαι, καὶ κοινὴν τῆς
ἀρχῆς τὴν διοίκησιν νομίζοντας, ἀριστοκρατίαν τε ἀλλ' οὐ
373 τυραννίδα ὑπομνημονοῦντας, αὐτούς τε ἀγαθὰς ἔχειν ἐλ-
Δ πίδας, καὶ πᾶσι τοῖς ἀρχομένοις ταῦτα ὑπισχνεῖσθαι.
Τοιαῦτα ὁ Περτίναξ εἰπὼν, ὑπερήρεσέ τε τὴν σύγκλητον
βουλὴν, καὶ πρὸς πάντων εὐφημισθεὶς, πάσης τε τι-
μῆς καὶ αἰδοῦς παρ' αὐτῶν τυχὼν, ἔς τε τὸν τοῦ Διὸς
νεὼν καὶ τὰ λοιπὰ ἱερὰ πεμφθεὶς, τάς τε ὑπὲρ τῆς βασι-
λείας θυσίας τελέσας, εἰς τὴν βασίλειον ἐπανῆλθεν αὐλήν.
ἐπεὶ δὲ διεφοίτησεν ἡ φήμη τῶν τε λεχθέντων ὑπ' αὐτοῦ
ἐν τῇ συγκλήτῳ, καὶ τῶν πρὸς τὸν δῆμον γραφέντων, ὑ-
περήδοντο πάντες, σεμνὸν καὶ ἤπιον ἄρχοντα, καὶ πατέρα
οὐ βασιλέα ἕξειν ἐλπίζοντες. τούς τε γὰρ στρατιώτας ἐκέλευ-
B σε παύσασθαι τῆς πρὸς τοὺς δημότας ὕβρεως, καὶ μήτε
πλήσσειν τινὰ τῶν παριόντων. ἔς τε τὸ κόσμιον καὶ εὔτακτον
μετάγειν πάντα ἐπειρᾶτο, ἔν τε ταῖς προόδοις καὶ τοῖς
δικαστηρίοις πρᾶον καὶ ἥμερον ἦθος ἐπεδείκνυτο. καὶ τῆς
Μάρκου ἀρχῆς ζήλῳ τε καὶ μιμήσει, τοὺς μὲν πρεσβυτέρους
ὑπομιμνήσκων εὔφραινε, τοὺς δ' ἄλλους πάντας ἐξ ὠ-
μῆς καὶ ἐφυβρίστου τυραννίδος, εἰς σώφρονα καὶ ἀμέρι-
μνον βίον μεταχθέντας, ῥᾷστα εἰς εὔνοιαν ᾠκειώσατο. τῆς
τε ἡμέρου ἀρχῆς ἡ φήμη διαθέουσα πάντα ἔθνη καὶ πάντα
στρατόπεδα, ὅσα τε Ῥωμαίοις ὑπήκοα καὶ ὅσα φίλα, ἐκ-
C θειάζειν αὐτοῦ τὴν ἀρχὴν ἔπειθεν. ἀλλὰ μὴν καὶ τῶν βαρ-
βάρων ὅσοι πρότερον ἀνωμάλιζον ἢ ἐστασίαζον, φόβῳ τε καὶ
μνήμῃ τῆς ἐν ταῖς προτέραις αὐτοῦ στρατείαις ἀρετῆς, πί-
στει τε γνώμης, ὅτι μηδένα ἑκὼν ἀδικήσει ποτὲ, ἑκάστῳ τὸ

κατ' ἀξίαν ἀπονέμων, χάριτος ἀπρεποῦς καὶ βίας ὠμῆς
ἀλλότριος, ἑκόντες αὐτῷ προσεχώρουν. πρεσβεῖαί τε παν-
ταχόθεν ἀφικνοῦντο, συνηδομένων ἁπάντων τῇ Ῥωμαίων
ὑπὸ Περτίνακι ἀρχῇ. οἱ μὲν οὖν ἄλλοι πάντες ἄνθρωποι,
καὶ κοινῇ καὶ ἰδίᾳ, τῷ εὐτάκτῳ καὶ ἠμέρῳ τῆς βασιλείας D
ἔχαιρον. ὃ δὲ πάντας εὔφραινε, τοῦτο μόνους ἐλύπει τοὺς ἐν
τῇ Ῥώμῃ στρατιώτας, οἳ δορυφορεῖν εἰώθασι τοὺς βασιλέας.
κωλυόμενοι γὰρ ἁρπάζειν τε καὶ ὑβρίζειν, εἴς τε τὸ εὔτακτον
καὶ κόσμιον ἀνακαλούμενοι, τὸ πρᾶον καὶ ἥμερον τῆς ἀρ-
χῆς, ὕβριν αὐτῶν καὶ ἀτιμίαν, καθαίρεσίν τε τῆς αὐτῶν
ἐξουσίας νομίζοντες, τὴν τῆς ἀρχῆς οὐκ ἔφερον εὐταξίαν,
ἀλλὰ τὰ μὲν πρῶτα κατ' ὀλίγον ὀκνηρούς τε καὶ ἀπει-
θεῖς αὐτοὺς τοῖς κελευομένοις παρεῖχον· τὸ δὲ τελευταῖον, 374
οὔπω ὅλων μηνῶν δύο τῆς βασιλείας αὐτῷ προκεχωρη- A
κυίας, ἐπιδειξαμένου τε ἐν ὀλίγῳ χρόνῳ πολλὰ σώφρονα καὶ
χρηστὰ ἔργα, ἐλπίδων τε ἀγαθῶν τοῖς ἀρχομένοις ὑποφαι-
νομένων, ἐβάσκηνε πάντα καὶ ἀνέτρεψε πονηρὰ τύχη, ἐ-
κώλυσέ τε θαυμαστὰ καὶ ἐπωφελῆ τοῖς ὑπηκόοις ἔργα εἰς
τέλος ἀχθῆναι. πρῶτον μὲν γὰρ πᾶσαν τήν τε Ἰταλίαν,
καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν ἀγεώργητόν τε καὶ παντάπα-
σιν οὖσαν ἀργόν, ἐπέτρεψεν ὁπόσην τις βούλεται καὶ δύ-
ναται, εἰ καὶ βασιλέως κτῆμα εἴη, καταλαμβάνειν ἐπι-
μεληθέντι τε καὶ γεωργήσαντι, δεσπότην εἶναι. ἔδωκέ τε
γεωργοῦσιν ἀτέλειαν πάντων εἰς δέκα ἔτη, καὶ διὰ παν-
τὸς δεσποτείας ἀμεριμνίαν. τοῖς τε βασιλικοῖς κτήμασιν B
ἐκώλυσεν αὑτοῦ τὸ ὄνομα ἐπιγράφεσθαι, εἰπὼν αὐτὰ οὐκ
ἴδια τοῦ βασιλεύοντος εἶναι, ἀλλὰ κοινὰ καὶ δημόσια τῆς Ῥω-
μαίων ἀρχῆς. τέλη τε πάντα πρότερον ἐπὶ τῆς τυραννί-
δος εἰς ἀπορίαν χρημάτων ἐπινοηθέντα, ἐπί τε ὄχθαις πο-
ταμῶν, καὶ λιμέσι πόλεων, ἔν τε ὁδῶν πορείαις, καταλύ-
σας, εἰς τὸ ἀρχαῖον καὶ ἐλεύθερον ἀφῆκεν. ἐμέλλησε

δ' αὖ ἔτι καὶ πλείονα, ὥς γε τὰ τῆς προαιρέσεως ἐνεδεί-
κνυτο. ἀνεργατήσιν τοῖς ὑπηκόοις. ἐπεὶ καὶ τοὺς συκοφάν-
τας τῆς πόλεως ἦν διώξας, καὶ τοὺς πανταχοῦ ἦν κολα-
σθῆναι κελεύσας, τῷ μηδένα ἐπηρεάζεσθαι, μήτε μα-
C ταίοις ἐγκλήμασι περιπίπτειν προνοούμενος. ἐν ἀδείᾳ τε καὶ
μακαρίῳ βίῳ ἥ τε σύγκλητος μάλιστα καὶ οἱ λοιποὶ πάντες
βιώσεσθαι προσεδόκων. οὕτω γὰρ μέτριος καὶ ἰσότιμος
ἦν, ὡς καὶ τὸν υἱὸν αὐτοῦ ἤδη μειράκιον ὄντα, μήτε εἰς
τὴν βασίλειον αὐλὴν ἀναγαγεῖν, ἀλλ' ἔν τε τῇ πατρῴᾳ
μένειν οἰκίᾳ, καὶ εἰς τὰ συνήθη προϊόντα διδασκαλεῖα
καὶ γυμνάσια, ἰδιωτεύοντα, ὁμοίως τοῖς λοιποῖς παιδεύε-
σθαί τε καὶ πάντα πράττειν, οὐδαμοῦ τῦφον ἢ πομπὴν
παρεχόμενον βασιλικήν. τοιαύτης δὲ εὐνομίας καὶ εὐ-
D ταξίας κατεχούσης τὸν βίον, μόνοι οἱ δορυφόροι, ἀσχάλλον-
τες μὲν ἐπὶ τοῖς παροῦσι, ποθοῦντες δὲ τὰς ἐπὶ τῆς προ-
ηγουμένης τυραννίδος ἁρπαγάς τε καὶ βίας, ἔν τε ἀσω-
τίαις καὶ κραιπάλαις, ἐβουλεύσαντο ἀποσκευάσασθαι
τὸν Περτίνακα, ὡς ὄντα αὐτοῖς βαρὺν καὶ ἐπαχθῆ· ζητῆ-
σαι δέ τινα τὸν πάλιν αὐτοῖς ἄνετον καὶ ἀκόλαστον παρέ-
ξοντα ἐξουσίαν. αἰφνιδίως τοίνυν οὐδενὸς προσδοκῶν-
τος, ἀλλὰ πάντων ἐν ἡσυχίᾳ διατριβόντων, θυμῷ καὶ
375 ἀλόγῳ ὁρμῇ τοῦ στρατοπέδου δρόμῳ φερόμενοι αὐτοί, ἡμέ-
A ρας ἀκμαζούσης, ἐπεισῆλθον τοῖς βασιλείοις, τά τε δό-
ρατα διατεινάμενοι καὶ τὰ ξίφη σπασάμενοι. τῷ δὲ πα-
ραδόξῳ τοῦ ἔργου καὶ ἀνελπίστῳ οἱ ἐν τῇ βασιλείῳ ὑπη-
ρεσίᾳ ταραχθέντες, ὀλίγοι τε πρὸς πολλούς, καὶ ἄνοπλοι
πρὸς ὡπλισμένους οὐκ ἔμενον, ἀλλ' ἕκαστος ἣν ἐνεχείριστο
φρουρὰν, λιπὼν, ἢ ἐπὶ τῇ αὐλείῳ ἢ ἐπὶ ταῖς λοιπαῖς εἰσ-
όδοις, ἔφευγον. ὀλίγοι δέ τινες τῶν εὐνοούντων, διαγγεί-
λαντες τῷ Περτίνακι τὴν ἔφοδον, συνεβούλευον φυγεῖν, τῇ
τε τοῦ δήμου βοηθείᾳ ἑαυτὸν ἐπιδοῦναι. ὁ δέ, καὶ τοῖς

συμβουλεύουσιν αὐτῷ πρὸς τὸ παρὸν ὠφέλιμα μὴ πει-
σθεὶς, ἀπρεπῆ δὲ καὶ ἀνελεύθερα, βασιλείας τε ἀνάξια
καὶ τῶν προβεβιωμένων αὐτῷ καὶ πεπραγμένων νο-
μίσας, φυγεῖν μὲν ἢ λαθεῖν οὐκ ἠθέλησεν· ὁμόσε δὲ χωρή- B
σας τῷ πράγματι, προῆλθεν ὡς διαλεξόμενος αὐτοῖς,
ἐλπίσας πείσειν τε αὐτοὺς, καὶ παύσειν τῆς ἀλόγου εἰς τὸ
παρὸν ὁρμῆς. καὶ δὴ τοῦ δωματίου προελθὼν, ὑπαντώ-
μενος αὐτοῖς πυνθάνεσθαί τε ἐπειρᾶτο τὰς αἰτίας τῆς ὁρ-
μῆς, πείθειν τε ἐπεχείρει μὴ ἐνθουσιασμένως, ἔτι ἐν σώ-
φρονι καὶ σεμνῷ σχήματι καὶ τηρῶν τὸ τοῦ βασιλέως ἀξίω-
μα, οὐδέν τι καταπεπληχότος, οὐδὲ καταδειλιῶντος, καὶ ἱκε-
τεύοντος σχῆμα ἐνδεικνύμενος.

Τὸ μὲν ἐμὲ, ἔφη, πρὸς ὑμῶν ἀναιρεθῆναι, οὐδέν τι μέγα C
ἢ βαρὺ πρεσβύτῃ εἰς μακρὸν γῆρας ἐνδόξως ἐλάσαντι·
παντὶ γὰρ ἀνθρώπων βίῳ ἀνάγκη τέλος ἐπιτεθῆναι. τὸ δὲ
ὑμᾶς φύλακας καὶ φρουροὺς δοκοῦντας βασιλέως, καὶ τοὺς
ἔξωθεν κινδύνους ἀπείργοντας, αὐτοὺς γενέσθαι φονέας,
καὶ μὴ μόνον ἐμφυλίῳ, ἀλλὰ καὶ βασιλείῳ μιᾶναι τὰς δε-
ξιὰς αἵματι, ὁρᾶτε μὴ πρὸς τὸ νῦν ἀνόσιον, καὶ ὕστερον ὑ-
μῖν ἐπικίνδυνον ᾖ. οὐ γάρ τι ἐμαυτῷ σύνοιδα λυπήσαντι
ὑμᾶς. εἰ δὲ καὶ ἐπὶ τῇ Κομμόδου τελευτῇ δυσχεραίνε-
τε, οὐδὲν παράδοξον, ἄνθρωπον ὄντα εἰ τελευτὴ κατέλα- D
βεν. εἰ δὲ τοῦτο ἐξ ἐπιβουλῆς οἴεσθε γεγενῆσθαι, οὐκ ἐμὸν
τὸ ἁμάρτημα. ἴστε γὰρ ἔξω πάσης ὄντα με ὑποψίας, καὶ οὐ-
δὲν ἧττον ὑμῶν ἀγνοοῦντα τὰ τότε πεπραγμένα, ὡς, εἴ τι
ὑπωπτεύετε, ἑτέροις ὑποφέρειν τὸ ἔγκλημα. ἀλλ' ὅμως
τελευτήσαντος κἀκείνου, οὐδὲν ὑμῖν τῶν ἀπρεπῶς καὶ κατ'
ἀξίαν, καὶ ἄνευ τοῦ βιάζεσθαί με ἢ ἁρπάζειν, ἐνδεήσει.

Τοιαῦτά τινα λέγειν αὐτοῖς πειρώμενος, ἤδη τινὰς αὐτῶν
καὶ πείσειν ἔμελλεν· καὶ οὐκ ὀλίγοι γε ἀποστραφέντες ἀνε- 376
χώρουν, σεμνοῦ βασιλέως γῆρας αἰδούμενοι. ἔτι δὲ λα- A

λοιῶντα τὸν πρεσβύτην ἐπιπεσόντες φονεύουσι. δρά-
σαντές τε οὕτως ὠμὸν ἔργον, δέει τῶν τετολμημένων φθά-
σαι θέλοντες τὴν τοῦ δήμου ἔφοδον, ἐπιστάμενοί τε ὅτι χα-
λεπῶς τὸ πλῆθος διοίσει τὰ πεπραγμένα, εἰς τὸ στρατόπε-
δον δρόμῳ ἀναχωρήσαντες, ἐντὸς τείχους ἔμενον, φρουρὰς
ἐπὶ τῶν πύργων καταστήσαντες, ὡς ἀμύνοιντο, εἰ τοῖς τείχε-
σι προσβάλλοι ὁ δῆμος. τέλος μὲν δὴ τοιοῦτον κατέλαβε Περ-
τίνακα χρησάμενον βίῳ καὶ προαιρέσει ὡς προείρηται.
ἐπειδὴ δὲ διεφοίτησεν εἰς τὸν δῆμον ἡ τοῦ βασιλέως ἀναίρε-
σις, ταραχή τε καὶ πένθος πάντας κατεῖχε. διέθεόν τε ἐν-
B θουσιῶσιν ἐοικότες. κίνησίς τε ἄλογος κατεῖχε τὸν δῆμον,
ζητούντων τοὺς δράσαντας, μήτε δὲ εὑρεῖν μήτε ἀμύνασθαι
δυναμένων. μάλιστά τε δεινῶς ἔφερον τὸ πεπραγμένον,
καὶ συμφορὰν κοινὴν ἐτίθεσαν οἵ τε τὴν σύγκλητον βουλὴν
νέμοντες, πατέρα τε ἤπιον καὶ χρηστὸν προστάτην ἀπο-
βαλόντες· πάλιν τε τυραννίδος ἦν δέος, ἐπὶ τούτῳ χαί-
ρειν τοὺς στρατιώτας ἤλπιζον. μιᾶς δή που καὶ δευτέρας ἡ-
μέρας διαδραμούσης, οἱ μὲν δημόται, ἕκαστος τὸ καθ'
αὑτὸν δεδιὼς ὑπανεχώρει. οἵ τε ἐν ἀξιώσει ὄντες, εἰς τὰ
πορρωτάτω τῆς πόλεως κτήματα ἀπεδίδρασκον, ὅπως
C ἂν μή τι δεινὸν ἐκ τῆς ἐσομένης ἀρχῆς παρόντες πάθοιεν.
οἱ δὲ στρατιῶται ἐπεὶ τόν τε δῆμον ἡσυχάζοντα ἔγνωσαν,
μήτ' ἄλλον τολμῶντα ἐπεξελθεῖν τῷ τοῦ βασιλέως αἵματι,
ἔμενον μὲν ἐντὸς τοῦ τείχους κατακλείσαντες ἑαυτούς· ἀ-
ναγαγόντες δὲ τοὺς εὐφωνοτάτους ἑαυτῶν ἐπὶ τὸ τεῖχος,
προσεκήρυττον ὤνιον τὴν βασιλείαν· τῷ τε πλεῖον ἀργύ-
ριον δώσοντι ἐγχειριεῖν ὑπισχνοῦντο τὴν ἀρχὴν, καὶ διὰ
τῶν ὅπλων αὐτὸν ἀνάξειν ἀδεῶς εἰς τὴν βασίλειον αὐλήν.
ἐπεὶ δὲ τὸ κήρυγμα διεφοίτησεν, οἱ μὲν σεμνότεροί τε καὶ
ἀσφαλέστεροι τῆς συγκλήτου βουλῆς, ὅσοι τε εὐπατρίδαι, ἢ
D ἔτι πλούσιοι, (λείψανα ὀλίγα τῆς Κομμόδου τυραννίδος)

οὔτε προσῆλθον τῷ τείχει, οὔτε ἀπρεπῆ καὶ ἐπονείδιστον
χρήμασι κτήσασθαι τὴν ἀρχὴν ἠθέλησαν· Ἰουλιανῷ δέ τι-
νι ἤδη μὲν τὴν ὕπατον τετελεκότι ἀρχήν, δοκοῦντι δὲ ἐν
εὐπορίᾳ χρημάτων εἶναι, ἑστιωμένῳ δὲ περὶ δείλην ἑσπέ-
ραν, διηγγέλθη τὸ στρατιωτικὸν κήρυγμα παρὰ μέθην
καὶ κραιπάλην· ἦν γὰρ καὶ τῶν ἐπὶ βίῳ μὴ σώφρονι
διαβεβλημένων. πείθουσιν οὖν αὐτὸν ἥ τε γυνὴ καὶ ἡ θυ-
γάτηρ, καὶ τὸ τῶν παρασίτων πλῆθος, ἀναθοροῦντα τοῦ
σκίμποδος δραμεῖν ἐπὶ τὸ τεῖχος, καὶ τὸ πραττόμενον μα-
θεῖν· παρά τε πᾶσαν τὴν ὁδὸν συμβουλεύοντες ἐρριμμέ-
νην τὴν ἀρχὴν ἁρπάσαι· ἀφειδῶς δὲ χρημάτων ἔχον- 377
τα, μεγαλοδωρείᾳ ἅπαντας ὑπερβαλεῖν, εἰ καί τινες ἀμ- A
φισβητοῖεν. ἐπεὶ δ' οὖν τῷ τείχει προσῆλθεν, ἐβόα τε
πάντα δώσειν ὅσα βούλονται, ὑπισχνούμενος, παρεῖ-
ναί τε αὐτῷ παμπλεῖστα χρήματα καὶ θησαυροὺς χρυ-
σοῦ καὶ ἀργύρου πεπληρωμένους ἔλεγε. κατὰ δὲ τὸν αὐ-
τὸν καιρὸν καὶ Σουλπικιανός, καὶ αὐτὸς ἀνὴρ τῶν ὑπα-
τευκότων, ἔπαρχός τε τῆς πόλεως γενόμενος, (πατὴρ δὲ
ἦν τῆς Περτίνακος γυναικὸς) ἧκε τὴν ἀρχὴν ὠνούμενος.
ἀλλὰ τοῦτον μὲν οὐ προσήκαντο φοβηθέντες οἱ στρατιῶ-
ται τὴν πρὸς τὸν Περτίνακα συγγένειαν, μή τις ἄρα δό-
λος εἴη εἰς τὸ ἐκδικηθῆναι τὸν ἐκείνου φόνον· καθέντες δὲ
κλίμακα, τὸν Ἰουλιανὸν ἐπὶ τὸ τεῖχος ἀνεβίβασαν. οὐ γὰρ
πρότερον ἀνοῖξαι τὰς πύλας ἤθελον πρὶν ἢ τὴν ποσότη- B
τα τῶν δοθησομένων χρημάτων μαθεῖν. ὁ δ' ἀνελθών, τήν
τε Κομμόδου μνήμην αὐτοῖς καὶ τὰς τιμὰς καὶ τὰς εἰκό-
νας ἃς ἡ σύγκλητος καθεῖλεν, ἀνανεώσασθαι ὑπέσχετο,
καὶ πάντων δώσειν ἐξουσίαν ὧν εἶχον ἐπ' ἐκείνου. ἑκάστῳ
τε στρατιώτῃ τοσοῦτον ἀργύριον ὅσον μήτε αἰτῆσαι μήτε λή-
ψεσθαι προσεδόκησαν· τὰ δὲ χρήματα μὴ μελλήσειν, ἀλλ'
οἴκοθεν ἤδη μεταπέμψεσθαι. τούτοις ἀναπεισθέντες

οἱ στρατιῶται, καὶ ταύταις ἀρθέντες ταῖς ἐλπίσιν, αὐτοκράτορά τε τὸν Ἰουλιανὸν ἀναγορεύουσι, καὶ πρὸς τῷ οἰκείῳ ἐκ-
C γόνοις ὀνόματι, Κόμμοδον ἀξιοῦσιν ἀποκαλεῖσθαι. τά τε σημεῖα ἄραντες, καὶ τὰς ἐκείνου εἰκόνας ἀποκαταστήσαντες, προπέμπειν ἐπειρῶντο. θύσας δὲ ὁ Ἰουλιανὸς τὰς νενομισμένας καὶ βασιλείους ἐν τῷ στρατοπέδῳ θυσίας, προῄετο ὑπ' αὐτῶν, πλέον τι τῆς συνηθείας δορυφορούμενος. ἅτε γὰρ βίᾳ καὶ παρὰ γνώμην τοῦ δήμου, μετά τε αἰσχρᾶς καὶ ἀπρεποῦς διαβολῆς ὠνησάμενος τὴν ἀρχήν, εἰκότως ἐδεδίει τὸν δῆμον ὡς ἀνθιστασόμενον. ἀναλαβόντες οὖν τὰς πανοπλίας, καὶ φράξαντες αὐτοὺς οἱ στρατιῶται εἰς φάλαγγος σχῆμα, ὡς (εἰ δέοι) καὶ πολεμήσοντες, ἐν μέσοις αὐτοῖς ἔχοντες τὸν ἴδιον βασιλέα, ὑπέρ τε τῆς κεφαλῆς αἰωροῦντες τὰς ἀσπίδας καὶ τὰ δόρατα, μή που καὶ
D λίθων τις βολὴ ἀπὸ τῶν δωμάτων ἐπὶ τῇ πομπῇ γένοιτο, ἀνήγαγον αὐτὸν εἰς τὰ βασίλεια, μηδενὸς τῶν δημοτῶν μήτε ἀντιστῆναι τολμῶντος, μήτε μὴν εὐφημοῦντος, ὥσπερ εἰώθασι προπέμπειν τοὺς βασιλέας. τοὐναντίον δὲ καὶ πόρρωθεν ἑστῶτες, ἐβλασφήμουν καὶ κακῶς ἠγόρευον, ἅτε χρημάτων ἀντικαταλλαξάμενον τὴν ἀρχήν. τότε δὲ καὶ πρῶτον ὑποδιεφθάρη τὰ τῶν στρατιωτῶν ἤθη, καὶ χρημάτων ἐδιδάχθησαν ἄπληστον καὶ αἰσχρὰν ἐπιθυμίαν, καταφρόνησίν τε τῆς πρὸς τοὺς ἄρχοντας αἰδοῦς. τὸ γὰρ μήτε τοῖς οὕτως ὠμῶς τετολμημένοις ἐν φόνῳ τῷ βασιλικῷ ἐπεξιέναι τινά, μήτε τὴν οὕτως ἀπρεπῶς ἐπὶ χρήμασι
378 κηρυχθεῖσαν καὶ πραθεῖσαν ἀρχὴν εἶναι τὸν κωλύοντα, ἀρ-
A χηγὸν καὶ αἴτιον ἀπρεποῦς καὶ ἀπειθοῦς καταστάσεως, καὶ ἐς τὰ ἐπιόντα ἐγένετο ἀεὶ τῆς φιλοχρηματίας αὐτῆς, καὶ τῆς τῶν ἀρχόντων καταφρονήσεως μέχρις αἵματος αὐξηθείσης. ὁ δὴ οὖν Ἰουλιανὸς ἐπεὶ παρῆλθεν εἰς τὴν ἀρχήν, τρυφαῖς ἀδεῶς καὶ κραιπάλαις ἐσχόλασε, τῇ μὲν τῶν

δημοσίων ἐπιμελείᾳ ῥαθύμως προσφερόμενος· εἰς δὲ τὸ ἁβροδίαιτον καὶ ἄσωτον ἐπιδιδοὺς ἑαυτὸν, εὑρίσκετό τε καὶ τοὺς στρατιώτας ψευσάμενος καὶ ἀπατήσας, τῷ μὴ δύνασθαι ἀποπληρῶσαι ἃ ὑπέσχετο. οὔτε γὰρ οἴκοθεν ἦν αὐτῷ τοσαῦτα χρήματα ὅσα ἠλαζονεύσατο, οὔτε μὴν οἱ δημοσιακοὶ θησαυροὶ εἶχον, ἀλλὰ πάντα προεκεκένωτο τῇ Κομμόδου ἀσωτίᾳ καὶ ἀφειδέσι καὶ ἀκρίτοις ἀναλώμασιν. ἐκ δὲ B ταύτης τῆς τόλμης καὶ τῆς αἰτίας, οἵ τε στρατιῶται σφαλέντες τῶν ἐλπίδων, ὑπηγανάκτουν, ὅ,τε δῆμος αἰσθόμενος τῆς γνώμης τῶν στρατιωτῶν, εἶχον ἐν καταφρονήσει, ὡς προσιόντα τε κακῶς ἀγορεύειν, ὑπ' αἰσχραῖς τε καὶ ἀμφιβόλοις ἡδοναῖς σκώπτειν. ἔς τε τὸν ἱππόδρομον, ὅπου μάλιστα τὸ πλῆθος συνιὸν ἐκκλησιάζει, τὸν Ιουλιανὸν ἐβλασφήμουν, ἀρωγὸν δὲ τῇ Ῥωμαίων ἀρχῇ καὶ σεμνῆς βασιλείας προστάτην Νίγρον ἐπεκαλοῦντο, βοηθεῖν τε αὐτὸν τὴν ταχίστην ἠξίουν, ὡς ἐφύβρεισα πάσχουσιν. ἦν δὲ ὁ Νίγρος τῶν μὲν πρὸ πολλοῦ ὑπατευσάντων, καθ' ὃν δὲ καιρὸν τὰ προειρημένα ἐν Ῥώμῃ ἐπράττετο, Συρίας ἡγεῖτο πάσης. πολλὴ δ' ἦν καὶ μεγίστη ἀρχὴ τότε, τῶν δὴ Φοινίκων ἐθνῶν παντὸς καὶ C τῆς μέχρις Εὐφράτου γῆς ὑπὸ τῇ Νίγρου ὄντων ἐξουσίᾳ. ἦν δὲ αὐτὸς τὴν μὲν ἡλικίαν ἤδη μετρίας προβεβηκὼς, εὐδοκιμήσας δὲ ἐν πολλαῖς καὶ μεγάλαις πράξεσι. φήμη τε περὶ αὐτοῦ διεφοίτα ὡς ἐπιεικοῦς καὶ δεξιοῦ, ὡς τὸν τοῦ Περτίνακος βίον ζηλοῦντος· ὑφ' ὧν μάλιστα οἱ Ῥωμαῖοι ἐπείθοντο. ἐκάλουν τε αὐτὸν συνεχῶς ταῖς τοῦ δήμου συνόδοις· καὶ βλασφημοῦντες τὸν Ιουλιανὸν παρόντα, ἐκεῖνον βασιλικαῖς φωναῖς εὐφήμουν ἀπόντα. διαγγελθείσης τε D τῆς τοῦ δήμου Ῥωμαίων γνώμης, καὶ τῆς ἐπαλλήλου ἐν ταῖς συνόδοις βοῆς, εἰκότως ὁ Νίγρος ἀναπεισθεὶς, ῥᾷστά τε αὐτῷ τὰ πράγματα ὑπακούσεσθαι προσδοκήσας, καὶ μάλιστα τῷ τὸν Ιουλιανὸν ὑπό τε τῶν περὶ αὐτὸν στρατιωτῶν

ἀμελεῖσθαι, διότι τὰς ὑποσχέσεις οὐκ ἐπλήρου τῶν χρημά-
των, ὑπό τε τοῦ δήμου καταφρονεῖσθαι ὡς ἀνάξιον ἧς ἐώ-
νητο ἀρχῆς, ἐπιδίδωσιν αὑτὸν τῇ τῆς βασιλείας ἐλπίδι.
καὶ τὰ μὲν πρῶτα κατ' ὀλίγους ἡγεμόνας τε καὶ χιλιάρ-
χους, τούς τε τῶν στρατιωτῶν ἐξέχοντας οἴκαδε μεταπεμπό-
μενος διελέγετο, καὶ ἀνέπειθε, τὰ ἐκ τῆς Ῥώμης δηλούμε-
να φανερὰ ποιῶν· ὡς ἂν διαθέουσα ἡ γνώμη, ἔκπυστα δὲ
379 γνώριμα ποιῇ τοῖς τε στρατιώταις καὶ τοῖς λοιποῖς κατὰ τὴν
A ἀνατολὴν ἀνθρώποις. οὕτω γὰρ ῥᾷστα ἤλπιζε πάντας αὐτῷ
προσχωρήσειν, πυνθανομένους ὅτι μὴ αὐτὸς ἐξ ἐπιβουλῆς
μνᾶται τὴν ἀρχὴν, ἀλλὰ καλούμενος ἐπιβοηθήσων ἄπεισι
Ῥωμαίοις δεομένοις. ἀνεπτόηντο δὲ πάντες, καὶ μηδὲ μελ-
λήσαντες προσέκειντο, ἐκλιπαροῦντες καὶ αὐτοὶ ἀντιλαμ-
βάνεσθαι τῶν πραγμάτων. φύσει τε κοῦφον τὸ Σύρων ἔθνος ἐς
καινοτομίαν τε τῶν καθεστηκότων ἐπιτήδειον. ἐνῆν δέ τις
αὐτοῖς καὶ πόθος τοῦ Νίγρου, ἠπίως τε ἄρχοντος ἅπασι, τὰ
B πλεῖστα τε αὐτοῖς συμπανηγυρίζοντος. φιλέορτοι δὲ φύσει
Σύροι· ὧν μάλιστα οἱ τὴν Ἀντιόχειαν κατοικοῦντες, με-
γίστην πόλιν καὶ εὐδαίμονα, σχεδὸν παρὰ πάντα τὸν
ἐνιαυτὸν ἑορτάζουσιν, ἔν τε τῇ πόλει αὐτῇ καὶ κατὰ τὰ
προάστεια. θέας τοίνυν αὐτοῖς συνεχῶς ἐπιτελῶν ὁ Νί-
γρος, περὶ ἃς μάλιστα ἐσπουδάκασι, καὶ διδοὺς ἄδειαν εἰς
τὸ ἑορτάζειν καὶ εὐφραίνεσθαι, ἅτε ποιῶν κεχαρισμένα,
εἰκότως ἐτιμᾶτο. ὅπερ εἰδὼς, καλέσας τούς τε πανταχό-
θεν στρατιώτας εἰς ῥητὴν ἡμέραν, τοῦ τε λοιποῦ πλήθους
συνελθόντος, βήματος αὐτῷ κατασκευασθέντος, ἔλεξε
τοιάδε ἀνελθών,

C Τῆς μὲν ἐμῆς γνώμης τὸ πρᾶον, καὶ πρὸς τὰ μεγάλα
τῶν τετολμημένων εὐλαβὲς, ἴσως ἐστὶν ὑμῖν πάλαι γνώρι-
μον. οὐδ' ἂν νῦν εἰς ὑμᾶς ἦλθον ταῦτα δημηγορήσων,
εἰ ἐκ μόνης προαιρέσεως ἰδιωτικῆς καὶ ἀλόγου ἐλπίδος, ἢ

μείζονος ἐλπίδος ἐπιθυμίας αἷς ἐπειθόμην. ἀλλ' ἐμὲ καλοῦσι Ῥωμαῖοι, καὶ συνεχῶς βοῶντες ἐπείγουσιν ὀρέξαι τε χεῖρα σωτήριον, καὶ οὕτω τὴν ἔνδοξον καὶ ἀνάρετον ἀπὸ προγόνων ἄνωθεν ἀρχὴν μὴ περιιδεῖν αἰσχρῶς ἐρριμμένην. ὥσπερ δὲ τὸ τοῖς τηλικούτοις ἐπιτολμᾶν, οὐκ οὔσης εὐλόγου προφάσεως, προπετὲς καὶ θρασὺ, οὕτω καὶ τὸ πρὸς καλοῦντας καὶ δεομένους ὀκνηρὸν, ἀνανδρείας ἅμα καὶ D
προδοσίας φέρει διαβολήν. διὸ παρῆλθον πευσόμενος ὑμῶν τίνα γνώμην ἔχοιτε, καὶ πρακτέον ἡγεῖσθε, συμβούλοις τε ὑμῖν καὶ κοινωνοῖς χρησόμενος περὶ τῶν καθεστώτων. τὸ γὰρ ἀποβησόμενον εἰ εὐτυχηθείη, κοινὴν ἐμοί τε καὶ ὑμῖν τὴν ἀπόλαυσιν παρέξει. οὐ φαῦλαι δὲ οὐδὲ κοῦφαι καλοῦσιν ἐλπίδες, ἀλλ' ὅ, τε Ῥωμαίων δῆμος, ᾧ τὴν δεσποτείαν τῶν ἁπάντων ἔνειμαν θεοὶ καὶ τὴν βασιλείαν, ἥ τε ἀρχὴ σαλεύ- 380
ουσα καὶ παρὰ μηδενί πω βεβαίως ἱδρυμένη. ὅθεν ὑμῖν A
καὶ τὸ τῆς ἐπιχειρήσεως ἀσφαλὲς, ἔκ τε τῆς τῶν καλούντων γνώμης, καὶ ἐκ τοῦ μηδένα εἶναι τὸν ἀνθεστῶτα μηδὲ κωλύοντα, ὑπάρξει. καὶ γὰρ οἱ τὰ ἐκεῖθεν ἀγγέλλοντες, φασὶ μηδὲ τοὺς στρατιώτας, οἳ τὴν ἀρχὴν αὐτῷ χρημάτων ἀπέδοντο, πιστοὺς εἶναι φρουροὺς ὑπηρέτας, μηδὲ πληρώσαντος ἐκείνου ἃ ὑπέσχετο. τίνα τοίνυν ἔχετε γνώμην δηλώσατε.

Τοιαῦτά τινα εἰπόντος αὐτοῦ, ἀθρόως τὸ στρατιωτικὸν πᾶν καὶ τὸ συνειλεγμένον πλῆθος, αὐτοκράτορά τε αὐτὸν καὶ σεβαστὸν προσηγόρευσε. τήν τε βασίλειον πορφύραν περιβαλόντες, καὶ τὰ λοιπὰ τῆς σεβασμίου τιμῆς, καὶ αὐτοσχεδίου παρασκευῆς ἀθροίσαντες, καὶ προπομπεύοντος τοῦ πυρὸς, εἴς τε τὰ ἱερὰ B
τῆς Ἀντιοχείας τὸν Νίγρον ἄγουσι, καὶ εἰς τὴν ἑαυτοῦ οἰκίαν καθιστῶσιν, οὐκέτι αὐτὴν ἰδιωτικὴν, ἀλλὰ βασίλειον αὐλὴν νομίζοντες, πᾶσι κοσμήσαντες ἔξωθεν βασιλικοῖς συμβόλοις. ἐπὶ τούτοις δὴ ὁ Νίγρος πάνυ τὴν ψυχὴν εὐφραίνετο, ἐχυρῶσθαί τε αὐτῷ τὰ τῆς ἀρχῆς ἡγεῖτο, διά τε τὴν

τῶν Ῥωμαίων γνώμην, καὶ τὴν περὶ αὐτὸν σπουδὴν τῶν ἀνθρώπων. ὡς γὰρ διεπλανήθη ἡ φήμη πάντα ἐπῆλθεν ἔθνη ὅσα τὴν ἀντικειμένην ἤπειρον τῇ Εὐρώπῃ κατοικεῖ, οὐδείς τε ἦν ὃς οὐχ ἑκὼν εἰς τὸ ὑπακούειν αὐτῷ ἠπείγετο, πρεσβεῖαί τε ἀπ' ἐκείνων τῶν ἐθνῶν ἐς τὴν Ἀντιόχειαν ὡς
C πρὸς βασιλέα ὁμολογούμενον ἐστέλλοντο· οἵ τε ἐπέκεινα Τίγριδος καὶ Εὐφράτου σατράπαι καὶ βασιλεῖς ἐπέστελλον συνηδόμενοι αὐτῷ, καὶ εἰ δέοιτο βοηθείας ὑπισχνούμενοι. (ὁ δὲ δώροις τε αὐτοὺς μεγαλοπρεπῶς ἠμείβετο, καὶ ἐπὶ τῇ σπουδῇ καὶ ὑποσχέσει χάριν γιγνώσκων, ἔλεγε μὴ δεῖσθαι συμμάχων· τήν τε γὰρ ἀρχὴν αὐτῷ βεβαίως ὀχυρῶσθαι, ἀναιμωτί τε ἄρξειν) τοιαύταις ἐπαιρόμενος ταῖς ἐλπίσιν, ὀκλίαζέ τε πρὸς τὴν τῶν πραγμάτων ἐπιμέλειαν, καὶ ἐς τὸ ἁβροδίαιτον ἀνειμένος, τοῖς Ἀντιοχεῦσι συνευφραίνετο, ἑορταῖς καὶ θέαις ἐπιδιδοὺς ἑαυτόν· τῆς τε εἰς τὴν Ῥώμην
D ἀφόδου, ἐφ' ἣν μάλιστα ἐχρῆν σπεύδειν, ἠμέλει. τοῖς δὲ Ἰλλυρικοῖς στρατεύμασι δέον ἐπιφοιτῆσαι τὴν ταχίστην, καὶ φθάσαι οἰκειωσάμενον αὐτά, ὁ δὲ οὐδὲ τῶν πραττομένων τι αὐτοῖς ἐδίδου, ἐλπίζων τοὺς ἐκεῖ στρατιώτας, εἴποτε καὶ μάθοιεν, ὁμογνώμονας ἔσεσθαι τῇ τε Ῥωμαίων ἀρχῇ καὶ τῇ τῶν κατὰ τὴν ἀνατολὴν στρατοπέδων γνώμῃ. ταῦτα δὲ αὐτοῦ διατυποῦντος, καὶ κούφοις καὶ ἀδήλοις ἐπαιωρουμένου ἐλπίσι, διηγγέλλετο τὰ πραττόμενα εἴς τε Παίονας καὶ Ἰλλυριούς, καὶ πᾶν τὸ ἐκεῖσε στρατιωτικόν, ὃ ταῖς ὄχθαις τοῦ Ἴστρου καὶ Ῥήνου ἐπικείμενον, ἀπεῖργον τοὺς ἐπέκεινα βαρ-
381 βάρους, φρουρεῖ τὴν Ῥωμαίων ἀρχήν. ἡγεῖτο δὲ Παιόνων
A τε τούτων (ὑπὸ μιᾷ γὰρ ἦσαν ἐξουσίᾳ) Σεβῆρος ἀνὴρ τὸ μὲν γένος Λίβυς, ἐς δὲ τὴν τῶν πραγμάτων διοίκησιν γενναῖος ἅμα καὶ θυμοειδής, σκληρῷ τε βίῳ καὶ τραχεῖ ἐνειθισμένος, πόνοις τε ἀντέχων ῥᾷστα, νοῆσαί τε ὀξύς, καὶ τὸ νοηθὲν ἐπιτελέσαι ταχύς. οὗτος τοίνυν περὶ τῶν ἀγγελλόν-

σιν πυνθανόμενος τὴν Ῥωμαίων ἀρχὴν μετέωρον φερο-
μένην ἁρπάσαι, καταγνοὺς τοῦ μὲν ῥᾳθυμίαν, τοῦ δὲ δυσ-
πραγίαν τοῖς πράγμασιν. ἀνέπειθε δὲ αὐτὸν ὀνείρατά τε
τοιαύτην τινὰ ἐλπίδα ὑποσημαίνοντα, χρησμοί τε καὶ ὅ-
σα εἰς πρόγνωσιν τῶν μελλόντων σύμβολα φαίνεται· ἅπερ
πάντα ἀψευδῆ καὶ ἀληθῆ τότε πιστεύεται, ὅταν εἰς τὴν
ἀπόβασιν εὐτυχηθῆ. τὰ μὲν οὖν πολλὰ εἰς τὸ ῥηθὲν αὐτός B
τε συγγράψας ἐν τῷ καθ᾽ αὐτὸν βίῳ, καὶ δημοσίαις ἀνέθη-
κεν εἰκόσι. τὸ δ᾽ οὖν τελευταῖον καὶ μέγιστον, ὅπερ αὐτῷ, καὶ
τὴν ἐλπίδα πᾶσαν ὑπέφαινεν ὄναρ, οὐδ᾽ ἡμῖν παραλει-
πτέον. κατὰ γὰρ καιρὸν ὃν ἀπηγγέλη Περτίναξ παραλαβὼν
τὴν ἀρχήν, μετὰ τὸ προσελθεῖν καὶ θῦσαι ὁ Σεβῆρος, καὶ
τὸν ὑπὲρ τῆς Περτίνακος βασιλείας ὅρκον ἀφοσιώσασθαι,
ἐπανελθὼν εἰς τὴν οἰκίαν, ἑσπέρας καταλαβούσης εἰς ὕ-
πνον κατηνέχθη μέγαν καὶ γενναῖον ἵππον βασιλικοῖς φα-
λάροις κεκοσμημένον ᾤηθη βλέπειν, φέροντα ἐποχούμε-
νον τὸν Περτίνακα διὰ μέσης τῆς ἐν Ῥώμῃ ἱερᾶς ὁδοῦ. ἐ- C
πεὶ δὲ κατὰ τὴν ἀρχὴν τῆς ἀγορᾶς ἐγένετο, ἔνθα ἐπὶ τῆς δη-
μοκρατίας πρότερον ὁ δῆμος συνιὼν ἐκκλησίαζεν, ᾤηθη
τὸν ἵππον ἀποσείσασθαι μὲν τὸν Περτίνακα καὶ ῥίψαι, αὐτῷ δὲ
ἄλλως ἑστῶτι ὑποδῦναί τε αὐτόν, καὶ ἀράμενον ἐπὶ τοῖς
νώτοις φέρειν τε ἀσφαλῶς καὶ στῆναι βεβαίως ἐπὶ τῆς ἀγο-
ρᾶς μέσης, εἰς ὕψος ἄραντα τὸν Σεβῆρον, ὡς ὑπὸ πάν-
των ὁρᾶσθαί τε καὶ τιμᾶσθαι. μένει δὲ καὶ εἰς ἡμᾶς ἐν
ἐκείνῳ τῷ χωρίῳ ἡ τοῦ ὀνείρατος εἰκὼν μεγίστη, χαλκοῦ πε-
ποιημένη. οὕτω [illegible] ὁ Σεβῆρος ἀρθεὶς τὴν γνώμην, ἐλ-
πίζων τε θείᾳ προνοίᾳ ἐπὶ τὴν ἀρχὴν καλεῖσθαι, ἀπό-
πειραν ἐποιεῖτο τῆς τῶν στρατιωτῶν γνώμης, τὰ μὲν πρῶ- D
τα, κατ᾽ ὀλίγους ἡγεμόνας τε καὶ χιλιάρχους τούς τε ἐν τοῖς
στρατοπέδοις ἐξέχοντας οἰκειούμενος, καὶ περὶ τῆς ἀρχῆς
τῶν Ῥωμαίων διαλεγόμενος, ὡς πανταπᾶσιν ἔρριπται, οὐ-

δενὸς ὄντος τοῦ γενναίου ἢ κατ' ἀξίαν αὐτὴν διοικοῦντος. διέβαλλε δὲ τοὺς ἐν Ῥώμῃ στρατιώτας ὡς ἀπίστους, καὶ βασιλείῳ καὶ ἐμφυλίῳ αἵματι μιάναντας τὸν ὅρκον· ἔλεγέ τε δεῖν ἐπαμῦναι καὶ ἐπεξελθεῖν τῷ Περτίνακος φόνῳ. ᾔδει δὲ πάντας τοὺς κατὰ τὸ Ἰλλυρικὸν στρατιώτας μεμνημένους τῆς
382 Περτίνακος ἡγεμονίας. ὑπὸ γὰρ Μάρκῳ βασιλεύοντι πολ-
A λὰ ἐγείρας σὺν αὐτοῖς κατὰ Γερμανῶν τρόπαια, στρατηγός τε καὶ ἡγεμὼν τῶν Ἰλλυρικῶν καταστὰς, ἀνδρείαν μὲν πᾶσαν ἐν ταῖς μάχαις πρὸς τοὺς πολεμίους ἐπιδέδεικτο, εὔνοιαν δὲ καὶ χρηστότητα μετὰ σώφρονος καὶ ἐπιεικοῦς ἐξουσίας τοῖς ἀρχομένοις παρέσχετο. ὅθεν αὐτοῦ τὴν μνήμην τιμῶντες, ἐπὶ τοῖς οὕτως ὠμῶς κατ' αὐτοῦ τετολμημένοις ἠγανάκτουν. ταύτης δὴ τῆς προφάσεως λαβόμενος ὁ Σεβῆρος, ἀμόρως αὐτοὺς ἐφ' ἃ ἐβούλετο ὑπηγάγετο, προσποιούμενος οὐχ οὕτω τῆς ἀρχῆς ἀντιποιεῖσθαι οὐδ' αὐτῷ τὴν ἐξουσίαν μνᾶσθαι, ὡς θέλει ἐπεξελθεῖν τοιούτου βασιλέως
B αἵματι. ὥσπερ δὲ τὰ σώματα οἱ ἐκεῖσε ἄνθρωποι γενναιότατοί τε καὶ μεγάλοι εἰσὶ, καὶ πρὸς μάχας ἐπιτήδειοι καὶ φονικώτατοι, οὕτω καὶ τὰς διανοίας παχεῖς, καὶ μὴ ῥαδίως συνεῖναι δυνάμενοι εἴ τι μετὰ πανουργίας ἢ δόλου λέγοιτο ἢ πράττοιτο. πιστεύσαντες γοῦν τῷ Σεβήρῳ προσποιουμένῳ χαλεπαίνειν, καὶ θέλειν ἐπεξελθεῖν τῷ Περτίνακος φόνῳ, ἐπιδόσαν αὐτοὺς ὡς αὐτοκράτορά τε ἀποδεῖξαι, καὶ τὴν ἀρχὴν ἐγχειρίσαι. ὁ δ' ὡς ἔγνω τὴν τῶν Παιόνων γνώμην, διέπεμψε καὶ εἰς τὰ γειτνιῶντα ἔθνη, καὶ πρὸς πάντας τοὺς ἄρχοντας τῶν ὑπ' ἄρκτῳ Ῥωμαίοις δουλευόντων ἐθνῶν· μεγάλαις τε πάντας ὑποσχέσεσι καὶ ἐλπίσιν ἀναπεί-
C θων, ῥᾳδίως ὑπηγάγετο. ἱκανώτατος δὴ ἦν πάντων ἀνθρώπων μάλιστα προσποιήσασθαί τε καὶ πιστώσασθαι εὔνοιαν, μήτε ὅρκου φειδόμενος, εἰ δέοι τοῦτον καταφρονῆσαι, ψευδόμενος πρὸς τὸ χρειῶδες. διά τε γλώττης προΐετο ὅσα μὴ

ἔφερεν ἐπὶ γνώμης. θεραπεύσας οὖν διὰ γραμμάτων πάν-
τας τοὺς κατὰ τὸ Ἰλλυρικὸν ἅμα καὶ ἄρχοντας, προσηγάγετο αὐ-
τούς. ἀθροίσας δὲ τοὺς πανταχόθεν στρατιώτας αὐτὸ Σεβήρου τε
ἑαυτὸν Περτίνακα ὀνομάσας, ὅπερ οὐ μόνον ἤλπιζε τοῖς Ἰλλυ-
ρικοῖς ἔσεσθαι κεχαρισμένον, ἀλλὰ καὶ τῷ δήμῳ τῶν Ῥωμαίων διὰ
τὴν ἐκείνου γνώμην, συγκαλέσας τε αὐτοὺς εἰς τὸ πεδίον, καὶ
βήματος αὐτῷ ἀρθέντος, ἀνελθὼν, ἔλεξε τοιάδε.

Τὸ πιστὸν ὑμῶν, καὶ πρός τε θεοὺς σεβάσμιον οὓς ὀμνύ- D
τε, πρός τε βασιλέας τίμιον οὓς αἰδεῖσθε, δεδηλώκατε δι'
ὧν ἀγανακτεῖτε ἐφ' οἷς οἱ κατὰ τὴν Ῥώμην στρατιῶται
πομπῆς μᾶλλον ἢ ἀνδρείας ὑπηρέται ἐτόλμησαν. κἀμοὶ
δὲ δι' ἀρχῆς ὂν, πρότερον μὲν οὐδ' ἄλλοτε ἀντιποιησαμέ-
νῳ τοιαύτης ἐλπίδος, (ἴστε γάρ μου τὸ πρὸς τοὺς βασιλεύσαν-
τας πειθήνιον) νῦν δὲ ἐπὶ τέλος τε ἀγαγεῖν, καὶ ἀνύσαι
ταῦτα ἅπερ ἐστὶν ὑμῖν κεχαρισμένα· τήν τε Ῥωμαίων ἀρ-
χὴν μὴ περιϊδεῖν ἐρριμμένην, ἣ πρότερον μὲν, μέχρι και- 383
ρῶν σεμνοπρεπῶς διοικουμένη, σεβάσμιος ἐφαίνετο· εἰς A
Κόμμοδον δὲ μεταπεσοῦσα, εἰ καί τινα ὑπ' ἐκείνου διὰ
νεότητα ἐπλημμελεῖτο, ἀλλ' οὖν τῇ εὐγενείᾳ καὶ τῇ τοῦ
πατρὸς μνήμῃ ἐπεσκιάζετο· καὶ πλέον ἦν ἐν αὐτῷ τὸ ἐλεού-
μενον ἐφ' οἷς ἐσφάλλετο, ἢ τὸ μισούμενον. ἐπεὶ τὰ πλεῖστα τῶν
γινομένων οὐκ εἰς ἐκεῖνον ἀνεφέρομεν, ἀλλ' εἰς τοὺς περὶ αὐ-
τὸν κόλακάς τε καὶ οὐ πρεπόντων ἔργων ὁμοῦ συμβούλους
τε καὶ ὑπηρέτας. ἐπεὶ δὲ εἰς σεμνὸν πρεσβύτην, οὗ τῆς
ἀνδρείας τε καὶ χρηστότητος ἔτι ταῖς ψυχαῖς ὑμῶν μνήμη B
ἐνέστακται, περιῆλθεν ἡ ἀρχή· οἱ δὲ οὐκ ἠνέσχοντο, ἀλ-
λὰ τοιοῦτον ἄνδρα φόνῳ ἀπεσκευάσαντο. τὴν δὲ γῆς καὶ
καὶ θαλάττης τοσαύτην ἀρχὴν ὠνησάμενός τις αἰσχρῶς,
πρός τε τοῦ δήμου, ὡς ἀκούετε, μεμίσηται, πρός τε τῶν
ἐκεῖ στρατιωτῶν, οἷς ἐψεύσατο, οὐκ ἔτι πιστεύεται· ὧν εἰ καὶ
μᾶλλον ὑπὲρ αὐτοῦ παρατάξασθαι μετὰ τῆς ἀνοίας καὶ πλήθ-

σύμπαντες, καὶ καθ' ἕνα ἕκαστον ἐν ἀνδρείᾳ προύχετε, ἀ-
σκήσει τε πολεμικῶν ἐγγεγύμνασθε. ὑμεῖς μὲν ἀεὶ βαρβά-
C ροις ἀντιταττόμενοι, καὶ φέρειν πόνους πάσας πορείας, κρύ-
ους τε καὶ θάλπους καταφρονεῖν, ποταμούς τε πηγνυμένους
πατεῖν, καὶ πίνειν ὀρυττόμενον ἀλλ' οὐκ ἀντλούμενον ὕδωρ
εἰθισμένοι, θήραις τε ἐγγεγύμνασθε, καὶ πάντως ὑμῖν εἰς
ἀνδρείαν ὑπάρχει γενναῖα ἐφόδια, ὡς μηδὲ εἰ βουλη-
θείη τις, δύνασθαι ὑμῖν ἀντιστῆναι. δοκίμιον γὰρ στρατιωτῶν,
κάματος, ἀλλ' οὐ τρυφή, ἥπερ ἐκεῖνοι ἐγκραιπαλῶντές τε
καὶ ἐναυξηθέντες, οὐδ' ἂν τῆς βοῆς ὑμῶν ἀνάσχοιντο, οὔτι-
γε τῆς μάχης. Εἰ δέ τινες τὰ κατὰ Συρίαν ὑποπτεύοιεν
πράγματα, ἐντεῦθεν ἂν τεκμήραιντο ἀσθενῆ τὰ ὄντα, καὶ
φαύλας ἔχοντα τὰς ἐλπίδας, ὅπου μηδὲ προελθεῖν τῆς αὐ-
τῶν χώρας ἐτόλμησαν, μηδὲ περὶ τῆς εἰς Ῥώμην ἀφό-
D δου βουλεύσασθαι ἐθάρρησαν, ἀγαπητῶς ἐκεῖ μένον-
τες· καὶ ἐφήμερον τρυφῆς κέρδος τῆς οὔπω βεβαίας ἀρ-
χῆς νομίζουσιν. ἐπὶ μὲν γὰρ τὸ χαριέντως καὶ μετὰ παιδιᾶς
ἀποσκῶψαι ἐπιτήδειοι Σύροι, καὶ μάλιστα οἱ τὴν Ἀντιό-
χειαν οἰκοῦντες φασὶ περὶ τὸν Νίγρον ἐσπουδακέναι· τὰ
δ' ἄλλα ἔθνη καὶ αἱ ἄλλαι πόλεις, μέχρι νῦν, τῷ μηδέ-
να εὑρίσκεσθαι τὸν ἄξιον τῆς ἀρχῆς ἐσόμενον, ἀπαιτεῖ τοῦ
μετὰ ἀνδρείας καὶ σώφρονος διοικήσεως ἄρξοντος, ἐκείνῳ
δηλονότι προσποιοῦνται ὑπακούειν. εἰ δὲ τήν τε Ἰλλυ-
ρικὴν δύναμιν ἅμα χειροτονήσασαν μάθοιεν, τό, τε ἡμέτε-
384 ρον ὄνομα πύθοιντο, (οὐκ ἄγνωστον οὐδ' ἄσημον παρ' αὐτοῖς
A ὑπάρχον, ἐξ ὧν ἡγεμονεύσαντες ἐκεῖσε διῳκήσαμεν,) εὖ
ἴστε, οὔτε ἐμοῦ ῥᾳθυμίαν ἢ ἀνανδρίαν καταγνώσονται, οὔτε
τὸ ὑμέτερον γενναῖον καὶ πρὸς τὰς μάχας ἐμβριθὲς ὑπο-
στῆναι αἱρήσονται, καὶ σωμάτων μεγέθει καὶ πόνων ἀσκή-
σει. καὶ ἐν τῇ συστάδην μάχῃ, πολὺ ὑμῶν ἀπολιπόντες.
φθάσωμεν οὖν τὴν Ῥώμην προκαταλαβόντες, ἔνθα ἡ

βασίλειός ἐστιν ἑστία. κᾀκεῖθεν ὁρμώμενοι, τὰ λοιπὰ ἀμαρ-
ρῶς διοικήσωμεν, θείαις τε προρρήσεσι πιστεύοντες, καὶ τῇ
τῶν ὑμετέρων ἀνδρείᾳ, ὅπλων τε καὶ σωμάτων. Τοιαῦτα B
εἰπόντα τὸν Σεβῆρον ἀνευφημήσαντες οἱ στρατιῶται, καλοῦν-
τες Σεβαστὸν καὶ Περτίνακα, πᾶσαν ἐνεδείκνυντο προ-
θυμίαν καὶ σπουδήν. ὁ δὲ Σεβῆρος μηδένα διδοὺς και-
ρὸν ἀναβολῆς, συσκευάσασθαί τε αὐτοὺς ὡς ἔνι μάλιστα ἀ-
πέριττα ἐκέλευσε, τήν τε εἰς τὴν Ῥώμην ἔξοδον ἐπήγ-
γελλε, νομάς τε αὐτοῖς διδοὺς καὶ ἐφόδια, τῆς ὁδοιπορίας εἴ-
χετο. συντόμῳ δὲ σπουδῇ καὶ γενναίοις πόνοις τὴν ὁδὸν
ἐπετάχυνε, μήτε που ἐνδιατρίβων, μήτε διδοὺς καιρὸν
ἀναπαύλης, εἰ μὴ τοσοῦτον ὅσον ὀλίγον τοὺς στρατιώτας ἀνα-
πνεύσαντας ἔχεσθαι τῆς ὁδοῦ. ἐκοινώνει δὲ τῶν καμάτων
αὐτοῖς, σκηνῇ τε χρώμενος ἁπλεῖ, καὶ σιτία καὶ ποτὰ προσ- C
φερόμενος ὅσα καὶ πᾶσιν ὑπάρχειν ἠπίστατο· οὐδαμοῦ
δὲ τρυφὴν ἐνεδείκνυτο βασιλικήν. ὅθεν καὶ μείζονα πα-
ρὰ τῶν συστρατιωτῶν εὔνοιαν ἐπεσπάσατο. οὐ γὰρ μόνον αὐ-
τὸν συμπονοῦντα, ἀλλὰ καὶ τῶν καμάτων ἄρχοντα οἱ στρα-
τιῶται αἰδούμενοι κατὰ προθυμίαν πάντα ἔπραττον. ὁ δὲ,
τὴν Παιονίαν διαδραμὼν, ἐπέστη τοῖς τῆς Ἰταλίας ὅροις·
καὶ τὴν φήμην φθάσας, πρότερον ὤφθη τοῖς ἐκεῖσε πα-
ρὼν βασιλεὺς ἢ ἀφιξόμενος ἠκούσθη. δέος τε μέγα τὰς Ἰτα-
λιώτιδας πόλεις κατελάμβανε, πυνθανομένας τοσαύτην D
ἔφοδον στρατοῦ. οἱ γὰρ κατὰ τὴν Ἰταλίαν ἄνθρωποι, ὅπλων καὶ
πολέμων πάλαι ἀπηλλαγμένοι, γεωργίᾳ καὶ εἰρήνῃ προσ-
εῖχον. ἐς ὅσον μὲν γὰρ ὑπὸ δημοκρατίας τὰ Ῥωμαίων διῳ-
κεῖτο, καὶ ἡ σύγκλητος ἐξέπεμπε τοὺς τὰ πολεμικὰ στρατη-
γήσοντας, ἐν ὅπλοις Ἰταλιῶται πάντες ἦσαν, καὶ γῆν καὶ
θάλατταν ἐκτήσαντο, Ἕλλησι πολεμήσαντες καὶ βαρβά-
ροις· οὐδέ τι ἦν γῆς μέρος ἢ κλίμα οὐρανοῦ ὅπου μὴ Ῥω-
μαῖοι τὴν ἀρχὴν ἐξέτειναν· ἐξ οὗ δὲ εἰς τὴν Σεβαστὸν

385 περιῆλθεν ἡ μοναρχία, Ἰταλιώτας μὲν πόνων ἀνέπαυσε, καὶ
A τῶν ὅπλων ἐγύμνωσε, φρούρια δὲ καὶ στρατόπεδα τῆς ἀρ-
χῆς προυβάλετο, μισθοφόρους ἐπὶ ῥητοῖς σιτηρεσίοις στρα-
τιώτας καταστησάμενος, ἀντὶ τείχους τῆς Ῥωμαίων ἀρχῆς,
ποταμῶν τε μεγέθεσι καὶ τάφρων, ἢ ὀρῶν προβλήμασιν,
ἐρήμῳ τε γῇ καὶ δυσβάτῳ φράξας τὴν ἀρχὴν, ὠχυρώ-
σατο. ὅθεν τὸν Σεβῆρον προσιόντα πυνθανόμενοι τότε μετὰ
τοσούτου στρατοῦ, εἰκότως ἐταράττοντο τῇ ἀήθει τοῦ πρά-
γματος· οὔτε δὲ ἀντιστῆναι ἢ κωλῦσαι ἐτόλμων. ὑπηντιά-
των δὲ δαφνηφοροῦντες, καὶ πύλαις ἀναπεπταμέναις ἐ-
δέχοντο. ὁ δὲ τοσοῦτον ἀνεπαύετο ὅσον καλλιερῆσαί τε καὶ
B τοὺς δήμους προσειπεῖν· εἰς δὲ τὴν Ῥώμην ἠπείγετο. ὡς
δὲ ταῦτα τῷ Ἰουλιανῷ ἀπηγγέλλετο, ἐν ἐσχάτῃ ἀπογνώ-
σει ἦν, τοῦ μὲν Ἰλλυρικοῦ στρατοῦ τὴν δύναμιν καὶ τὸ πλῆ-
θος ἀκούων, οὔτε δὲ τῷ δήμῳ πιστεύων, ἐπεὶ μεμίσητο, οὔ-
τε τοῖς στρατιώταις θαρρῶν, οὓς ἐψεύσατο. χρήματα ἀθροί-
ζων τά τε αὐτοῦ καὶ παρὰ τῶν φίλων, καὶ εἴ τινα ἦν ἐκ
δημοσίων ἱερῶν ἢ τόπων λαμβάνων, τοῖς στρατιώταις δια-
νέμειν ἐπειρᾶτο, ὡς ἂν κτήσαιτο τὴν εὔνοιαν αὐτῶν. οἱ δὲ,
C καίτοι μεγάλα λαμβάνοντες, χάριν οὐκ ᾔδεσαν· ὄφλημα
γὰρ αὐτὸν ἀποτίνειν, ἀλλ' οὐ δωρεὰν διανέμειν ἐλογίζοντο.
ὁ δὲ Ἰουλιανὸς, καίτοι συμβουλευόντων αὐτῷ τῶν φίλων
ἐξαγαγεῖν τὸ στρατιωτικὸν, καὶ τὰ στενὰ τῶν Ἄλπεων προ-
καταλαβεῖν, μέγιστα ἐκεῖνα ὄρη, καὶ οἷα οὐκ ἄλλα ἐν τῇ
καθ' ἡμᾶς γῇ, ἐν τείχους σχήματι πρόκειται, καὶ προβέ-
βληται Ἰταλίας. καὶ τοῦτο μετὰ τῆς ἄλλης εὐδαιμονίας πα-
ρασχούσης τῆς φύσεως Ἰταλιώταις, ἔρυμα ἄρρηκτόν τε καὶ
αὐτῶν προβεβλῆσθαι ἀπὸ τῆς ἀρκτῴας θαλάσσης ἐπὶ τὴν
μεσημβρίαν βλέπουσαν διῆκον. ἀλλ' οὐδὲ τῆς πόλεως προ-
D ελθεῖν Ἰουλιανὸς ἐτόλμα· διέπεμπέ τε τῶν στρατιωτῶν δεό-
μενος ὁπλίζεσθαί τε καὶ γυμνάζεσθαι. πρὸ δὲ τῆς πόλεως

τάφρους διορύττειν, καὶ τὴν πρὸς Σεβῆρον μάχην ὡς ἐν
τῇ πόλει ποιησόμενος παρεσκεύαζε. τούς τε ἐλέφαντας πάν-
τας, οὓς εἰς πομπὴν ὑπηρετεῖν ἐπὶ νώτων φέρειν ἐπειρᾶτο
παιδεύειν· οἰόμενος οὕτως ἐκπλήξειν τούς τε Ἰλλυρικοὺς καὶ
τὴν τῶν πολεμίων ἵππον, διαταράξειν ὄψει καὶ μεγέθει θη-
ρίων μὴ πρότερον αὐτοῖς ἑωραμένων. τότε δὴ πᾶσα ἡ πό-
λις ὅπλα εἰργάζετο, καὶ τὰ πρὸς πόλεμον παρεσκευάζε-
το. μελλόντων δὲ τῶν Ἰουλιανοῦ στρατιωτῶν ἔτι καὶ τὰ πρὸς 386
πόλεμον ἕτοιμα ποιουμένων, ἀγγέλλεται ὁ Σεβῆρος ἤδη A
προσιών· καὶ πολὺ τοῦ στρατεύματος μέρος διασκεδάσας
ἐκεῖνος, κελεύει παρεισδύεσθαι εἰς τὴν πόλιν. οἱ δὲ, κατὰ
τὰς πάσας ὁδοὺς διανείμαντες αὐτοὺς, πολλοὶ δὲ εἰς Ῥώμην
νύκτωρ λανθάνοντες εἰσῄεσαν, τὰ ὅπλα ἐπικρύπτοντες ἐν
ἰδιωτῶν σχήματι. καὶ ἤδη οἱ πολέμιοι ἔνδον ἦσαν, τοῦ Ἰου-
λιανοῦ ἔτι ὑπτιάζοντος καὶ τὰ πραττόμενα ἀγνοοῦντος.
ἐπεὶ δὲ ταῦτα διάπυστα τῷ δήμῳ ἐγένετο, ἐν ταραχῇ πολλῇ
πάντες ἦσαν· καὶ δεδιότες τὴν δύναμιν τοῦ Σεβήρου, τὰ
ἐκείνου φρονεῖν προσεποιοῦντο, τοῦ μὲν Ἰουλιανοῦ κατα-
γινώσκοντες ἀνανδρίαν, τοῦ δὲ Νίγρου, μέλλησίν τε καὶ
ῥαθυμίαν· τὸν δὲ Σεβῆρον ἀκούοντες ἤδη παρόντα, ἐθαύ- B
μαζον. ὁ δὲ Ἰουλιανὸς πολλῇ καταλαμβανόμενος ἀφασίᾳ
τε καὶ ἀπορίᾳ, ὅπως χρήσεται τοῖς πράγμασιν οὐκ εἰ-
δὼς, ἀθροισθῆναι κελεύσας τὴν σύγκλητον, καταπέμπει
γράμματα. δι' ὧν ἐσπένδετο δὴ πρὸς τὸν Σεβῆρον, καὶ αὐ-
τοκράτορα ἀναδείξας, κοινωνὸν τῆς βασιλείας ἐποιεῖτο. ἡ
δὲ σύγκλητος ἐψηφίσατο μὲν ταῦτα, ὁρῶντες δὲ τὸν Ἰουλια-
νὸν ἀποδειλιῶντα καὶ ἐν ἀπογνώσει, τῷ Σεβήρῳ πάντες ἤ-
δη προσετίθεντο. δύο δέ που ἢ τριῶν ἡμερῶν διαδρα-
μουσῶν, ἐπείπερ ἤδη τὸν Σεβῆρον καὶ αὐτῇ τῇ πόλει ἐ-
πιστησόμενον ἤκουον, καταφρονήσαντες τοῦ Ἰουλιανοῦ, συνίασ-
ιν εἰς τὸ συνέδριον, τῶν ὑπάτων κελευσάντων, οἳ τὰ

τῆς Ῥώμης διοικεῖν εἰώθασιν, ὁπηνίκα ἂν τὰ τῆς βασι-
C λείας μετέωρα ᾖ. συνελθόντες τοίνυν, περὶ τῶν πρακτέων
ἐσκέπτοντο, τοῦ Ἰουλιανοῦ ἔτι ὄντος ἐν τῇ βασιλείῳ αὐλῇ,
καὶ τὰς παρούσας ὀδυρομένου τύχας, ἱκετεύοντός τε ἐξομό-
σασθαι τὴν ἀρχήν, καὶ παραχωρῆσαι πάσης τῆς δυνα-
στείας τῷ Σεβήρῳ. ὡς δὲ ἔμαθεν ἡ σύγκλητος τὸν Ἰουλια-
νὸν οὕτω καταπεπληχότα, τὸ δὲ δορυφόρον φρουρεῖν διὰ δέος
τοῦ Σεβήρου αὐτὸν ἐγκαταλιποῦσαν, ψηφίζεται τὸν μὲν ἀ-
ναιρεθῆναι, ἀποδειχθῆναι δὲ μόνον αὐτοκράτορα τὸν Σε-
βῆρον. πρεσβείαν τε πρὸς αὐτὸν ἐκπέμπουσιν ἀπὸ τῶν ἐν
ἀρχαῖς ὄντων καὶ τῶν ἐξοχωτάτων τῆς βουλῆς, πάσας
D αὐτῷ προσφέρειν τὰς σεβασμίους τιμάς. ἐπὶ δὲ τὸν Ἰου-
λιανὸν εἷς τῶν χιλιαρχούντων ἀναπέμπεται ἀποκτεῖναι
ἄνανδρον καὶ ἄθλιον πρεσβύτην, ἰδίοις χρήμασιν ὠνησά-
μενον οὕτω πονηρὸν τέλος. ὁ μὲν οὖν εὑρεθεὶς ἐρημός τε καὶ
ὑπὸ πάντων καταλειφθεὶς, αἰσχρῶς ὀλοφυρόμενος ἐφονεύ-
θη. ἐπεὶ δὲ τὰ παρὰ τῆς συγκλήτου ἐδηλώθη τῷ Σεβή-
ρῳ, ἥ τε τοῦ Ἰουλιανοῦ ἀναίρεσις, ἤρθη εἰς μειζόνων πραγ-
μάτων ἐλπίδα, καὶ σοφίσματι ἐχρήσατο ὡς ἂν χειρώ-
σαιτο καὶ αἰχμαλώτους τοὺς τὸν Περτίνακα ἀνῃρηκότας
λάβοι. ἐπιστέλλει δὲ καὶ ἰδίᾳ μὲν λανθάνοντα γράμματα,
τοῖς τε χιλιάρχοις καὶ τοῖς ἑκατοντάρχοις ὑπισχνούμε-
387 νος μεγάλα, ὅπως πείσωσι τοὺς ἐν τῇ Ῥώμῃ στρατιώτας
A ὑπακούειν ἀπειθῶς τοῖς ὑπὸ τοῦ Σεβήρου κελευομένοις.
ἐκπέμπει δὲ καὶ δήλωσιν, δι᾽ ἧς κελεύει τὰ μὲν ὅπλα αὐ-
τοὺς καταλιπεῖν ἐν τῷ στρατοπέδῳ, πάντας δὲ ἐξελθεῖν εἰ-
ρηνικῷ σχήματι, ὥσπερ εἰώθασι, θύοντος ἢ ἑορτάζοντος βα-
σιλέως προπομπεύειν, ὀμόσαι τε εἰς τὸ Σεβήρου ὄνομα, καὶ
μετ᾽ ἀγαθῶν ἐλπίδων ἐλθεῖν, ὡς μέλλοντας τὸν Σεβῆρον
δορυφορήσειν. πιστεύσαντες δὴ οἱ στρατιῶται τοῖς ἐπεσταλμέ-
νοις, πειθόντες τε ὑπὸ τῶν χιλιαρχούντων, τὰ μὲν ὅπλα

κατέλιπον πάντα. αὐτοὶ δὲ ἐν μόναις ταῖς πομπικαῖς ἐ-
σθῆσι δαφνηφοροῦντες ἠπείγοντο. ἐπεὶ δὲ πρὸς τῷ στρατο-
πέδῳ τοῦ Σεβήρου ἐγένοντο, ἠγγέλθησάν τε ἀφικόμενοι εἰς τὸ
πεδίον, οὕτως αὐτοὺς ὁ Σεβῆρος συνελθεῖν κελεύει ὡς δὴ
δεξιωσόμενος καὶ προσαγορεύσων. ὡς δὲ εἰσελθόντα αὐ- B
τὸν ἐπὶ τὸ βῆμα προσῆλθον ὁμοθυμαδὸν εὐφημήσοντες,
πάντες ὑφ' ἑνὶ συνθήματι συλλαμβάνονται. προείρητο γὰρ
τῷ τοῦ Σεβήρου στρατῷ, ὁπηνίκα ἂν στῶσιν εἰς τὸν βασιλέα
ἀποβλέποντες, μετέωρόν τε τὴν γνώμην ἔχοντες, κυκλώ-
σασθαι αὐτοὺς πολεμίῳ νόμῳ, καὶ τιτρώσκειν μὲν ἢ παί-
ειν μηδένα, συνέχειν δὲ καὶ φρουρεῖν περιξάντας ἐν κύ-
κλῳ τοῖς ὅπλοις· τάς τε διαβολίας καὶ τὰ δόρατα ἐπισείειν,
ὡς δέει τοῦ τρωθῆναι, γυμνοί τε πρὸς ὡπλισμένους καὶ ὀ-
λίγοι πρὸς πολλοὺς μὴ μάχοιντο. ἐπεὶ δὲ αὐτοὺς ὥσπερ σα- C
γηνεύσας ἐντὸς τῶν ὅπλων, δορυαλώτους εἶχε, μεγάλῃ βοῇ
καὶ θυμοειδεῖ τῷ πνεύματι, ἔλεξε πρὸς αὐτοὺς τοιάδε,

Ὅτι μὲν ὑμῶν καὶ σοφίᾳ κρείττους ἐσμέν, καὶ δυνάμει
στρατοῦ καὶ συμμάχων πλήθει, ἔργῳ ὁρᾶτε· εἴληφθε γοῦν
ῥᾳδίως, καὶ ἀκονιτὶ ἑαλώκατε· ἐστὲ δὲ ἐμοὶ ὅ,τι ποτ' ἂν
ὑμᾶς δρᾶσαι θελήσω, καὶ πρόκεισθε ἤδη θύματα τῆς ἡμε-
τέρας ἐξουσίας. εἰ μὲν οὖν ὑμεῖς πρὸς τὰ τετολμημένα
τιμωρίαν ζητεῖτε, οὐδ' ἔστιν εὑρεῖν δίκην τὴν ἐπιτεθησο-
μένην ἀξίαν τῶν πεπραγμένων. σεμνὸν πρεσβύτην καὶ βα-
σιλέα χρηστόν, ὃν ἐχρῆν σώζειν καὶ δορυφορεῖν, ἐφονεύσατε·
τὴν Ῥωμαίων ἀρχὴν ἔνδοξον οὖσαν ἀεί, ἣν καὶ οἱ πρόγο- D
νοι ἢ δι' ἀνδρείας ἀρέτου ἐκτήσαντο, ἢ δι' εὐγένειαν διε-
δέξαντο, ταύτην αἰσχρῶς καὶ ἀτίμως, ὥσπερ τι τῶν ἰδιωτι-
κῶν κειμηλίων, ἐπ' ἀργυρίῳ κατηλλάξασθε. ἀλλ' οὐδ' αὐ-
τόν, ὃν οὕτως ἄρχοντα εἵλεσθε, φυλάξαι ἢ σῶσαι ἠδυνήθη-
τε, ἀνάνδρως δὲ προὐδώκατε. ἐπὶ τηλικούτοις δὴ ἁμαρ-
τήμασί τε καὶ τολμήμασι μυρίων ἄξιοι θανάτων, ἣν τε

388 ὁρίσαι θέλοι τὴν ἀξίαν τιμωρίαν, ἔστι. ἀλλὰ τί μὲν χρὴ
A παθεῖν ὑμᾶς, ὁρᾶτε. ἐγὼ δὲ φείσομαι μὲν ὑμῶν ὡς μὴ φο-
νεῦσαι· οὔτε τὰς ὑμετέρας χεῖρας μιμήσομαι· (ἐπειδὴ μὴ-
τε ὅσιον, μήτε δίκαιον, ἔτι βασιλέα ὑμᾶς δορυφορεῖν, καὶ
εἰς τὸν ὅρκον ἀσεβήσαντας, καὶ ἐμφυλίῳ καὶ βασιλικῷ αἵ-
ματι τὰς δεξιὰς μιάναντας, τήν τε πίστιν καὶ τὸ ἐχέγγυον
τῆς φρουρᾶς προδόντας) τὰς δὲ ψυχὰς καὶ τὰ σώματα, δῶ-
ρον τῆς ἐμῆς φιλανθρωπίας ἕξετε. τοῖς τε περιειληφόσιν
ὑμᾶς στρατιώταις κελεύω ἀποζῶσαί τε ὑμᾶς, καὶ ἀποδύ-
σαντας εἴ τινας περίκεισθε ἐσθῆτας στρατιωτικάς, γυμνοὺς
ἀποπέμπειν. παραγγέλλω τε ὑμῖν ἀπιέναι ὡς πορρωτάτω
B τῆς Ῥώμης. ἀπειλῶ καὶ διόμνυμαι καὶ προαγορεύω κο-
λασθήσεσθαι κεφαλικῶς, εἴ τις ὑμῶν ἐντὸς ἑκατοστοῦ σημείου
ἀπὸ τῆς Ῥώμης φανείη. Ταῦτα κελεύσαντος αὐτοῦ, προσ-
δραμόντες οἱ Ἰλλυρικοὶ στρατιῶται, τά τε ξιφίδια περιαι-
ροῦσιν αὐτῶν ἃ παρῃώρητο, τῷ ἀργυρέῳ καὶ τῷ χρυσῷ εἰς
πομπὴν κεκοσμημένα. τάς τε ζώνας καὶ τὰς ἐσθῆτας, καὶ
εἴ τι σύμβολον ἔφερον στρατιωτικόν, ἀφαρπάσαντες, γυ-
μνοὺς ἐξέπεμπον. οἱ δὲ ὑπεῖκον προδεδομένοι, καὶ σοφί-
σματι ἑαλωκότες. τί γὰρ ἂν ἐκεῖνοι δρᾶσαι γυμνοὶ πρὸς ὡπλι-
C σμένους καὶ ὀλίγοι πρὸς πολλούς; ἀπῄεσαν δὴ ὀδυρό-
μενοι· καὶ ἠγάπων μὲν τὴν δοθεῖσαν σωτηρίαν, μετεγίνω-
σκον δὲ ἐπὶ τῷ ἀνόπλως ἐλθεῖν, αἰσχρῶς καὶ ἐφυβρίστως
ἑαλωκότες. ἐκέχρητο δὲ καὶ ἄλλῳ ὁ Σεβῆρος σοφίσμα-
τι. δεδιὼς γὰρ μὴ ἄρα μετὰ τὸ ἀποζωσθῆναι, ἐν ἀπογνώ-
σει γενόμενοι, ἀναδράμωσιν ἐπὶ τὸ στρατόπεδον, καὶ τὰ ὅ-
πλα ἀναλάβωσι, προύπεμψε λογάδας ἐπιλέκτους, ὅσοις
γενναιοτάτοις ἠπίστατο, δι' ἑτέρων ὁδῶν καὶ ἀτραπῶν, ὡς
λαθόντες τό, τε στρατόπεδον ἐπεισέλθοιεν ἀνδρῶν κενόν, καὶ
τὰ ὅπλα καταλαβόντες, εἰ ἐπίοιεν, ἀποκλείσαιεν αὐτούς.
δίκην μὲν δὴ ταύτην ἔδοσαν οἱ τοῦ Περτίνακος φονεῖς. ὁ

δὲ Σεϐῆρος σὺν παντὶ τῷ λοιπῷ στρατῷ ὡπλισμένῳ, εἰς D
τὴν Ῥώμην ἀφικνεῖται, ἔκπληξίν τε καὶ δέος ἅμα τῷ ὀ-
φθῆναι, τοῖς Ῥωμαίοις ἐνέϐαλε, τοῖς οὕτω τετολμημένοις
τε καὶ ἀτυχηθεῖσιν ἔργοις. ὁ δὲ δῆμος καὶ ἡ σύγκλητος δα-
φνηφοροῦντες ὑπεδέχοντο, πρῶτον ἀνθρώπων καὶ βα-
σιλέων ἀναιμωτί τε καὶ ἀκονιτὶ τοσαῦτα κατωρθωκότα.
πάντα γὰρ ἐν αὐτῷ ἐθαυμάζετο, μάλιστα δὲ τὸ ἀγχίνουν
τῆς γνώμης, τό,τε τῶν πόνων γενναῖον, καὶ τὸ εἰς τὰ τολ- 389
μώμενα ἅμα τῷ θαῤῥαλέῳ εὔελπι. ἐπεὶ τοίνυν ὅ,τε δῆ- A
μος αὐτὸν ὑποδεξάμενος εὐφήμησεν, ἥ τε σύγκλητος ἐπὶ
ταῖς τῆς πόλεως εἰσόδοις προσηγόρευσεν, εἰσελθὼν εἰς τὸ τοῦ
Διὸς τέμενος καὶ θύσας, ἔν τε τοῖς λοιποῖς ἱεροῖς νόμῳ βα-
σιλικῷ καλλιερήσας, ἀνῆλθεν εἰς τὰ βασίλεια. τῇ δὲ
ἐπιούσῃ κατελθὼν εἰς τὴν σύγκλητον, λόγους ἐπιεικεῖς
πάνυ καὶ χρηστῶν ἐλπίδων μεστοὺς ἐποιεῖτο πρὸς πάντας,
καὶ κοινῇ καὶ ἰδίᾳ δεξιούμενος, λέγων ἥκειν μὲν ἔκδικος
τοῦ Περτίνακος φόνου, τὴν δ' ἀρχὴν παρέξειν καὶ εἴσο-
δον ἀριστοκρατίας. μήτε δὲ ἄκριτόν τινα φονευθήσεσθαι B
ἢ δημευθήσεσθαι, μήτε συκοφαντοῦντος ἀνέξεσθαι, ἀλλὰ
βαθυτάτην εὐδαιμονίαν τοῖς ἀρχομένοις παρέξειν, καὶ
πάντα πράξειν εἰς ζῆλον τῆς Μάρκου ἀρχῆς· ἕξειν δὲ τοῦ
Περτίνακος οὐ μόνον τοὔνομα, ἀλλὰ καὶ τὴν γνώμην. τοιαῦ-
τά τινα λέγων, ὑπηγάγετο τοὺς πλείστους εἰς εὔνοιαν, καὶ πί-
στιν ὧν ὑπισχνεῖτο. ἦσαν δέ τινες τῶν πρεσβυτέρων, καὶ γνω-
ριζόντων αὐτοῦ τὸν τρόπον, οἱ προύλεγον λανθάνοντες, ὅτι ἄρα
εἴη ἀνὴρ πολύτροπός τις καὶ μετὰ τέχνης εἰδὼς προσφέρεσθαι
πράγμασιν ὑποκρίνασθαί τε καὶ προσποιήσασθαι πᾶν ὁ- C
τιοῦν, ἱκανώτατός ἐστιν ἀνύσαι, καὶ τὸ χρειῶδες καὶ τὸ λυσι-
τελὲς αὐτῷ, ὅπερ ἔργῳ καὶ ὕστερον δέδεικται. διατρίψας οὖν ὀ-
λίγον χρόνον ὁ Σεϐῆρος ἐν τῇ Ῥώμῃ, καὶ νομὰς ἐπιδοὺς
τῷ δήμῳ, μεγαλοφρόνως τε ἐπιτελέσας, τοῖς τε στρατιώταις

πολλὰ δωρησάμενος, καὶ τοὺς ἀκμαιοτάτους ἐπιλεξάμενος ἐς τοὺς δορυφόρους εἶναι τῆς βασιλείας τόπῳ τῶν ἀπεζωσμένων, ἐπὶ τὴν ἀνατολὴν ἠπείγετο. ἔτι γὰρ μέλλοντος καὶ ὑπτιάζοντος τοῦ Νίγρου, τῇ τε Ἀντιοχείᾳ ἐντρυφῶντος, ἐπιστῆναι μηδὲ προσδοκώμενος ἤθελεν, ὅπως ἀπα-
D ράσκευον αὐτὸν λάβοι. τούς τε οὖν στρατιώτας ἐκέλευσε παρασκευάζεσθαι πρὸς τὴν ἔξοδον συνεκρότει τε καὶ τὸ πανταχόθεν στράτευμα ἔκ τε τῶν κατὰ τὴν Ἰταλίαν πόλεων, νεανίας μεταπεμπόμενος καὶ στρατεύων. εἴ τέ τι ἦν ἐν τῷ Ἰλλυρικῷ τοῦ στρατιωτικοῦ λείψανον, κατελθὸν ἐπὶ Θρᾴκην, ἐκέλευεν αὐτῷ συντυχεῖν. ἐξήρτυε δὲ καὶ στόλον ναυτικόν, καὶ πάσας τὰς κατ' Ἰταλίαν τριήρεις ὁπλιτῶν πληρώσας, ἐξέπεμπε. πολλή τε αὐτῷ καὶ παντοδαπὴ δύναμις μεγίστῳ τάχει συνεσκευάσθη· ᾔδει γὰρ οὐ μικρᾶς δυνάμεως δεόμενος πρὸς πᾶσαν τὴν ἀντικειμένην Ἤπειρον Εὐρώ-
390 πῃ τὰ Νίγρου φρονοῦσαν. τὰ μὲν δὴ πρὸς τὸν πόλεμον
A γενναίως ἀπηρτίζετο· ἅτε δὴ ἀνὴρ προμηθής τε καὶ νήφων, ὑπώπτευε τὴν ἐν Βρεττανίᾳ δύναμιν, πολλήν τε οὖσαν καὶ μεγίστην, ἀνδρῶν τε μαχιμωτάτων. ἦρχε δ' αὐτῆς πάσης Ἀλβῖνος, ἀνὴρ τὸ μὲν γένος, τῶν ἐκ τῆς συγκλήτου εὐπατριδῶν· ἐν πλούτῳ δὲ καὶ τρυφῇ ἐκ πατέρων ἀναστραφείς. τοῦτον οὖν ἠθέλησεν ὁ Σεβῆρος σοφίσματι προλαβὼν οἰκειώσασθαι, μήπως ἄρα τοιαῦτα ἔχων ἐναύσματα εἰς βασιλείας ἐπιθυμίαν, θαρρῶν τῷ πλούτῳ καὶ γένει, δυνάμει τε στρατοῦ, γνώσει τε τῇ παρὰ Ῥωμαίοις, ἐπιθῆται τοῖς πράγμασι καὶ τὴν Ῥώμην οὐ πολύ τε ἀφεστῶ-
B σαν, ἐκείνου κατὰ τὴν ἀνατολὴν ἀσχοληθέντος, ὑποποιήσηται. τιμῇ οὖν προσποιήτῳ δελεάζει τὸν ἄνθρωπον, καὶ ἄλλως μὲν ὄντα τὴν γνώμην χαῦνον καὶ ἁπλοϊκώτερον, τότε δὲ καὶ πολλὰ διὰ γραμμάτων ὀμόσαντι τῷ Σεβήρῳ πιστεύσαντα. Καίσαρα δὲ αὐτὸν ἀποδείκνυσι, φθάσας αὐτοῦ τὴν

ἐλπίδα καὶ τὴν ἐπιθυμίαν τῇ τῆς ἐξουσίας κοινωνίᾳ. ἐπι-
στέλλει δὲ αὐτῷ φιλικώτατα γράμματα δῆθεν, ἱκετεύων ἐ-
πιδοῦναι αὐτὸν εἰς τὴν τῆς ἀρχῆς φροντίδα· δεῖσθαι γὰρ ἀν-
δρὸς εὐγενοῦς, καὶ τοιούτου, τήν τε ἡλικίαν ἔτι ἀκμάζοντος,
αὐτὸν ὄντα πρεσβύτην, καὶ ὑπὸ νόσου ἀρθρίτιδος ἐνοχλού-
μενον, τῶν τε παίδων αὐτῷ ὄντων πάνυ νηπίων. οἷς πιστεύ-
σας ὁ Ἀλβῖνος, τὴν τιμὴν ὑπεδέξατο ἀσμένως, ἀγαπή- C
σας ἄνευ μάχης καὶ κινδύνου λαβεῖν ταῦτα ὧν ὠρέγετο. ὁ
δὲ Σεβῆρος καὶ πρὸς τὴν σύγκλητον τὰ αὐτὰ ἀνενεγκὼν, ὡς
εὖ μᾶλλον αὐτὸν εἰς πίστιν ὑπαγάγοιτο, νομίσματά τε αὐ-
τῷ κοπῆναι ἐπέτρεψε, καὶ ἀνδριάντων ἀναστάσει ταῖς τε
λοιπαῖς τιμαῖς τὴν δοθεῖσαν χάριν ἐπιστώσατο. ἐπεὶ δὲ αὐ-
τῷ τὰ πρὸς τὸν Ἀλβῖνον διὰ σοφίας ἀσφαλῶς εἶχεν, οὐδέ τι
δέος ἦν ἀπὸ Βρεταννίας, τό, τε Ἰλλυρικὸν στράτευμα σὺν αὐ-
τῷ πᾶν εἶχε, διοικεῖσθαι νομίζων πάντα λυσιτελῶς τῇ ἑαυ-
τοῦ ἀρχῇ· ἐπὶ τὸν Νίγρον ἠπείγετο. τῆς μὲν οὖν ὁδοιπορίας
τοὺς σταθμοὺς, καὶ τὰ καθ' ἑκάστην πόλιν αὐτῷ λεχθέντα, D
καὶ σημεῖα θείᾳ προνοίᾳ δόξαντα πολλάκις φανῆναι, χω-
ρία τε ἕκαστα καὶ παρατάξεις καὶ τὸν τῶν ἑκατέρωθεν πε-
σόντων ἀριθμὸν στρατιωτῶν ἐν ταῖς μάχαις, ἱστορίας τε πολ-
λοὶ συγγραφεῖς καὶ ποιηταὶ μέτρων, πλατύτερον συνέτα-
ξαν, ὑπόθεσιν ποιούμενοι πάσης τῆς πραγματείας τὸν
Σεβήρου βίον· ἐμοὶ δὲ σκοπὸς ὑπάρχει, ἐτῶν ἑβδομήκοντα
πράξεις πολλῶν βασιλέων συντάξαντι γράψαι, ἃς αὐτὸς
οἶδα. τὰ κορυφαιότατα τοίνυν, καὶ συντέλειαν ἔχοντα τῶν
κατὰ μέρος πεπραγμένων Σεβήρῳ, ἐν τοῖς ἑξῆς διηγήσο-
μαι, οὐδὲν οὔτε πρὸς χάριν εἰς ὕψος ἐξαίρων, (ὥσπερ ἐποίη-
σαν οἱ κατ' ἐκεῖνον γράψαντες) οὔτε παραλείπων εἴ τι λό-
γου καὶ μνήμης ἄξιον.

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας βιβλίον τρίτον.

Τὸ μὲν δὴ Περτίνακος τέλος, καὶ Ἰουλιανοῦ καθαίρεσις, ἥτε Σεβήρου εἰς τὴν Ῥώμην ἄφιξις, ἥ τε ἐπὶ Νίγρον ἔξοδος, ἐν τῷ πρὸ τούτου συγγράμματι δεδήλωται. ὁ δὲ Νίγρος ἐπεὶ ἠγγέλη αὐτῷ μη-
B δὲν τοιοῦτον προσδεχομένῳ, κατειληφὼς μὲν τὴν Ῥώμην ὁ Σεβῆρος, ὑπό τε τῆς συγκλήτου αὐτοκράτωρ ἀναγορευθεὶς, ἄγειν δὲ πάντα ἐπ' αὐτὸν τὸν Ἰλλυρικὸν στρατὸν, πεζόν τε καὶ ναυτικὴν δύναμιν ἄλλην, ἐν μεγίστῃ ταραχῇ ἦν. διέπεμπέ τε κατὰ ἔθνη πρὸς τοὺς ἡγουμένους, τάς τε εἰσόδους πάσας καὶ λιμένας φυλάττεσθαι κελεύων. ἔπεμπε δὲ καὶ πρὸς τὸν βασιλέα Παρθυαίων τε καὶ Ἀρμενίων καὶ Ἀτρηνῶν, συμμάχους αἰτῶν. ὁ μὲν οὖν Ἀρμένιος ἀπεκρίνατο μηδετέρῳ συμμαχήσειν, ἀγαπητῶς δὲ τὰ ἑαυτοῦ φυλάξειν, ἤδη προσιόντος Σεβήρου· ὁ δὲ Παρθυαῖος ἐπιστελεῖν ἔφη τοῖς σατράπαις, δύναμιν ἀθροίζειν. οὔπω γὰρ εἰώ-
C θει ὁπηνίκα ἂν δεηθῇ στρατὸν συλλέγειν, τῷ μὴ ἔχειν μισθοφόρους καὶ συνεστὸς στρατιωτικόν. Ἀτρηνοὶ δὲ ἦλθον αὐτῷ τοξόται σύμμαχοι, πέμψαντος Βαρσημίου, ὃς τῶν τόπων ἐβασίλευε. τὸ δὲ λοιπὸν στρατιωτικὸν ἤθροιζεν ἐκ τῶν ἐκεῖ στρατοπέδων πάντων. πλεῖστοι δὲ καὶ τῶν δημοτῶν τῆς Ἀντιοχείας, μάλιστα ὑπὸ κουφότητος νεανίαι, καὶ τῆς περὶ τὸν Νίγρον σπουδῆς, ἐπίδοσαν αὑτοὺς ἐς στρατείαν, προπετῶς μᾶλλον ἢ ἐμπείρως τοῦτο ποιοῦντες. ἐκέλευε δὲ καὶ τοῦ Ταύρου ὄρους

τὰ στενὰ καὶ κρημνώδη διαφράττεσθαι, γενναίοις τείχεσί τε
καὶ ἐρύμασι, πρόβλημα ὀχυρὸν νομίζων τὴν ἐν τῇ ἀνα-
τολῇ ὁδῶν, τὸ δύσβατον τοῦ ὄρους. ὁ γὰρ Ταῦρος μεταξὺ ὢν 392
Καππαδοκίας καὶ Κιλικίας, διακρίνει τά τε τῇ ἄρκτῳ καὶ A
τὰ τῇ ἀνατολῇ ἔθνη προσκείμενα. προὔπεμψέ τε καὶ
στρατιὰν προκαταληψομένην τὸ Βυζάντιον, πόλιν τὴν ἐπὶ
Θρᾴκης μεγίστην τότε καὶ εὐδαίμονα, πλήθει τε ἀνδρῶν
καὶ χρημάτων ἀκμάζουσαν. κειμένη γὰρ ἐπὶ τῷ στενωτάτῳ
τῆς Προποντίδος πορθμῷ, προσόδοις ταῖς ἀπὸ θαλάττης,
τελῶν τε καὶ ἁλιείας μεγάλως ὠφελεῖτο. γῆν τε πολλὴν καὶ
εὐδαίμονα κεκτημένη, ἐξ ἑκατέρων τῶν στοιχείων πλεῖστα
ἐκέρδαινεν· ὅθεν τὴν οὖσαν δυνατωτάτην ὁ Νίγρος προ-
καταλαβεῖν ἠθέλησε, καὶ μάλιστα ἐλπίζων δυνήσεσθαι κω-
λύειν τὴν ἀπὸ τῆς Εὐρώπης ἐς τὴν Ἀσίαν κατὰ τὸν πορ- B
θμὸν διάβασιν. περιτετείχιστό τε γενναίῳ τε καὶ μεγίστῳ ἡ
πόλις τείχει, πεποιημένῳ Μιλησίου λίθου, εἰς τετράγωνον
εἰργασμένου, τοσαύτῃ τε συναφείᾳ καὶ κολλήσει ὡς μηδένα
οἴεσθαι τὸ ἔργον συνθετόν, ἑνὸς δὲ λίθου πᾶν πεποιῆσθαι. ἔτι
γοῦν καὶ νῦν τὰ μένοντα αὐτοῦ ἐρείπια καὶ λείψανα ἰδόν-
τι, θαυμάζειν ἔστι καὶ τὴν τέχνην τῶν τὴν ἀρχὴν κατα-
σκευασάντων, καὶ τὴν ἀρχὴν τῶν ὕστερον καθῃρηκότων. ὁ
μὲν δὴ Νίγρος οὕτως ἐξήρτυε τὰ καθ᾽ ἑαυτόν, προμηθέ-
στατα καὶ ἀσφαλέστατα, ὡς ᾤετο. ὁ δὲ Σεβῆρος ὡς ἔνι
μάλιστα σὺν τῇ στρατιᾷ ἠπείγετο, μηδὲν ῥᾳθυμίᾳ μηδ᾽ ἀ- C
ναπαύλῃ νέμων. μαθὼν δὲ τὸ Βυζάντιον προκατειλημμέ-
νον, καὶ εἰδὼς ὀχυρώτατα τετειχισμένον, ἐπὶ Κύζικον τὸν στρα-
τὸν οἷς ἔλθοι διαβαίνειν. ὁ δὲ τῆς Ἀσίας ἡγούμενος Αἰμιλια-
νός, ᾧ τὴν πρόνοιαν καὶ στρατηγίαν ὁ Νίγρος ἐγκεχειρίκει,
μαθὼν ἐπιόντα τὸν τοῦ Σεβήρου στρατόν, τὴν ἐπὶ Κύζικον καὶ
αὐτὸς ἐβάδιζε, ἄγων τήν τε στρατιὰν πᾶσαν ἣν αὐτὸς συνειλέχει
καὶ ἣν ὁ Νίγρος ἐπεπόμφει. ὡς δὲ συνέβαλον ἑκατέρωθεν τὰ

στρατεύματα, μάχαι καρτεραὶ γίνονται κατ' ἐκεῖνα τὰ χωρία, καὶ κρατεῖ τὸ Σεβήρου στράτευμα. φυγή τε πολλὴ ἐξόπι καὶ φόνος πολὺς τῶν τοῦ Νίγρου στρατιωτῶν γίνεται, ὡς
D τῶν μὲν ἀνατολικῶν ἀξίως θραῦσαι τὴν ἐλπίδα, τῶν δὲ Ἰλλυριῶν ἐπιρρῶσαι. φασὶ δέ τινες προδοθέντα τὰ Νίγρου πράγματα ὑπὸ Αἰμιλιανοῦ, ἀθρόως ἐν ἀρχῇ διαφθαρῆναι. διττὴν δὲ λέγουσι τῆς τοιαύτης προαιρέσεως τοῦ Αἰμιλιανοῦ τὴν αἰτίαν. οἱ μὲν γὰρ φθονοῦντα τῷ Νίγρῳ ἐπιβουλεῦσαι, ἀγανακτοῦντα ὅτι δὴ διάδοχος αὐτοῦ γενόμενος τῆς ἐν Συρίᾳ ἀρχῆς, ἔμελλεν ἔσεσθαι κρείττων, ἅτε βασιλεὺς καὶ δεσπότης. οἱ δέ φασιν αὐτὸν ἀναπεισθῆναι ὑπὸ τῶν παίδων, ἐπιστειλάντων καὶ δεηθέντων ὑπὲρ τῆς ἑαυτῶν
393 σωτηρίας. οὓς ἐν τῇ Ῥώμῃ εὑρὼν ὁ Σεβῆρος, συλλαβὼν
A εἶχεν ἐν φρουρᾷ. ἐχρήσατο γὰρ καὶ τούτῳ σοφίσματι προμηθεστάτῳ. ἔθος ἦν τῷ Κομμόδῳ κατέχειν τοὺς παῖδας τῶν εἰς τὰ ἔθνη πεμπομένων ἡγεμόνων, ὡς ἔχοι ὅμηρα τῆς τε εὐνοίας αὐτῶν καὶ πίστεως. εἰδὼς τοίνυν τοῦτο ὁ Σεβῆρος, ἅμα τῷ βασιλεὺς ἀναδειχθῆναι, καὶ τοῦ Ἰυλιανοῦ ἔτι περιόντος, πέμψας λάθρα, διὰ φροντίδος ἔσχε τοὺς παῖδας αὐτῶν τῆς Ῥώμης ἐκκλαπέντας, μὴ γενέσθαι ἐν ἑτέρου ἐξουσίᾳ. αὐτὸς δ' ἅμα τῷ τῆς Ῥώμης ἐπιβῆναι, συλλαβὼν πάντας τοὺς τῶν ἡγεμόνων, ἢ τῶν ὁπηδὴ πραχθέντων κατὰ τὴν ἀνα-
B τολὴν καὶ πᾶσαν τὴν Ἀσίαν φρουρᾷ δοὺς, εἶχε σὺν αὑτῷ, ὅπως ἢ πόθῳ τῆς τῶν παίδων σωτηρίας οἱ ἡγεμόνες τὰ Νίγρου προδιδοῖεν, ἢ μένοντες ἐπὶ τῆς πρὸς ἐκεῖνον εὐνοίας, φθάσωσί τι κακὸν παθεῖν, διὰ τῆς τῶν παίδων ἀναιρέσεως, ἢ δράσωσιν αὐτοί. γενομένης δὲ τῆς ἥττης κατὰ τὴν Κύζικον, ἔφυγον οἱ τοῦ Νίγρου ὡς ἕκαστος ἐδύνατο, σπεύδοντες οἱ μὲν περὶ τὰς ὑπωρείας τῆς Ἀρμενίας, οἱ δὲ τὴν ἐπὶ Γαλατίας τε καὶ Ἀσίας, φθάσαι θέλοντες τὸν Ταῦρον ὑπερβῆναι καὶ ἐντὸς τοῦ ἐρύματος γενέσθαι. ὁ δὲ τοῦ Σεβήρου στρατὸς πε-

τῆς περαιωθεὶς διὰ τῆς Κυζικηνῆς χώρας, διαβάς τε ἐπὶ τὴν C
Βιθυνίαν ὅμορον οὖσαν, ἠπείγετο. ὡς δὲ διέδραμε φήμη τῆς
Σεβήρου νίκης, εὐθὺς ἐν πᾶσι τοῖς ἔθνεσιν ἐκείνοις στάσις τε
διάφορος γνώμη ἐνέπεσε ταῖς πόλεσιν, οὐχ οὕτω τῇ πρὸς
τοὺς πολεμοῦντας βασιλέας ἀπεχθείᾳ τινὶ ἢ εὐνοίᾳ, ὡς ζή-
λῳ καὶ ἔριδι τῇ πρὸς ἀλλήλας, φθόνῳ τε καὶ καθαιρέσει
τῶν ὁμοφύλων. ἀρχαῖον τοῦτο πάθος Ἑλλήνων, οἳ πρὸς ἀλ-
λήλους στασιάζοντες ἀεὶ, καὶ τοὺς ὑπερέχειν δοκοῦντας κα-
θαιρεῖν θέλοντες, ἐτρύχωσαν τὴν Ἑλλάδα. ἀλλὰ τὰ μὲν
ἐκείνων γηράσαντα, καὶ παρ' ἀλλήλοις συντριβέντα, Μα-
κεδόσιν εὐάλωτα καὶ Ῥωμαίοις δοῦλα γεγένηται. τὸ δὲ D
πάθος τοῦτο τοῦ ζήλου καὶ φθόνου, μετῆλθεν εἰς τὰς καθ'
ἡμᾶς ἀκμαζούσας πόλεις. κατὰ μὲν οὖν τὴν Βιθυνίαν, εὐθὺς
μετὰ τὰ ἐν Κυζίκῳ Νικομηδεῖς μὲν Σεβήρῳ προσέθεντο,
καὶ πρέσβεις ἔπεμπον, τήν τε στρατιὰν ὑποδεχόμενοι, καὶ
πάντα παρέξειν ὑπισχνούμενοι· Νικαεῖς δὲ, τῷ πρὸς Νι-
κομηδέας μίσει, τἀναντία ἐφρόνουν, καὶ τὸν στρατὸν τοῦ Νί-
γρου ὑπεδέχοντο, εἴ τέ τινες ἐκ τῶν φυγόντων κατέφυγον
πρὸς αὐτοὺς, καὶ τοὺς πεμφθέντας ὑπὸ τοῦ Νίγρου φρουρεῖν
Βιθυνίαν. ἑκατέρωθεν οὖν ἐκ τῶν πόλεων, ὡς ἀπὸ στρατο- 394
πέδων ὁρμώμενοι, συνέβαλλον ἀλλήλοις, καὶ μάχης καρτε- A
ρᾶς γενομένης, πολὺ περιεγένοντο οἱ τοῦ Σεβήρου. φυγόντες
δὲ οἱ τοῦ Νίγρου κἀκεῖθεν, ὅσοι περιελείφθησαν, ἐπὶ τὰ στε-
νὰ τοῦ Ταύρου ἠπείγοντο. ἀποκλείσαντές τε τὸ ἔρυμα, ἐφύ-
λαττον. ὁ δὲ Νίγρος φρουρὰν καταλιπὼν τοῦ ἐρύματος, ὡς
ᾤετο, αὐτάρκη, εἰς τὴν Ἀντιόχειαν ἠπείγετο, στρατιὰν ἀθροί-
ζων καὶ χρήματα. ὁ δὲ τοῦ Σεβήρου στρατὸς περαιωθεὶς,
διά τε Βιθυνίας καὶ Γαλατίας ἐμβαλὼν εἰς Καππαδο-
κίαν, προσκαθεζόμενος τὸ ἔρυμα ἐπολιόρκει. πράγματά
τε εἶχον οὐ μικρὰ, δυσβάτου διὰ στενότητα καὶ τραχύτητα B
οὔσης τῆς ὁδοῦ, βαλλόντων τε αὐτοὺς ἄνωθεν λίθοις, καὶ

γενναίως ἀπομαχομένων τῶν ἐφεστώτων ταῖς ἐπάλξεσι τοῦ
τείχους. ῥᾳδίως δὲ ὀλίγοι πολλοὺς ἐκώλυον. τῆς γὰρ ὁδοῦ
στενῆς οὔσης, τὸ μὲν ἕτερον μέρος ὕψιστον ὄρος σκέπει· ἐπὶ θά-
τερα δὲ, κρημνὸς βαθὺς τοῖς ἐκ τῶν ὀρῶν συρρέουσιν ὕδασι
πόρος γίνεται· ὅπερ καὶ αὐτὸ πάμπαν παρεπέφρακτο ὑπὸ
τοῦ Νίγρου, τοῦ πανταχόθεν κωλύεσθαι ἕνεκα τὴν δίοδον τοῦ
στρατοῦ. κατὰ μὲν δὴ Καππαδοκίαν ταῦτα ἐπράττετο. ἐστα-
σίασαν δὲ πρὸς ἀλλήλους τῷ αὐτῷ ζήλῳ καὶ μίσει, Λαοδί-
C κεια μὲν κατὰ Συρίαν, Ἀντιοχέων μίσει· κατὰ δὲ Φοινίκην, Τύ-
ριοι, Βηρυτίων ἔχθει. μαθόντες τε τὸν Νίγρον πεφευγότα,
τὰς μὲν τιμὰς ἐκείνου καθελεῖν ἐπειράθησαν, τὸν δὲ Σε-
βῆρον εὐφήμησαν. ὡς δὲ γενόμενος ἐν Ἀντιοχείᾳ ταῦτα ὁ Νί-
γρος ἐπύθετο, ἄλλως μὲν τὸ ἦθος πρότερον χρηστὸς ὤν, ἀ-
γανακτήσας δὲ τότε εἰκότως ἐπὶ τῇ ἀποστάσει αὐτῶν καὶ ὕ-
βρει, ἐπιπέμπει ταῖς πόλεσιν ἀμφοτέραις Μαυρουσίους τε
ἀκοντιστὰς οὓς εἶχε, καὶ μέρος τοξοτῶν, φονεύειν τε τὸν ἐν-
τυγχάνοντα κελεύσας, καὶ διαρπάζειν τὰ ἐν ταῖς πόλεσιν,
D αὐτάς τε ἐμπιπράναι. οἱ δὲ Μαυρούσιοι ὄντες φονικώτα-
τοι, καὶ διὰ τὸ θανάτου καὶ κινδύνων ῥᾳδίως καταφρο-
νεῖν πάντα τολμῶντες, μετ' ἀπογνώσεως ἐπιπεσόντες τοῖς
Λαοδικεῦσιν οὐ προσδοκῶσι, παντὶ τρόπῳ τόν τε δῆμον καὶ
τὴν πόλιν ἐλυμήναντο· ἐκεῖθέν τε σπεύσαντες ἐπὶ τὴν Τύ-
ρον, πᾶσάν τε ἐνέπρησαν, καὶ πολλὴν ἁρπαγὴν καὶ φόνον
εἰργάσαντο. τούτων κατὰ Συρίαν γενομένων, καὶ στρατοῦ ὑπὸ
Νίγρου ἀθροιζομένου, ὁ τοῦ Σεβήρου στρατὸς προσκαθεζό-
μενος τὸ ἔρυμα ἐπολιόρκει. ἦσαν δὲ οἱ στρατιῶται ἐν πολλῇ
ἀθυμίᾳ καὶ ἀπογνώσει, ὀχυροῦ τε ὄντος καὶ δυσμάχου καὶ
395 περιφραττομένου ὄρει τε καὶ κρημνῷ. ἤδη δὲ τῶν μὲν τοῦ Σε-
A βήρου ἀπειρηκότων, τῶν δὲ ἐναντίων ἀμέριμνον ἔχειν
τὴν φρουρὰν οἰομένων, νύκτωρ αἰφνιδίως ὄμβρων μεγί-
στων καταρραγέντων, χιόνος τε πολλῆς (δυσχείμερος γὰρ

πάσης ἡ Καππαδοκία, ἐξαιρέτως δὲ ὁ Ταῦρος) μέγας καὶ
σφοδρὸς χειμάρροις καταρραγεὶς, ἐμποδισθέντος αὐτῷ
τοῦ συνήθους δρόμου, καὶ τοῦ ἐρύματος ἐπισχόντος τὸ
ῥεῖθρον, πολύς καὶ βίαιος γενόμενος, τῆς τε φύσεως νικώ-
σης τὴν τέχνην, μὴ δυναμένου τοῦ τείχους ἀντέχειν τῷ
ῥεύματι, διέσεισε τῷ ὕδατι κατ' ὀλίγον αὐτοῦ τὰς ἁρμο-
γὰς, ὑποχωρούντων τῶν θεμελίων τῷ ῥείθρῳ, ἅτε διὰ
σπουδῆς καὶ οὐ μετ' ἐπιμελείας κατασκευασθέντων,
πᾶν ὤφθη· τὸν δὲ τόπον ὁ χειμάρροις ἀνοίξας, ὡδοποίη-
σεν. ὅπερ ἰδόντες οἱ ἐπὶ τοῦ ἐρύματος φύλακες, φοβη- B
θέντες μὴ κυκλωθεῖεν, ὑπεξελθόντων αὐτοῖς τῶν πο-
λεμίων μετὰ τὴν τοῦ χειμάρρου ἀπόρρυσιν, μηκέτι ὄν-
τος τοῦ κωλύοντος, καταλιπόντες τὴν φρουρὰν, φεύγουσιν.
ὁ δὲ τοῦ Σεβήρου στρατὸς ἡσθεὶς τῷ γενομένῳ, ταῖς τε ψυ-
χαῖς ἐπιρρωσθεὶς ὡς προνοίᾳ θείᾳ ὁδηγούμενος, συνεὶς δὲ
ἀποδεδρακότας τοὺς φύλακας, ἀμαρεί τε καὶ ἀκωλύ-
τως διαβὰς τὸν Ταῦρον, ἐπὶ Κιλικίαν ἠπείγετο. ὁ δὲ Νίγρος
μαθὼν τὰ συμβάντα, πολλὴν στρατιὰν ἀθροίσας, πλὴν ἄ-
πειρον μάχης καὶ πόνων μετὰ σπουδῆς τὴν πορείαν ἐποι-
εῖτο. πολὺ γάρ τι πλῆθος, καὶ σχεδὸν πᾶσα ἡ νεολαία τῶν C
Ἀντιοχέων εἰς στρατείαν, καὶ τὸν ὑπὲρ αὐτοῦ κίνδυνον, ἐπέ-
δωκεν αὑτήν. τὸ μὲν οὖν πρόθυμον τοῦ στρατοῦ, ὑπῆρχεν
αὐτῷ· τοῦ δὲ ἐμπείρου καὶ γενναίου πολὺ τῶν Ἰλλυριῶν ἀ-
πέλιπον. συνέρχεται δὲ ἑκατέρωθεν ὁ στρατὸς εἰς τὸ κατὰ
τὸν Ἰσσικὸν καλούμενον κόλπον, πεδίον πλατύτατόν τε καὶ
ἐπιμηκέστατον. ᾧ περίκειται μὲν λόφος εἰς θεάτρου σχῆ-
μα, αἰγιαλὸς δὲ ἐπὶ θαλάσσης μέγιστος ἐκτείνεται, ὥσπερ
τῆς φύσεως ἐργασαμένης στάδιον μάχης. ἐκεῖ φασι καὶ Δα-
ρεῖον Ἀλεξάνδρῳ τὴν ὑστάτην καὶ μεγίστην μάχην συμ-
βαλόντα, ἡττηθῆναι τε καὶ ἁλῶναι ὑπὸ τῶν ἀρκτῴων ἀν-
δρῶν, καὶ τότε τοὺς ἀνατολικοὺς νενικηκότων. μένει δὲ ἔτι D

νῦν τρόπαιον καὶ δεῖγμα τῆς νίκης ἐκείνης, πόλις ἐπὶ τοῦ
λόφου, Ἀλεξάνδρεια καλουμένη, ἄγαλμά τε χαλκοῦν, οὗ
τὴν προσηγορίαν ὁ τόπος φέρει. συνέβη δὲ καὶ τῶν στρα-
τοπέδων τοῦ Σεβήρου τε καὶ Νίγρου, μὴ τὴν σύνοδον μό-
νον κατ' ἐκεῖνο γενέσθαι τὸ χωρίον, ἀλλὰ καὶ τὴν τύχην
ὁμοίαν τῆς τύχης. αἱ στρατοπεδευσάμεναι γὰρ ἑκατέρωθεν
περὶ ἑσπέραν, πάσης τῆς νυκτὸς ἐν φροντίσιν. ἑκάτεροι, καὶ
396 δέει διαγρυπνήσαντες, ἅμα ἡλίῳ ἀνίσχοντι ἐπ' ἀλλήλους ἠ-
A πείγοντο, παρορμώντων ἑκατέρωθεν τῶν στρατηγῶν. προ-
θυμίᾳ δὴ πάσῃ ἐνέπιπτον, ὡς ὑπὲρ λοιπῆς καὶ τελευταίας
ἐκείνης μάχης, κἀκεῖ τῆς τύχης διακρινούσης τὸν βασιλέα.
ἐπὶ πολὺ δὲ αὐτῶν διαγωνισαμένων, πολλοῦ τε ἐργασθέν-
τος φόνου, ὡς καὶ τὰ ῥεῖθρα τῶν διὰ τοῦ πεδίου ποταμῶν
ῥεόντων, αἵματος πλεῖον ἢ ὕδατος κατάγειν εἰς θάλασ-
σαν, τροπὴ τῶν ἀνατολικῶν γίνεται. ἐκβιασάμενοι δὲ αὐ-
τοὺς οἱ Ἰλλυριοί, τοὺς μὲν εἰς τὴν παρακειμένην θάλασσαν
τιτρώσκοντες ἐξωθοῦσι, τοὺς δὲ φεύγοντας ἐπὶ τοὺς λόφους
B διώκοντες, αὐτούς τε φονεύουσι, καὶ πολύ τι πλῆθος ἄλλων
ἀνθρώπων, ὅσοι ἔκ τε τῶν περικειμένων πόλεων καὶ ἀγρῶν
ἤθροιστο, ὡς ἀπ' ἀσφαλοῦς τοῦ τόπου τὰ γινόμενα θεάσοιντο.
ὁ δὲ Νίγρος ἵππῳ γενναίῳ ἐποχούμενος, φεύγει μετ' ὀλί-
γων, ἔς τε τὴν Ἀντιόχειαν ἀφικνεῖται. καταλαβὼν δὲ φεύ-
γοντα τὸν λοιπὸν δῆμον εἴ τις καταλέλειπτο, οἰμωγήν τε
καὶ πένθος ἐν τῇ πόλει, παῖδάς τε καὶ ἀδελφοὺς θρηνούν-
των, γενόμενος ἐν ἀπογνώσει καὶ αὐτὸς ἐκ τῆς Ἀντιοχείας
ἀποδιδράσκει καὶ ἔν τινι προαστείῳ κρυπτόμενος, εὑρεθείς
τε ὑπὸ τῶν διωκόντων ἱππέων καὶ συλληφθείς, τὴν κεφα-
λὴν ἀπετμήθη. τέλει μὲν δὴ τούτῳ ὁ Νίγρος ἐχρήσατο,
C μελλήσεως καὶ βραδυτῆτος δοὺς δίκας, τὰ ἄλλα (ὥς φα-
σι) γενόμενος μήτε φαῦλος ἄνθρωπος, μήτε ἄρχων μήτε ἰ-
διώτης. ὁ δὲ Σεβῆρος καθελὼν τὸν Νίγρον, τοὺς μὲν φίλους

αὐτοῦ, καὶ εἴ τινες οὐ μόνον ἐκ προαιρέσεως, ἀλλὰ δι' ἀνάγ-
κης προσέθεντο αὐτῷ, πάντας ἀφειδῶς ἐκόλασε. τοὺς δὲ
στρατιώτας ὅσοι διαδεδράκεσαν, πυνθανόμενος φρουρουμέ-
νους τὸν Τίγριδα ποταμὸν, διά τε τὸ ἐκ Σεβήρου δέος ἀπι-
όντας πρὸς τοὺς βαρβάρους, πάντας ἤγαγε, δοὺς ἀμνη-
στίαν. πολὺ γὰρ πλῆθος αὐτῶν ἀνεχώρησεν εἰς τὴν ἀλλοδα-
πήν· ὅπερ καὶ μάλιστα αἴτιον ἐγένετο μαχιμώτερα ὕστερον
γενέσθαι πρὸς τὴν συστάδην μάχην Ῥωμαίων, τὰ τῶν ὑπ'
ἐκεῖνα βαρβάρων. πρότερον μὲν γὰρ τοξεύειν μόνον ἵπποις
ἐποχούμενοι ᾔδεσαν, μήτε πανοπλίᾳ φράσσοντες αὐτούς,
μήτε τῇ διὰ δοράτων καὶ ξιφῶν θαρροῦντες μάχῃ, κού-
φαις δὲ καὶ παρῃωρημέναις μόναις ἐσθῆσι κοσμούμενοι. τὰ D
πλεῖστα γοῦν φεύγοντες, εἰς τοὐπίσω τε τοξεύοντες ἐμάχον-
το. τῶν δὲ φυγάδων στρατιωτῶν πολλῶν τε ἐν αὐτοῖς τεχνι-
τῶν παρ' αὐτοῖς γενομένων, καὶ τὸν ἐκεῖ βίον ἑλομένων, οὐ
μόνον χρῆσθαι ἀλλὰ καὶ ἐργάζεσθαι ὅπλα ἐδιδάχθησαν.
διοικήσας δὲ ὁ Σεβῆρος τὰ ἐπὶ τῆς ἀνατολῆς ὡς ᾤετο ἄ-
ριστα καὶ ἑαυτῷ λυσιτελέστατα, ἠθέλησεν εὐθέως ὁρμῆσαι
ἐπὶ τὸν Ἀτρηνῶν βασιλέα, ἔς τε τὴν Παρθυαίων γῆν
διαβῆναι. ἐπεκάλει γὰρ ἀμφοτέροις φιλίᾳ Νίγρου. ἀλλὰ
ταῦτα μὲν εἰς ὕστερον ἀνέθετο. πρῶτον δὲ πᾶσαν τὴν ἀρ- 397
χὴν Ῥωμαίων εἰς ἑαυτὸν καὶ τοὺς παῖδας μεταγαγεῖν καὶ A
βεβαιῶσαι ἠθέλησε. καθῃρημένου γὰρ τοῦ Νίγρου, ὀχληρὸς καὶ
ἔφεδρος αὐτῷ ὁ Ἀλβῖνος ἐνομίζετο. ἔτι τε καὶ ἤκουεν αὐ-
τὸν βασιλικώτερον ἐντρυφῶντα τῷ τοῦ Καίσαρος ὀνόματι.
πολλούς τε μάλιστα τοὺς ἐξέχοντας τῆς συγκλήτου βουλῆς ἰ-
δίᾳ καὶ κρύβδην ἐπιστέλλοντας αὐτῷ, εἴς τε τὴν Ῥώμην
ἐλθεῖν πείθοντας, ἀπόντος καὶ ἀσχολουμένου τοῦ Σεβήρου.
ᾑροῦντο γὰρ οἱ εὐπατρίδαι ἐκεῖνον μᾶλλον ἄρχοντα, ἅτε ἐκ
προγόνων εὖ γεγονότα καὶ χρηστὸν τὸ ἦθος εἶναι λεγόμενον. ἅ-
περ πυνθανόμενος ὁ Σεβῆρος, φανερὰν μὲν εὐθὺς πρὸς B

αὐτὸν ἔχθραν ἄρασθαι καὶ πόλεμον ἐγεῖραι πρὸς ἄνδρα, μηδεμίαν εὔλογον παρεσχημένον αἰτίαν, παρῃτήσατο· ἔδοξε δὲ αὐτῷ ἀπόπειραν ποιήσασθαι, εἰ δύναιτο ἀποσκευάσασθαι λαθὼν καὶ ἐξαπατήσας αὐτόν. μεταπεμψάμενος οὖν τοὺς πιστοτάτους τῶν εἰωθότων τὰ βασιλικὰ γράμματα διακομίζειν, δίδωσιν αὐτοῖς ἐντολὰς ἀπορρήτους, εἰ γένοιντο παρ' αὐτῷ, τὰ μὲν γράμματα δημοσίᾳ ἀποδοῦναι, ἀξιῶσαι δὲ αὐτὸν ἰδιαίτερον ἀποστάντα, ἐπακοῦσαι ἀπορρήτων ἐντολῶν· πειθέντι τε δορυφόρων ἐρήμῳ ἐπιπεσεῖν αἰφνι-
C δίως καὶ φονεῦσαι. ἔδωκε δὲ αὐτοῖς καὶ δηλητήρια φάρμακα, ὅπως τινὰς πεῖσαι δυνηθεῖεν ἢ τῶν ὀψοποιῶν, ἢ τῶν περὶ τὰς κύλικας, λαθρὶ καὶ ἐπιδοῦναι αὐτῷ· ὑποπτευόντων τῶν περὶ αὐτὸν φίλων, καὶ συμβουλευόντων αὐτῷ φυλάττεσθαι ἄνδρα ἀπατεῶνα σοφόν τε πρὸς ἐπιβουλήν. διαβεβλήκεισαν γὰρ αὐτοῦ τὸ ἦθος αἱ πρὸς τοὺς ἡγεμόνας τοῦ Νίγρου πράξεις. πείσας γὰρ αὐτοὺς διὰ τῶν παίδων, ὡς προείρηται, προδοῦναι τὰ τοῦ Νίγρου πράγματα, μετὰ τὸ ἀποχρήσασθαι αὐτῶν τῇ ὑπηρεσίᾳ, καὶ κατορθῶσαι πάντα ἃ ἐβούλετο, ἀνεῖλεν αὐτούς τε καὶ παῖδας. τὸ οὖν ὕπουλον αὐτοῦ ἦθος μάλιστα ἐκ τῶν ἔργων ἐδηλοῦτο. ταύτῃ ὁ
D Ἀλβῖνος καὶ φρουρᾷ μείζονι ἔφραττεν ἑαυτόν. οὔτε γάρ τις αὐτῷ τῶν ἀπὸ τοῦ Σεβήρου ἀφικνουμένων ἄλλως προσῄει, εἰ μὴ πρότερον ἀποθέμενος ὅπερ περιέκειτο ξίφος στρατιωτικόν, ἐρευνηθείη τε μή τι φέροι ὑπὸ κόλπον. ὡς δὴ οὖν ἀφίκοντο οἱ τοῦ Σεβήρου ἀγγελιαφόροι, τά τε γράμματα δημοσίᾳ ἀποδόντες, ἠξίουν αὐτὸν ἀποστάντα ἐπακοῦσαι τινῶν ἀπορρήτων, ὑποπτεύσας ὁ Ἀλβῖνος, συλληφθῆναι κελεύει αὐτούς, ἰδίᾳ τε βασανίσας, μανθάνει τὴν ἐπιβουλήν. καὶ τοὺς μὲν κολάζει, αὐτὸς δὲ ἤδη
598 ὡς πρὸς ὁμολογούμενον ἐχθρὸν παρεσκευάζετο. γνοὺς
A δὲ ταῦτα ὁ Σεβῆρος, καὶ πάντα μὲν ἐνθύμως πράττων,

ὀργῆς δὲ ἥττων ὢν φύσει, οὐκέτι τὴν ἔχθραν ἔκρυπτεν, ἀλλὰ συγκαλέσας πᾶν τὸ στρατιωτικόν, ἔλεξε πρὸς αὐτοὺς τοιάδε,

Μήτε κουφότητά τις ἡμετέραν οἷον ἐπὶ τοῖς πεπραγμένοις ἡμῖν ἐγκαλείτω, μήτ' ἄπιστον καὶ ἀγνώμονα πρὸς τὸν νομισθέντα φίλον ἡγείσθω. τὰ μὲν γὰρ παρ' ἡμῶν πάντα, ὑπῆρξεν αὐτῷ βεβαίας βασιλείας κοινωνία, πρᾶγμα τοῦ μόλις τις καὶ ἀδελφοῖς γνησίοις μεταδίδωσιν. ὃ δὲ ἐμοὶ μόνῳ ὑμεῖς ἐχειροτονήσατε, τοῦτ' ἐγὼ πρὸς ἐκεῖνον ἐνειμάμην. μεγάλων τέ μοι καὶ τοσούτων εἰς αὐτὸν εὐερ- B
γεσιῶν, ἀχαρίστους τὰς ἀμοιβὰς Ἀλβῖνος ἀποδίδωσιν· ὅπλα καὶ στρατὸν ἐφ' ἡμᾶς συσκευάζεται, καταφρονήσας μὲν τῆς ἡμετέρας ἀνδρείας, ἀμελήσας δὲ τῆς πρὸς με πίστεως, ἀπλήστῳ τῇ ἐπιθυμίᾳ βουλόμενος λαβεῖν μετὰ κινδύνων οὗ τὸ μέρος εἶχεν ἄνευ πολέμου καὶ μάχης· οὔτε θεοὺς αἰδεσθεὶς, οὓς πολλάκις ὤμοσεν, οὔτε τῶν ὑμετέρων καμάτων φεισάμενος, οὓς μετὰ τοσαύτης δόξης τε καὶ ἀρετῆς ὑπὲρ ἡμῶν ἐκάμετε. ἐν γὰρ οἷς κατωρθώσατε, κἀκεῖνος τὸ μέρος ἐκαρποῦτο. ἔσχε δ' ἄν τι καὶ μεῖζον εἰ καὶ τὸ πιστὸν ἐτήρει τῆς ἀμφοτέροις ἡμῖν παρ' ὑμῶν μεμερισμένης τιμῆς. ὥσπερ δὲ ἄδικον τὸ ἄρχειν ἔργων πονηρῶν, οὕτως ἄνανδρον C
τὸ μὴ ἀμύνεσθαι πρὸς ἀδικούμενον. καὶ Νίγρῳ μὲν πολεμοῦντες, οὐχ οὕτως εὐλόγους εἴχομεν αἰτίας ἔχθρας, ὡς ἀναγκαίας. οὐ γὰρ παρ' ἡμῖν προϋπάρχουσαν ἀρχὴν ὑφαρπάζων μεμίσητο, ἐν μέσῳ δὲ ἐρριμμένην καὶ ἀμφήριστον οὖσαν, ἑκάτερος ἡμῶν ἐξ ἰσοτίμου φιλοτιμίας εἰς αὑτὸν εἷλκεν· Ἀλβῖνος δὴ σπονδῶν καὶ ὅρκων καταφρονήσας, καὶ τούτου παρ' ἐμοῦ τυχὼν οὗ μόνῳ τις υἱῷ γνησίῳ μεταδίδωσιν, ἐχθρὸς μὲν ἀντὶ φίλου, πολέμιος δὲ ἀντὶ οἰκείου γενέσθαι προῄρηται. ὥσπερ δὲ αὐτὸν εὐεργετοῦντες πρότερον τιμῇ καὶ δόξῃ ἐτιμήσαμεν καὶ ἐκοσμήσαμεν, D

οὕτω καὶ νῦν αὐτοῦ τὸ ἄπιστον καὶ ἄνανδρον τοῖς ὅπλοις ἐ-
λέγξωμεν. οὐδὲ γὰρ ὑπομενεῖ ὁ ἐκείνου στρατὸς, ὀλίγος ὢν καὶ
νησιώτης, τὴν ὑμετέραν δύναμιν. οἱ γὰρ μόνοι καὶ καθ' αὑ-
τοὺς, προθυμίᾳ καὶ ἀνδρείᾳ τοσαύταις μάχαις ἐνικήσατε,
καὶ πᾶσαν ἀνατολὴν ὑπετάξατε, πῶς οὐχὶ νῦν, καὶ προσε-
λθούσης ὑμῖν τοσαύτης συμμάχου δυνάμεως, σχεδόν τε
παντὸς τοῦ Ῥωμαίων στρατοῦ ἐνταῦθα ὄντος, ῥᾷστα κρατή-
399 σετε ὀλίγων τε ὄντων καὶ μηδὲ ὑπὸ γενναίῳ καὶ νήφοντι
A ἀνδρὶ στρατηγουμένων; τίς γὰρ αὐτοῦ τὸ ἁβροδίαιτον οὐκ οἶ-
δεν, ὡς χοίροις αὐτοῦ μᾶλλον ἁρμόζειν τὸν βίον ἢ φάλαγ-
ξιν; ἴωμεν οὖν τῇ συνήθει χρώμενοι προθυμίᾳ τε καὶ αν-
δρείᾳ γενναίως ἐπ' αὐτὸν, θεούς τε ἔχοντες βοηθοὺς, οὓς
ἐπιορκήσας ἠσέβησε· τρόπαιά τε ἃ πολλάκις ἠγείραμεν, ὧν
ἐκεῖνος καταπεφρόνησε. Τοιαῦτά τινα εἰπόντος τοῦ Σεβήρου,
ὁ στρατὸς ἅπας τὸν μὲν Ἀλβῖνον πολέμιον ἀνηγόρευσεν, εὐ-
φημήσαντες δὲ τὸν Σεβῆρον, πᾶσάν τε προθυμίαν διὰ τῆς
B βοῆς ὑποσχόμενοι, ἔτι καὶ μᾶλλον παρώρμησαν αὐτὸν, ἀ-
γαθάς τε ὑπέφηναν τὰς ἐλπίδας. ὁ δὲ ἐπιδοὺς αὐτοῖς με-
γαλοφρόνως δωρεὰς, τῆς ἐπὶ τὸν Ἀλβῖνον ὁδοῦ εἴχετο. ἔ-
πεμψε δὲ καὶ τοὺς τὸ Βυζάντιον πολιορκήσοντας· ἔμενε γὰρ ἔτι
κεκλεισμένον, τῶν στρατηγῶν τοῦ Νίγρου ἐκεῖσε καταπεφευγόν-
των. ὅπερ ἑάλω ὕστερον λιμῷ· πᾶσά τε ἡ πόλις κατεσκά-
φη, καὶ θεάτρων τε καὶ λουτρῶν παντός τε κόσμου καὶ τι-
μῆς ἀφαιρεθὲν τὸ Βυζάντιον, κώμη δουλεύειν Περινθίοις
δῶρον ἐδόθη, ὥσπερ καὶ Ἀντιόχεια Λαοδικεῦσιν. ἔπεμψε δὲ
C καὶ χρήματα πλεῖστα εἰς ἀνοικισμὸν τῶν πόλεων ἃς ἦν λυ-
μηνάμενος ὁ Νίγρου στρατός. αὐτὸς δὲ τῆς ὁδοῦ εἴχετο, μη-
δεμίαν ἀνοχὴν ἀναπαύλης διδοὺς μήτε ἑορταῖς μήτε κα-
μάτοις, κρύους καὶ θάλπους ὁμοίως καταφρονῶν. πολλά-
κις γοῦν διὰ τῶν δυσχειμέρων καὶ ὑψηλοτάτων ὀρῶν τὴν
ὁδοιπορίαν ποιούμενος, ὑπὸ νιφετοῖς καὶ χιόσιν ἀκαλύ-

πίλῳ τῇ κεφαλῇ ὡδοιπόρει, προθυμίας καὶ ἀνδρείας τὸ ἐν-
δόσιμον τοῖς στρατιώταις ἔργῳ διδούς, ὡς μὴ μόνον αὐτοὺς
φόϐῳ καὶ νόμῳ ἀντέχειν πρὸς τοὺς καμάτους, ἀλλὰ μιμή-
σει καὶ ζήλῳ τοῦ βασιλέως. ἔπεμψε δὲ καὶ στρατὸν δυνά-
μεως, τὸν τὰ στενὰ τῶν Ἄλπεων καταληψόμενον, καὶ φρου-
ρήσοντα τῆς Ἰταλίας τὰς εἰσβολάς. ὡς δὲ ἀπηγγέλη τῷ Ἀλ D
ϐίνῳ μὴ μέλλων ὁ Σεϐῆρος, ἀλλ' ἤδη παρεσόμενος ὑπτιά-
ζοντι καὶ τρυφῶντι μεγάλην ταραχὴν ἐνέϐαλε. περαιω-
θεὶς δὲ ἀπὸ τῆς Βρεττανίας, ἐς τὴν ἀντικειμένην Γαλλίαν
ἐστρατοπέδευσεν. ἔπεμψέ τε εἰς πάντα τὰ γειτνιῶντα ἔθνη,
τοῖς τε ἡγουμένοις ἐπέστελλε χρήματά τε πέμπειν καὶ τρο-
φὰς τῷ στρατῷ. καὶ οἱ μὲν πεισθέντες, ἔπεμψαν ὀλεθρίως, (ὕ-
στερον γὰρ ἐκολάσθησαν) ὅσοι δὲ οὐκ ἐπίστευσαν, ἀτυχῶς μᾶλ-
λον γνόντες ἢ ἀϐούλως, ἐσώθησαν. ἡ γὰρ ἀπόϐασις καὶ ἡ τύ-
χη τοῦ πολέμου τὰς ἑκατέρων γνώμας ἔκρινεν. ἀφικομένης 400
δὲ τῆς τοῦ Σεϐήρου δυνάμεως εἰς τὴν Γαλλίαν, γεγόνασι A
μέν τινες ἀκροϐολισμοὶ καθ' ἕτερα χωρία· ἡ δὲ τελευ-
ταία περὶ Λουγδοῦνον, μεγάλην πόλιν καὶ εὐδαίμονα, ἐν
ᾗ κατακλείσας ἑαυτὸν ὁ Ἀλϐῖνος ἔμενε, τὸν δὲ στρατὸν εἰς τὴν
μάχην ἐξέπεμψε. γενομένης δὲ συμϐολῆς καρτερᾶς, ἐπὶ
πλεῖστον μὲν ἰσόρροπος ἔμενεν ἑκατέροις τῆς νίκης ἡ τύχη.
καὶ γὰρ οἱ Βρεττανοὶ ἀνδρείᾳ τε καὶ θυμῷ φονικῷ οὐδὲν τῶν
Ἰλλυρικῶν ἀπολείπονται. γενναίων οὖν στρατῶν μαχομένων, B
οὐ θατέρων ῥᾳδία ἦν ἡ τροπή. ὡς δέ τινες τῶν τότε ἱστόρησαν,
οὐ πρὸς χάριν ἀλλὰ πρὸς ἀλήθειαν λέγοντες, πολύ τι ὑ-
περέσχεν ἡ φάλαγξ τοῦ Ἀλϐίνου στρατοῦ καθ' ὃ μέρος ἐτέτα-
κτο Σεϐῆρος, καὶ ὁ σὺν αὐτῷ στρατός, ὡς φυγεῖν τε αὐτὸν
καὶ τοῦ ἵππου ἐκπεσεῖν· ἀπορρίψαντα δὲ τὴν χλαμύδα τὴν
βασιλικήν, λαθεῖν. ἤδη δὲ διωκόντων καὶ παιανιζόντων
τῶν Βρεττανῶν, ὡς δὴ νενικηκότων, ἐπιφανῆναι Λαῖτον,
στρατηγὸν ὄντα Σεϐήρου, σὺν τῷ στρατῷ οὗ ἦρχεν, ἀκμῆ-

τί τε ὄντι καὶ ἔξω μάχης γεγονότι. διαβάλλουσι δὲ αὐτὸν
ὡς καραδοκήσαντα τὴν ἀπόβασιν τῆς μάχης, καὶ ἑκόντα
βραδύναντα· τὸν δὲ ὑφ' ἑαυτῷ στρατὸν ἀκμῆτα τηρήσαν-
C τα, τὴν ἀρχὴν ἑαυτῷ μνώμενον, τότε ἐπιφανῆναι ὅτε
ἔμαθε τὸν Σεβῆρον πεπτωκότα. πιστοῦται δὲ τὴν διαβο-
λὴν ταύτην ἡ ἀπόβασις. ὕστερον γὰρ ὁ Σεβῆρος μετὰ τὸ πάν-
τα κατορθῶσαι, καὶ εἶναι ἐν ἀμερίμνῳ βίῳ, τοὺς μὲν ἄλλους
πάντας αὐτοῦ στρατηγοὺς μεγάλως ἠμείψατο, τὸν δὲ Λαῖ-
τον μόνον, ὡς εἰκὸς, μνησικακήσας διεχρήσατο. ἀλλὰ ταῦτα
μὲν ὕστερον ἐγένετο. τότε δ' οὖν, ὡς προείρηται, τοῦ Λαίτου
ἐπιφανέντος σὺν νεαρῷ τῷ στρατῷ, οἱ μὲν τοῦ Σεβήρου ἐπερ-
ρώσθησαν· τὸν δὲ Σεβῆρον τῷ ἵππῳ ἐπιβιβάσαντες, καὶ τὴν
D χλαμύδα περιέθεσαν. οἱ δὲ τοῦ Ἀλβίνου οἰόμενοι ἤδη νε-
νικηκέναι, καὶ ἀτακτότεροι εὑρεθέντες, αἰφνιδίως αὐτοῖς
ἐπιπεσούσης γενναίας καὶ οὐ προηγωνισμένης δυνάμεως,
ἐπ' ὀλίγον ἀντισχόντες εἶξαν· τροπῆς τε καρτερᾶς γενομέ-
νης, ἐδίωξαν αὐτοὺς φονεύοντες οἱ Σεβήρου, μέχρις οὗ ἐς
τὴν πόλιν εἰσέβαλον. τὸ μὲν οὖν πλῆθος τῶν ἑκατέρωθεν ἀ-
νῃρημένων ἢ ἁλόντων, ὡς ἕκαστος ἐβουλήθη τῶν τότε συγγρα-
ψάντων ἱστόρησεν. οἵ τε τοῦ Σεβήρου τήν τε πόλιν Λουγδοῦ-
νον διαρπάσαντες καὶ ἐμπρήσαντες, τόν τε Ἀλβῖνον συλλα-
βόντες, καὶ τῆς κεφαλῆς ἀφελόντες, κομίσαντες αὐτὴν τῷ
401 Σεβήρῳ, δισσὰ καὶ μέγιστα ἤγειραν τρόπαια, τὸ μὲν ἐν ἀνα-
A τολῇ, τὸ δ' ὑπ' ἄρκτῳ· ὡς μηδὲν ταῖς Σεβήρου μάχαις
ἢ νίκαις παραβάλλεσθαι, μήτε πλήθει δυνάμεως, μή-
τε ἐθνῶν κινήσεσιν, ἀριθμῷ τε παρατάξεων, ὁδοιπο-
ρείας τε μήκει καὶ τάχει. μεγάλαι μὲν γὰρ αἱ Καίσαρος
πρὸς Πομπήιον ἑκατέρωθεν στρατοπέδων Ῥωμαϊκῶν μά-
χαι, καὶ αὐτοῦ Σεβαστοῦ πρὸς Ἀντώνιον ἢ τοὺς Πομπηίου
παῖδας, εἴ τέ τι πρότερον Σύλλᾳ ἢ Μαρίῳ ἐν ἐμφυλίοις
καὶ Ῥωμαϊκαῖς μάχαις ἢ ἄλλαις πέπρακται· ἕνα δὲ ἄν-

ἄνδρα τρεῖς καθελόντα βασιλέας ἤδη κρατοῦντας, καὶ τοῦ B
μὲν ἐν Ῥώμῃ στρατοῦ σοφίᾳ περιγενέσθαι, καὶ τὸν ὄντα ἐν τῇ
βασιλείῳ αὐλῇ καθῃρηκέναι, τὸν δὲ τῶν ἐν τῇ ἀνατολῇ κρα-
τοῦντα πάλαι καὶ ὑπὸ Ῥωμαίων βασιλέα κληθέντα, τὸν
δὲ ἐν Καίσαρος τιμῇ καὶ ἐξουσίᾳ γενόμενον χειρωσάμενον
ἀνδρείᾳ, οὐκ ἔστιν ἄλλον ῥᾳδίως εἰπεῖν. τέλει μὲν δὴ τοιού-
τῳ ὁ Ἀλβῖνος ἐχρήσατο, πρὸς ὀλίγον ἀπολαύσας ὀλεθρίου
τιμῆς. ὁ δὲ Σεβῆρος θυμῷ καὶ ὀργῇ ἀθέως πρὸς τοὺς ἐν
Ῥώμῃ φίλους αὐτοῦ ἐχρῆτο· καὶ πέμψας τὴν κεφαλὴν τοῦ C
Ἀλβίνου, δημοσίᾳ ἀνασταυρωθῆναι κελεύει· γράμμασί τε
τῷ δήμῳ τὴν νίκην ἑαυτοῦ δηλώσας, ἐπὶ τέλει καὶ τοῦτο
προσέθηκε, πεπομφέναι τὴν κεφαλὴν αὐτοῦ, δημοσίᾳ πε-
ρίοπτον ἀνασταυρωθῆναι κελεύσας, ἵνα αὐτὸς οἷόν περ ἐ-
δείκνυεν αὐτοῖς τὸν θυμὸν ἴδῃ καὶ τὴν πρὸς ἐκείνους ὀρ-
γήν. διοικήσας δὲ τὰ κατὰ τὴν Βρεττανίαν, καὶ διελὼν εἰς
δύο ἡγεμονίας τὴν τοῦ ἔθνους ἐξουσίαν, τά τε κατὰ τὰς Γαλ-
λίας ὡς ᾤετο ἄριστα διαθείς, πάντας τε τοὺς Ἀλβίνου φί-
λους, εἴτε ἑκουσίως εἴθ' ὑπὸ ἀνάγκης αὐτῷ γνωρισθέντας, D
φονεύσας, τάς τε οὐσίας αὐτῶν δημεύσας, εἰς τὴν Ῥώμην
ἠπείγετο, ἄγων ἅπαντα τὸν στρατὸν σὺν αὐτῷ, ὡς φανείη
φοβερώτερος. ἀνύσας δὴ πολλῷ τὴν ὁδοιπορίαν τάχει, ὥσ-
περ ἦν ἔθος αὐτῷ, χαλεπαίνων πρὸς ἔτι περιόντας τοὺς ἐ-
κείνου φίλους, εἰς τὴν Ῥώμην εἰσήλασεν. ὁ δὲ δῆμος αὐτὸν
δαφνηφορῶν μετὰ πάσης τιμῆς καὶ εὐφημίας ὑπεδέξα-
το, ἥ τε σύγκλητος προσηγόρευσεν, οἱ πλεῖστοι ἐν μεγίστῳ δέει
καθεστῶτες, λογιζόμενοι ὅτι αὐτῶν οὐ φείσεται, φύσει μὲν ὢν 402
ἐχθρὸς χαλεπώτατος, καὶ μικρᾶς προφάσεως δεόμενος A
εἰς τὸ ἀδικῆσαι, τότε δὲ δοκῶν καὶ εὐλόγους ἔχειν αἰτίας.
ὁ δ' οὖν Σεβῆρος εἰς τὸ τοῦ Διὸς τέμενος ἀνελθών, καὶ
τὰς λοιπὰς τελέσας ἱερουργίας, ἐπανῆλθεν εἰς τὰ βασί-
λεια, καὶ τῷ δήμῳ προὔθηκεν ἐπὶ ταῖς νίκαις μεγίστας

νομάς. τοῖς τε στρατιώταις ἐπέδωκε χρήματα πλεῖστα· ἄλλα
τε πολλὰ συνεχώρησεν ἃ μὴ πρότερον εἶχον. καὶ γὰρ τὸ σι-
τηρέσιον αὐτοῖς πρῶτος ηὔξησε, καὶ δακτυλίοις χρυσοῖς
χρήσασθαι ἐπέτρεψε, γυναιξί τε συνοικεῖν· ἅπερ ἅπαντα
B σωφροσύνης στρατιωτικῆς, καὶ τοῦ πρὸς τὸν πόλεμον εὐστα-
λοῦς τε καὶ ἑτοίμου ἀλλότρια ἐνομίζετο. καὶ πρῶτός γε
ἐκεῖνος τὸ πάνυ αὐτῶν ἐρρωμένον, καὶ τὸ σκληρὸν τῆς δι-
αίτης, τό, τε ἀπειθὲς πρὸς τοὺς πόνους, καὶ εὔτακτον μετ'
αἰδοῦς πρὸς ἄρχοντας, ἐπανέτρεψε. χρημάτων τε ἐπιθυ-
μεῖν διδάξας καὶ μεταγαγὼν εἰς τὸ ἁβροδίαιτον. διοική-
σας δὲ ταῦτα ὡς ᾤετο ἄριστα, καπελθὼν εἰς τὴν σύγκλητον
βουλήν, ἀνελθών τε εἰς τὸν βασίλειον θρόνον, πικρῶς κατη-
γόρησε τῶν Ἀλβίνου φίλων, ὧν μὲν ἐπιστολὰς προκομίζων
ἀπορρήτους, ἃς ἐν τοῖς ἐκείνου ἀποθέτοις εὗρε γράμμασιν,
C οἷς δὲ δῶρα ὀνειδίζων πεμφθέντα ἐκείνῳ πολυτελέστερα,
ἄλλοις δ' ἄλλας ἐπιφέρων αἰτίας, τοῖς μὲν ἐξ ἀνατολῆς ἀν-
θρώποις, φιλίαν, τοῖς δ' ἐπὶ θάτερα, γνῶσιν Ἀλβίνου, πάν-
τας τοὺς ἐξέχοντας τότε τῆς συγκλήτου βουλῆς, καὶ τοὺς κατ'
ἔθνη πλούτῳ τε ἢ γένει ὑπερέχοντας, ἀφειδῶς ἀνῄρει· ὡς
μὲν προσεποιεῖτο, χαλεπαίνων πρὸς ἐχθρούς, τὸ δ' ἀληθές,
ὑπερβαλούσης ἐν αὐτῷ φιλοχρηματίας. οὐδεὶς γοῦν βα-
σιλέων οὕτω χρημάτων ἡττήθη. ὡς γὰρ καρτερίᾳ ψυ-
χῆς καὶ ἀνεξικακίᾳ πόνων, διοικήσει τε στρατιωτικῶν πραγ-
μάτων, οὐδενὸς τῶν ἐπαινουμένων ἀπελείπετο· οὕτως ἐν
D αὐτῷ ἐπλήθυνε τὸ φιλοχρήματον, ἐξ ἀδικίας φόνων κἀκ
τῆς τυχούσης αἰτίας. φόβῳ γοῦν ἦρξε μᾶλλον τῶν ἀρχο-
μένων ἢ εὐνοίᾳ. τὸν μέν τοι δῆμον ἐπειρᾶτο ποιεῖν κεχαρι-
σμένα· καὶ γὰρ θέας πολυτελεῖς καὶ παντοδαπὰς συνεχῶς
ἐπετέλει, καὶ θηρίων ἑκατοντάδας ἀνεῖλε πολλάκις, τῶν
ἀπὸ πάσης γῆς ἡμετέρας τε καὶ βαρβάρου· νομάς τε με-
γαλοφρόνως ἐπεδίδου. ἐπετέλεσε δὲ καὶ ἐπινίκιον ἀγῶνα,

τοὺς πανταχόθεν μούσης τε ὑποκριτὰς καὶ ἀνδρείας μαθη-
τὰς μεταπεμψάμενος. εἴδομεν δὲ ἐπ' αὐτοῦ καὶ θέας τινῶν
παντοδαπῶν θεαμάτων ἐν πᾶσι θεάτροις, ὁμοῦ ἱερουργίας
τε καὶ παννυχίδας ἐπιτελεσθείσας εἰς μυστηρίων ζῆλον. αἰ- 403
ωνίους δὲ αὐτὰς ἐκάλουν οἱ τότε, ἀκούοντες τριῶν γενεῶν A
διαδραμουσῶν ἐπιτελεῖσθαι. κήρυκας γοῦν κατά τε τὴν
Ῥώμην καὶ τὴν Ἰταλίαν διεφοίτων, καλοῦντες ἥκειν καὶ
θεάσασθαι πάντας ἃ μήτε εἶδον μήτε ὄψονται. οὕτως ὁ με-
ταξὺ χρόνος τῆς παρελθούσης ἑορτῆς καὶ τῆς μελλούσης
ἐδηλοῦτο, πᾶσαν ἡλικίαν ἀνθρώπων ὑπερβαίνων. διατρί-
ψας δὲ ἱκανοὺς χρόνους ἐν τῇ Ῥώμῃ, τούς τε υἱεῖς αὐτοῦ κοινω-
νοὺς τῆς βασιλείας καὶ αὐτοκράτορας ἀποδείξας, βουλό-
μενος δόξαν ἄρασθαι νίκης, μὴ μόνον ἐμφυλίου τε καὶ κατὰ
Ῥωμαϊκῶν στρατοπέδων, ἐφ' ᾗ καὶ θριαμβεῦσαι ᾐδέσθη,
ἀλλὰ καὶ κατὰ βαρβάρων ἐγεῖραι τρόπαια, πρόφασιν ποιού- B
μενος τὴν Βαρσημίου τοῦ Ἀτρηνῶν βασιλέως πρὸς Νί-
γρον φιλίαν, ἐστράτευσεν ἐπὶ τὴν ἀνατολήν· παρελθὼν δὲ καὶ
τὴν Ἀρμενίαν καταδραμεῖν ἤθελεν. φθάσας δὲ ὁ τῶν Ἀρ-
μενίων βασιλεὺς, χρήματά τε αὐτῷ καὶ δῶρα, ὁμήρους τε
ἱκετεύων ἔπεμψε, σπονδὰς καὶ εὔνοιαν ὑπισχνούμενος. ὁ δὲ
Σεβῆρος, τῶν ἐν Ἀρμενίᾳ προχωρούντων κατὰ γνώμην, ἐπὶ
τὴν Ἀτρηνῶν ἠπείγετο. προσέφυγε δὲ αὐτῷ καὶ ὁ Ὀσρο-
ηνῶν βασιλεὺς Αὔγαρος, τούς τε παῖδας ὁμηρεύειν εἰς ἀ- C
σφάλειαν πίστεως ἐξέδωκε, τοξότας τε πλείστους συμμά-
χους ἤγαγεν. ὁ δὲ Σεβῆρος διαβὰς τὴν τῶν ποταμῶν μέ-
σην γῆν τε καὶ Ἀδιαβηνῶν χώραν, ἐπέδραμε καὶ τὴν εὐ-
δαίμονα Ἀραβίαν· φέρει γὰρ πόας εὐώδεις, αἷς ἀρώμασι καὶ
θυμιάμασι χρώμεθα. πολλὰς δὲ κώμας καὶ πόλεις πορθή-
σας, τήν τε χώραν λεηλατήσας, ἐλθὼν εἰς τὴν Ἀτρηνῶν
χώραν, προσκαθεζόμενος τὰς Ἄτρας ἐπολιόρκει. ἡ δὲ
πόλις ἐπ' ἄκρας ὑψηλοτάτης ὄρους, τείχει μεγίστῳ καὶ ἰσχυ-

ναίῳ περιβεβλημένη, πλήθει ἀνδρῶν τε ἐξόχων ἀκμάζου-
D σα. ὁ δὲ τοῦ Σευήρου στρατὸς προσκαθεζόμενος, ἐπολιόρκει
παντὶ σθένει, πειρώμενος τὴν πόλιν ἐξελεῖν. μηχαναί τε
παντοδαπαὶ προσήγοντο τοῖς τείχεσι, καὶ οὐδὲν παρελείπετο
εἶδος πολιορκίας. οἱ δὲ Ἀτρηνοὶ γενναίως ἀντιμάχοντο·
τόξοις τε καὶ λίθοις ἄνωθεν βάλλοντες οὐ μικρῶς ἐλύπουν
τὸν τοῦ Σευήρου στρατόν. σκεύη τε κεράμου πεποιημένα πλη-
ροῦντες πτηνῶν μικρῶν μὲν, ἰοβόλων δὲ θηρίων, ἐπέ-
βαλλον αὐτοῖς. τὰ δὲ ἐμπίπτοντα ταῖς ὄψεσι, καὶ εἴ τί που
404 παρεγεγύμνωτο τοῦ σώματος, λανθάνοντα καὶ παρεισιόντα,
A ἐπιτιτρώσκοντά τε αὐτοὺς, ἐλυμαίνετο. καὶ μὴ φέροντες τὸ
πνιγῶδες τοῦ ἀέρος, διὰ τὸ ὑπερβάλλον τοῦ ἡλίου πῦρ, νόσοις
περιπίπτοντες, διεφθείροντο· ὡς πλεῖστον μέρος τοῦ στρατοῦ
διὰ τοιαύτας αἰτίας μᾶλλον ἀπόλλυσθαι ἢ πρὸς τῶν πολε-
μίων· ἀπαγορεύοντός τε τοῦ στρατοῦ πρὸς τὰ εἰρημένα, τῆς
τε πολιορκίας μὴ προχωρούσης, ἀλλὰ μᾶλλον βλαπτομέ-
νων τῶν Ῥωμαίων ἢ κατορθούντων, τὸν στρατὸν ὁ Σευῆρος,
ὡς μὴ διαφθαρείη πᾶς, ἄπρακτον ἐπανήγαγε, δυσφοροῦν-
τα ἐπὶ τῷ μὴ ὡς ἐβούλετο τὰ τῆς πολιορκίας αὐτῷ προ-
κεχωρηκέναι. νικᾶν γὰρ πάντοτε ἐν ταῖς μάχαις εἰθισμέ-
B νος, τὸ μὴ περιγενέσθαι, ἧτταν ἡγεῖτο. πλὴν παρεμυθήσατο
αὐτὸν ἡ συναιρομένη τότε τοῖς ἐκείνου πράγμασι τύχη. οὐ
γὰρ παντάπασιν ἄπρακτος ἐπανῆλθεν, ἀλλὰ μείζονα κα-
τορθώσας ὧν ἤλπισε. καταπλέων γὰρ ὁ στρατὸς ναυσὶ πολ-
λαῖς, οὐκ εἰς ἃς ἐβούλετο Ῥωμαίων ὄχθας κατηνέχθη·
ἐπὶ πλεῖστον δὲ αὐτὸν ἐξαγαγόντος τοῦ ῥεύματος, προσώκει-
λε ταῖς Παρθυαίων ὄχθαις, ἃ μὴ πολλῶν ἡμερῶν ὁδὸν
ἀπεῖχον τῆς εἰς Κτησιφῶντα ἀφόδου· ἔνθα ἦν τὰ βασί-
λεια τοῦ Παρθυαίου, καὶ αὐτὸς διέτριβεν εἰρήνην ἄγων,
μηδέν τι προσήκειν νομίζων ἑαυτῷ τὰς πρὸς τοὺς Ἀτρη-
νοὺς Σευήρου μάχας. ἡσύχαζεν οὖν, μηδέν τι δεινὸν προσ-

δεχόμενοι. ὁ δὲ τοῦ Σεβήρου στρατὸς, ἄχρι προσαχθεὶς ὑ-
πὸ τοῦ ῥεύματος ταῖς ἐπέκεινα ὄχθαις, ἀπόβασίν τε ποιησά-
μενος, τὴν γῆν ἐλεηλάτει, θρέμματά τε τὰ ἐμπίπτοντα C
ἀπελαύνων, ἵν' ἔχῃ τροφὰς, καὶ κώμας ἐμπιπρὰς τὰς ἐμ-
πιπτούσας· κατ' ὀλίγον τε προϊὼν, ἐπέστη Κτησιφῶντι, ἔν-
θ' ἦν ὁ μέγας βασιλεὺς Ἀρτάβανος. περιπεσόντες δὲ οἱ
Ῥωμαῖοι ἀπαρασκευάστοις τοῖς βαρβάροις, πάντα τε τὸν
ἐμπίπτοντα ἐφόνευον, καὶ διήρπασαν τὰ ἐν τῇ πόλει, πάν-
τας τε παῖδας καὶ γυναῖκας αἰχμαλώτους ἔλαβον· φυγόν-
τος δὲ τοῦ βασιλέως σὺν ὀλίγοις ἱππεῦσι, τούς τε θησαυροὺς
τῶν χρημάτων αὐτοῦ αἴρουσι, καὶ πάντα τὸν κόσμον καὶ κει-
μήλια ἁρπάσαντες, ἐπανίασιν. οὕτω μὲν δὴ Σεβῆρος τύχῃ
μᾶλλον ἢ γνώμῃ, τῇ κατὰ Παρθυαίων νίκῃ κεκόσμηται. D
τούτων δὲ αὐτῷ δεξιῶς καὶ ὑπὲρ πᾶσαν ἐλπίδα προχωρη-
σάντων ἐπέστελλε τῇ τε συγκλήτῳ καὶ τῷ δήμῳ, τάς τε πρά-
ξεις μεγαληγορῶν, τὰς μάχας τε καὶ τὰς νίκας δημοσί-
αις ἀνέθηκε γραφαῖς. ἡ δὲ σύγκλητος πάσας τε τιμὰς ἐψη-
φίσατο αὐτῷ καὶ προσηγορίας ἀπὸ τῶν ἐθνῶν τῶν κεχει-
ρωμένων. κατορθώσας δὲ τὰ κατὰ τὴν ἀνατολὴν ὁ Σεβῆ-
ρος, εἰς τὴν Ῥώμην ἠπείγετο, ἄγων καὶ τοὺς παῖδας εἰς ἡ-
λικίαν ἐφήβων ἤδη τελοῦντας. ἀνύσας δὲ τὴν ὁδοιπορίαν,
τά τε ἐν τοῖς ἔθνεσι διοικήσας, ὡς ἑκάστῳ ἀπῄτει τὸ χρειῶ-
δες, τά τε ἐν Μυσοῖς καὶ Παίοσι στρατόπεδα ἐπελθὼν, νικη- 405
φόρος ὑπὸ τοῦ Ῥωμαίων δήμου, μετὰ μεγάλης εὐφημίας τε
καὶ θρησκείας ὑπεδέχθη, θυσίας τε καὶ ἑορτὰς, θέας τε καὶ πα-
νηγύρεις τῷ δήμῳ παρέσχε. νομάς τε μεγαλόφρονας ἐπι-
διδοὺς καὶ θέας τελέσας ἐπινικίους, ἔτη οὐκ ὀλίγα ἐν τῇ Ῥώμῃ
διέτριψε, δικάζων τε συνεχῶς καὶ τὰ πολιτικὰ διοικῶν, τοὺς
δὲ υἱεῖς παιδεύων καὶ σωφρονίζων. οἱ δὲ ἤδη μειράκια ὄντες
ὑπὸ τῆς ἐν Ῥώμῃ τρυφῆς καὶ διαίτης, τῆς τε περὶ τὰ θεάματα
ὑπερβαλλούσης σπουδῆς, ἡνιοχείας τε καὶ ὀρχήσεως, τὰ ἤθη

B διαφθείροντι, πρός τε ἀλλήλους ἐστασίαζον οἱ ἀδελφοί· τὰ πρῶτα μὲν ὑπὸ παιδαριώδους φιλονεικίας, δι' ὀρτύγων μάχας καὶ ἀλεκτρυόνων συμβολάς, πάλας τε παίδων ἀλλήλοις ἐρίζοντες. εἴτε περὶ τὰ θεάματα αὐτῶν ἢ τὰ ἀκροάματα σπουδή, φιλονείκως ἑκάστοτε ἐμερίζετο. καὶ οὐδενὶ ἀμφότεροι ὁμοίως ἤρεσκοντο, ἀλλὰ πᾶν τὸ τῷ ἑτέρῳ φίλον, τῷ ἄλλῳ ἐχθρὸν ἦν. συνέκρουον δὲ αὐτοὺς ἑκατέρωθεν οἵ τε κόλακες καὶ οἱ θεράποντες, πρὸς τὸ ἡδὺ τῆς ἡλικίας κολακεύοντες καὶ ἀνθέλκοντες. ὁ δὲ Σεβῆρος ταῦτα πυνθανόμενος, συνάγειν τε καὶ σωφρονίζειν τὰ πρῶτα ἐ-

C πειρᾶτο· τὸν δὲ πρεσβύτερον, ᾧ γνήσιον μὲν ἦν ὄνομα Βασσιανὸς πρὶν εἰς τὸν βασίλειον οἶκον παρελθεῖν, ὅτε δὴ τὴν τῆς ἀρχῆς τιμὴν ἀπέτυχε Σεβῆρος, Ἀντωνῖνον ὠνόμασε, Μάρκου θελήσας αὐτὸν προσηγορίαν φέρειν. ἠγάγετό τε αὐτῷ γυναῖκα, γάμῳ σωφρονίσαι θέλων. ἦν δὲ ἐκείνη θυγάτηρ τοῦ ἐπάρχοντος τῶν στρατοπέδων· Πλαυτιανὸς δὲ ἦν ὄνομα αὐτῷ. τοῦτον τὰ μὲν πρῶτα τῆς ἡλικίας, ἀπλῶς τινες αὐτὸν καὶ πεφυγαδεῦσθαι ἔλεγον, ἁλόντα ἐπὶ στάσει καὶ πολλοῖς ἁμαρτήμασιν· ὄντα δὲ πολίτην ἑαυτοῦ (Λίβυς γὰρ κἀκεῖνος ἦν) ὡς μὲν τινες ἔλεγον, πρὸς γένους αὐτῷ ὑπάρχοντα· ὡς δὲ ἕτεροι διέβαλλον, ἀκμαζούσῃ τῇ ἡλικίᾳ γενόμενον παιδικά. πλὴν ἀλλ' ὁ Σεβῆρος ἐκ μικρᾶς καὶ

D ἀτελοῦς τύχης εἰς μεγάλην προήγαγεν ἐξουσίαν, πλούτῳ τε ὑπερβάλλοντι ἐκόσμησε, τῶν ἀναιρουμένων χαριζόμενος τὰς οὐσίας, οὐδὲν ἕτερον ἀλλ' ἢ μερισάμενος πρὸς αὐτὸν τὴν ἀρχήν. ἧπερ ἐκεῖνος ἀποχρώμενος, οὔτε ὠμότητος οὔτε βίας ἐν πᾶσιν οἷς ἔπραττεν ἀπείχετο, φοβερώτερος τῶν πώποτε ἀρχόντων γενόμενος. τούτου τὴν θυγατέρα ὁ Σεβῆρος ζεύξας τῷ υἱῷ, τὸν οἶκον ἥνωσεν. ὁ δὲ Ἀντωνῖνος, οὐ πάνυ τι ἡδόμενος τῷ γάμῳ, ἀνάγκῃ δὲ μᾶλλον ἢ προαιρέσει συνε-

406 ζευγμένος, ἀπεχθῶς πάνυ πρὸς τὴν κόρην διέκειτο, καὶ πρὸς

πρὸς τὸν πατέρα αὐτῆς, ὡς μήτε εὐνῆς μήτε ἑστίας κοινωνεῖν, μυσάττεσθαί τε τὴν κόρην. ἀλλ' ἦν τε ἑκάστοτε ἀποκτενεῖν καὶ αὐτὴν καὶ τὸν πατέρα, ἐπὰν τῆς ἀρχῆς ἐγκρατὴς γένηται μόνος. ταῦτα δὴ ἡ κόρη ἑκάστοτε ἀπήγγελλε τῷ πατρί· καὶ τοῦ γάμου τὸ μῖσος διηγουμένη, παρώξυνεν αὐτόν. ὁ δὲ Πλαυτιανὸς ὁρῶν τὸν μὲν Σεβῆρον πρεσβύτην τε ἤδη, καὶ συνεχῶς ὑπὸ νόσου ἐνοχλούμενον, τὸν δὲ Ἀντωνῖνον ἐμβριθῆ καὶ θρασὺν νεανίαν, δεδιώς τε αὐτοῦ τὰς ἀπειλάς, δρᾶσαί τι μᾶλλον, φθάσας, ἢ παθεῖν, αἱ ἀμείνας, ἠθέλησεν. ἔτι τε αὐτὸν καὶ πολλὰ ἦν τὰ πρὸς βασιλείας ἐπιθυμίαν ἀναπείθοντα, πλούτου τε περιβολή, ἣ μὴ πρότερόν τινι ἰδιωτεύοντι ἐγένετο, στρατιωτῶν τε θεραπεία, τιμαί τε αἱ παρὰ τῶν ἀρχομένων, σχῆμά τε ᾧ προῄει· ἠμφίεστο γὰρ τήν τε πλατύσημον ἐσθῆτα, ἔν τε τοῖς δευτέροις ὑπατεύσασιν ἐτέτακτο. παρηώρητό τε αὐτῷ ξίφος, καὶ παντὸς ἀξιώματος σχῆμα ἔφερε μόνος. προϊὼν δὲ φοβερὸς ἦν, ὡς μήτε τινὰ προσιέναι, ἀλλὰ καὶ τοὺς ὑπαντωμένους ἀναστρέφειν. οἵ τε προϊόντες αὐτοῦ, ἐκήρυττον μηδένα παρεστάναι, μηδ' εἰς αὐτὸν βλέπειν, ἀλλ' ἀποστρέφεσθαι καὶ κάτω βλέπειν. οἷς γὰρ καὶ ὁ Σεβῆρος ἀγγελλομένοις οὐ πάνυ τι ἠρέσκετο, ἀλλ' ἀπεχθὴς ἤδη καὶ βαρὺς κἀκείνῳ ἐγένετο, ὡς καὶ περιελεῖν τινα αὐτοῦ τῆς ἐξουσίας τὸν Σεβῆρον, καὶ πεῖσαι κωλύειν τὸ ὑπερβάλλον τῆς ἀλαζονείας. ἃ δὴ μὴ φέρων ὁ Πλαυτιανὸς, ἐτόλμησεν ἐπιβουλεῦσαι τῇ ἀρχῇ· καὶ μηχανᾶται τοιάδε· Σατορνῖνος ἦν εἷς τῶν ὑπ' αὐτῷ χιλιαρχούντων· οὗτος ὑπερβαλλόντως τὸν Πλαυτιανὸν ἐθεράπευε· καὶ πάντων μὲν τοῦτο ποιούντων, ἐκεῖνος δὲ πλείονι θρησκείᾳ ᾠκειοῦτο αὐτόν. τοῦτον πιστότατον ἡγούμενος, καὶ μόνον εἰδότα φυλάξαι καὶ πληρῶσαι ἀπορρήτους ἐντολάς, περὶ δείλην μεταπεμψάμενος, πάντων ἀνακεχωρηκότων, Νῦν σοι καιρὸς (ἔφη) τέλος γενναῖον ἐπιθεῖναι

407 εὐνοίᾳ τε καὶ ὑπηρεσίᾳ ἣν πρός με ἐπιδείξω, ἐμοί τε ἀ-
A μείψασθαί σε κατ' ἀξίαν, καὶ τὴν προσήκουσαν χάριν ἀποδοῦναι. πρόκειταί δέ σοι αἵρεσις, ἢ εἶναι ὅπερ ἐμὲ νῦν ὁρᾷς ὄντα, καὶ τήνδε τὴν ἐξουσίαν παραλαβεῖν διαδεξάμενόν με, ἢ τεθνάναι αὐτίκα, ἀπειθείας ὑποσχόντα τιμωρίαν. μηδέ σε τοῦ ἔργου τὸ μέγεθος ἐκπληττέτω, μηδὲ τὸ τῶν βασιλέων ὄνομα ταραττέτω. εἰσιέναι τε γὰρ μέχρι τοῦ δωματίου ἔνθα ἀναπαύονται, δύνασαι μόνος, ἅτε τὴν νυκτερινὴν φρουρὰν ἐκ περιόδου ἐγκεχειρισμένος. ὅ,τι δ' ἂν μέλλοις πράττειν, λανθάνων ἀκωλύτως ἐς τέλος ἄξεις, ἐπεὶ μήτ' ἐμὲ ἔτι τοιαῦτα κελεῦσαι προσδόκα, μήτε σε
B ὑπακοῦσαι. ἄνελθε δὴ εἰς τὴν βασίλειον αὐλήν. καὶ ὡς τινὰς ἀγγελίας ἐπειγούσας καὶ ἀπορρήτους παρ' ἐμοῦ φέρων, ἐπεισελθὼν αὐτοῖς ἀπόκτεινον. ἀνὴρ δὲ γενναῖος γενοῦ, ῥᾳδίως κατεργασάμενος πρεσβύτην τε καὶ παιδάριον. μεταλαβὼν γὰρ τὸ μέρος τῶν κινδύνων, μεθέξεις καὶ τῶν μεγίστων τῆς κατορθώσεως τιμῶν. Ταῦτα ἀκούσας ὁ χιλίαρχος, ἐξεπλάγη μὲν τὴν ψυχήν, οὐκ ἐταράχθη δὲ τὴν γνώμην· ἀλλ' ἅτε ἀνὴρ οὐκ ἔξω φρενῶν καθεστὼς, (καὶ γὰρ ἦν τῷ γένει Σύρος· δριμύτεροι δ' ὡς πρὸς τὰς ἐννοίας οἱ ὑπὸ τὴν ἀνατολὴν ἄνθρωποι) τὸν θυμὸν ὁρῶν ἐνθουσιῶν-
C τα τοῦ κελεύοντος, καὶ τὴν ἐξουσίαν εἰδὼς, οὐκ ἀντεῖπεν, ὡς μὴ παραυτὰ κολασθείη· προσποιησάμενος δὲ εὐκταῖα καὶ ἀσπαστὰ ἀκούειν, προσκυνήσας τε ὡς ἤδη βασιλέα, γραμματεῖον ᾔτησε τοῦ φόνου φέρον τὰς ἐντολάς. (ἔθος γὰρ τοῦτο τυραννικὸν, εἴ τινα ἐκπέμποιεν ἐπὶ φόνον ἄκριτον, ἐντέλλεσθαι τοῦτο διὰ γραμμάτων, ἵνα μὴ γιγνόμενον ᾖ ἀκατασήμαντον) ὁ δὲ Πλαυτιανὸς, τυφλώττων τῇ ἐπιθυμίᾳ, δίδωσιν αὐτῷ τὸ γραμματεῖον, καὶ ἐκπέμπει ἐπὶ τὸν φόνον, ἐντειλάμενος, ἐπὴν ἀμφοτέρους διαχρήσηται, πρὶν
D διαβόητον γενέσθαι τὸ πραχθὲν, πέμψαι τοὺς καλέσοντας

αὐτὸν, ἵνα ὀφθῇ πρῶτον ἐν τοῖς βασιλείοις ἢ ἀκουσθῇ τὴν
βασιλείαν παραλαβών. ἐπὶ ταύταις δὴ ταῖς συνθήκαις
ἀνελθὼν ὁ χιλίαρχος, εἰσῆλθε μὲν διὰ πάσης τῆς βασιλικῆς
οἰκίας κατὰ τὸ ἔθος ἀκωλύτως. εἰδὼς δὲ ἀδύνατον ὂν δύο
διαχειρίζεσθαι βασιλέας, καὶ ταῦτα ἐν διαφόροις οἴκοις δια-
τρίβοντας, ἐπιστὰς τῷ δωματίῳ τοῦ Σεβήρου, καλέσας τοὺς
τοῦ βασιλικοῦ θαλάμου φύλακας, ἠξίωσεν εἰσαχθῆναι εἰς
αὐτὸν, ὡς δὴ ὑπὲρ σωτηρίας αὐτῷ τινα ἀγγέλλων· οἱ δὲ δη-
λώσαντες τῷ Σεβήρῳ, καὶ κελεύσαντος αὐτοῦ, τὸν χιλίαρ-
χον εἰσήγαγον. ὁ δὲ εἰσελθὼν, Ἥκω σοι (ἔφη) ὦ δέσποτα, 408
ὡς μὲν ὁ πέμψας οἴεται, φονεὺς καὶ δήμιος· ὡς δὲ αὐτὸς εὔχο- A
μαί τε καὶ βούλομαι, σωτήρ τε καὶ εὐεργέτης. Πλαυτιανὸς γὰρ ἐπι-
βουλεύων τῇ ἀρχῇ, ἐνετείλατό μοι φόνον σοῦ τε καὶ τοῦ παι-
δός· καὶ οὐ τοῖς λόγοις μόνον, ἀλλὰ καὶ γράμμασι· καὶ μαρτυρεῖ τὸ
γραμματεῖον. ἐγὼ δὲ ὑπεσχόμην μὲν, ὅπως μὴ ἐμοῦ τὸ ἔρ-
γον παραιτησαμένου, ἄλλῳ ἐγχειρισθῇ. σοὶ δὲ ταῦτα δηλώσων
ἥκω, ὡς ἂν μὴ λάθοι τὰ τολμώμενα. Τοιαῦτά τινα λέγον-
τος αὐτοῦ καὶ δακρύοντος, οὐκ εὐθέως ὁ Σεβῆρος ἐπίστευεν· B
ἀλλ' ἅτε πολὺ ἔχων ἐν τοῖς στέρνοις τὸ Πλαυτιανοῦ φίλτρον, συ-
σκευήν τινα καὶ σκηνὴν τὸ πρᾶγμα ὑπώπτευεν. ἡγεῖτό τε τὸν
υἱὸν αὐτοῦ ἔχθει τῷ Πλαυτιανοῦ, καὶ μίσει τῆς ἐκείνου θυγα-
τρὸς, εὑρηκέναι τινὰ τέχνην κατ' αὐτοῦ, καὶ διαβολὴν θανατη-
φόρον. μεταπεμψάμενος δὲ τὸν υἱὸν ᾐτιᾶτο ὡς τοιαῦτα κα-
τασκευάζοντα κατὰ ἀνδρὸς εὔνου καὶ οἰκείου. ὁ δὲ Ἀντωνῖνος τὰ
μὲν πρῶτα ἀπώμνυτο, μηδὲ εἰδέναι φάσκων τὰ λεγόμε-
να. ἐγκειμένου δὲ τοῦ χιλιάρχου, καὶ τὸ γραμματεῖον δεικνύντος,
παρεθάρσυνέ τε αὐτὸν, καὶ προὔτρεπεν εἰς τοὺς ἐλέγχους ὁ Αν- C
τωνῖνος. ὁ δὲ χιλίαρχος ὁρῶν ἐς ὅσον ἥκει κινδύνου, δεδιὼς
τε τὴν πρὸς τὸν Πλαυτιανὸν τοῦ Σεβήρου εὔνοιαν, ἐπιστάμενος
ὡς εἰ λάθοι ἡ ἐπιβουλὴ, καὶ μὴ ἐλεγχθείη, ὄλεθρος αὐτῷ οὐχ
ὁ τυχὼν ἐπήρτητο, Καὶ τίνα (ἔφη) ὦ δέσποτα, ἔλεγχον μεί-

ζῶντα βούλεσθε, ἢ τίνα ἀπόδειξιν φανερωτέραν; ἐπέστειλα
γὰρ δή μοι (ἔφη) προελθόντι τῶν βασιλείων, διά τινος τῶν
ἐμοὶ πιστῶν δηλῶσαι, ὅτι δὴ τὸ ἔργον κατείργασται. ὁ δὲ
ἀφίξεται πιστεύσας, καὶ οἰόμενος ἔρημα τὰ βασίλεια κα-
ταλήψεσθαι. ὅταν δὲ ἀφίκηται, ἡμέτερον ἤδη ἔργον εὑρεῖν
D τὴν ἀλήθειαν. ἡσυχίαν δὲ εἶναι πολλὴν ἀνὰ τὰ βασίλεια κε-
λεύσατε, ὅπως τὸ πραττόμενον μὴ προγνωσθὲν ἀνατρα-
πῇ. Ταῦτα εἰπὼν, ἐπιστέλλεταί τινι τῶν πιστοτάτων ἑαυτῷ
ἀγγεῖλαι Πλαυτιανῷ ἥκειν τὴν ταχίστην· κεῖσθαι γὰρ ἀμ-
φοτέρους τοὺς βασιλέας, καὶ δεῖν αὐτὸν ἔνδον εἶναι, πρὶν ἔκ-
πυστα τῷ δήμῳ γενέσθαι· ὡς ἂν τῆς ἀκροπόλεως κατειλημ-
μένης, καὶ τῆς βασιλείας ἱδρυμένης, ἑκόντες τε καὶ ἄκοντες
πάντες ὑπακούοιεν ὡς ἐσομένῳ βασιλεῖ, ἀλλ' ἤδη ὄντι.
409 Τούτοις πιστεύσας ὁ Πλαυτιανὸς ἤδη περὶ δείλην ἑσπέραν,
A ἀρθεὶς ταῖς ἐλπίσι, θώρακα μὲν ἀμφιέννυται, τῆς τοῦ
σώματος ἀσφαλείας χάριν· κρύψας δὲ αὐτὸν τῇ λοιπῇ
ἐσθῆτι, ἐπιβὰς ὀχήματος, αἰφνιδίως εἰς τὰ βασίλεια ἠπεί-
γετο, ὀλίγων αὐτὸν παραπεμπόντων, οἳ παρῆσαν οἰόμενοι
κεκλῆσθαι ὑπὸ τῶν βασιλέων διά τινα ἐπείξαντα. ὡς δὲ
ἐπέστη τῇ βασιλείῳ αὐλῇ, ἀκωλύτως τε εἰσῆλθεν, ἀγνοούν-
των τὸ πραττόμενον τῶν φυλάκων· ὑπαντώμενος δ' ὁ χι-
λίαρχος, εἰσδεχόμενός τε προσεῖπεν αὐτοκράτορα, καὶ δῆθεν
συνήθως λαβόμενος τῆς χειρὸς, εἰς τὸ δωμάτιον εἰσήγα-
γεν ἔνθα ἔφασκεν ἐρρίφθαι τὰ τῶν βασιλέων σώματα.
B ἤδη δὲ παρεσκευάκει ὁ Σευῆρος νεανίας τῶν περὶ αὐτὸν
σωματοφυλάκων οἳ συλλήψονται αὐτὸν εἰσελθόντα. ὁ δὲ
Πλαυτιανὸς ἐφ' ἑτέραις ἐσελθὼν ἐλπίσιν, ὁρᾷ τοὺς βασι-
λέας ἀμφοτέρους ἐφεστῶτας. συλληφθείς τε κατείχετο, ἐκ-
πλαγείς τε τῷ πράγματι ἐδεῖτο καὶ ἐλιπάρει. ἀπελογεῖ-
τό τε, πάντα φάσκων ψευδῆ εἶναι· καὶ σκευὴν κατ' αὐτοῦ
καὶ δρᾶμα ἐσκευάσθαι. πολλὰς δὲ τοῦ μὲν Σευήρου ὀνει-

δίζοντος εὐεργεσίας τε καὶ τιμάς, τῆς δὲ πίστεώς τε καὶ εὐνοίας τῆς αὐτόθεν ὑπομιμνήσκοντος, ἠρέμα πως ὁ Σεβῆρος ἠπείγετο πειθοῖ τῶν ὑπὸ τοῦ Πλαυτιανοῦ λεγομένων, ἔς τε δὴ ὑποφαίνηται τοῦ θώρακος μέρος, καταρραχθείσης τῆς ἐπ' C
αὐτῷ ἐσθῆτος. ὅπερ ἰδὼν ὁ Ἀντωνῖνος, νέος θρασὺς θυμοειδής τε καὶ φύσει μισῶν τὸν ἄνθρωπον, Ἀλλὰ πρὸς δύο (ἔφη) ταῦτα τί ἂν ἀποκρίναιο; ἥκεις πρὸς βασιλέας ἑσπέρας μὴ κελευσάντας; ὁ δὲ θώραξ σοὶ τί βούλεται; τίς γὰρ εἰς ἑστίασιν ἢ κῶμον ὡπλισμένος ἔρχεται. καὶ ταῦτα εἰπών, κελεύει τῷ χιλιάρχῳ τοῖς τε παροῦσι στρατιώταις τὰ ξίφη, φονεῦσαι τὸν ἄνδρα ὡς ὁμολογουμένως πολέμιον. οἱ δὲ μὴ μελλήσαντες, κελεύσαντι τῷ νέῳ βασιλεῖ πείθονται· ἀναιροῦσί τε αὐτὸν καὶ τὸ σῶμα ῥίπτουσιν εἰς τὴν λεωφόρον, ὡς ἂν πᾶσι φανερὸν γένοιτο, καὶ ὑπὸ μισούντων ὑβρισθείη. τούτῳ μὲν δὴ τῷ τέλει Πλαυτιανὸς ἐχρήσατο, ἀ- D
πλήστως τε ζήσας πάντων ἐπιθυμίᾳ, καὶ χρησάμενος ἐν τῷ τέλει ἀπλήστῳ ὑπηρεσίᾳ. ὁ δὲ Σεβῆρος τοὺς μὲν λοιποὺς ὑπάρχοντας δύο τῶν στρατοπέδων κατέστησεν· αὐτὸς δὲ τὰ πλεῖστα τοῦ βίου διετέλει ἐν τοῖς βασιλικοῖς προαστείοις, καὶ τοῖς παραλίοις τῆς Καμπανίας χωρίοις, δικάζων τε καὶ τὰ πολιτικὰ διοικῶν. ἄπασι γὰρ ἤθελε τοὺς παῖδας τῆς ἐν Ῥώμῃ διαίτης χρηστῆς ἀπολαύειν, ἐπείπερ αὐτοὺς ἑώρα περὶ τὰ θεάματα ἐσπουδακότας ἀπρεπέστερον ἢ βασιλεῦσιν ἥρμοζεν. ἥ τε περὶ ἐκεῖνα σπουδὴ καὶ φιλονεικία διάφορον ἔχουσα καὶ ἀντίπαλον ἀεὶ τὴν γνώμην, τῶν ἀδελφῶν ἐ- 410
τάραττε τὰς ψυχάς, ἐναύσματά τε ἔριδος καὶ ἔχθρας A
παρεῖχε. μάλιστα δὲ ὁ Ἀντωνῖνος ἀφόρητος ἦν, ἀποσκευασάμενος τὸν Πλαυτιανόν. ἠδεῖτο δὲ καὶ ἐφοβεῖτο τὸν πατέρα πρᾶξαί τι αἴσχιστον, τῇ τε θυγατρὶ μὲν ἐκείνου γυναικὶ δὲ αὐτοῦ, παντὶ τρόπῳ θάνατον ἐμηχανᾶτο. ὁ δὲ Σεβῆρος αὐτήν τε ἐκείνην καὶ τὸν ἀδελφὸν αὐτῆς εἰς Σικε-

λίαν ἐξέπεμψεν, αὐτάρκη δοὺς περιουσίαν εἰς τὸ βιοῦν δαψιλῶς· μιμησάμενος τὸν Σεβαστόν. καὶ γὰρ ἐκεῖνος τοῖς Ἀν-
B τωνίου παισὶ πολεμίου γενομένου οὕτως ἐχρήσατο. αὐτὸς δὲ ἐπειρᾶτο συνάγειν ἀεὶ τοὺς παῖδας εἰς φιλίαν, καὶ προτρέπειν εἰς ὁμόνοιαν καὶ συμφωνίαν· μύθων τε ἀρχαίων καὶ δραμάτων ὑπεμίμνησκεν ἀεὶ, βασιλέων ἀδελφῶν συμφορὰς ἐκ στάσεως διηγούμενος· θησαυρούς τε καὶ νεὼς πάντα ἐδείκνυε χρημάτων πλήρη. πλοῦτόν τε καὶ δύναμιν ἐκ ἔσεσθαι ἔξωθεν ἐπιβουλεῦσαι, τοσαύτης μὲν οὔσης οἴκοι περιουσίας ὡς ἀφειδῶς καὶ δαψιλῶς τοῖς στρατιώταις χορηγεῖν, τῆς τε ἐν Ῥώμῃ δυνάμεως αὐτῆς τετραπλασιασθείσης, καὶ στρατοπέδου τοσούτου πρὸ τῆς πόλεως ἱδρυθέντος, ὡς μηδεμίαν εἶναι δύναμιν ἔξωθεν ἐχέγγυον μηδ᾽
C ἀντίπαλον πλήθει στρατοῦ, μήτε μεγέθει σωμάτων, μήτε χρημάτων περιουσίᾳ, πλὴν οὐδὲν ὄφελος τούτων πάντων ἔλεγε, στασιαζόντων πρὸς ἀλλήλους, τοῦ τε πολέμου ἔνδον ὄντος. ὁ μὲν δὴ τοιαῦτά τινα λέγων ἑκάστοτε, ποτὲ μὲν λιπαρῶν, ποτὲ δὲ ἐπιπλήττων, σωφρονίζειν αὐτοὺς ἅμα καὶ συνάγειν ἐπειρᾶτο. οἱ δ᾽ οὔτι γε ἐπείθοντο, ἀφηνίαζον δὲ καὶ ἐπεδίδοσαν εἰς τὸ χεῖρον. ἅτε δὲ νεανίας σφριγῶντας, καὶ ὑπὸ βασιλικῆς ἐξουσίας εἰς πάσας ἡδονῶν ὀρέξεις ἀπλήστως ὁρ-
D μωμένους, ἕκαστοι τῶν κολακευόντων ἀνθεῖλκον πρὸς αὐτοὺς, οὐ μόνον ὑπηρετούμενοι ταῖς ἐπιθυμίαις αὐτῶν καὶ ταῖς περὶ τὰ αἴσχιστα σπουδαῖς, ἀλλὰ καὶ ἀεί τι καινὸν ἐξευρίσκοντες, δι᾽ οὗ εὐφρανοῦσι μὲν ὃν ἐκολάκευον, λυπήσουσι δὲ τὸν ἀδελφόν. ἤδη γοῦν τινας καὶ λαβὼν ἐπὶ τοιαύταις ὑπηρεσίαις ὁ Σεβῆρος, ἐκόλασεν. ἀσχάλλοντι δὲ αὐτῷ ἐπὶ τῷ τοιούτῳ βίῳ τῶν παίδων, καὶ τῇ περὶ τὰ θεάματα ἀπρεπεῖ σπουδῇ, ἐπιστέλλει ὁ τῆς Βρεττανίας ἡγούμενος,
411 στασιάζειν τοὺς ἐκεῖ βαρβάρους φάσκων, καὶ κατατρέχον-
A τας τὴν χώραν, λείαν τε ἐπαγαγεῖν, καὶ πορθεῖν τὰ πλεῖ-

σα. δεῖσθαι τινων χειρὸς πλείονος πρὸς βοήθειαν τοῦ τόπου, ἢ βασιλικῆς ἐπιδημίας. ὁ δὲ Σεβῆρος ἀσμένως ταῦτα ἀκούσας, φύσει μὲν καὶ φιλόδοξος ἄλλως ὑπάρχων, καὶ μετὰ τὰς ὑπὸ ἀνατολαῖς καὶ ἄρκτῳ νίκας καὶ προσηγορίας βουλόμενος καὶ κατὰ Βρεττανῶν ἐγεῖραι τρόπαια· ἔτι δὲ καὶ τοὺς υἱοὺς ἀπαγαγεῖν τῆς Ῥώμης θέλων, ὡς ἂν νεάζοιεν ἐν στρατιωτικῷ βίῳ καὶ σώφρονι, ἀπαχθέντες τῆς ἐν Ῥώμῃ τρυφῆς καὶ διαίτης, ἐπαγγέλλει τὴν εἰς τὴν Βρεττανίαν ἔξοδον, πρεσβύτης τε ἤδη ὢν καὶ ὑπὸ τῆς ἀρθρίτιδος νόσου κάμνων· ἀλλὰ τὰ B
τῆς ψυχῆς αὐτοῦ ἔρρωτο ὑπὲρ πάντα νεανίαν. τὰ πλεῖστα γοῦν καὶ φορεάδην φερόμενος, τῆς ὁδοιπορείας εἴχετο, οὐδὲ πώποτε ἐπὶ πολὺ μένων ἀνεπαύετο. ἀνύσας δὲ τὴν ὁδὸν ἅμα τοῖς παισὶ, παντὸς λόγου καὶ ἐλπίδος θᾶττον, τόν ὠκεανὸν διαπλεύσας, Βρεττανοῖς ἐπέστη, τούς τε πανταχόθεν στρατιώτας ἀθροίσας, καὶ δύναμιν πολλὴν ἀγείρας, τὰ πρὸς τὸν πόλεμον παρεσκευάζετο. οἱ δὲ Βρεττανοὶ τῇ τοῦ βασιλέως ἐκπλαγέντες αἰφνιδίῳ ἐπιδημίᾳ, δύναμίν τε ἀκούοντες παμπλείστην ἐπ' αὐτοὺς ἀθροισθεῖσαν, πρεσβείας ἔπεμπον, περί τε εἰρήνης διελέγοντο, ἀπολογεῖσθαί τε ἐβούλοντο πρὸς τὰ προημαρτημένα. ὁ δὲ Σεβῆρος διατριβάς τε χρόνου ζητῶν,
ὡς ἂν μὴ πάλιν εἰς τὴν Ῥώμην ἐπείγοιτο, ἔτι δὲ καὶ C
βουλόμενος προσκτήσασθαι τὴν κατὰ Βρεττανῶν νίκην τε καὶ προσηγορίαν, τοὺς μὲν πρέσβεις αὐτῶν ἀπράκτους ἔπεμψεν, ηὐτρέπιζε δὲ τὰ πρὸς τὴν μάχην. μάλιστα δὲ γεφύραις διαλαμβάνειν ἐπειρᾶτο τὰ ἑλώδη χωρία, ὡς ἂν ἐπ' ἀσφαλοῦς βαίνοντες οἱ στρατιῶται, ῥᾳδίως τε αὐτὰ διατρέχοιεν, καὶ ἐπ' ὀχυροῦ βήματος ἑδραίως ἑστῶτες μάχοιντο. τὰ γὰρ πλεῖστα τῆς Βρεττα-

τῶν χωρίων ἐπικλυζόμενα ταῖς τοῦ ὠκεανοῦ συνεχῶς ἀμ-
πώτισιν, ἑλώδη γίνεται· οἷς ἔθος τοῖς μὲν βαρβάροις ἐν-
νήχεσθαί τε καὶ διαθεῖν βρεχομένοις μέχρις ἰξύων. γυμνοὶ
γὰρ ὄντες τὰ πλεῖστα τοῦ σώματος, τῆς ἰλύος καταφρονοῦσι.
οὐδὲ γὰρ ἐσθῆτος ἴσασι χρῆσιν, ἀλλὰ τὰς μὲν λαπάρας καὶ
D τοὺς τραχήλους κοσμοῦσι σιδήρῳ, καλλώπισμα τοῦτο καὶ
πλούτου σύμβολον νομίζοντες, ὥσπερ τὸν χρυσὸν οἱ λοιποὶ
βάρβαροι· τὰ δὲ σώματα στίζονται γραφαῖς ποικίλων ζώ-
ων παντοδαπῶν εἰκόσιν. ὅθεν οὐδὲ ἀμφιέννυνται, ἵνα μὴ
σκέπωσι τοῦ σώματος τὰς γραφάς. εἰσὶ δὲ μαχιμώτατοί τε
καὶ φονικώτατοι, ἀσπίδα μόνην στενὴν περιβεβλημένοι,
καὶ δόρυ· ξίφος δὲ παρηρτημένοι γυμνοῦ σώματος. θώρα-
412 κος δὲ ἢ κράνους οὐκ ἴσασι χρῆσιν, ἐμπόδιον νομίζοντες
A πρὸς τὴν δίοδον τῶν ἑλῶν· ἐξ ὧν τῆς ἀναθυμιάσεως καὶ
παχύτητος ὁ κατ' ἐκείνην τὴν χώραν ἀὴρ ζοφώδης ἀεὶ
φαίνεται. πρὸς δὴ ταῦτα ἐξήρτυεν ὁ Σεβῆρος ὅσα συνοί-
σειν ἔμελλε τῷ Ῥωμαίων στρατῷ, λυπήσειν δὲ καὶ ἐμποδιεῖν
τὴν τῶν βαρβάρων ὁρμήν. ὡς δὲ αὐτάρκως ὤφθη αὐτῷ
τὰ πρὸς τὸν πόλεμον ἀπηρτίσθαι, τὸν μὲν νεώτερον τῶν υἱῶν,
τὸν Γέταν καλούμενον, καταλιπὼν ἐν τῷ ὑπὸ Ῥωμαίοις
ἔθνει δικάσοντά τε καὶ τὰ λοιπὰ διοικήσοντα πολιτικὰ
τῆς ἀρχῆς, (δοὺς αὐτῷ συνέδρους τῶν φίλων τοὺς πρεσβυτέ-
ρους) τὸν δὲ Ἀντωνῖνον παραλαβών, ἐπὶ τοὺς βαρβάρους
B ἠπείγετο. ὑπερβάντος δὲ τοῦ στρατοῦ τὰ προβεβλημένα ῥεύ-
ματά τε καὶ χώματα τῆς Ῥωμαίων ἀρχῆς, συμβολαὶ καὶ
ἀκροβολισμοὶ πολλάκις ἐγίνοντο, τροπαί τε τῶν βαρβά-
ρων· ἀλλὰ τοῖς μὲν ῥᾳδία ἦν ἡ φυγή, καὶ διελάνθανον ἔν
τε δρυμοῖς καὶ ἕλεσι, καὶ τῇ τῶν χωρίων γνώσει· ἅπερ πάν-
τα Ῥωμαίοις ὄντα ἐναντία, πλείονα παρέσχε τῷ πολέμῳ τὴν
διατριβήν. τὸν δὲ Σεβῆρον γηραιὸν ὄντα ἤδη νόσος ἐπι-
μηκεστέρα καταλαμβάνει. ὅθεν αὐτὸς μὲν ἠναγκάζετο

μένειν οἴκοι, τὸν δὲ Ἀντωνῖνον ἐπειρᾶτο ἐκπέμπειν διοική-
σοντα τὰ στρατιωτικά. ὁ δὲ Ἀντωνῖνος τῶν μὲν πρὸς τοὺς C
βαρβάρους μετρίως ἐφρόντιζεν, ἐπειρᾶτο δὲ οἰκειοῦσθαι
τὰ στρατεύματα, καὶ πάντας ἀνέπειθεν εἰς αὐτὸν βλέπειν
μόνον· ἐμνᾶτό τε παντὶ τρόπῳ τὴν μοναρχίαν, διαβάλλων
τὸν ἀδελφόν. ὁ δὲ πατὴρ ἐπὶ πολὺ νοσῶν, καὶ πρὸς τὸν θά-
νατον βραδύνων, ἐπαχθὴς αὐτῷ καὶ ὀχληρὸς ἐφαίνετο.
ἀνέπειθέ τε ἰατροὺς καὶ ὑπηρέτας κακουργῆσαί τι περὶ τὴν
θεραπείαν τοῦ γέροντος, ὡς ἂν θᾶττον αὐτοῦ ἀπαλλαγείη.
πλὴν ἀλλὰ μόλις ποτὲ Σεβῆρος λύπῃ τὸ πλεῖστον διαφθα-
ρεὶς, ἀνεπαύσατο τοῦ βίου, ἐνδοξότατα βιώσας, ὅσον πρὸς
τὰ πολεμικὰ, τῶν πώποτε βασιλέων. οὔτε γὰρ ἐμφύλια κατ᾽
ἐχθρῶν, οὔτε ξένα κατὰ βαρβάρων, τοσαῦτά τις πρὸ αὐτοῦ D
ἤγειρε τρόπαια. βασιλεύσας δὲ ὀκτωκαίδεκα ἔτεσιν, ἐπὶ
παισὶ νεανίαις διαδόχοις ἀνεπαύσατο, χρήματά τε αὐτοῖς
καταλιπὼν ὅσα μηδεὶς πώποτε, καὶ δύναμιν στρατιωτῶν
ἀνανταγώνιστον. ὁ δὲ Ἀντωνῖνος, τοῦ πατρὸς ἀποθανόντος,
λαβόμενος ἐξουσίας, εὐθὺς ἀφ᾽ ἑστίας πάντας φονεύειν ἤρ-
ξατο· τούς τε ἰατροὺς ἀνελὼν οἳ μὴ ὑπήκουσαν αὐτῷ κελεύ- 413
σαντι κακουργῆσαι, καὶ τὸν θάνατον ἐπεῖξαι τοῦ γέροντος, A
τούς τε τροφεῖς αὐτοῦ καὶ τοῦ ἀδελφοῦ, ἐπειδὴ προσέκειντο
λιπαροῦντες αὐτὸν ὑπὲρ ὁμονοίας. οὐδένα δὲ εἴασε περιγε-
νέσθαι τῶν ἐν τιμῇ γενομένων ἢ θεραπείᾳ τοῦ γέροντος. ἰδίᾳ
τε δώροις καὶ μεγάλαις ὑποσχέσεσι τοὺς τῶν στρατοπέδων
ἡγουμένους ἐθεράπευεν, ὅπως ἀναπείσωσι τὸν στρατὸν ἀπο-
δεῖξαι μόνον αὐτοκράτορα, καὶ πᾶσαν μηχανὴν κατὰ τοῦ
ἀδελφοῦ ἐζήτει. οὐ μὴν ἔπειθε τὸ στρατιωτικόν· μεμνημένοι
γὰρ τοῦ Σεβήρου, καὶ ὅτι ἀμφοτέρους ἴσους ἐκ παίδων B
ἀναθρέψαι, ἴσην αὐτοῖς ὑπηρεσίαν καὶ εὔνοιαν παρεί-
χοντο. ὁ δὲ Ἀντωνῖνος, ἐπεὶ μὴ προεχώρει αὐτῷ τὰ τῶν
στρατοπέδων, σπεισάμενος πρὸς τοὺς βαρβάρους, δούς τε εἰ-

ῥώμην, τά τε πιστὰ λαβών, ἐξῄει τε τῆς βαρβάρου. πρός τε
τὸν ἀδελφὸν ἤδη καὶ τὴν μητέρα ἠπείγετο. ὡς δὲ κα-
τὰ τὸ αὐτὸ ἐγένοντο, συνάγειν αὐτοὺς ἡ μήτηρ ἐπειρᾶτο, καὶ
οἱ ἐν ἀξιώσει ὄντες, καὶ σύνεδροι πατρῷοι φίλοι. ὁ δὲ Ἀν-
τωνῖνος, πάντων αὐτῷ πρὸς ἃ ἐβούλετο ἀναιρουμένων,
C ἀνάγκῃ μᾶλλον ἢ γνώμῃ, ἐς ὁμόνοιαν καὶ φιλίαν ἐπίπλα-
στον μᾶλλον ἢ ἀληθῆ, προελήλυτο. οὕτω δὴ τὰ τῆς βασιλείας
ἀμφότεροι διοικοῦντες ἐν ὁμοτίμῳ ἀρχῇ, ἀπᾶραι τῆς
Βρεττανίας ἠθέλησαν, εἴς τε τὴν Ῥώμην ἠπείγοντο, κομί-
ζοντες τὰ τοῦ πατρὸς λείψανα. τὸ γὰρ σωμάτιον πυρὶ παρα-
δόντες, τήν τε κόνιν σὺν ἀρώμασιν εἰς κάλπην ἀλαβάστρου
ἐμβαλόντες, ἀπεκόμιζον εἰς τὴν Ῥώμην, εἰς τὰ βασίλεια
ἀποθησόμενοι ἱερὰ μνήματα. αὐτοὶ δὲ τὸν στρατὸν ἀνα-
λαβόντες, νικηφόροι δὴ κατὰ Βρεττανῶν εἰς τὴν ἀντι-
κειμένην Γαλλίαν διαβάντες τὸν ὠκεανὸν ἀφίκοντο. ὅ-
πως μὲν δὴ Σεβῆρος τὸν βίον μετήλλαξε καὶ οἱ παῖ-
δες αὐτοῦ τὴν ἀρχὴν διεδέξαντο, ἐν τῷ βιβλίῳ τούτῳ
δεδήλωται.

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας βιβλίον τέταρτον.

ΤΑ μὲν δὴ πραχθέντα Σεβήρῳ βασιλεύσαντι ὀκτωκαίδεκα ἔτεσιν, ἐν τῷ πρὸ τούτου βιβλίῳ δεδήλωται. οἱ δὲ υἱεῖς αὐτοῦ ἤδη νεανίαι, ἅμα τῇ μητρὶ εἰς τὴν Ῥώμην ἠπείγοντο, ἤδη μὲν κατὰ τὴν ὁδὸν στασιάζοντες πρὸς ἀλλήλους. οὔτε γὰρ καταγωγαῖς ταῖς αὐταῖς ἐχρῶντο, οὔτε συνεισιτῶντο ἀλλήλοις· πολὺ δὲ τὸ ὕποπτον ἐν ἅπασιν ἐδέσμασί τε καὶ πόμασι, μή τις αὐτῶν προλαβὼν καὶ λαθών, ἤ τινας ἀναπείσας τὴν ὑπηρετὴν, δηλητηρίῳ χρήσηται φαρμάκῳ. ταύτῃ γοῦν καὶ τὴν ὁδοιπορίαν ἔτι μᾶλλον ἤπειγον, ἀδεέστερον ἑκάτερος βιώσεσθαι προσδοκῶν εἰ ἐν τῇ Ῥώμῃ γένοιντο, καὶ τὰ βασίλεια διελόμενοι, ἐν πλατείᾳ καὶ πολλῇ οἰκήσει καὶ πάσης πόλεως μείζονι, καθ' ἑαυτὸν ἑκάτερος διάγοι ὡς βούλοιτο. ὡς δὲ ἀφίκοντο εἰς τὴν Ῥώμην, ὅ, τε δῆμος αὐτοὺς δαφνηφορῶν ὑπεδέξατο, ἥ τε σύγκλητος προσηγόρευσεν. ἡγοῦντο δ' αὐτοὶ μὲν τὴν βασίλειον φέροντες πορφύραν, εἵποντο δ' ὄπισθεν αὐτοῖς οἱ τὴν ὕπατον ἀρχὴν τότε διέποντες, κάλπιν φέροντες ἔνθα ἦν τὰ Σεβήρου λείψανα. οἵ τε προσαγορεύοντες τοὺς νέους αὐτοκράτορας παρελόντες, καὶ τὴν κάλπιν προσεκύνουν. ἐκείνην μὲν οὖν παραπέμψαντες καὶ προπομπεύσαντες αὐτῆς ἀπέθεντο ἐν τῷ νεῷ ἔνθα Μάρκου τε καὶ τῶν πρὸ αὐτοῦ βασιλέων ἱερὰ μνήματα δείκνυται. ἐπιτελέσαντες δὲ τὰς νενομισμένας ἱερουργίας ἐπὶ τῆς

βασιλικαῖς εἰσόδοις, αἳ ἦλθον εἰς τὰ βασίλεια. διελόμε-
νοι δὲ αὐτά, ἑκάτερος ᾤκει, παραφράττοντές τε πάσας εἰσ-
όδους, εἴ τινες ἦσαν λανθάνουσαι, μόναις δὲ ταῖς δημο-
σίοις καὶ αὐλείοις αὐτῶν χρώμενοι. φρουράς τε ἐπιστή-
σαντες ἰδίᾳ ἑκάτερος, οὐδὲ συνιόντες, εἰ μὴ πρὸς ὀλίγον ὅ-
σοι δημοσίᾳ εἴ ποτε ὀφθεῖεν. ἐπετέλεσαν δὲ πρὸ ἁπάν-
των τὴν εἰς τὸν πατέρα τιμήν. ἔθος γάρ ἐστι Ῥωμαίοις
ἐκθειάζειν βασιλέων τοὺς ἐπὶ διαδόχοις παισὶ τελευτήσαν-
D τας· τήν τε τοιαύτην τιμὴν, ἀποθέωσιν καλοῦσι. με-
μιγμένον δέ τι πένθος ἑορτῇ καὶ θρησκείᾳ κατὰ πᾶσαν τὴν
πόλιν δείκνυται. τὸ μὲν γὰρ σῶμα τοῦ τελευτήσαντος πολυτε-
λεῖ κηδείᾳ καταθάπτουσιν ἀνθρώπων νόμῳ· κηροῦ δὲ
415 πλασάμενοι εἰκόνα πάντα ὁμοίαν τῷ τετελευτηκότι, ἐπὶ
A μεγίστης ἐλεφαντίνης κλίνης εἰς ὕψος ἀρθείσης προτιθέα-
σιν ἐν τῇ τῶν βασιλείων εἰσόδῳ, χρυσοϋφεῖς στρωμνὰς ὑπο-
στρωννύντες. ἡ δ' εἰκὼν ἐκείνη ἐν σχήματι νοσοῦντος πρό-
κειται ὠχριῶσα. τῆς δὲ κλίνης ἑκατέρωθεν καθέζονται
ἐπὶ πλεῖστον τῆς ἡμέρας, ἐν μὲν τῷ λαιῷ μέρει, πᾶσα ἡ σύγ-
κλητος μελαίναις ἐφεστρίσι χρώμενοι, ἐν δὲ τῷ δεξιῷ, γυναῖ-
κες πᾶσαι ὅσαις ἀνδρῶν ἢ πατέρων ἀξίωμα, τιμῆς ἐνδό-
ξου μεταδίδωσιν. οὔτε δὲ χρυσοφοροῦσά τις αὐτῶν ὁρᾶται,
οὔτε περιδεραίοις κοσμουμένη, ἀλλὰ λιτὰς ἐσθῆτας λευ-
B κὰς ἀμφιεννύμεναι, σχῆμα παρέχουσι λυπουμένων. ἑπτὰ μὲν
οὖν ἡμερῶν τὰ εἰρημένα ἐπιτελεῖται, ἰατροί τε εἰσιόντες
ἑκάστοτε, προσίασι τῇ κλίνῃ, καὶ δῆθεν ἐπισκεψάμενοι τὸν
νοσοῦντα, χαλεπώτερον ἔχειν ἀπαγγέλλουσιν ἑκάστοτε. ἐπειδὰν
δὲ δόξῃ τετελευτηκέναι, τὴν μὲν κλίνην ἀράμενοι, οἵ τε ἱπ-
πικοῦ τάγματος ἐπιφανέστατοι, καὶ τῆς συγκλήτου ἐπίλε-
κτοι νεανίαι, κατακομίζουσι διὰ τῆς ἱερᾶς ὁδοῦ, ἐς τὴν
ἀρχαίαν ἀγορὰν προτιθέασιν, ἔνθα οἱ Ῥωμαίων ἄρχον-
τες ἀπόμνυνται. ἑκατέρωθεν δὲ βάθρα τινὰ σύγκειται, ἐν

κλίμακος σχήματι· καὶ ἐπὶ μὲν θατέρου μέρους τῶν εὐγενε-
στάτων καὶ εὐπατριδῶν, χορὸς ἕστηκε παίδων· ἐν δὲ τῷ ἀν- C
τικειμένῳ, γυναικῶν τῶν ἐν ἀξιώσει εἶναι δοκουσῶν. ᾄδουσι
δὲ ἑκάτεροι ὕμνους τε καὶ παιᾶνας εἰς τὸν τετελευτηκότα,
σεμνῷ μέλει καὶ θρηνώδει ἐρρυθμισμένους. μετὰ δὲ ταῦτα
βαστάσαντες τὴν κλίνην, φέρουσιν ἔξω τῆς πόλεως εἰς τὸ
καλούμενον ἄρεως πεδίον. ἔνθα κατεσκεύασται ἐν τῷ πλα-
τυτάτῳ τοῦ πεδίου τόπῳ τετράγωνόν τι καὶ ἰσόπλευρον,
ἄλλης μὲν ὕλης οὐδεμιᾶς μετέχον ἢ ἐκ μόνης τε συμπή-
ξεως ξύλων μεγίστων εἰς σχῆμα οἰκήματος· πᾶν δὲ ἐκεῖνο,
ἔνδοθεν μὲν φρυγάνων πεπλήρωται, ἔξωθεν δὲ χρυσοϋφέσι
στρωμναῖς, ἐλεφαντίνοις τε ἀγάλμασι, γραφαῖς τε ποικί- D
λαις κεκόσμηται. ὑπ' ἐκείνῳ δὲ ἕτερον, σχήματι μὲν καὶ
κόσμῳ παραπλήσιον μικρότερον ἐπίκειται, πυλίδας ἔχον
καὶ θύρας ἀνεῳγμένας. τρίτον τε καὶ τέταρτον ἀεὶ τοῦ ὑπο-
κειμένου μεῖον, ἐς τελευταῖον βραχύτατον περαιοῦται. ἀ-
πεικάσαι τις ἂν τὸ σχῆμα τοῦ κατασκευάσματος φρυκτω-
ρίοις, ἃ τοῖς λιμέσιν ἐπικείμενα, νύκτωρ διὰ τοῦ πυρὸς ἐς
ἀσφαλεῖς καταγωγὰς τὰς ναῦς χειραγωγεῖ· φάρους δὲ αὐ-
τὰ οἱ πολλοὶ καλοῦσιν. ἐς δὴ τὸ οἴκημα τὸ δεύτερον, ἀνακο-
μίσαντες τὴν κλίνην, τιθέασιν ἀρώματά τε καὶ θυμιάμα- 416
τα πάντα ὅσα γῆ φέρει· εἴ τέ τινες καρποὶ ἢ πόαι χυμοί τε A
συμβαλλόμενοι πρὸς εὐωδίαν, ἀνακομίζονται καὶ σωρη-
δὸν χέονται. οὔτε γὰρ ἔθνος, οὔτε πόλις τις, οὔτε τῶν ἐν ἀξιώ-
σει ἢ τιμῇ ἐστιν, ὃς μὴ δῶρα ταῦτα ὕστατα πέμπει φιλοτι-
μούμενος εἰς τιμὴν τοῦ βασιλέως. ἐπὰν δὲ μέγιστον χῶμα ἀθροισθῇ
τῶν ἀρωμάτων, πᾶς τε ὁ τόπος πληρωθῇ, ἱππασία περὶ τὸ
κατασκεύασμα ἐκεῖνο γίγνεται. πᾶν τε τὸ ἱππικὸν τάγμα
περιθεῖ κύκλῳ μετά τινος ἀταξίας καὶ ἀνακυκλώσεως,
πυρριχίῳ δρόμῳ καὶ ῥυθμῷ· ἅρματά τε περιέρχεται ὁ-
μοίᾳ ἀταξίᾳ φέροντα τοὺς ἐφεστῶτας, ἠμφιεσμένους μὲν

B τὰς περιπορφύρους ἐσθῆτας, πρόσωπα δὲ περικειμέ-
νους, εἰκόνας ἔχοντα ὅσοι Ῥωμαίων ἐνδόξως ἐστρατήγη-
σαν ἢ ἐβασίλευσαν. τούτων δὲ συντελεσθέντων, λαβὼν
λαμπάδα ὁ τὴν βασιλείαν διαδεξάμενος, προσφέρει τῷ
οἰκήματι, οἵ τε λοιποὶ πανταχόθεν πῦρ περιτιθέασι. (πάντα
δὲ ῥᾷστα ἀνάπτεται ἀμάρως ὑπὸ τοῦ πυρὸς) φρυγάνων τε
πλήθους καὶ θυμιαμάτων ἐπιτεθέντος. ἐκ δὲ τοῦ τελευ-
ταίου καὶ βραχυτάτου κατασκευάσματος, ὥσπερ ἀπό τι-
νος ἐπάλξεως, ἀετὸς ἀφίεται, σὺν τῷ πυρὶ ἀνελευσό-
μενος εἰς τὸν αἰθέρα· ὃς φέρειν ἀπὸ γῆς ἐς οὐρανὸν τὴν τοῦ
βασιλέως ψυχὴν πιστεύεται ὑπὸ Ῥωμαίων, καὶ ἐξ ἐκεί-
νου μετὰ τῶν λοιπῶν θεῶν θρησκεύεται. ταύτην δὲ τὴν τιμὴν
C ἐκθειάσαντες οἱ παῖδες ἐς τὸν πατέρα, ἐπανῆλθον εἰς τὰ
βασίλεια. ἐξ ἐκείνου δὲ ἐστασίαζον πρὸς ἀλλήλους, ἐμίσουν
τε καὶ ἐπεβούλευον· πάντα τε ἔπραττεν ἑκάτερος, πειρώ-
μενος τὸν ἀδελφὸν ἀποσκευάσασθαι, εἰς αὑτόν τε μόνον πε-
ριαγαγεῖν τὴν ἀρχήν. ἐμερίζοντο δὲ καὶ πάντων αἱ γνῶ-
μαι ὅσοι ἐν ἀξιώσει ἢ τιμῇ τινι ἦσαν κατὰ τὴν πόλιν. ἰδίᾳ γὰρ
αὐτῶν ἑκάτερος ἐπέστελλέ τε λανθάνων, καὶ ᾠκειοῦτο, με-
γάλαις ὑποσχέσεσι πρὸς αὑτὸν ἀνέλκων. καὶ τό γε πλεῖστον
D μέρος εἰς τὸν Γέταν ἔβλεπε· φαντασίαν γάρ τινα ἐπιει-
κείας ἐπεδείκνυτο, μέτριόν τε καὶ πρᾶον ἑαυτὸν τοῖς προσ-
ιοῦσι παρεῖχεν. ἐπιτηδεύμασί τε σπουδαιοτέροις ἐχρῆτο,
προσιέμενός τε τοὺς ἐπὶ παιδείᾳ ἐπαινουμένους, ἐσπουδα-
κώς τε περὶ παλαίστρας καὶ γυμνάσια ἐλευθέρια. χρηστός τε
ὢν καὶ φιλάνθρωπος τοῖς συνοῦσι, φήμῃ καὶ δόξῃ ἀρίστῃ, πλεί-
ους εἰς εὔνοιαν καὶ φιλίαν προσεκαλεῖτο. ὁ δὲ Ἀντωνῖνος
417 ἐμβριθῶς τὰ πάντα καὶ θυμοειδῶς ἔπραττε. πολὺ δὲ ἀ-
A πάγων ἑαυτὸν τῶν προειρημένων, στρατιωτικοῦ τε καὶ πολε-
μικοῦ βίου ἐραστὴς εἶναι προσεποιεῖτο, ὀργῇ τε πάντα πράτ-
των, καὶ ἀπειλῶν μᾶλλον ἢ πείθων, φόβῳ καὶ οὐκ εὐνοίᾳ φί-

λοις ἐκ τούτου. ὡς στασιάζοντας· τοὺς ἀδελφοὺς ἐν ἅπασιν οἷς
ἔπραττον, μέχρι τῶν ἀπλουστάτων ἔργων, ἡ μήτηρ συνά-
γειν ἐπειρᾶτο. καί ποτε ἔδοξεν αὐτοῖς, ἵνα δὴ μὴ μένοντες ἐν
τῇ Ῥώμῃ ἀλλήλοις ἐπιβουλεύοιεν, νείμασθαι τὴν ἀρχήν.
συναγαγόντες δὴ τοὺς πατρῴους φίλους, τῆς τε μητρὸς παρού-
σης, ἠξίουν διαιρεθῆναι τὴν βασιλείαν, καὶ τὰ μὲν ὑπὸ Εὐ-
ρώπην πάντα ἔχειν τὸν Ἀντωνῖνον, τὴν δὲ ἀντικειμένην ἤ- B
πειρον, Ἀσίαν τε καλουμένην πᾶσαν Γέτᾳ παραδοθῆναι.
οὕτω γὰρ ἔλεγον καὶ θείᾳ τινὶ προνοίᾳ τὰς ἠπείρους διῃρῆσθαι
τῷ Προποντίδος ῥεύματι. ἤρεσκε δὲ τὸν μὲν Ἀντωνῖνον ἐπὶ
τῷ Βυζαντίῳ ἱδρῦσαι στρατόπεδον, τὸν δὲ Γέταν ἐν Καλ-
χηδόνι τῆς Βιθυνίας, ὡς ἀντικείμενα ἀλλήλοις τὰ στρατόπε-
δα, φρουροίη τε τὴν ἑκατέρου ἀρχήν, καὶ κωλύοι τὰς διαβά-
σεις. ἐδόκει τε τῆς συγκλήτου βουλῆς τοὺς μὲν Εὐρωπαίους πάν-
τας ἀπομεῖναι, τοὺς δὲ ἐκεῖθεν ἀπελθεῖν σὺν τῷ Γέτᾳ. τῇ τε
βασιλείᾳ τῇ αὐτοῦ αὐτάρκη ἔσεσθαι ὑποδοχὴν ὁ Γέτας
ἔλεγεν ἢ τὴν Ἀντιόχειαν, ἢ τὴν Ἀλεξάνδρειαν, οὐ πολύ τι τῆς C
Ῥώμης, ὡς ᾤετο, μεγέθει ἀπολειπούσας· τῶν δὲ ὑπὸ μεσημ-
βρίᾳ ἐθνῶν Μαυρουσίους μὲν καὶ Νομάδας, Λιβύης τε τὰ
παρακείμενα, Ἀντωνίνῳ παραδοθῆναι· τὰ δὲ ἐπέκεινα
μέχρις ἀνατολῆς προσήκειν τῷ Γέτᾳ. ταῦτα δὴ αὐτῶν
διατυπούντων, οἱ μὲν ἄλλοι πάντες σκυθρωποῖς προσώποις
ἐς γῆν ἔνευσαν, ἡ δὲ Ἰουλία, Γῆν μὲν (ἔφη) καὶ θάλασσαν, ὦ
τέκνα, εὑρίσκετε ὅπως νείμησθε. καὶ τὰς ἠπείρους, ὥς φατε,
τὸ πόντιον ῥεῖθρον διαιρεῖ, τὴν δὲ μητέρα πῶς ἂν διέλοι-
σθε; καὶ πῶς ἡ ἀθλία ἐγὼ εἰς ἑκάτερον ὑμῶν νεμηθείην ἢ
τμηθείην; πρῶτον δὴ ἐμὲ φονεύσατε, καὶ διελόντες ἑκάτε- D
ρος παρ' ἑαυτῷ τὸ μέρος θαπτέτω. οὕτω γὰρ ἂν μετὰ γῆς καὶ
θαλάττης εἰς ὑμᾶς μερισθείην. ταῦτα δὲ λέγουσα μετὰ δα-
κρύων καὶ οἰμωγῆς, ἀμφοτέροις τε τὰς χεῖρας περιβάλ-
λουσα, καὶ ὑπὸ τὰς ἀγκάλας ἄγουσα, συνάγειν ἐπειρᾶτο.

πάντας δὲ οἴκαδε καταλαβόντας, διελύθη τὸ συνέδριον, ἥ τε σκέψις ἀπεδοκιμάσθη, ἑκάτερός τε εἰς τὰ ἑαυτοῦ βασίλεια ἀνεχώρησε. τὸ δὲ μῖσος καὶ ἡ στάσις ηὔξετο. εἴτε γὰρ ἡ-
418 γεμόνας ἢ ἄρχοντας ἔδει ποιεῖν, ἑκάτερος τὸν ἑαυτοῦ φίλον
A προάγειν ἤθελεν· εἴτε δικάζοιεν, τὰ ἐναντία ἐφρόνουν, ἐπ' ὀλέθρῳ τῶν δικαζομένων ἔσθ' ὅτε. πλέον γὰρ ἦν παρ' αὐτοῖς τοῦ δικαίου τὸ φιλόνεικον. ἔν τε θεάμασι, περὶ τὰ ἐναντία ἐσπούδαζον. πάντα τε εἴδη ἐπιβουλῆς ἐξήρτυον, οἰνοχόους τε καὶ ὀψοποιοὺς ἀνέπειθον ἐμβαλεῖν δηλητήρια φάρμακα. οὐ ῥαδίως δὲ αὐτῶν οὐδετέρῳ προεχώρει, ἐπειδὴ μετὰ πολλῆς ἐπιμελείας καὶ φρουρᾶς διητῶντο. τέλος δὲ μὴ φέρων ὁ Ἀντωνῖνος, ἀλλ' ὑπὸ τῆς περὶ τὴν μοναρχίαν ἐπιθυμίας ἐλαυνόμενος, διέγνω δρᾶσαί τι ἢ παθεῖν γενναῖον,
B διὰ ξίφους χωρήσας καὶ φόνου. μὴ προχωρούσης γὰρ τῆς λανθανούσης ἐπιβουλῆς, ἀναγκαίαν ἡγήσατο τὴν κινδυνώδη τε καὶ ἀπεγνωσμένην, τῆς μὲν διὰ στοργὴν, τοῦ δὲ δι' ἐπιβουλήν. Γέτας μὲν δὴ τρωθεὶς καιρίως, προσχέας τὸ αἷμα τοῖς τῆς μητρὸς στήθεσι, μετήλλαξε τὸν βίον. ὁ δ' Ἀντωνῖνος, κατεργασθέντος αὐτῷ τοῦ φόνου, προπηδᾷ τοῦ δωματίου θέων. φερόμενός τε δι' ὅλων τῶν βασιλείων, ἐβόα μέγαν κίνδυνον ἐκπεφευγέναι, μόλις τε σωθῆναι. τούς τε στρατιώτας, οἳ φρουροῦσι τὰ βασίλεια, κελεύει αὐτὸν ἁρπάσαντας ἀπάγειν εἰς τὸ στρατόπεδον, ὡς ἂν σωθῇ ἐκεῖ φυλαχθείς· μείνας γὰρ ἐπὶ τῆς βασιλείου αὐλῆς, ἔλεγεν ἀπο-
C λεῖσθαι. πιστεύσαντές τε ἐκεῖνοι, τό, τε πεπραγμένον ἔνδον οὐκ εἰδότες, θέοντι αὐτῷ καὶ φερομένῳ συνεξέδραμον πάντες. ταραχή τε κατεῖχε τὸν δῆμον, ὁρῶντα περὶ δείλην διὰ μέσης φερόμενον τῆς πόλεως δρόμῳ τὸν βασιλέα. ὡς δὲ εἰσέπεσεν εἰς τὸ στρατόπεδον, ἔς τε τὸν νεὼν ἔνθα τὰ σημεῖα καὶ τὰ ἀγάλματα τοῦ στρατοπέδου προσκυνεῖται, ῥίψας ἑαυτὸν εἰς γῆν, ὡμολόγει τε χαριστήρια, ἔθυέ τε σωτήρια.

ὡς δὲ

ὡς δὲ διηγγέλη τοῦτο τοῖς στρατιώταις, ὧν οἱ μὲν ἤδη περὶ λου-
τρὰ εἶχον, οἱ δὲ ἀνεπαύοντο, πάντες ἐκπλαγέντες συνέθεον.
ὁ δὲ εἰσελθὼν, τὸ μὲν πραχθὲν, ἀδεῶς οὐχ ὡμολόγησεν,
ἐβόα δὲ πεφευγέναι κίνδυνον, καὶ ἐπιβουλὴν πολεμίου καὶ D
ἐχθροῦ· (τὸν ἀδελφὸν λέγων) μόλις τε καὶ μετὰ πολλῆς μά-
χης τῶν ἐχθρῶν κεκρατηκέναι· κινδυνευσάντων δὲ ἀμφοτέ-
ρων, κἂν ἕνα ἑαυτῶν βασιλέα τετηρῆσθαι ὑπὸ τῆς τύχης.
τοιαῦτα δή τινα πλαγίως ἐμφαίνων, νοεῖσθαι μᾶλλον ἐβού-
λετο τὰ πραχθέντα ἢ ἀκούεσθαι. ὑπισχνεῖται δὲ αὐτοῖς
ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας καὶ μοναρχίας, ἑκάστῳ μὲν στρα-
τιώτῃ, δισχιλίας καὶ πεντακοσίας δραχμὰς Ἀττικάς·
προστίθησι δὲ τῷ σιτηρεσίῳ ἄλλο τοῦ τελουμένου ἥμισυ. κε- 419
λεύει τε ἀπελθόντας αὐτοὺς ἤδη, ὑποδέχεσθαι ἔκ τε τῶν A
ναῶν καὶ τῶν θησαυρῶν τὰ χρήματα· μιᾶς τε ἡμέρας ἀ-
φειδῶς ἐκχέας πάντα ὅσα ἔτεσιν ὀκτωκαίδεκα ὁ Σεβῆ-
ρος ἤθροισέ τε καὶ κατέκλεισεν ἐξ ἀλλοτρίων συμφορῶν. οἱ
δὲ στρατιῶται, τοσούτων χρημάτων πλῆθος ἀκούσαντες, καὶ
συνέντες τὸ πεπραγμένον, ἤδη τε καὶ τοῦ φόνου διαβοήτου
γενομένου ὑπὸ τῶν ἔνδοθεν φυγόντων, μόνον τε αὐτο-
κράτορα ἀναγορεύουσιν αὐτὸν, καὶ τὸν Γέταν καλοῦσι πο-
λέμιον. ἐπιμείνας δὲ ὁ Ἀντωνῖνος τῆς νυκτὸς ἐκείνης ἐν
τῷ νεῷ τοῦ στρατοπέδου, θαρρήσας τε καὶ ταῖς ἐπιδόσεσιν
οἰκειωσάμενος τοὺς στρατιώτας, εἰς τὴν σύγκλητον κατῆλθε
μετὰ παντὸς τοῦ στρατοῦ ὡπλισμένου μᾶλλον ἢ ἔθος ἐπὶ βα- B
σιλέα προπομπεύειν. εἰσελθὼν δὲ καὶ θύσας, τοῦ τε βασι-
λείου ἐπιβὰς θρόνου, ἔλεξε τοιάδε,

Οὐκ ἀγνοῶ μὲν ὅτι πᾶς οἰκείου φόνος ἀρτίως ἀκου-
σθεὶς μεμίσηται, τό τε ὄνομα ταῖς ἀκοαῖς ἅμα τῷ προσ-
πεσεῖν, ἀηδῆ φέρει χαλεπὴν διαβολήν. τοῖς μὲν γὰρ δυστυ-
χήσασιν ἔλεος, τοῖς δὲ κρατήσασι φθόνος παρακολουθεῖ. καὶ
τὸ μὲν ἡττηθὲν, τοῖς τοιούτοις ἀδικεῖσθαι· τὸ δὲ νικῆσαν, ἀδι-

καὶ ἦν δοκεῖ. πλὴν εἴ τις ὀρθῇ κρίσει, καὶ μὴ διαθέσει τῇ
C πρὸς τὸν πεσόντα τὸ πεπραγμένον λογίζοιτο, τήν τε
αἰτίαν αὐτοῦ καὶ τὴν ὑπόθεσιν ἐξετάζοι, εὕροι ἂν ὁ-
μοῦ καὶ εὔλογον καὶ ἀναγκαῖον, τὸν μέλλοντα πείσεσθαι
δεινὸν, ἀμύνασθαι μᾶλλον ἢ ὑπομεῖναι. τῇ μὲν γὰρ συμ-
φορᾷ τοῦ πεσόντος, καὶ ἀνανδρίας ψόγος παρακολου-
θεῖ· ὁ δὲ κρατήσας, ἅμα τῷ σεσῶσθαι, καὶ δόξαν ἀν-
δρίας ἀπηνέγκατο. τὰ μὲν οὖν ἄλλα ὅσα διὰ δηλητη-
ρίων φαρμάκων καὶ διὰ πάσης ἐνέδρας ἐπιβούλευσέ
μοι, ἔνεστιν ὑμῖν καὶ διὰ βασάνων χαρήσασι μαθεῖν. καὶ
γὰρ διὰ τοῦτο τοὺς ἐκείνου ἐν τοῖς ὑπηρέταις ἐκέλευσα
παρεῖναι, ὅπως εὕρητε τὴν ἀλήθειαν. εἰσὶ δέ τινες αὐτῶν
D καὶ ἤδη ἐξετασθέντες, καὶ τῆς ἐξετάσεως ἐπακοῦσαι δύ-
νασθε. τὸ δ' οὖν τελευταῖον ἐπῆλθέ μοι παρὰ τῇ μη-
τρὶ ὅτι, ξιφήρεις ἔχων τινὰς ἐς τοῦτο παρεσκευασμέ-
νους· ὅπερ ἐγὼ προμηθείᾳ πολλῇ καὶ ἀγχινοίᾳ συνεὶς, ἠμυ-
νάμην ὡς πολέμιον, ἐπεὶ μήτε γνώμην ἔτι μήτε ὁρμὴν
ἔφερεν ἀδελφοῦ. ἀμύνεσθαί τε αὐτοὺς ἐπιβουλεύοντας, οὐ
μόνον δίκαιον ἀλλὰ καὶ συνήθες. αὐτὸς γοῦν ὁ τῆσδε τῆς
πόλεως κτίσης Ῥωμύλος οὐκ ἤνεγκεν ἀδελφὸν ὑβρίσαν-
τα μόνον εἰς τὰ ἐκείνου ἔργα. σιγῶ Γερμανικὸν τὸν Νέ-
420 ρωνος, καὶ Τίτον τὸν Δομετιανοῦ. Μάρκος αὐτὸς φιλοσοφίαν
A καὶ ἐπιείκειαν προσποιούμενος, Λουκίου τὴν ὕβριν οὐκ
ἤνεγκεν ὄντος γαμβροῦ, ἀλλ' ἐξ ἐπιβουλῆς αὐτὸν ἀπε-
σίσατο. ἐγὼ δὲ, δηλητηρίων παρεσκευασμένων, ξίφους ἐ-
πηωρημένου, τὸν ἐχθρὸν ἠμυνάμην. τοῦτο γὰρ αὐτῷ τοὔνομα
ἐδίδου τὰ ἔργα. ὑμᾶς δὲ χρὴ πρῶτον μὲν θεοῖς εἰδέναι
χάριν ὅτι κἂν τὸν ἕτερον ὑμῖν τῶν βασιλέων ἔσωσαν· παύ-
σασθαι δὲ ἤδη τὰς ψυχὰς καὶ τὰς γνώμας διῃρημένους, εἰς ἕνα
δὲ βλέποντας, ἀμερίμνως βιοῦν. βασιλείαν δὲ ὁ Ζεὺς, ὥσ-
περ αὐτὸς ἔχει μόνος θεῶν, οὕτω καὶ ἀνθρώπων ἑνὶ δίδωσι.

Ταῦτα εἰπὼν μεγάλῃ βοῇ, θυμοῦ πεπληρωμένος, βλέμ- B
ματί τε δριμεῖ ἀφορῶν εἰς τοὺς ἐκείνου φίλους, τρέμοντάς τε
καὶ ὠχριῶντας τοὺς πλείστους καταλιπὼν, εἰς τὰ βασίλεια
ἀνέδραμεν. εὐθὺς δὲ πάντες ἐφονεύοντο οἱ ἐκείνου οἰκεῖοί
τε καὶ φίλοι, καὶ οἱ ὄντες ἐν τοῖς βασιλείοις ἔνθα ἐκεῖνος ᾤκει·
ὑπηρέται τε πάντες ἀνῃροῦντο· οὐδέ τις ἦν φειδὼ ἡλικίας,
οὔτε μέχρι νηπίων. τὰ δὲ πτώματα φερόμενα μεθ' ὕβρεως,
πάσαις ἁμάξαις ἐπιτεθέντα, ἔξω τῆς πόλεως κομισθέντα,
σωρηδὸν κατεπίμπρατο, ἢ ὅπως δὴ ἐρρίπτετο. οὐδεὶς δὲ
περιελείπετο τῶν κἂν μετρίως ἐκείνῳ γνωσθέντων. ἀθληταὶ C
δὲ καὶ ἡνίοχοι, ὑποκριταί τε πάσης μούσης καὶ ὀρχήσεως,
πᾶν τε ὅσον ἐκεῖνος δι' ἡδονῆς εἶχε θέαμα ἢ ἄκουσμα, διε-
φθείρετο. τῆς τε συγκλήτου βουλῆς ὅσοι γένει ἢ πλούτῳ ὑ-
περεῖχον, ἐπὶ βραχυτάταις ἢ οὐδ' ὑφεστώσαις αἰτίαις ἐκ
τῆς τυχούσης διαβολῆς, ὡς ἐκείνου φίλοι, ἀνῃροῦντο. τήν
τε Κομμόδου ἀδελφὴν πρεσβῦτιν ἤδη καὶ πρὸς πάν-
των βασιλέων ὡς Μάρκου θυγατέρα τετιμημένην, ἀπέ-
κτεινεν, αἰτίαν ἐπαγαγὼν ὡς δακρυσάσῃ παρὰ τῇ μητρὶ D
αὐτοῦ ἐπὶ τῷ παιδὸς φόνῳ. τήν τε γυναῖκα γενομένην ἑ-
αυτοῦ, Πλαυτιανοῦ θυγατέρα, οὖσαν δὲ ἐν Σικελίᾳ, τόν τε
ἀνεψιὸν αὐτοῦ Σεβήρῳ τε ὁμώνυμον, καὶ τὸν Περτίνακος
υἱὸν, τῆς τε Κομμόδου ἀδελφῆς Λουκίλλης υἱὸν, καὶ εἴ τι γέ-
νος ἦν βασιλικὸν, ἢ ἐν συγκλήτῳ ἐξ εὐπατριδῶν καταβαῖ-
νον, πᾶν ἐξέκοψεν. εἴς τε τὰ ἔθνη πέμπων ἡγεμόνας τε καὶ
ἐπιτρόπους, ὡς ἐκείνου φίλους πάντας διεχειρήσατο. πᾶσα
δὲ νὺξ ἔφερε φόνους παντοδαπῶν ἀνθρώπων. τάς τε τῆς
ἑστίας ἱερείας ζώσας κατώρυττεν ὡς μὴ φυλαττούσας τὴν 421
παρθενίαν. τὸ δὲ τελευταῖον καὶ μήποτε γενόμενον ἔργον, A
ἱπποδρομίαν μὲν ἐθεᾶτο, ἀπέσκωψε δέ τι τὸ πλῆθος εἰς
τὸν ἡνίοχον περὶ ὃν ἐκεῖνος ἐσπουδάκει· ὁ δὲ, οἰηθεὶς αὐ-
τὸς ὑβρίσθαι, κελεύει τῷ πλήθει προσπεσεῖν τὸ στράτευμα,

ἀπάγειν τε καὶ φονεύειν τοὺς κακῶς τὸν ἡνίοχον εἰπόντας.
οἱ δὲ στρατιῶται τοῦ βιάζεσθαί τε καὶ ἁρπάζειν λαβόντες
ἐξουσίαν, οὐκέτι διεκρίνοντο τίνες ἦσαν οἱ προπετέστερον φθεγ-
ξάμενοι, (καὶ γὰρ ἦν εὑρεῖν ἀδύνατον, ἐν δήμῳ τοσούτῳ,
B μηδενὸς ὁμολογοῦντος) ἀφειδῶς τοὺς ἐντυγχάνοντας ἀπά-
γοντες ἀνῄρουν, ἢ ἀφαιρούμενοι ἅπερ εἶχον ὥσπερ λύτρα,
μόλις ἐφείδοντο. τοιαῦτα δὴ πράττων, ὑπό τε τῆς τῶν ἔρ-
γων συνειδήσεως ἐλαυνόμενος, καὶ πρὸς τὴν ἐν τῇ πόλει δια-
τριβὴν ἀπεχθῶς ἔχων, ἀποδημῆσαι τῆς Ῥώμης ἠθέλη-
σεν, ὡς δὴ διοικήσων τὰ ἐν τοῖς στρατοπέδοις, καὶ τὰ ἔθνη
ἐπιοψόμενος. ἀπάρας δὲ τῆς Ἰταλίας, ἐπί τε ταῖς ὄχθαις
τοῦ Ἴστρου γενόμενος, διῴκει δὴ τὰ ἀρκτῷα τῆς ἀρχῆς μέ-
ρη, γυμνάσια τοῦ σώματος ποιούμενος ἡνιοχείας, καὶ θηρίων
παντοδαπῶν συσταδὸν ἀναιρέσεις· δικάζων μὲν σπανίως,
πλὴν νοῆσαι τὸ κρινόμενον ἀθιγὴς ἦν, ἀθίκτως τε πρὸς τὰ
λεχθέντα ἀποκρίνασθαι. ᾠκειώσατο δὲ καὶ πάντας τοὺς ἐ-
C πέκεινα Γερμανούς, ἔς τε φιλίαν ὑπηγάγετο, ὡς καὶ συμ-
μάχους παρ' αὐτῶν λαβεῖν, καὶ τοῦ σώματος ἑαυτοῦ φρου-
ροὺς ποιήσασθαι, γενναίους τε καὶ ὡραίους ἐπιλεξάμενος.
πολλάκις δὲ καὶ τὴν Ῥωμαϊκὴν ἀποθέμενος χλαμύδα, ἠμ-
φιέννυτο τὰ Γερμανῶν περιβλήματα· ἔν τε χλαμύσιν αἷς
εἰώθασιν, ἀργύρῳ πεποικιλμέναις, ἑωρᾶτο. κόμας τε τῇ
κεφαλῇ ἐπετίθετο ξανθάς, καὶ ἐς κουρὰν τὴν Γερμανῶν
ἠσκημένας. τούτοις δὴ χαίροντες οἱ βάρβαροι ὑπερηγάπων
αὐτόν. ἔχαιρον δὲ αὐτῷ καὶ οἱ Ῥωμαίων στρατιῶται, μάλι-
στα μὲν διὰ τὰς τῶν χρημάτων ἐπιδόσεις, αἷς ἀφειδῶς προσ-
εφέρετο αὐτοῖς· ὅτι τε πᾶν ὡς στρατιώτης ἔπραττεν, εἴτε
D ὄρυγμά τι ὀρύττειν ἔδει, σκάπτων πρῶτος εἴτε ῥεῖθρον γε-
φυρῶσαι, ἢ βάθος χῶσαι· πᾶν τε ὃ χειρῶν ἢ καμάτου σώ-
ματος ἔργον, πρῶτος εἰργάζετο. τραπέζῃ τε ἁπλῇ παρε-
τίθετο, ἔσθ' ὅπη καὶ ξυλίνοις ἐς ποτὸν καὶ ἐδέσματα χρώ-

μένος σκεύεσιν. ἄρτον τε προσεφέρετο αὐτοσχέδιον. εἴ ποτε γὰρ ἀλήσας τῇ ἑαυτοῦ χειρὶ, ὃ ἤρκει μόνῳ, μᾶζαν τε ποιήσας, καὶ ἐπ' ἄνθρακας ὀπτήσας ἐσιτεῖτο. καὶ πάντων μὲν τῶν πολυτελῶν ἀπείχετο, ὅσα δὲ εὐτελέστατα, καὶ τοῖς πενεστάτοις τῶν στρατιωτῶν εὐπορῆ, τούτοις ἐχρῆτο. συστρατιώτης τε ὑπ' 422
αὐτῶν μᾶλλον ἢ βασιλεὺς καλούμενος, χαίρειν προσεποι- A
εῖτο. τὰ πλεῖστά τε αὐτοῖς συνώδευε περιπατῶν, σπανίως ἅρματος ἢ ἵππου ἐπιβαίνων. τά τε ὅπλα βαστάζων ἑαυτοῦ, ἔστι δ' ὅτε καὶ τὰ τῶν στρατοπέδων σύμβολα, ἐπιμήκη ὄντα καὶ χρυσοῖς ἀναθήμασι πολλοῖς κεκοσμημένα, μόλις ὑπὸ τῶν γενναιοτάτων στρατιωτῶν φερόμενα, ἐπιθεὶς τοῖς ὤμοις ἔφερεν αὐτός. διὰ δὴ ταῦτα καὶ τὰ τούτοις ὅμοια ὡς στρατιωτικὸς ὑπ' αὐτῶν ἐφιλεῖτο, καὶ ὡς γενναῖος ἐθαυμάζετο. καὶ γὰρ ἦν θαύματος ἄξιον ἐν μικρῷ πάνυ τὸ μέ-
γεθος σώματι, γενναίων πόνων ἄσκησις τοσαύτη. ἐπεὶ δὲ τὰ B
περὶ τὸν Ἴστρον στρατόπεδα διῴκησε, κατῆλθέ τε εἰς Θρᾴκην, Μακεδόσι γειτνιῶσαν, εὐθὺς Ἀλέξανδρος ἦν. καὶ τήν τε μνήμην αὐτοῦ παντοίως ἀνενεώσατο, εἰκόνας τε καὶ ἀνδριάντας ἐν πάσαις πόλεσιν ἀναστῆναι ἐκέλευσε. τήν τε Ῥώμην ἐπλήρωσεν ἀνδριάντων καὶ εἰκόνων, ἐν τῷ Καπετωλίῳ, καὶ ἐν ἄλλοις ἱεροῖς, τῆς πρὸς Ἀλέξανδρον συναφείας. ἔσθ' ὅπου δὲ καὶ χλεύης εἴδομεν ἀξίας εἰκόνας ἐν γραφαῖς ἑνὸς σώματος, ὑπὸ περιφερείᾳ κεφαλῆς μιᾶς, ὄψεις ἡμιτόμους δύο, Ἀλεξάνδρου τε καὶ Ἀντωνίνου. προῄει δὲ αὐτὸς ἐν Μακεδονικῷ σχήματι, καυσίαν τε ἐπὶ τὴν κε-
φαλὴν φέρων, καὶ κρηπῖδας ὑποδούμενος. ἐπιλεξάμενός C
τε νεανίας καὶ στρατεύσας, Μακεδονικὴν ἐκάλει φάλαγγα, τούς τε ἡγουμένους αὐτῆς φέρειν τὰ τῶν ἐκείνου στρατηγῶν ὀνόματα. ἀπό τε Σπάρτης μεταπεμψάμενος νεανίας, Λακωνικὸν καὶ Πιτανάτην ἐκάλει λόχον. ταῦτα δὲ ποιήσας, τά τε ἐν ταῖς πόλεσι διοικήσας ὡς ἐνεδέχετο, ἠπείχθη εἰς

Πέργαμον τῆς Ἀσίας, χρήσασθαι βουλόμενος θεραπείαις
τοῦ Ἀσκληπιοῦ. ἀφικόμενος δὴ ἐκεῖ καὶ ἐς ὅσον ἤθελε τῶν
ὀνειράτων ἐμφορηθεὶς ἧκεν εἰς Ἴλιον. ἐπελθὼν δὲ πάντα
τὰ τῆς πόλεως λείψανα, ἧκεν ἐπὶ τὸν Ἀχιλλέως τάφον. στε-
φάνοις τε κοσμήσας καὶ ἄνθεσι πολυτελῶς, πάλιν Ἀχιλλέα
D ἐμιμεῖτο. ζητῶν τε καὶ Πάτροκλόν τινα, ἐποίησέ τι τοιοῦτον.
ἦν αὐτῷ τις τῶν ἀπελευθέρων φίλτατος, Φῆστος μὲν ὄνο-
μα, τῆς δὲ βασιλείου μνήμης προεστώς. οὗτος ὄντος αὐ-
τοῦ ἐν Ἰλίῳ, ἐτελεύτησεν, ὡς μὲν τινες ἔλεγον, φαρμάκῳ
ἀναιρεθεὶς, ἵν' ὡς Πάτροκλος ταφῇ· ὡς δ' ἕτεροι ἔφασκον,
νόσῳ διαφθαρείς. τοῦτον κομισθῆναι κελεύει τὸν νέκυν,
ξύλων τε πολλῶν ἀθροισθῆναι πυράν· ἐπιθείς τε αὐτὸν ἐν
μέσῳ, καὶ παντοδαπὰ ζῷα κατασφάξας, ὑφῆψέ τε, καὶ
423 φιάλην λαβὼν, σπένδων τε τοῖς ἀνέμοις, εὔχετο. πάνυ τε
A ὢν ψιλοκόρσης, πλόκαμον ἐπιθεῖναι τῇ πυρᾷ ζητῶν, ἐγε-
λᾶτο· πλὴν ὧν εἶχε τριχῶν ἀπεκείρατο. ἐτίμα δὲ καὶ
στρατηγῶν μάλιστα Σύλλαν τε τὸν Ῥωμαῖον καὶ Ἀννίβαν
τὸν Λίβυν. ἀνδριάντας τε αὐτῶν καὶ εἰκόνας ἀνέστησεν.
ἀπάρας δὲ τῆς Ἰλίου διά τε τῆς ἄλλης Ἀσίας καὶ Βιθυ-
νίας, τῶν τε λοιπῶν ἐθνῶν, κἀκεῖσε διοικήσας τὰ πρακτέα,
εἰς τὴν Ἀντιόχειαν ἀφίκετο. ἐκεῖ τε ὑποδεχθεὶς πολυτε-
λῶς, καὶ διατρίψας χρόνου τινός, ἐπὶ τὴν Ἀλεξάνδρειαν
ἐστέλλετο, πρόφασιν μὲν ποιούμενος, ποθεῖν τὴν ἐπ' Ἀλε-
B ξάνδρῳ κτισθεῖσαν πόλιν, καὶ τῷ θεῷ χρήσασθαι ὃν ἐκεῖ-
νοι σέβουσιν ἐξαιρέτως. δύο γὰρ ταῦτα ὑπερβαλλόντως
προσεποιεῖτο, τήν τε τοῦ θεοῦ θρησκείαν, καὶ τὴν τοῦ ἥρωος
μνήμην. ἑκατόμβας τε οὖν κελεύει παρασκευασθῆναι,
ἐναγισμούς τε παντοδαπούς. ὡς δ' ἠγγέλη τῷ τῶν Ἀλεξαν-
δρέων πλήθει, φύσει μὲν ὄντι τὰς γνώμας κουφοτάτῳ, καὶ
ἐπὶ τοῖς βραχυτάτοις ῥᾷστα κινουμένῳ, τότε δ' ἐξεπτόηντο
τὴν τοῦ βασιλέως σπουδήν τε καὶ εὔνοιαν πυνθανόμενοι.

ὑποδοχὴ δὲ παρεσκευάζετο οἵαν μηδενὶ πώποτε βασιλεῖ γενέσθαι φασί. πάσης τε γὰρ μούσης ὄργανα πανταχοῦ διακείμενα ποικίλον ἦχον εἰργάζετο. ἀρωμάτων τε παντοδαπῶν καὶ θυμιαμάτων ἀτμίδες εὐωδίας παρεῖχον ταῖς εἰσόδοις· δᾳδουχίαις τε καὶ ἀνθέων βολαῖς ἐτίμων τὸν βασιλέα. ὡς δὲ εἰσήλασεν εἰς τὴν πόλιν σὺν παντὶ τῷ στρατῷ, πρῶτον εἰς τὸν νεὼν ἀνελθὼν, πολλὰς ἑκατόμβας κατέθυσε, λιβανωτῷ τε τοὺς βωμοὺς ἐσώρευσεν. ἐκεῖθεν δ᾽ ἐλθὼν εἰς τὸ Ἀλεξάνδρου μνῆμα, τήν τε χλαμύδα ἣν ἔφερεν ἁλουργῆ, δακτυλίους τε οὓς εἶχε λίθων τιμίων, ζωστῆράς τε καὶ εἴ τι πολυτελὲς ἔφερε, περιελὼν ἑαυτοῦ, ἐπέθηκε τῇ ἐκείνου σορῷ. ἃ δὴ ὁρῶν ὁ δῆμος, ὑπερέχαιρε, παννυχίζων τε καὶ ἑορτάζων, οὐκ εἰδὼς τὴν τοῦ βασιλέως λανθάνουσαν γνώμην. ταῦτα γὰρ πάντα ἐκεῖνος ὑπεκρίνατο, βουλόμενος τὸ πλῆθος αὐτῶν διαφθεῖραι. ἡ δ᾽ αἰτία τοῦ λανθάνοντος μίσους, τοιάδε τις ἦν. ἀπηγγέλλετο αὐτῷ διατρίβοντι ἐπὶ τῆς Ῥώμης ἔτι, καὶ τοῦ ἀδελφοῦ περιόντος, καὶ μετὰ τὸν ἐκείνου φόνον, ὅτι ἄρα εἶεν πολλὰ εἰς αὐτὸν ἀποσκώψαντες. πεφύκασι δέ πως εἶναι φιλοσκώμμονες, καὶ λέγειν εὐστόχως ὑπογραφὰς ἢ παιδιὰς, ἀπορρίπτουντες εἰς τοὺς ὑπερέχοντας πολλὰ χαρίεντα μὲν αὐτοῖς δοκοῦντα, λυπηρὰ δὲ τοῖς σκωφθεῖσι· τῶν γὰρ τοιούτων κνίζει μάλιστα ὅσα ἐλέγχει τῶν ἁμαρτημάτων τὴν ἀλήθειαν. πολλὰ τοίνυν αὐτὸν ἐκείνων σκωψάντων ἔς τε τὴν τοῦ ἀδελφοῦ ἀναίρεσιν, καὶ τὴν πρεσβύτιν Ἰοκάστην καλούντων· ἐκεῖνον δὲ χλευαζόντων, ὅτι δὴ μικρὸς ὢν, Ἀλέξανδρον καὶ Ἀχιλλέα γενναιοτάτους καὶ μεγίστους ἥρωας ἐμιμεῖτο· τοιαῦτά τινα παίζειν αὐτῶν δοκούντων, ὀλέθρια καὶ ἐπίβουλα κατ᾽ αὐτῶν σκέψασθαι τὸν Ἀντωνῖνον, ἠνάγκασαν, φύσει ὄντα ὀργίλον καὶ φονικώτατον. συμπανηγυρίσας τοίνυν αὐτοῖς, καὶ συνεορτάσας,

C D 424 A B

ὡς εἶδε πᾶσαν τὴν πόλιν πλήθους μεγίστου πεπληρωμένην
τῶν ἀπὸ πάσης περὶ αὐτὴν χώρας ἐκεῖ συνελθόντων διὰ
προγράμματος, πᾶσαν τὴν νεολαίαν εἴς τι πεδίον κελεύει
συνελθεῖν, φήσας, εἰς τὴν Ἀλεξάνδρου τιμὴν φάλαγγα
βούλεσθαι συστήσασθαι, ὥσπερ Μακεδονικὴν καὶ Σπαρτιά-
τιν, οὕτω καὶ τοῦ ἥρωος ἐπωνύμους. κελεύει δὴ στιχηδὸν
τοὺς νεανίας πάντας διαστῆναι. ὡς ἂν ἐπελθὼν, ἕκαστον ἴδῃ,
πῶς τε ἡλικίας ἔχοι καὶ μεγέθους σώματος, καὶ ἀξίας εἰς
C στρατείας ἐπιτηδείου. ταύταις αὐτοῦ ταῖς ὑποσχέσεσι πιστεύ-
σαντες οἱ νεανίαι πάντες, ἐοικότα τε ἐλπίσαντες διὰ τὴν
προϋπάρξασαν παρ' αὐτοῦ ἐς τὴν πόλιν τιμὴν, συνῆλ-
θον ἅμα γονεῦσί τε καὶ ἀδελφοῖς, συνηδομένοις αὐτῶν ταῖς
ἐλπίσιν. ὁ δ' Ἀντωνῖνος διεστῶτας αὐτοὺς ἐπιὼν, ἑκάστου
ἐφαπτόμενος, καὶ ἄλλο ἄλλου λέγων ἐγκώμιον, παρῄει, ἔς'
ἂν αὐτοὺς οὔτε τι ὁρῶντας, οὔτε προσδοκῶντας, τὸ στρατιω-
τικὸν πᾶν ἐκυκλώσατο. ὡς δὲ ἐτεκμήρατο ἤδη αὐτοὺς εἶναι
ἔνδον τῶν ὅπλων περιειλημμένους, καὶ ὥσπερ ἐν δικτύοις
σεσαγηνευμένους, ἐπελθὼν πάντας, αὐτὸς μὲν ὑπεξέρ-
D χεται μεθ' ἧς εἶχε φρουρᾶς περὶ ἑαυτόν· ὑφ' ἑνὶ δὲ ση-
μείῳ προσπεσόντες πανταχόθεν οἱ στρατιῶται, τὴν ἐν μέ-
σῳ πᾶσαν νεολαίαν, καὶ εἴ τινες ἄλλως παρῆσαν, παντὶ
τρόπῳ φόνων ἀναιροῦσιν, ὡπλισμένοι τε ἀόπλους καὶ παν-
ταχόθεν περιειληφότες. τῶν δὲ στρατιωτῶν οἱ μὲν ἐφόνευον
ἔξωθεν, οἱ δ' ὤρυττον ὀρύγματα μέγιστα· ἕλκοντές τε τοὺς
ἐμπίπτοντας ἐνέβαλλον, πληροῦντες σωμάτων, καὶ τὴν γῆν
ἐπιχέοντες, μέγιστον ἤγειρον ταχέως πολυάνδριον. πολλοί τε
καὶ ἡμιθνῆτες εἱλκύσθησαν, ἔτι τε ἄτρωτοι συνεχώσθησαν.
ἀλλὰ μὴν καὶ τῶν στρατιωτῶν οὐκ ὀλίγοι προσαπώλοντο.
425 ὅσοι γὰρ ἔτι ἐμπνέοντες καὶ δυνάμεως μετρίως ἔχοντες,
A συνωθοῦντο, περιπλεκόμενοι συγκαθεῖλκον αὐτούς. τοσοῦ-
τος δὲ ἐγένετο φόνος ὡς ῥείθροις αἵματος διὰ τοῦ πεδίου,

τάς τε ἐκβολὰς τοῦ Νείλου μεγίστας οὔσας, τόν τε περὶ τὴν πόλιν αἰγιαλὸν πάντα φοινιχθῆναι. τοιαῦτα δὴ ἐργασάμενος τὴν πόλιν, ἀπάρας εἰς Ἀντιόχειαν ἀφίκετο. ἐπιθυμήσας δὲ μετ' οὐ πολὺ Παρθικὸς κληθῆναι, καὶ Ῥωμαίοις ἐπιστεῖλαι ὡς χειρωσάμενος τοὺς κατὰ τὴν ἀνατολὴν βαρβάρους, καίτοι γε οὔσης εἰρήνης βαθείας, μηχανᾶται τοιόνδε τι. ἐπιστέλλει τῷ βασιλεῖ Παρθυαίων, (Ἀρτάβανος δ' ἦν ὄνομα αὐτῷ) πέμπει τε πρεσβείαν, καὶ δῶρα πάσης ὕλης τε πολυτελοῦς, καὶ τέχνης ποικίλης. τὰ δὲ γράμματα ἔλεγεν ὅτι δὴ βούλεται ἀγαγέσθαι αὐτοῦ τὴν θυγατέρα B πρὸς γάμον. ἁρμόζειν δὲ αὐτῷ βασιλεῖ τε καὶ βασιλέως υἱῷ μὴ ἰδιώτου τινὸς καὶ ἀπελοῦς γαμβρὸν γενέσθαι, ἀγαγέσθαι δὲ βασιλίδα τε καὶ βασιλέως μεγάλου θυγατέρα. δύο δὴ ταύτας ἀρχὰς εἶναι μεγίστας, τήν τε Ῥωμαίων καὶ τὴν Παρθυαίων· ἃς συναχθείσας κατ' ἐπιγαμίαν, μηκέτι ποταμῷ διωρισμένας, μίαν ποιήσειν ἀρχὴν ἀνανταγώνιστον. τὰ γὰρ λοιπὰ βάρβαρα ἔθνη, ὅσα νῦν ὑπὸ ταῖς τούτων βασιλείαις, εὐάλωτα ἔσεσθαι αὐτοῖς, κατὰ τὰ ἔθνη καὶ κατὰ τὰ συστήματα ἀρχόμενα. εἶναι δὲ Ῥωμαίοις μὲν πεζὸν C στρατὸν καὶ τὴν διὰ δοράτων συστάδην μάχην ἀνανταγώνιστον, Παρθυαίοις δὲ ἵππον τε πολλὴν, καὶ τὴν διὰ τόξων εὔστοχον ἐμπειρίαν. ταῦτα δὴ συνελθόντα, πάντων τε οἷς πόλεμος κατορθοῦται συμπνεόντων, ῥᾳδίως αὐτοὺς ὑφ' ἑνὶ διαδήματι βασιλεύσειν πάσης οἰκουμένης. τά τε παρ' ἐκείνοις φυόμενα ἀρώματα, ἢ θαυμαζόμενα ὑφάσματα, ἢ παρὰ Ῥωμαίοις μεταλλευόμενα, ἢ διὰ τέχνην ἐπαινούμενα, μηκέτι μόλις καὶ σπανίζοντα, λανθάνοντά τε δι' ἐμπόρων κομισθήσεσθαι· μιᾶς δὲ γῆς οὔσης καὶ μιᾶς ἐξουσίας, D κοινὴν καὶ ἀκώλυτον ἀμφοτέροις τὴν ἀπόλαυσιν ἔσεσθαι. τοιούτοις αὐτοῦ γράμμασιν ἐντυχὼν ὁ Παρθυαῖος, τὰ μὲν πρῶτα ἀντέλεγε, φάσκων οὐχ ἁρμόζειν Ῥωμαίῳ γάμον

βάρβαρον. τίνα γὰρ ἔσεσθαι συμφωνίαν ἐν αὐτοῖς, μήτε
τῆς ἀλλήλων φωνῆς συνιεῖσιν, ἔν τε διαίτῃ καὶ σκευῇ δια-
φέρουσιν ἀλλήλων; εἶναι δὲ παρὰ Ῥωμαίοις εὐπατρίδας
πολλοὺς, ὧν τινος ἐπιλέξασθαι δύναιτ' ἂν θυγατέρα· πα-
ρά τε αὐτῷ Ἀρσακίδας, καὶ μὴ δεῖν μηδέτερον γένος νο-
426 θεύεσθαι. τὰ μὲν οὖν πρῶτα, τοιαῦτα ἐπιστέλλων παρῃ-
A τεῖτο. ἐγκειμένου δὲ τοῦ Ἀντωνίνου, δώροις δὲ πολλοῖς καὶ
ὅρκοις τὴν περὶ τὸν γάμον σπουδήν τε καὶ εὔνοιαν πιστου-
μένου, πείθεται ὁ βάρβαρος, καὶ δώσειν τε ὑπισχνεῖτο, κα-
λεῖ τε γαμβρὸν ἐσόμενον. διαδραμούσης δὲ τῆς φήμης, οἱ
μὲν βάρβαροι ἠυτρέπιζον πάντα εἰς τὴν ὑποδοχὴν τοῦ
Ῥωμαίων βασιλέως, ἔχαιρόν τε εἰρήνης αἰωνίου ἐλπίδι.
ὁ δ' Ἀντωνῖνος διαβὰς τοὺς ποταμοὺς ἀκωλύτως, εἰσελάσας
εἰς τὴν Παρθυαίων γῆν ὡς ἰδίαν ἤδη, πανταχοῦ θυσιῶν
B αὐτῷ προσαγομένων, βωμῶν τε ἐστεμμένων, ἀρωμάτων
καὶ θυμιαμάτων παντοίων προσφερομένων, χαίρειν τοῖς
γινομένοις ὑπὸ τῶν βαρβάρων προσεποιεῖτο. ὡς δὲ προ-
χωρήσας, τό, τε πλεῖστον τῆς ὁδοιπορίας ἀνύσας, ἤδη τοῖς
βασιλείοις τοῦ Ἀρταβάνου ἐπλησίαζεν, οὐκ ἀναμείνας ὁ Ἀρ-
τάβανος ὑπηντᾶτο αὐτῷ ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ,
δεξιούμενος νυμφίον μὲν τῆς θυγατρὸς, γαμβρὸν δὲ αὐτοῦ.
πᾶν δὲ τὸ πλῆθος τῶν βαρβάρων ἄνθεσι τοῖς ἐπιχωρίοις
κατεστεμμένον, ἐσθῆτι, χρυσῷ καὶ βαφαῖς διαφόροις πεποι-
κιλμένον, ἑώρταζε. πρός τε αὐλοὺς καὶ σύριγγας, τυμπάνων
C τε ἤχους, ἐσκίρτων ἀρρύθμως. χαίρουσι γὰρ τοιαύτῃ τινὰ ὄρ-
χησιν κινούμενοι ἐπὰν οἴνου πλείονος ἐμφορηθῶσιν. ὡς δὲ
πᾶν συνῆλθε τὸ πλῆθος, τῶν τε ἵππων ἀπέβησαν, φαρέ-
τρας τε καὶ τόξα ἀποθέμενοι, περὶ σπονδὰς καὶ κύλικας
εἶχον. πλεῖστον δὲ πλῆθος τῶν βαρβάρων ἤθροιστο, καὶ ὡς ἔ-
τυχεν ἀτάκτως εἱστήκεσαν, οὐδὲν μὲν ἄτοπον προσδοκῶν-
τες, σπεύδων δὲ ἕκαστος ἰδεῖν τὸν νυμφίον. τότε ὑφ' ἑνὶ ση-

μείω κελεύει ὁ Ἀντωνῖνος τῷ ἰδίῳ στρατῷ ἐπιδραμεῖν, καὶ
φονεύειν τοὺς βαρβάρους. ἐκπλαγέντες δὲ τῷ πράγματι,
παιόμενοί τε καὶ τιτρωσκόμενοι ἐτράποντο. αὐτός τε Ἀρ-
τάβανος ἁρπαγεὶς ὑπὸ τῶν περὶ αὐτὸν δορυφόρων, ἵππῳ D
τε ἐπιτεθεὶς, ἀπέδρα μόλις μετ' ὀλίγων. τὸ δὲ λοιπὸν πλῆ-
θος ἐκόπτετο τῶν βαρβάρων, οὔτε τοὺς ἵππους ἐχόντων, οἷς
χρῶνται μάλιστα (ἀποβεβηκότες γὰρ εἱστήκεσαν, ἀφέντες ἐκεί-
νους νέμεσθαι) οὔτε δρόμῳ χρήσασθαι δυναμένων πρὸς φυ-
γὴν, ἐμποδιζούσης αὐτοὺς τῆς περὶ τοῖς ποσὶ χαύνου ἐσθῆ-
τος. φαρέτρας δὲ καὶ τόξα οὐκ εἶχον· τί γὰρ ἔχρῃζον αὐτῶν
πρὸς γάμοις; πολὺν δὲ ἐργασάμενος ὁ Ἀντωνῖνος φόνον
τῶν βαρβάρων, λείαν τε καὶ αἰχμαλώτους παμπληθεῖς συλ-
λαβὼν, ἀπῄει, μηδενὸς αὐτῷ ἀνθεστῶτος· κώμας τε καὶ πό- 427
λεις ἐμπιπρᾶν δοὺς ἐξουσίαν τοῖς στρατιώταις, ἁρπάζειν τε A
ἕκαστον, ὃ δύναται καὶ ὃ βούλεται αὐτὸς κτήσασθαι. τοιού-
τῳ μὲν δὴ πάθει ἐχρήσαντο οἱ βάρβαροι οὐ προσδοκηθέντι.
ὁ δὲ Ἀντωνῖνος, ἐπὶ πολὺ τῆς Παρθυαίων γῆς ἐλάσας, ἤ-
δη καὶ τῶν στρατιωτῶν κεκμηκότων ἐν αὐτῷ τῷ ἁρπάζειν
καὶ φονεύειν, ἐπανῆλθεν εἰς τὴν Μεσοποταμίαν. ἐκεῖ δὲ
γενόμενος, ἐπιστέλλει τῇ τε συγκλήτῳ καὶ τῷ Ῥωμαίων δή-
μῳ, πᾶσαν ἀνατολὴν κεχειρῶσθαι, καὶ τῆς ἐπέκεινα βασι-
λείας πάντας αὐτῷ παρακεχωρηκέναι. ἡ δὲ σύγκλητος, οὐκ
ἀγνοοῦντες μὲν τὰ πεπραγμένα, (λαθεῖν γὰρ ἔργα βασιλέως
ἀδύνατον) πλὴν δέει καὶ κολακείᾳ, ψηφίζονται αὐτῷ πά- B
σας τιμὰς ἐπινικίους. διέτριβε δὲ μετὰ ταῦτα ἐν τῇ Μεσο-
ποταμίᾳ ὁ Ἀντωνῖνος, ἡνιοχείαις σχολάζων, καὶ θηρία
παντοδαπὰ ἀναιρῶν. ἦσαν δὲ αὐτῷ ὑπάρχοντες τοῦ στρατο-
πέδου δύο· ὁ μὲν, πρεσβύτης πάνυ, τὰ μὲν ἄλλα ἰδιώτης καὶ
πολιτικῶν πραγμάτων ἀπείρως ἔχων, στρατιωτικὸς δὲ γε-
γονέναι δοκῶν· Αὔδεντος ὄνομα αὐτῷ· ὁ δὲ ἕτερος,
Μακρῖνος μὲν ἐκαλεῖτο, τῶν δὲ ἐν ἀγορᾷ οὐκ ἀπεί-

ρος εἶχε, καὶ μάλιστα νόμων ἐπιστήμης. εἰς τοῦτον οὖν ὡς μηδὲ στρατιωτικὸν, μηδὲ γενναῖον, δημοσίᾳ πολλάκις ἀπέσκωπτε καὶ μέχρις αἰσχρᾶς βλασφημίας. ἐπεὶ γὰρ ἤκουεν
C αὐτὸν καὶ διαίτῃ ἐλευθερίῳ χρώμενον, καὶ τὰ φαῦλα καὶ ἀπερριμμένα τῶν ἐδεσμάτων καὶ ποτῶν μυσαττόμενον, οἷς ὡς στρατιωτικὸς δὴ ὁ Ἀντωνῖνος ἔχαιρε, χλαμύδιον, ἤ τινα ἄλλην ἐσθῆτα ἀμφιεσάμενον ἀστειοτέραν, εἰς ἀνανδρίαν καὶ θήλειαν νόσον διέβαλλεν, ἀεί τε ἀποκτενεῖν ἠπείλει. ἅπερ οὐ φέρων ὁ Μακρῖνος, πάνυ ἤσχαλλε. συνέβη δέ τι καὶ τοιοῦτον. ἔδει γὰρ ἄρα τέλος λαβεῖν τὸν Ἀντωνίνου βίον. περιεργότερος γὰρ ὤν, οὐ μόνον τὰ ἀνθρώπων πάντα εἰδέ-
D ναι ἤθελεν, ἀλλὰ καὶ τὰ θεῖά τε καὶ δαιμόνια πολυπραγμονεῖν· ἀεί τε πάντας ὑπώπτευεν, ὡς ἐπιβουλεύοντας. χρηστηρίων τε πάντων ἀνεφορεῖτο, τούς τε πανταχόθεν μάγους καὶ ἀστρονόμους τε καὶ θύτας μετεπέμπετο· καὶ οὐδεὶς αὐτὸν ἐλάνθανε τῶν τὴν γοητείαν ταύτην ὑπισχνουμένων. ὑποπτεύων δ' αὐτοὺς ὡς οὐ τἀληθῆ αὐτῷ ἀλλὰ πρὸς κολακείαν θεσπίζοντας, ἐπιστέλλει Ματερνιανῷ τινι, τότε πάσας τὰς ἐν Ῥώμῃ πράξεις ἐγκεχειρισμένῳ, πιστοτάτῳ εἶναι δοκοῦντι φίλων, καὶ μόνῳ κοινωνῷ τῶν ἀπορ-
428 ῥήτων. κελεύει δὲ αὐτῷ μάγους τοὺς ἀρίστους ζητήσαντι, νε-
A κυίᾳ τε χρησάμενον, μαθεῖν περὶ τοῦ τέλους τοῦ βίου αὐτοῦ, καὶ μή τις ἄρα ἐπιβουλεύοι τῇ ἀρχῇ. ὁ δὲ Ματερνιανὸς χρησάμενος αἰδοῖ τοῖς ὑπὸ τοῦ βασιλέως κελευσθεῖσιν, εἴτε ὄντως αὐτῷ δαιμόνων τοιαῦτα θεσπισάντων, εἴτε ἄλλως συσκευαζόμενος τὸν Μακρῖνον, ἐπιστέλλει τῷ Ἀντωνίνῳ ἐπιβουλεύειν τῇ ἀρχῇ τὸν Μακρῖνον, καὶ δεῖν αὐτὸν ἀποσκευάζεσθαι. ταῦτα τὰ γράμματα ἀποσημηνάμενος μετὰ καὶ ἑτέρων ἐπιστολῶν κατὰ τὸ ἔθος, δίδωσι τοῖς διακομίζουσιν οὐκ εἰδόσιν ἃ φέρουσι. τῷ δὲ συνήθει τάχει τῆς ὁδοιπορίας ἐκεῖνοι χρησάμενοι, ἐφίστανται τῷ Ἀντωνίνῳ ἤδη τε σκευὴν

ἡνιόχου ἀνειληφότι, καὶ τοῦ ἅρματος ἐπιβαίνοντι, προσκο-
μίζουσι πάντα τὸν σύνδεσμον τῶν ἐπιστολῶν, ἐν αἷς ἦν καὶ B
τὰ τοῦ Μακρίνου γράμματα. ὁ δ' Ἀντωνῖνος τὴν ὁρμὴν
ἤδη καὶ τὴν γνώμην περὶ τὴν ἱπποδρομίαν ἔχων, κελεύει
τῷ Μακρίνῳ ἀποστάντι καὶ ἰδιάσαντι, ἐντυχεῖν τοῖς γράμμα-
σι· καὶ εἴ τι ἐπεῖγον εἴη, δηλῶσαι αὐτῷ· εἰ δὲ μή, τὰ ἐξ ἔ-
θους αὐτὸν διοικῆσαι ὡς ἔπαρχον. πολλάκις δὲ τοῦτο κε-
λεύειν ἦν σύνηθες αὐτῷ. καὶ ὁ μὲν ταῦτα προστάξας, εἴ-
χετο τοῦ προκειμένου. ὁ δὲ Μακρῖνος καθ' αὑτὸν γενόμενος,
τάς τε ἄλλας ἐπιλύεται ἐπιστολάς· περιτυχὼν δὲ καὶ τῇ
καθ' αὑτοῦ θανατηφόρῳ, ὁρᾷ πρόδηλον κίνδυνον ἐπικεί- C
μενον. εἰδώς τε τοῦ Ἀντωνίνου τὸν θυμόν, καὶ τὸ φονικὸν ἐπὶ
τοιοῖσδε γράμμασι, καὶ πρόφασιν αὐτῷ εὔλογον ὑπάρξου-
σαν, τὴν μὲν ἐπιστολὴν ὑφαιρεῖται, περὶ δὲ τῶν λοιπῶν
ἀπαγγέλλει, ὡς εἶεν συνήθεις. φοβηθεὶς δὲ μὴ καὶ δεύτερον
ταῦτα ὁ Ματερνιανὸς ἐπιστείλῃ, δρᾶσαί τι μᾶλλον ἠθέλη-
σεν, ἢ ἀναμείνας, παθεῖν. τολμᾷ δὴ τοιοῦτο. ἦν τις ἑκατον-
τάρχης (Μαρπάλιος δὲ ὄνομα αὐτῷ) τῶν σωματοφυλάκων
τοῦ Ἀντωνίνου, ἀεὶ παρεπόμενος αὐτῷ· τούτου τὸν ἀδελφὸν
πρὸ ὀλίγων ἡμερῶν ἀνῃρήκει, διαβληθέντα μέν, οὐκ ἐλεγ-
χθέντα δὲ αὐτῷ τε τῷ Μαρπαλίῳ ἐνύβρισεν, ἄνανδρον αὐ- D
τὸν καὶ ἀγεννῆ καλῶν καὶ Μακρίνου φίλον. τοῦτον ἐπι-
στάμενος ὁ Μακρῖνος ἀλγοῦντά τε σφοδρῶς ἐπὶ τῇ τοῦ ἀ-
δελφοῦ ἀναιρέσει, μὴ φέροντά τε τὰς εἰς αὐτὸν ὕβρεις,
μεταπέμπεται. ἐθάρρει δὲ αὐτῷ, θεραπεύοντί τε αὐτὸν
ἄνωθεν, καὶ πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντι. πείθει τε και-
ρὸν ἐπιτήδειον παραφυλάξαντα, ἐπιβουλεῦσαι τῷ Ἀντω-
νίνῳ. ὁ δὲ ταῖς τε ὑποσχέσεσι τοῦ Μακρίνου ἀναπεισθείς, μι-
σῶν τε ἄλλως, καὶ τιμωρῆσαι θέλων τῷ ἀδελφῷ, πάντα
ποιήσειν ἀσμένως ὑπισχνεῖται, καιρὸν ἐπιτήδειον εὑρών. 429
συνέβη δὲ μετ' οὐ πολὺ τῆς σκέψεως ταύτης, θελῆσαι τὸν A

Ἀντωνῖνον διατρίβοντα ἐν Κάρραις τῆς Μεσοποταμίας,
προελθεῖν τῆς βασιλείας, ἀπελθεῖν τε εἰς τὸν νεὼν τῆς σε-
λήνης, ἣν μάλιστα οἱ ἐπιχώριοι σέβουσιν. ἀφειστήκει δὲ
τῆς πόλεως ὁ νεὼς πολὺ, ὡς ὁδοιπορίας χρῄζειν. σὺν ἱπ-
πεῦσιν οὖν ὀλίγοις, ἵνα δὴ μὴ πάντα τὸν στρατὸν σκύλῃ,
τὴν ὁδοιπορίαν ἐποιεῖτο, ὡς δὴ θύσας τῇ θεῷ ἐπανέλθοι.
κατὰ δὲ τὴν μέσην ὁδὸν ἐπειχθεὶς ὑπὸ τῆς γαστρὸς,
ἀποστῆναί τε πάντας κελεύσας, ἀνεχώρει σὺν ἑνὶ ὑπηρέ-
τῃ, ἀποσκευασόμενος τὰ ἐνοχλοῦντα. πάντες τοίνυν ἀ-
πεστράφησαν, καὶ ὡς πορρωτάτω ἀπῄεσαν, τιμὴν καὶ αἰ-
δῶ τῷ γινομένῳ νέμοντες. ὁ δὲ Μαρτιάλιος, τοὺς καιροὺς
B πάντας παραφυλάττων, ἰδών τε αὐτὸν μεμονωμένον· ὡς
δὴ κληθεὶς ὑπ' αὐτοῦ νεύματι, ὁρᾶν τι ἢ ἀκουσόμενος
προσέτρεχε. ἐπιστάς τε αὐτῷ τὰς ἐσθῆτας τῶν μηρῶν κα-
θέλκοντι ἀπεστραμμένῳ, παίει ξιφιδίῳ, ὃ μετὰ χεῖρας
ἔφερε λανθάνων. καιρίου δὲ τῆς πληγῆς ἐπὶ τῆς κατα-
κλεῖδος γενομένης, ἀπροσδοκήτως καὶ ἀφυλάκτως ὁ Ἀν-
τωνῖνος ἀνῃρέθη. πεσόντος δὲ αὐτοῦ, πηδήσας ἵππῳ ἔ-
φυγεν ὁ Μαρτιάλιος. Γερμανοὶ δὲ ἱππεῖς, οἷς ὁ Ἀντωνῖ-
νος ἔχαιρε φρουροῖς τε τοῦ σώματος ἐχρῆτο, οὐ τοσοῦτον ἀ-
φεστῶτες ἐς ὅσον οἱ λοιποὶ, πρῶτοί τε ἰδόντες τὸ γενόμε-
C νον, διώξαντες τὸν Μαρτιάλιον, κατηκόντισαν. ὡς δὲ καὶ ὁ
λοιπὸς στρατὸς εἶδε τὸ πραχθὲν, πάντες συνέδραμον· καὶ
πρῶτος ὁ Μακρῖνος ἐπιστὰς τῷ πτώματι, ὀλοφύρεσθαί τε
καὶ θρηνεῖν προσεποιεῖτο. ὅ, τε στρατὸς πᾶς χαλεπῶς καὶ
δυσφόρως ἤνεγκε τὸ πραχθέν. συστρατιώτην γὰρ καὶ κοι-
νωνὸν τοῦ βίου, ἀλλ' οὐκ ἄρχοντα ᾤοντο ἀποβεβληκέναι,
καὶ οὐδεμίαν πω ἐπιβουλὴν ὑπώπτευον ἐκ τοῦ Μα-
κρίνου, ᾤοντο δὲ τὸν Μαρτιάλιον οἰκείαν ἔχθραν ἀμύνα-
σθαι. καὶ οἱ μὲν, ἕκαστος εἰς τὰς σκηνὰς ἐπανῆσαν· ὁ δὲ
D Μακρῖνος πυρὶ παραδοὺς τὸ σωμάτιον, τήν τε κόνιν κάλ-

πῃ τινὶ ἐμβαλὼν, ἔπεμψε τῇ μητρὶ αὐτοῦ καταθάψαι, ἐν Ἀντιοχείᾳ διατριβούσῃ. ἐκείνη δὲ ἐπὶ ταῖς τῶν παίδων ὁμοίαις συμφοραῖς εἴτε ἑκοῦσα εἴτε κελευσθεῖσα ἀπεκαρτέρησε. τοιούτῳ μὲν δὴ τέλει ἐχρήσατο ὁ Ἀντωνῖνος, καὶ ἡ μήτηρ Ἰουλία, βιώσαντες ὡς προείρηται. πᾶς δὲ ὁ χρόνος ἐν ᾧ μόνος ἐβασίλευσεν αὐτοῦ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ, ἐν ἓξ ἔτεσι συνετελέσθη. τελευτήσαντος δὲ τοῦ Ἀντωνίνου, ἐν ἀφασίᾳ τε ἦν ὁ στρατὸς καὶ ἀπορίᾳ τοῦ πρακτέου. ἔμειναί τε ἡμέρας δύο ἀβασίλευτοι· ἐζήτουν τε ὃν ἐπιλέξονται ἄρχοντα. καὶ γὰρ ἠγγέλλετο μετὰ πολλοῦ πλή- 430
θους καὶ δυνάμεως ἐπιὼν Ἀρτάβανος, δίκας ἀπαιτή- A
σων, τιμωρήσων τε τοῖς ἐν σπονδαῖς καὶ εἰρήνῃ ἀνῃρημένοις. αἱροῦνται δὴ βασιλέα πρῶτον μὲν Αὐδέντον, ὡς στρατιωτικόν τε καὶ ἔπαρχον οὐ φαῦλον γενόμενον· ὁ δὲ γῆρας προϊσχόμενος παρῃτήσατο, μετ' ἐκεῖνον δὲ τὸν Μακρῖνον, πειθόντων αὐτοὺς χιλιάρχων, οἳ καὶ τῆς ἐπιβουλῆς τοῦ Ἀντωνίνου συνωμόται καὶ κοινωνοὶ τοῦ Μακρίνου γεγενῆσθαι ὑπωπτεύθησαν μετὰ τὴν ἐκείνου τελευτὴν, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. παρέλαβέ τε τὴν βασιλείαν Μακρῖ- B
νος, οὐχ οὕτως εὐνοίᾳ καὶ πίστει τῶν στρατιωτῶν, ὡς ἀνάγκῃ, καὶ χρείᾳ τοῦ παρόντος καιροῦ. τούτων δὲ πραττομένων, ἐφίσταται ὁ Ἀρτάβανος μετὰ μεγίστου πλήθους καὶ δυνάμεως, ἵππον τε πολλὴν ἄγων καὶ τοξοτῶν μέγα τι πλῆθος, καταφράκτοις τε ἀπὸ καμήλων ἔξωθεν μακροῖς δόρασι. ὡς δ' ἀπηγγέλη προσιὼν, συγκαλέσας τοὺς στρατιώτας ὁ Μακρῖνος ἔλεξε τοιάδε,

Ἀλγεῖν μὲν ὑμᾶς πάντας ἐπὶ τοιούτου βασιλέως, ἢ (ἵνα τἀληθῆ λέγωμεν) στρατιώτου ἀποβολῇ, θαυμαστὸν οὐδέν. φέρειν δὲ τὰς συμφορὰς, καὶ τὰ προσπίπτοντα μετρίως ὑπομένειν, ἀνθρώπων ἔργον σωφρονούντων. ἡ μὲν γὰρ ἐκείνου μνήμη ἔν τε τοῖς ἡμετέροις στέρνοις ἐγκείσεται, C

τοῖς τε εἰς ὕστερον παραδοθήσεται, καὶ δόξαν ἀΐδιον φέρου-
σα, μεγάλων τε καὶ γενναίων ἔργων ὧν ἔδρασε, φίλτρων τε
καὶ εὐνοίας, καμάτων τε κοινωνίας τῆς πρὸς ὑμᾶς. νῦν
δὴ καιρὸς ἀμύνασθαί τε ὡς χρὴ τὴν μνήμην τοῦ τετελευτη-
κότος, ἀφοσιωσαμένους τε τὰ πρὸς ἐκεῖνον, ἔχεσθαι τῶν ἐ-
πειγόντων. ὁρᾶτε τὸν βάρβαρον ἐφεστῶτα σὺν παντὶ τῷ
τῆς ἀνατολῆς πλήθει, καὶ δοκοῦντα πρόφασιν εὔλογον
ἔχειν ἔχθρας. ἡμεῖς γὰρ αὐτὸν προεκαλεσάμεθα παρα-
D σπονδήσαντες, καὶ ἐν εἰρήνῃ βαθείᾳ πόλεμον ἠγείραμεν.
ἤρτηται δὲ νῦν πᾶσα ἡ Ῥωμαίων ἀρχὴ τῆς ὑμετέρας ἀν-
δρείας τε καὶ πίστεως. οὐ γὰρ περὶ ὅρων γῆς οὐδὲ ῥείθρων
ποταμῶν ἡ φιλονεικία, περὶ τοῦ παντὸς δὲ, πρὸς μέγαν βα-
σιλέα, ὑπὲρ παίδων καὶ συγγενῶν, οὓς ἐκεῖνος ἀδίκως καὶ
παρὰ τοὺς ὅρκους οἴεται ἀνῃρῆσθαι. τά τε οὖν ὅπλα λαμβά-
νωμεν, καὶ τῇ συνήθει Ῥωμαίοις εὐκοσμίᾳ, ταττώμεθα.
ἐν γὰρ ταῖς παρατάξεσι, τὸ μὲν τῶν βαρβάρων ἄτακτον
πλῆθος καὶ προσκαίρως ὠθισμένον, αὐτὸ ἑαυτῷ ἴσως γέ-
431 νοιτ' ἂν ἐναντίον· τὸ δ' ὑμέτερον, εὔτακτόν τε ὂν καὶ συγ-
A κεκροτημένον, μετά τε ἐμπειρίας μαχόμενον, ἡμῖν τε ἔσται
σωτήριον, κἀκείνοις ὀλέθριον. μετ' ἀγαθῆς οὖν τῆς ἐλπί-
δος ἀγωνίζεσθε, ὡς Ῥωμαίοις πρέπει καὶ σύνηθες. οὕτω γὰρ
τούς τε βαρβάρους ἀπώσεσθε ὑμεῖς, καὶ δόξης κλέος ἀρά-
μενοι μέγα, Ῥωμαίοις τε καὶ πᾶσιν ἀνθρώποις δείξετε, τήν
τε προτέραν νίκην πιστώσεσθε, ὡς μὴ δόλῳ καὶ ἀπάτῃ
παρασπονδήσαντες ἠδικήσατε, ἀλλὰ δι' ὅπλων νικήσαντες
ἐκρατήσατε. Τοιαῦτά τινα εἰπόντος αὐτοῦ, οἱ στρατιῶται τὴν
ἀνάγκην τοῦ πράγματος ὁρῶντες, παρετάττοντο, κἀν τοῖς
B ὅπλοις ἦσαν. ἅμα δὲ ἡλίῳ ἀνίσχοντι ἐφάνη Ἀρτάβανος
σὺν μεγίστῳ πλήθει στρατοῦ· ἀσπασάμενοι δὲ τὸν ἥλιον ὡς
ἔθος αὐτοῖς, οἱ βάρβαροι, μεγίστῃ τε κλαγγῇ βοήσαντες, ἐπέ-
δραμον τοῖς Ῥωμαίοις, τοξεύοντές τε καὶ καθιππεύοντες.
οἱ δὲ

οἱ δὲ Ῥωμαῖοι, ἀτάκτως τε καὶ ἀσφαλῶς συστήσαντες τὰς φάλαγγας, ἑκατέρωθέν τε τοὺς ἱππεῖς καὶ τοὺς Μαυρουσίους παρατάξαντες, τά τε κενὰ πληρώσαντες τῶν κούφως καὶ εὐσταλῶς ἐκτρέχειν δυναμένων, δεξάμενοι τοὺς βαρβάρους, ἐμάχοντο. καὶ οἱ μὲν βάρβαροι, τῷ πλήθει τῶν τόξων, τοῖς τε ἐπιμήκεσι δόρασι τῶν καταφράκτων, ἀπό τε ἵππων καὶ καμήλων τιτρώσκοντες αὐτοὺς, μεγάλως ἄνωθεν ἔβλαπτον. οἱ δὲ Ῥωμαῖοι, τῶν μὲν συσταδὸν μαχομένων, C ῥᾳδίως ἐκράτουν· ἐπεὶ δὲ αὐτοὺς ἥ τε ἵππος πολλὴ οὖσα, καὶ τὸ τῶν καμήλων πλῆθος ἐλυμαίνετο, προσποιούμενοι ἀναχωρεῖν, τριβόλους τε καὶ πολλὰ ἄλλα τεχνάσματα σιδήρων ὀξυτάτων ἐξοχαῖς προηκονημένα ἔρριπτον. παραλανθάνοντα δὲ ἐν ταῖς ψάμμοις, καὶ οὐ καθορώμενα ὑπὸ τῶν ἵππων ἢ τῶν καμηλιτῶν, ὀλέθρια ἦν αὐτοῖς. πατοῦντες γὰρ οἱ ἵπποι, αἵ τε κάμηλοι μάλιστα ἔχουσαι ἁπαλὰ τὰ πέλματα, ὤκλαζον καὶ ἐχώλευον. τούς τε ἐπιβάτας οὓς ἔφερον ἀπεσείοντο. οἱ δὲ ἐπέκεινα βάρβαροι ἐς ὅσον μὲν ἐποχοῦνται ἵπποις ἢ καμήλοις, γενναίως μάχονται· ἢν δὲ ἀ- D ποβῶσιν αὐτῶν, ἢ κατενεχθῶσι, ῥᾷστα ἁλίσκονται, μὴ φέροντες τὴν ἐκ συστάσεως μάχην· πρός τε τὸ φυγεῖν, ἢ διῶξαι, εἰ δέοι, ὑπὸ τῆς περὶ τοῖς σκέλεσιν ἐσθῆτος χαύνως παρηωρημένης, ἐμποδίζονται. πρώτης μὲν οὖν καὶ δευτέρας πάσης ἡμέρας ἐξ ἑωθινοῦ εἰς ἑσπέραν ἐμαχέσαντο· καὶ νὺξ ἐπελθοῦσα διέλυσε τὰς μάχας, ἑκάτεροί τε ἐπανῆλθον εἰς τὰ ἑαυτῶν στρατόπεδα, νικᾶν ἀξιοῦντες. τῇ δὲ τρίτῃ ἡμέρᾳ συνῆλθον εἰς τὸ αὐτὸ πεδίον μαχόμενοι. ἐπειρῶντο δὲ οἱ μὲν βάρβαροι, πολύ τι τῷ πλήθει τούτων ὑπερέχοντες, κυκλώσασθαι τοὺς Ῥωμαίους καὶ σαγηνεῦσαι· οἱ δὲ Ῥωμαῖοι οὐκέτι τὰς φάλαγγας ἐς βάθος συνίστασαν, εἰς μῆ- 432
κος δὲ ἐκτείνοντες ἀεὶ τὸ κυκλούμενον ἐνεπόδιζον. πλῆθος δὲ A τοσοῦτον ἀνδρῶν τε καὶ κτηνῶν ἐφονεύθη, ὡς πᾶν πληρω-

θῆναι τὸ πεδίον, μεγίστους τε σωροὺς πτωμάτων εἰς ὕψος ἀρθῆναι· καὶ μάλιστα τῶν καμήλων ἐπ' ἀλλήλων πιπτουσῶν. πρός τε οὖν τὸ διατρέχειν ἐνεποδίζοντο οἱ μαχόμενοι. ἐπεὶ δὲ οὐδὲ καθεώρων ἀλλήλους, μεγάλου ὄντος τοῦ χώματος ἐν μέσῳ, καὶ δυσβάτου ὑπὸ τῶν σωμάτων σεσωρευμένων. ὑφ' οὗ κωλυόμενοι τοῖς ἄλλοις ἐπιέναι, ἕκαστοι

B ἐπανῆλθον εἰς τὰ ἑαυτῶν στρατόπεδα. ὁ δὲ Μακρῖνος συνεὶς ὅτι οὐκ ἄλλως Ἀρτάβανος ἐνθύμως τε μάχεται, καὶ προσφέρεται, ἀλλ' ἢ οἰόμενος Ἀντωνῖνον μάχεσθαι, εἰωθότων ἀεὶ τῶν βαρβάρων ῥᾷστα ἀποκάμνειν ἐθελοκακεῖν τε, εἰ μή τι ἐν ταῖς πρώταις ὁρμαῖς κατορθώσωσι· τότε δὲ προσεδρευόντων, ὡς αὖ τὴν μάχην ἀνανεώσαιντο, μετὰ τὴν τῶν νεκρῶν ἀναίρεσίν τε καὶ κατάφλεξιν, οὐκ οἰομένων τεθνηκέναι τὸν τῆς ἔχθρας αἴτιον, πέμπει πρεσβείαν, ἐπιστολάς τε τῷ Παρθυαίῳ, λέγων, τὸν μὲν παρὰ τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἀ-

C δικήσαντα βασιλέα τεθνηκέναι, δίκας τε ἀξίας ὧν ἔδρασε δεδωκέναι· Ῥωμαίους δὲ, ὧν ἐστιν ἡ ἀρχὴ, ἑαυτῷ τε τὰ τῆς βασιλείας ἐγκεχειρικέναι. μήτε δὲ ἀρέσκεσθαι τοῖς πραχθεῖσιν, αἰχμαλώτους τε τοὺς περιόντας ἀποδοῦναι, χρήματά τε ὅσα ἡρπάγη, ἀποτίσαι· φίλον τε ἀντὶ ἐχθροῦ γενέσθαι, καὶ τὴν εἰρήνην ὅρκοις καὶ σπονδαῖς βεβαιῶσαι. ὁ δὲ Ἀρτάβανος ταῦτά τε ἀναγνοὺς, καὶ διδαχθεὶς ὑπὸ τῶν πρέσβεων περὶ τῆς Ἀντωνίνου ἀναιρέσεως, αὐτάρκη τιμωρίαν τὸν παρασπονδήσαντα δεδωκέναι νομίζων, τουτέστι θανάτου τοῦ αὐτῷ τετευχημένου, ἀγαπῶν τε τοὺς αἰχμαλώτους καὶ τὰ χρήματα ἀναιμωτὶ ἀπολαβεῖν, σπεισάμενος εἰρήνην πρὸς τὸν Μακρῖνον, εἰς τὰ ἑαυτοῦ ἐπανέρχε-

D ται. ὁ δὲ τόν τε στρατὸν ἀπαλλάξας τῆς ἐν Μεσοποταμίᾳ διατριβῆς, εἰς τὴν Ἀντιόχειαν ἠπείγετο.

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας βιβλίον πέμπτον.

ΟΠΩΣ μὲν δὴ ὁ Ἀντωνῖνος ἦρξέ τε καὶ 433
ἐτελεύτησε δεδήλωται ἐν τῷ πρὸ τούτου A
συγγράμματι, ἥ τε περὶ τούτου ἐπιβουλὴ
καὶ διαδοχή. γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Μακρῖνος, ἐπιστέλλει τῷ τε δήμῳ
Ῥωμαίων καὶ τῇ συγκλήτῳ, λέγων τοιάδε. Ἐν εἰδόσι μὲν ὑμῖν τοῦ τε βίου μου τὴν ἐξ ἀρχῆς προαίρεσιν, τοῦ τε τρόπου τὸ πρὸς χρηστότητα ἐπιρρεπὲς καὶ τὸ πρᾶον τῆς διοικήσεως προτέρον πράξεως, οὐ πολύ τι ἐξουσίας καὶ δυνάμεως βασιλικῆς ἀποδεούσης, (ὅπου γε καὶ αὐτὸς ὁ βασιλεὺς τοῖς ἐπάρχοις τῶν
στρατοπέδων πεπίστευται) περιττὸν νομίζω μακρηγορεῖν. ἴστε B
γάρ με καὶ οἷς ἐκεῖνος ἔπραττεν οὐκ ἀρεσκόμενον καὶ συγκινδυνεύσαντα ὑμῖν ἐν οἷς πολλάκις ταῖς τυχούσαις διαβολαῖς πιστεύων, τὰ φ[illegible]ς ὑμῖν προσεφέρετο, κἀμὲ μὲν κακῶς ἠγόρευε καὶ δημοσίᾳ πολλάκις τὸ μέτριόν μου καὶ πρὸς τοὺς ἀρχομένους φιλάνθρωπον διαβάλλων καὶ διασκώπτων εἰς ῥαθυμίαν καὶ τρόπων χαυνότητα· κολακείαις δὲ χαίρων καὶ τοὺς εἰς ὠμότητα παροξύνοντας, τῷ τε θυμῷ τὸ ἐνδόσιμον αὐτοῦ
διδόντας, τήν τε ὀργὴν διαβολαῖς ἐγείροντας, εὔνους καὶ πι- C
στοὺς ἐδοκίμαζε φίλους. ἐμοὶ δὲ ἐξ ἀρχῆς τὸ πρᾶον καὶ μέτριον προσφιλές. τὸν γοῦν πρὸς Παρθυαίους πόλεμον μέγιστόν τε ὄντα καὶ ἐφ᾽ ᾧ πᾶσα Ῥωμαίων ἐσαλεύετ᾽ ἀρχή, καταλύσαμεν. καὶ ἐν οἷς ἀνδρείως παραταξάμενοι οὐδὲν ἡττήμεθα, καὶ ἐν οἷς σπεισάμενοι μετὰ πολλῆς δυνάμεως ἐλθόντα μέγαν βασιλέα, πιστὸν φίλον ἀντ᾽ ἐχθροῦ δυσμάχου ἐποιήσαμεν.

ἐμοῦ δὲ κρατοῦντος, ἐν ἀδείᾳ τε καὶ ἀναιμωτὶ πάντες βιώσονται· ἀριστοκρατία τε μᾶλλον ἢ βασιλεία νομι-
D σθήσεται. μηδέ τις ἀπαξιούτω, ἢ τύχης παῖσμα νομιζέτω, ὅτι δὴ ὄντα με ἐκ τῆς ἱππάδος τάξεως, ἐπὶ τοῦτο ἤγαγε. τί γὰρ ὄφελος εὐγενείας, εἰ μὴ χρηστὸς καὶ φιλάνθρωπος
434 συνοικεῖ τρόπος; τὰ μὲν γὰρ τῆς τύχης δῶρα καὶ ἀναξίοις
A περιπίπτει· ἡ δὲ τῆς ψυχῆς ἀρετὴ ἰδίαν ἑκάστῳ δόξαν περιτίθησιν. εὐγένεια δὲ καὶ πλοῦτος καὶ ὅσα τοιαῦτα, μακαρίζεται μὲν, οὐκ ἐπαινεῖται δὲ, ὡς παρ' ἄλλου δοθέντα· ἐπιείκεια δὲ καὶ χρηστότης, ἅμα τῷ θαυμάζεσθαι, καὶ τὴν ἐπαίνων τὴν ἀναφορὰν εἰς αὐτὸν τινὰ ἔχει τὸν κατορθοῦντα. τί γοῦν ὑμᾶς ὤνησεν ἡ Κομμόδου εὐγένεια, ἢ Ἀντωνίνου ἡ πατρῴα διαδοχή; οἱ μὲν γὰρ ὥσπερ ὄφλημα κληρο-
B νομίας εἰληφότες, ἀποχρῶνταί τε καὶ ἐνυβρίζουσιν ὡς ἄνωθεν ἰδίῳ κτήματι· οἱ δὲ παρ' ὑμῶν λαβόντες, χάριτός τε ἀϊδίου εἰσὶ χρεῶσται, καὶ πειρῶνται ἀμείψασθαι τοὺς εὐεργεσίαις προειληφότας. καὶ τῶν μὲν ἀπ' εὐπατριδῶν βασιλέων τὸ εὐγενὲς εἰς ὑπεροψίαν ἐκπίπτει, καταφρονήσει τῶν ὑπηκόων, ὡς πολὺ ἐλαττόνων· οἱ δὲ ἐκ μετρίων πράξεων εἰς τοῦτο ἐλθόντες, περιέπουσιν αὐτὸ ὡς καμάτῳ κτηθέν· αἰδῶ τε καὶ τιμὴν ἀπονέμουσιν ἣν εἰώθεσαν τοῖς ποτὲ κρείττοσιν. ἐμοὶ δὲ σκοπὸς μηδέν τι πράττειν ἄνευ τῆς ὑμετέρας γνώμης· κοινωνούς τε καὶ συμβούλους ἔχειν τῆς τῶν πρα-
C γμάτων διοικήσεως. ὑμεῖς δὲ ἐν ἀδείᾳ καὶ ἐλευθερίᾳ βιώσεσθε, ὧν ἀφῃρέθητε μὲν ὑπὸ τῶν εὐπατριδῶν βασιλέων, ἀποδοῦναι δὲ ὑμῖν ἐπειράθησαν, πρότερον μὲν Μάρκος, ὕστερον δὲ Περτίναξ, ἐξ ἰδιωτικῶν σπαργάνων ἐπὶ τοῦτο ἐλθόντες. γένους γὰρ ἔνδοξον ἀρχὴν αὐτὸν παραγαγεῖν, καὶ τοῖς ὕστερον γένει ἄμεινον, ἢ κλέος προγονικὸν παραλαμβάνοντα, τρόπου φαυλότητι καταισχῦναι. Ἀναγνωσθείσης δὲ τῆς τοιαύτης ἐπιστολῆς, εὐφήμει τε αὐτὸν ἡ σύγκλητος, καὶ

τὰς σεβασμίους τιμὰς πάσας ψηφίζεται. οὐχ οὕτω δὲ εὔ-
φραινε πάντας ἡ Μακρίνου διαδοχὴ, ὡς ὑπερήδοντό τε καὶ
πανδημεὶ ἑώρταζον ἐπὶ τῇ Ἀντωνίνου ἀπαλλαγῇ. ἕκα-
στός τε ᾤετο μάλιστα τῶν ἐν ἀξιώσει τινὶ ἢ πράξει καθε- D
στώτων, ξίφος ἀποσεσεῖσθαι τοῖς αὐχέσιν ἐπαιωρούμενον.
συκοφάνται τε ἢ δοῦλοι ὅσοι δεσπότας κατήγγελον, ἀνεσκο-
λοπίσθησαν. πᾶσα ἥ τε Ῥωμαίων πόλις καὶ σχεδὸν ἡ ὑπὸ
Ῥωμαίοις οἰκουμένη καθαρθεῖσα πονηρῶν ἀνθρώπων, τῶν
μὲν κολασθέντων, τῶν δὲ ἐξωσθέντων, εἰ δέ τινες καὶ ἔλα-
θον, δι' εὐλάβειαν ἡσυχαζόντων, ἐν ἀδείᾳ πολλῇ καὶ εἰκόνι
ἐλευθερίας ἐβίωσαν ἐκείνου τοῦ ἔτους οὗ μόνου ὁ Μακρῖνος
ἐβασίλευσε. τοσοῦτον δὲ ἥμαρτεν, ὅσον μὴ διέλυσεν ἀθρόως 435
τὰ στρατόπεδα, καὶ ἑκάστους εἰς τὰ ἑαυτῶν ἀπέπεμψεν. αὐ- A
τός τε εἰς τὴν Ῥώμην ποθοῦσαν ἠπείχθη, τοῦ δήμου ἑκάστο-
τε καλοῦντος μεγάλαις βοαῖς. ἐν δὲ τῇ Ἀντιοχείᾳ διέτρι-
βε, γένειόν τε ἀσκῶν, βαδίζων τε πλέον τοῦ δέοντος ἠρε-
μαίως, βραδύτατά τε καὶ μόλις τοῖς προσιοῦσιν ἀποκρι-
νόμενος, ὡς μηδ' ἀκούεσθαι πολλάκις διὰ τὸ καθειμένον τῆς
φωνῆς. ἐζήλου δὲ ταῦτα ὡς δὴ Μάρκου ἐπιτηδεύματα· τὸν
δὲ λοιπὸν βίον οὐκ ἐμιμήσατο. ἐπεδίδου δὲ ἑκάστοτε εἰς τὸ
ἁβροδίαιτον, ὀρχηστῶν τε θέαις καὶ πάσης μούσης κινήσεώς
τε εὐρύθμου ὑποκριταῖς σχολάζων, τῆς τε τῶν πραγμά- B
των διοικήσεως ἀμελῶς ἔχων. προῄει τε πόρπαις καὶ ζω-
στῆρι χρυσῷ πολλῷ καὶ λίθοις τιμίοις πεποικιλμένοις κεκο-
σμημένος, τῆς τοιαύτης πολυτελείας παρὰ τοῖς Ῥωμαίων
στρατιώταις οὐκ ἐπαινουμένης, βαρβάρου δὲ μᾶλλον καὶ θη-
λυπρεποῦς εἶναι δοκούσης. ἅπερ ὁρῶντες οἱ στρατιῶται οὐ πά-
νυ τι ἀπεδέχοντο. ἀπηρέσκοντό τε αὐτοῦ τῷ βίῳ ὡς ἀνει-
μένῳ μᾶλλον ἢ κατ' ἄνδρα στρατιωτικόν. παραβάλλοντες
δὲ τὴν μνήμην τῇ Ἀντωνίνου διαίτῃ, ἐπιτραφείσῃ τε καὶ
στρατιωτικῇ γενομένῃ, κατεγίνωσκον τῆς Μακρίνου πολυ-

τελείας. ἔτι τε ἠναγκάζοντο αὐτοὶ μὲν ὑπὸ σκηναῖς καὶ C ἐν ἀλλοδαπῇ διαιτώμενοι, ἔσθ' ὅτε καὶ σπανίζοντες τῶν ἐπιτηδείων, εἰς τε τὰ ἑαυτῶν οὐκ ἐπανιόντες, εἰρήνης εἶναι δοκούσης. ὁρῶντες δὲ τὸν Μακρῖνον χλιδῇ καὶ τρυφῇ διαιτώμενον, ἀφηνιάζοντες ἤδη πρὸς ἀλλήλους, αὐτὸν κακῶς ἠγόρευον· προφάσεώς τε ὀλίγης λαβέσθαι ηὔχοντο εἰς τὸ ἀποσκευάσασθαι τὸ λυποῦν. ἐχρῆν δὲ ἄρα Μακρῖνον ἐνιαυτοῦ μόνον τῇ βασιλείᾳ ἐντρυφήσαντα, ἅμα τῷ βίῳ καὶ τὴν ἀρχὴν καταλῦσαι, μικρὰν καὶ εὐτελῆ πρόφασιν τοῖς στρατιώταις εἰς ἃ ἐβούλοντο τῆς τύχης D παρασχούσης. Μαισὰ ἦν τις ὄνομα, τὸ γένος Φοίνισσα, ἀπὸ Ἐμέσου καλουμένης οὕτω πόλεως ἐν Φοινίκῃ. ἀδελφὴ δὲ ἐγεγόνει Ἰουλίας μὲν τῆς Σεβήρου γυναικός, Ἀντωνίνου δὲ μητρός. παρὰ πάντα οὖν τὸν τῆς ἀδελφῆς βίον, ἐν τῇ βασιλείῳ διέτριψεν αὐλῇ χρόνου πολυετοῦς, παρ' ὃν Σεβῆρός τε καὶ Ἀντωνῖνος ἐβασίλευσαν. τὴν δὴ Μαισὰν ταύτην ὁ Μακρῖνος, μετὰ τὴν τῆς ἀδελφῆς τελευτὴν, Ἀντωνίνου δὲ ἀναίρεσιν, προσέταξεν εἰς τὴν πατρίδα ἐπανελθοῦσαν, ἐν τοῖς οἰκείοις καταβιῶναι, πάντα ἔχουσαν τὰ ἑαυτῆς. πλείστων δὲ ἦν χρημάτων ἀνάπλεως, ἅτε μακρῷ χρόνῳ βασιλικῇ ἐξουσίᾳ ἐντεθραμμένη. ἐπανελθοῦσα δὲ ἡ

436 πρεσβῦτις, διέτριβεν ἐν τοῖς ἑαυτοῖς. ἦσαν δὲ αὐτῇ θυγα-A τέρες δύο· Σοαιμὶς μὲν ἡ πρεσβυτέρα ἐκαλεῖτο, ἡ δὲ ἑτέρα Μαμμαία. παῖδες δὲ ἦσαν τῇ μὲν πρεσβυτέρᾳ, Βασσιανὸς ὄνομα· τῇ δὲ νεωτέρᾳ Ἀλεξιανός. ὑπὸ δὲ ταῖς μητράσι καὶ τῇ μάμμῃ ἀνετρέφοντο· ὁ μὲν Βασσιανὸς περὶ ἔτη γεγονὼς τέσσαρες καὶ δέκα, ὁ δὲ Ἀλεξιανὸς δεκάτου ἔτους ἐπιβεβηκώς. ἱερῶντο δὲ αὐτοὶ θεῷ Ἡλίῳ. τοῦτον γὰρ οἱ ἐπιχώριοι σέβουσι, τῇ Φοινίκων φωνῇ Ἐλαιαγάβαλον καλοῦντες. νεὼς δὲ αὐτῷ μέγιστος κατεσκεύαστο, χρυσῷ πολλῷ καὶ ἀργυρίῳ κεκοσμημένος, λίθων τε πολυτελείᾳ. θρησκεύεται δὲ οὐ

μόνον πρὸς τῶν ἐπιχωρίων, ἀλλὰ καὶ πάντες οἱ γειτνιῶντες B
σατράπαι τε καὶ βασιλεῖς βάρβαροι, φιλοτίμως πέμπουσι τῷ
θεῷ ἑκάστου ἔτους πολυτελῆ ἀναθήματα. ἄγαλμα μὲν οὖν,
ὥσπερ παρ' Ἕλλησιν ἢ Ῥωμαίοις, οὐδὲν ἕστηκε χειροποίητον,
θεοῦ φέρον εἰκόνα· λίθος δέ τις ἐστὶ μέγιστος, κάτωθεν περι-
φερής, λήγων εἰς ὀξύτητα. κωνοειδὲς αὐτῷ σχῆμα, μέλαινά
τε ἡ χροιά. διοπετῆ τε αὐτὸν εἶναι σεμνολογοῦσιν, ἐξοχάς τέ τι-
νας βραχείας καὶ τύπους δεικνύουσιν. εἰκόνα τε Ἡλίου ἀνέργα-
στον εἶναι θέλουσιν, οὕτω βλέποντες. τούτῳ δὴ τῷ θεῷ ὁ Βασσια-
νὸς ἱερωμένος, (ἅτε γὰρ πρεσβυτέρῳ ἐκείνῳ ἐγκεχείριστο ἡ θρη- C
σκεία) προῄει τε σχήματι βαρβάρῳ, χιτῶνας χρυσοϋφεῖς καὶ
ἁλουργεῖς χειριδωτοὺς, καὶ ποδήρεις ἀνεζωσμένος, τά τε σκέ-
λη σκέπων πάντα ἀπ' ὀνύχων ἐς μηροὺς, ἐσθῆσιν ὁμοίως
χρυσῷ καὶ πορφύρᾳ πεποικιλμέναις. τήν τε κεφαλὴν ἐκό-
σμει στέφανος λίθων πολυτελῶν χροιᾷ διηνθισμένος. ἦν δὲ
τὴν ἡλικίαν ἀκμαῖος, καὶ τὴν ὄψιν τῶν κατ' αὐτὸν ὡραιότατος
μειρακίων πάντων. εἰς τὸ αὐτὸ δὴ συνιόντων κάλλους σώ-
ματος, ἡλικίας ἀκμῆς, ἁβροῦ σχήματος, ἀπείκασεν ἄν τις τὸ
μειράκιον Διονύσου καλαῖς εἰκόσιν. ἱερουργοῦντα δὴ τοῦτον,
περί τε τοῖς βωμοῖς χορεύοντα νόμῳ βαρβάρων ὑπό τε αὐ- D
λοῖς καὶ σύριγξι παντοδαπῶν τε ὀργάνων ἤχῳ, περιεργότε-
ρον ἐπέβλεπον οἵ τε ἄλλοι ἄνθρωποι καὶ μάλιστα οἱ στρατιῶ-
ται, εἰδότες γένους ὄντα βασιλικοῦ, καὶ τῆς ὥρας αὐτοῦ πάντων
τὰς ὄψεις εἰς ἑαυτὸν ἐπιστρεφούσης. ἐγειτνίαζε δὲ τῇ πόλει
ἐκείνῃ τότε μέγιστον στρατόπεδον, ὃ τῆς Φοινίκης προήσπιζεν·
ὕστερον δὲ μετηνέχθη, ὡς ἐν τοῖς ἑξῆς ἐροῦμεν. φοιτῶντες οὖν οἱ
στρατιῶται ἑκάστοτε εἰς τὴν πόλιν, εἴς τε τὸν νεὼν ἰόντες θρη-
σκείας δὴ χάριν, τὸ μειράκιον ἡδέως ἔβλεπον. ἦσαν δέ τι- 437
νες ἐξ αὐτῶν καὶ πρόσφυγες, οἰκεῖοί τε τῆς Μαισῆς. πρὸς A
οὓς ἐκείνη θαυμάζοντας τὸν παῖδα, εἴτε πλασαμένη, εἴτε καὶ
ἀληθεύουσα, ἐξεῖπεν ὅτι ἄρα Ἀντωνίνου υἱὸς εἴη τῇ φύσει

ii.iiii.

τῇ δὲ ὑπολήψει, ἄλλου δοκεῖν. ἐπιφοιτῆσαι γὰρ αὐτὸν ταῖς θυγατράσιν αὐτῆς νέαις τε οὔσαις καὶ ὡραίαις, καθ' ὃν καιρὸν ἐν τοῖς βασιλείοις σὺν τῇ ἀδελφῇ διέτριβεν. ὅπερ ἐκεῖνοι ἀκούσαντες, τοῖς συστρατιώταις κατ' ὀλίγον ἀπαγγέλλοντες, διαβόητον ἐποίησαν τὴν φήμην, ὡς εἰς πᾶν χωρῆσαι τὸ στρατιωτικόν. τῇ δὲ Μαισῇ ἐλέγετο σωροὺς εἶναι χρημάτων, ἐκείνην δὲ ἑτοίμως πάντα προέσθαι τοῖς στρα-

B τιώταις εἰ τὴν βασιλείαν τῷ γένει ἀνανεώσαιτο. ὡς δὲ συνέθεντο, νύκτωρ εἰ κατέλθοιεν, λαθόντες ἀνοίξειν τὰς πύλας, καὶ δέξεσθαι πᾶν τὸ γένος ἔνδον, βασιλέα τε καὶ υἱὸν ἀποδείξειν Ἀντωνίνου, ἐπιδέδωκεν ἑαυτὴν ἡ πρεσβῦτις, ἑλομένη πάντα κίνδυνον ἀναρρῖψαι μᾶλλον ἢ ἰδιωτεύειν καὶ δοκεῖν ἀπερρῖφθαι. νύκτωρ τε λάθρα τῆς πόλεως ὑπεξῆλθε σὺν ταῖς θυγατράσι, καὶ τοῖς ἐγγόνοις. καταγαγόντων τε αὐτοὺς τῶν προσφυγόντων στρατιωτῶν, γενόμενοι πρὸς τῷ τείχει τοῦ στρατοπέδου, ῥᾷστα ὑπεδέχθησαν. ἀθρόως τε τὸν παῖδα πᾶν τὸ στρατόπεδον Ἀντωνῖνον προσηγόρευσαν, τήν τε

C πορφυρᾶν χλαμύδι περιβαλόντες εἶχον ἔνδον. πάντα δὲ τὰ ἐπιτήδεια καὶ παῖδας καὶ γυναῖκας, ὅσα εἶχον ἐν κώμαις ἢ ἀγροῖς τοῖς πλησίον, εἰσκομίσαντες, τάς τε πύλας ἀποκλείσαντες, παρεσκεύαζον ἑαυτοὺς ὡς εἰ δέοι ὑπομενοῦντες πολιορκίαν. ὡς δὲ ταῦτα ἀπηγγέλη τῷ Μακρίνῳ ἐν Ἀντιοχείᾳ διατρίβοντι, ἥ τε φήμη διέδραμεν ἀνὰ τὰ λοιπὰ στρατόπεδα ὅτι τε Ἀντωνίνου υἱὸς εὑρέθη, καὶ ὅτι ἡ Ἰουλίας ἀδελφὴ χρήματα δίδωσι, πάντα τὰ λεγόμενα καὶ ἐνδεχόμενα καὶ ἀληθῆ πιστεύσαντες εἶναι, τὰς ψυχὰς ἐξεπλήττοντο. ἐνῆγε δ' αὐτοὺς καὶ ἀνέπειθεν εἰς πραγμάτων

D καινοτομίαν τό, τε Μακρίνου μῖσος, καὶ τὸ Ἀντωνίνου τῆς μνήμης πόθος καὶ πρό γε ἁπάντων, ἡ τῶν χρημάτων ἐλπίς, ὡς πολλοὺς καὶ αὐτομολοῦντας φοιτᾶν πρὸς τὸν νέον Ἀντωνῖνον. ὁ δὲ Μακρῖνος, καταφρονῶν τοῦ πράγματος

ὡς παιδαριώδεις, χρώμενός τε τῇ συνήθει προθυμίᾳ, αὐ-
τὸς μὲν οἴκοι μένει, πέμπει δὲ ἕνα τῶν ἀρχόντων τοῦ στρατοπέ-
δου, δύναμιν δοὺς ὅσην ᾤετο ῥᾷστα ἐκπορθήσειν τοὺς ἀφε-
στῶτας. ὡς δ' ἦλθεν Ἰουλιανὸς (τοῦτο γὰρ ἦν ὄνομα τῷ ἐπάρ-
χῳ) καὶ προσέβαλε τοῖς τείχεσιν, ἔνδοθεν οἱ στρατιῶται 438
ἀνελθόντες ἐπί τε τοὺς πύργους καὶ τὰς ἐπάλξεις, τόν τε A
παῖδα τῷ ἔξωθεν πολιορκοῦντι στρατῷ ἐδείκνυσαν, Ἀντω-
νίνου υἱὸν ἀποφημοῦντες. βαλάντιά τε χρημάτων (μέγα δέ-
λεαρ προδοσίας) αὐτοῖς ἐδείκνυσαν. οἱ δὲ, πιστεύσαντες Ἀν-
τωνίνου τε εἶναι τέκνον, καὶ ὁμοιότατόν γε, (βλέπειν γὰρ οὕτως
ἤθελον) τοῦ μὲν Ἰουλιανοῦ τὴν κεφαλὴν ἀποτέμνουσι, καὶ
πέμπουσι τῷ Μακρίνῳ· αὐτοὶ δὲ πάντες, ἀνοιχθεισῶν αὐ-
τοῖς τῶν πυλῶν, εἰς τὸ στρατόπεδον ἐδέχθησαν. οὕτως ἡ δύ-
ναμις αὐξηθεῖσα, οὐ μόνον ἦν πρὸς τὸ ἀπομάχεσθαι πο-
λιορκίᾳ, ἀλλὰ καὶ πρὸς τὸ συστάδην καὶ ἐξ ἀντιστάσεως
ἀγωνίζεσθαι ἀξιόχρεως. ἔτι τε καὶ τῶν αὐτομόλων τὸ πλῆ- B
θος ἑκάστοτε, εἰ καὶ κατ' ὀλίγους προσιὸν, τὴν δύναμιν
ηὔξησεν. ὁ δὲ Μακρῖνος ὡς ταῦτα ἐπυνθάνετο, ἀθροίσας
πάντα ὃν εἶχε στρατὸν, ἐπῄει ὡς δὴ πολιορκήσων τοὺς ἐκεί-
νῳ προσκεχωρηκότας. ὁ δὲ Ἀντωνῖνος, οὐκ ἀναμενόντων τῶν
σὺν αὐτῷ στρατιωτῶν πολιορκηθῆναι, θαρρησάντων δὲ με-
τὰ πάσης προθυμίας ἐξελθεῖν τε καὶ ὑπαντώμενοι τῷ
Μακρίνῳ ἐκ παρατάξεως ἀγωνίζεσθαι, ἐξάγει τὴν αὐτοῦ
δύναμιν. συμμίξαντα δὲ ἀλλήλοις τὰ στρατόπεδα Φοινί-
κης τε καὶ Συρίας ἐν μεθορίοις, οἱ μὲν ὑπὲρ τοῦ Ἀντωνίνου,
προθύμως ἠγωνίζοντο, δεδιότες εἰ ἡττηθεῖεν, τὴν ἐφ' οἷς ἔ-
δρασαν τιμωρίαν ἀναδέξασθαι· οἱ δὲ σὺν τῷ Μακρίνῳ,
ῥᾳθυμότερον προσεφέροντο τῷ ἔργῳ, ἀποδιδράσκοντες καὶ
μετιόντες πρὸς τὸν Ἀντωνῖνον. ἅπερ ὁρῶν ὁ Μακρῖνος, φο- C
βηθείς τε μὴ παντάπασι γυμνωθεὶς τῆς δυνάμεως, αἰχμά-
λωτός τε ληφθεὶς, αἰσχίστως ὑβρισθείη, ἐπὶ τῆς μάχης συνε-

στώσης, ἑσπέρας ἤδη προσιούσης, ἀπορρίψας τὸ χλαμύδιον, καὶ εἴ τι σχῆμα βασιλικὸν περιέκειτο, λαθὼν, ἀποδιδράσκει σὺν ὀλίγοις ἑκατοντάρχαις, οὓς πιστοτάτους ᾤετο, τό γένειον ἀποκειράμενος, ὡς μὴ γνωρίζοιτο· ἐσθῆτά τε ὁδοιπορικὴν λαβὼν, καὶ τὴν κεφαλὴν ἀεὶ σκέπων, νύκτωρ τε καὶ μεθ' ἡμέραν ὡδοιπόρει, φθάνων τὴν φήμην τῆς ἑαυτοῦ τύχης· τῶν τε ἑκατοντάρχων μεγάλῃ σπουδῇ τὰ ὀχήματα ἐπειγόντων, ὡς ἂν ὑπὸ Μακρίνου ἔτι βασιλεύοντος ἐπί
D τινα σπουδαῖα πεμφθέντων. ὁ μὲν οὖν ἔφυγεν ὡς εἴρηται. ὁ δὲ στρατὸς ἑκατέρωθεν ἐμάχοντο, ὑπὲρ τοῦ Μακρίνου, οἱ σωματοφύλακες καὶ δορυφόροι, οὓς δὴ πραιτωριανοὺς καλοῦσιν, οἳ γενναίως ἀντέστησαν παντὶ τῷ ἄλλῳ στρατῷ, ἅτε ὄντες μέγιστοί τε καὶ ἐπίλεκτοι· τὸ δ' ἐπίλοιπον πᾶν πλῆθος ὑπὲρ τοῦ Ἀντωνίνου ἠγωνίζοντο. ὡς δ' ἐπὶ πολὺ τὸν Μακρῖνον οὐκ ἔβλεπον οἱ ὑπὲρ αὐτοῦ μαχόμενοι, οὐδὲ τὰ τῆς βασιλείας σύμβολα, διηπόρουν δὲ ποῦ ποτε ἄρα εἴη, πότε-
439 ρον ἐν τῷ πλήθει τῶν κειμένων, ἢ ἀποδρὰς ᾤχετο, ἠγνόουν τε
A πῶς χρήσονται τῷ πράγματι. οὔτε γὰρ μάχεσθαι ἤθελον ὑπὲρ τοῦ μὴ παρόντος, παραδοῦναι δὲ αὑτοὺς ἐκδότους καὶ ὥσπερ αἰχμαλώτους ᾐδοῦντο. ὡς δὲ παρὰ τῶν αὐτομόλων ἐπύθετο Ἀντωνῖνος τὴν τοῦ Μακρίνου φυγὴν, πέμψας κήρυκας, διδάσκει αὐτοὺς ὅτι μάτην ὑπὲρ ἀνάνδρου καὶ φυγάδος μάχονται· ἄδειάν τε καὶ ἀμνηστίαν ἐνόρκως ὑπισχνεῖται, καλεῖ τε καὶ αὐτοὺς δορυφορήσοντας. οἱ μὲν οὖν πεισθέντες
B προσεχώρησαν. ὁ δὲ Ἀντωνῖνος πέμπει τοὺς διώξοντας τὸν Μακρῖνον πολὺ προκεχωρηκότα. ἐν Καλχηδόνι γοῦν τῆς Βιθυνίας καταλήφθη νοσῶν χαλεπώτατα, ὑπό τε τῆς συνεχοῦς ὁδοιπορίας συντετριμμένος. ἔνθα αὐτὸν εὑρόντες ἔν τινι κρυπτόμενον προαστείῳ οἱ διώκοντες, τὴν κεφαλὴν ἀπέτεμον. ἐλέγετο δὲ σπεύδειν εἰς τὴν Ῥώμην θαρρῶν τῇ τοῦ δήμου περὶ αὐτὸν σπουδῇ. περαιούμενον δ' αὐτὸν εἰς τὴν

Εὐρώπην διὰ τοῦ στενοῦ τῆς Προποντίδος πορθμοῦ, ἤδη τε
τῷ Βυζαντίῳ προσπελάζοντα, φασὶν ἀντιπνοίᾳ χρήσασθαι,
ἐπανάγοντος αὐτὸν τοῦ πνεύματος εἰς τὴν ὑπερορίαν. παρὰ
τοσοῦτον μὲν δὴ Μακρῖνος οὐκ ἐξέφυγε τοὺς διώκοντας· τέλει C
τε ἐχρήσατο αἰσχρῷ, ὕστερον θελήσας εἰς τὴν Ῥώμην ἀνελ-
θεῖν, δέον ἐν ἀρχῇ τοῦτο ποιῆσαι· ὁμοῦ δὲ ἔπταισε καὶ γνώμῃ
καὶ τύχῃ. τέλει μὲν δὴ τοιούτῳ ὁ Μακρῖνος ἐχρήσατο, συν-
αναιρεθέντος αὐτῷ καὶ τοῦ παιδὸς ὃν ἦν ποιήσας καί-
σαρα, Διαδουμενιανὸν καλούμενον. ἐπεὶ δὲ ὅ, τε στρατὸς
πᾶς μετελθὼν πρὸς τὸν Ἀντωνῖνον, προσεῖπε βασι-
λέα, τά τε τῆς ἀρχῆς ὑπεδέξατο, διοικηθέντων αὐτῷ κα-
τὰ τὴν ἀνατολὴν τῶν ἐπειγόντων ὑπό τε τῆς μάμμης
καὶ τῶν συνόντων φίλων. αὐτὸς γὰρ ἦν νέος τε τὴν ἡλικίαν,
πραγμάτων τε καὶ παιδείας ἄπειρος, οὐ πολλοῦ χρόνου
διατρίψας εἶχε περὶ ἔξοδον, ἐπισπευδούσης μάλιστα τῆς Μαί- D
σης εἰς τὰ συνήθη ἑαυτῇ βασίλεια Ῥώμης. ὡς δὲ τῇ τε
συγκλήτῳ καὶ τῷ Ῥωμαίων δήμῳ τὰ πραχθέντα ἐδηλώ-
θη, δυσφόρως μὲν πάντες ἤκουσαν, ὑπήκουον δὲ ἀνάγκῃ, τοῦ στρα-
τοῦ ταῦτα ᾑρημένου. κατεγίγνωσκόν τε τοῦ Μακρίνου ῥᾳθυ-
μίαν τε καὶ τρόπων χαυνότητα. αἴτιόν τε οὐκ ἄλλον ἀλλ᾽ ἢ
αὐτὸν ἑαυτῷ γεγενῆσθαι ἔλεγον. ὁ δὲ Ἀντωνῖνος ἀπάρας τῆς
Συρίας, ἐλθὼν δὲ εἰς τὴν Νικομήδειαν, ἐχείμαζε, τῆς ὥρας
τοῦ ἔτους οὕτως ἀπαιτούσης. ἀθέως τε ἐξεβακχεύετο, τήν 440
τε ἱερωσύνην τοῦ ἐπιχωρίου θεοῦ, ᾗ ἐντέθραπτο, περιεργότε- A
ρον ἐξωρχεῖτο. σχήμασί τε ἐσθῆτος πολυτελεστάτης χρώμενος,
διά τε πορφύρας χρυσοῦ ὑφάσμασι, περιδεραίοις τε καὶ
ψελλίοις κοσμούμενος. εἰς εἶδος δὲ τιάρας στεφάνην ἐπι-
κείμενος χρυσῷ καὶ λίθοις ποικίλοις τιμίοις. ἦν τε αὐτῷ τὸ
σχῆμα μεταξὺ Φοινίσσης ἱερᾶς στολῆς καὶ χλιδῆς Μη-
δικῆς. Ῥωμαϊκὴν δὲ ἢ Ἑλληνικὴν πᾶσαν ἐσθῆτα ἐμυ-
σάττετο, ἐρίου φάσκων εἰργάσθαι, πράγματος ἁπλοῦς,

τοῖς δὲ Σύρων ὑφάσμασι μόνοις ἠρέσκετο. προῄει τε ὑπὸ
B αὐλοῖς καὶ τυμπάνοις, τῷ θεῷ δῆθεν ὀργιάζων. ἡ δὲ Μαῖσα ταῦτα ὁρῶσα, πάνυ ἤσχαλλε· πείθειν τε λιπαροῦσα ἐπειρᾶτο μεταμφιέσασθαι τὴν Ῥωμαίων στολὴν, μέλλοντά τε εἰς τὴν πόλιν ἀφίξεσθαι, καὶ εἰς τὴν σύγκλητον εἰσελεύσεσθαι· μὴ ἀλλοδαπὸν ἢ παντάπασι βάρβαρον τὸ σχῆμα ὀφθὲν, εὐθὺς λυπήσῃ τοὺς ἰδόντας, ἀήθεις τε ὄντας, καὶ οἰομένους τὰ τοιαῦτα καλλωπίσματα οὐκ ἀνδράσιν ἀλλὰ θηλείαις πρέπειν. ὁ δὲ καταφρονήσας τῶν ὑπὸ τῆς πρεσβύτιδος λεχθέντων, μηδ᾽ ἄλλῳ τινὶ πεισθεὶς, (οὐδὲ γὰρ προσίετο εἰ μὴ τοὺς ὁμοιοτρόπους τε καὶ κόλακας αὐτοῦ τῶν ἁμαρ-
C τημάτων) βουλόμενος ἐν ἔθει γενέσθαι τῆς τοῦ σχήματος ὄψεως, τήν τε σύγκλητον καὶ τὸν δῆμον Ῥωμαίων, ἀπόντος τε αὐτοῦ πεῖραν δοθῆναι πῶς φέρουσι τὴν ὄψιν τοῦ σχήματος, εἰκόνα μεγίστην γράψας παντὸς ἑαυτοῦ, οἷος προϊών τε καὶ ἱερουργῶν ἐφαίνετο, παραστήσας τε ἐν τῇ γραφῇ τὸν τύπον τοῦ ἐπιχωρίου θεοῦ, ᾧ δὴ καλλιεργῶν ἐγέγραπτο, πέμψας τε εἰς τὴν Ῥώμην, ἐκέλευσεν ἐν τῷ μεσαιτάτῳ τοῦ συγκλήτου τόπῳ ὑψηλοτάτῳ τε τὴν εἰκόνα ἀνατεθῆναι ὑπὲρ κεφαλῆς τοῦ ἀγάλματος τῆς Νίκης· ὡς συνιόντες εἰς τὸ βουλευτήριον, λιβανωτόν τε θυμιῶσιν ἕκαστος, καὶ οἴνου σπένδουσι. προσέταξέ τε πάντας τοὺς Ῥωμαίων ἄρχοντας, καὶ
D εἴ τινες δημοσίας θυσίας ἐπιτελοῦσι, πρὸ τῶν ἄλλων θεῶν οὓς δὴ καλοῦσιν ἱερουργοῦντας, ὀνομάζειν τὸν νέον θεὸν Ἐλαιαγάβαλον. ὡς δὲ εἰς τὴν Ῥώμην ἀφίκετο τῷ προειρημένῳ σχήματι, οὐδὲν παράδοξον εἶδον οἱ Ῥωμαῖοι, τῇ γραφῇ συνειθισμένοι. δοὺς δὲ τὰς συνήθεις τῷ δήμῳ νομὰς ἐπὶ τῇ τῆς βασιλείας διαδοχῇ, φιλοτίμους τε καὶ πολυτελεῖς ἐπιτελέσας παντοδαπὰς θέας, νεών τε μέγιστον καὶ κάλλιστον κατασκευάσας τῷ θεῷ, βωμούς τε πλείστους περὶ τὸν νεὼν ἱδρύσας, ἑκάστοτε προϊὼν ἕωθεν, ἑκατόμβας τε ταύρων καὶ

προβάτων πολὺ πλῆθος κατέσφαττε· τοῖς τε βωμοῖς ἐπε- 441
τίθει, παντοδαποῖς ἀρώμασι συμβάλων, οἴνου τε τοῦ παλαιο- A
τάτου καὶ καλλίστου πολλοὺς ἀμφορέας τῶν βωμῶν προ-
χέων, ὡς ῥεῖθρα φέρεσθαι οἴνου τε καὶ αἵματος μεμιγμέ-
νου. περί τε τοὺς βωμοὺς ἐχόρευεν, ὑπὸ παντοδαποῖς ἤχοις
ὀργάνων· γύναιά τε ἐπιχώρια ἐχόρευεν σὺν αὐτῷ, περι-
θέοντα τοῖς βωμοῖς, κύμβαλα ἢ τύμπανα μετὰ χεῖρας φέ-
ροντα. περιειστήκει δὲ πᾶσα ἡ σύγκλητος καὶ τὸ ἱππικὸν
τάγμα ἐν θεάτρου σχήματι. τὰ δὲ σπλάγχνα τῶν ἱερουργη-
θέντων, τά τε ἀρώματα, ἐν χρυσοῖς σκεύεσιν ὑπὲρ κεφαλῆς.
οὐκ οἰκέται δέ τινες ἢ ἀπλεῖς ἄνθρωποι ἔφερον, ἀλλ' οἵ τ' B
ἔπαρχοι τῶν στρατοπέδων, καὶ οἱ ἐν ταῖς μεγίσταις πράξε-
σιν, ἀνεζωσμένοι, οἱ ἰθὺ, χιτῶνας ποδήρεις καὶ χειριδωτοὺς,
νόμῳ Φοινίκων, ἐν μέσῳ φέροντες μίαν πορφύραν· ὑπο-
δήμασί τε λίνου πεποιημένοις ἐχρῶντο, ὥσπερ οἱ κατ' ἐκεῖ-
να τὰ χωρία προφητεύοντες. ἐδόκει δὲ τιμὴν μεγίστην
νέμειν οἷς ἐκοινώνει τῆς ἱερουργίας. πλὴν, καίτοι χορεύειν
ἀεὶ καὶ ἱερουργεῖν δοκῶν, πλείστους ἀπέκτεινε τῶν ἐνδόξων
τε καὶ πλουσίων, διαβληθέντας αὐτῷ ὡς ἀπαρεσκομένους,
καὶ σκώπτοντας αὐτοῦ τὸν βίον. ἠγάγετο δὲ γυναῖκα, τὴν C
εὐγενεστάτην Ῥωμαίων, ἣν Σεβαστὴν ἀναγορεύσας, μετ' ὀ-
λίγον χρόνον ἀπεπέμψατο, ἰδιωτεύειν κελεύσας, καὶ τῶν τι-
μῶν παρελόμενος. μετ' ἐκείνην δὲ προσποιησάμενος ἐρᾶν,
ἵνα δὴ καὶ τὰ τῶν ἀνδρῶν πράττειν δοκοίη, παρθένου τῆς
Ῥωμαίων Ἑστίας ἱερωμένης, ἁγνεύειν τε πρὸς τῶν ἱερῶν νό-
μων κελευομένης καὶ μέχρι τέλους τοῦ βίου παρθενεύεσθαι,
ἀποσπάσας αὐτὴν τῆς ἑστίας καὶ τοῦ ἱεροῦ παρθενῶνος,
γυναῖκα ἔθετο· ἐπιστείλας τῇ συγκλήτῳ καὶ παραμυθη-
σάμενος ἀσέβημά τε καὶ ἁμάρτημα τηλικοῦτον, φήσας
ἀνθρώπινόν τι πεπονθέναι πάθος· ἔρωτι γὰρ τῆς κόρης ἑαλω-
κέναι· ἁρμόζοντά τε καὶ σεβάσμιον εἶναι γάμον ἱερέως τε D

καὶ ἱερείας. πλὴν καὶ ταύτην οὐ μετ' οὐ πολὺ ἀπεπέμψατο. τρίτην δὲ πάλιν ἠγάγετο, ἀναφέρουσαν τὸ γένος εἰς Κόμμοδον. ἔπαιζε δὲ γάμοις οὐ μόνον ἀνθρωπείοις, ἀλλὰ καὶ τῷ θεῷ ᾧ ἱεράτευε γυναῖκα ἐζήτει· καὶ τό τε Παλλάδος τὸ ἄγαλμα, ὃ κρυπτὸν καὶ ἀόρατον σέβουσι Ῥωμαῖοι, εἰς τὸν ἑαυτοῦ θάλαμον μετήγαγε· καὶ μὴ κινηθὲν ἐξ οὗπερ ἦλ-
442 θεν ἀπὸ Ἰλίου, εἰ μὴ ὅτε πυρὶ κατεφλέχθη ὁ νεώς, ἐκίνησεν
A οὗτος, καὶ πρὸς γάμον δὴ εἰς τὴν βασίλειον αὐλὴν τῷ θεῷ ἀνήγαγε. φήσας δὲ ἀπαρέσκεσθαι αὐτῷ, ὡς πάντα ἐν ὅπλοις καὶ πολεμικῇ θεῷ, τῆς Οὐρανίας τὸ ἄγαλμα μετεπέμψατο, σεβόντων αὐτὸ ὑπερφυῶς Καρχηδονίων τε καὶ τῶν κατὰ τὴν Λιβύην ἀνθρώπων. φασὶ δὲ αὐτὸ Διδὼ τὴν Φοίνισσαν ἱδρύσασθαι, ὅτε δὴ τὴν ἀρχαίαν Καρχηδόνα πόλιν ἔκτισε, βύρσαν κατατεμοῦσαν. Λίβυες μὲν οὖν αὐτὴν Οὐρανίαν καλοῦσι· Φοίνικες δὲ Ἀστροάρχην ὀνομάζουσι, σελήνην εἶναι θέλοντες. ἁρμόζειν τοίνυν λέγων ὁ Ἀντωνῖνος γάμον ἡλίου καὶ σελήνης, τό, τε ἄγαλμα μετεπέμψατο, καὶ πάντα τὸν ἐκεῖθεν χρυσόν. χρήματά τε πάμπλειστα τὴν
B θεὸν εἰς προῖκα δὴ ἐπιδοῦναι ἐκέλευσε. κομισθέν τε τὸ ἄγαλμα συνῴκισε δὴ τῷ θεῷ, κελεύσας πάντας τοὺς κατὰ Ῥώμην καὶ Ἰταλίαν ἀνθρώπους ἑορτάζειν, παντοδαπαῖς τε εὐφροσύναις καὶ εὐωχίαις χρῆσθαι δημοσίᾳ τε καὶ ἰδίᾳ, ὡς δὴ γαμουμένων θεῶν. κατασκευάσας δὲ καὶ ἐν τῷ προαστείῳ νεὼν μέγιστόν τε καὶ πολυτελέστατον· εἰς ὃν ἑκάστου ἔτους κατῆγε τὸν θεόν, ἀκμάζοντος θέρους. πανηγύρεις τε παντοδαπὰς συνεκρότει, ἱπποδρόμους τε κατασκευάσας καὶ θέατρα, διά τε ἡνιοχείας καὶ πάντων θεαμάτων καὶ ἀκουσμάτων πλείστων εὐωχούμενον τὸν δῆμον καὶ παννυχίζοντα εὐφραίνειν ᾤετο· τόν τε θεὸν αὐτὸν ἐπι-
C στήσας ἅρματι χρυσῷ τε καὶ λίθοις τιμιωτάτοις πεποικιλμένῳ, κατῆγεν ἀπὸ τῆς πόλεως ἐπὶ τὸ προάστειον, τὸ δὲ

ἅρμα ἦγεν ἑξάπωλον, ἵππων λευκῶν μεγίστων τε καὶ
ἀσπίλων, χρυσῷ πολλῷ καὶ φαλάροις ποικίλοις κεκο-
σμημένον. τὰς τε ἡνίας κατεῖχεν. οὐδέποτε δὲ τοῦ ἅρματος
ἄνθρωπος ἐπέβαινεν· αὐτῷ δὲ περιέκειντο, ὡς ἡνιοχοῦν-
τι δὴ τῷ θεῷ. ὁ δ᾽ Ἀντωνῖνος ἔθει πρὸ τοῦ ἅρματος, ἀνα-
ποδίζων εἰς τοὐπίσω, ἔς τε τὸν θεὸν ἀποβλέπων, καὶ τοὺς
χαλινοὺς ἀντέχων τῶν ἵππων. πᾶσάν τε τὴν ὁδὸν ἤνυε
τρέχων ἔμπαλιν ἑαυτοῦ, ἀφορῶν τε εἰς τὸ πρόσθεν τοῦ
θεοῦ. πρός τε τὸ μὴ πταίσαι αὐτὸν ἢ διολισθαίνειν, οὐχ ὁ-
ρῶντα ὅπου βαίνει, γῆ τε ἡ χρυσίζουσα παμπλείστη ὑπέ- D
στρωτο, οἵ τε παρασπίζοντες, ἑκατέρωθεν ἀντεῖχον, τῆς ἀ-
σφαλείας τοῦ τοιούτου δρόμου προνοούμενοι. ὁ δὲ δῆμος ἑκα-
τέρωθεν παρέθει μετὰ παντοδαποῦ δᾳδουχίας, στεφάνους καὶ
ἄνθη ἐπιρριπτοῦντες, ἀγάλματά τε πάντων θεῶν, καὶ εἴ
τι πολυτελὲς ἀνάθημα τίμιον, ὅσα τε τῆς βασιλείας σύμ-
βολα ἢ πολυτελῆ κειμήλια. οἵ τε ἱππεῖς καὶ στρατὸς πᾶς
προέπεμπε τοῦ θεοῦ. μετὰ δὲ τὸ καταγαγεῖν αὐτὸν, καὶ ἱδρύ-
σαι ἐν τῷ ναῷ, τάς τε προειρημένας θυσίας καὶ πανηγύρεις
ἐπετέλει· πύργους τε μεγίστους καὶ ὑψηλοτάτους κατασκευά- 443
σας, ἀνιών τε ἐπ᾽ αὐτοὺς, ἐρρίπτει τοῖς ὄχλοις, ἁρπάζειν A
πᾶσιν ἐπιτρέπων ἐκπώματά τε χρυσᾶ καὶ ἀργυρᾶ, ἐσθῆτάς
τε καὶ ὀθόνας παντοδαπάς. ζῶά τε πάντα, ὅσα ἥμερα, ὅσα
ἀήθασα, πλὴν χοίρων· τούτων γὰρ ἀπείχετο Φοινίκων νόμῳ.
ἐν δὴ τῇ ἁρπαγῇ πολλοὶ διεφθείροντο, ὑπό τε ἀλλήλων πα-
τούμενοι καὶ τοῖς δόρασι τῶν στρατιωτῶν περιπίπτοντες, ὡς τὴν
ἐκείνου ἑορτὴν πολλοῖς φέρειν συμφοράν. αὐτὸς δὲ ἐβλέ-
πετο πολλάκις ἡνιοχῶν ἢ ὀρχούμενος· οὐδὲ γὰρ λανθάνειν
ἤθελεν ἁμαρτάνων. προῄει τε ὑπογραφόμενος τοὺς ὀφ-
θαλμοὺς, καὶ τὰς παρειὰς ἐρυθραίνων, φύσει τε πρόσ-
ωπον ὡραῖον ὑβρίζων βαφαῖς ἀσχήμοσιν. ὁρῶσα δὲ B
ταῦτα ἡ Μαισὰ, ὑποπτεύουσά τε τοὺς στρατιώτας ἀπαρέ-

σκέψασθαι τῷ τοιούτῳ τοῦ βασιλέως βίῳ, καὶ δεδοικυῖα μή τι
ἐκείνου παθόντος, πάλιν ἰδιωτεύῃ, πείθει αὐτὸν (κοῦφον ἄλ-
λως καὶ ἄφρονα νεανίαν) θέσθαι υἱὸν, καίσαρα δὲ ἀπο-
δεῖξαι τὸν ἑαυτοῦ μὲν ἀνεψιὸν, ἐκείνης δὲ ἔκγονον, ἐκ τῆς
ἑτέρας θυγατρὸς Μαμμαίας. εἰποῦσα αὐτῷ κεχαρισμένα,
ὡς ἄρα χρὴ ἐκεῖνον μὲν τῇ ἱερωσύνῃ καὶ θρησκείᾳ σχολά-
ζειν τοῦ θεοῦ, βακχείαις καὶ ὀργίοις, τοῖς τε θείοις ἔργοις ἀ-
νακείμενον, εἶναι δὲ ἕτερον τὸν τὰ ἀνθρώπεια διοικοῦντα,
C ἐκείνῳ δὲ παρέξοντα τῆς βασιλείας τὸ ἀνενόχλητόν τε καὶ
ἀμέριμνον. μὴ δεῖν τοῦτον ξένον ζητεῖν μηδ' ἀλλότριον,
ἀλλὰ τῷ ἀνεψιῷ ταῦτα ἐγχειρίσαι. μετονομάζεται δὴ ὁ
Ἀλεξιανὸς, καὶ Ἀλέξανδρος καλεῖται, παραχθέντος αὐ-
τῷ τοῦ πάππου ὀνόματος, εἰς τὸ τοῦ Μακεδόνος, ὡς πάνυ τε
ἐνδόξου καὶ τιμηθέντος ὑπὸ τοῦ δοκοῦντος πατρὸς ἀμ-
φοτέρων εἶναι. τὴν Ἀντωνίνου τοῦ Σεβήρου παιδὸς μοιχείαν
ἀμφότεραι αἱ Μαίσης θυγατέρες. αὐτή τε ἡ πρεσβῦτις ἐσε-
μνύνετο, πρὸς τὸ τοὺς στρατιώτας στέργειν τοὺς παῖδας υἱοὺς
D ἐκείνου δοκοῦντας εἶναι. ἀποδείκνυται δὲ Καῖσαρ ὁ Ἀλέξαν-
δρος, ὕπατός τε σὺν τῷ Ἀντωνίνῳ. κατελθών τε εἰς τὴν
σύγκλητον, ταῦτα ἐκύρωσε, γελοιότατα ψηφισαμένων πάν-
των ἃ ἐκελεύοντο· πατέρα μὲν ἐκεῖνον δοκεῖν, ἔτη γεγονότα
περί που ἑκκαίδεκα· τὸν Ἀλέξανδρον δὲ υἱὸν, τοῦ δωδεκά-
του ἐπιβαίνοντα. ὡς δὲ καῖσαρ ὁ Ἀλέξανδρος ἀπεδείχθη,
ὁ Ἀντωνῖνος ἐβούλετο αὐτὸν τὰ ἑαυτοῦ παιδεύειν ἐπιτη-
δεύματα, ὀρχεῖσθαί τε καὶ χορεύειν, τῆς τε ἱερωσύνης κοι-
νωνεῖν καὶ σχήμασι καὶ ἔργοις ὁμοίοις· ἡ δὲ μήτηρ αὐτὸν ἡ
444 Μαμμαία ἀπῆγε μὲν τῶν αἰσχρῶν καὶ ἀπρεπῶν βασιλεῦσιν
A ἔργων, διδασκάλους τε πάσης παιδείας λάθρα μετεπέμ-
πετο· τοῖς τε σώφροσιν αὐτὸν ἤσκει μαθήμασι, παλαίστραις
τε καὶ τοῖς ἀνδρῶν γυμνασίοις εἴθιζε, παιδείαν τε τὴν Ἑλ-
λήνων καὶ Ῥωμαίων ἐπαίδευεν. ἐφ' οἷς Ἀντωνῖνος πάνυ
ἤσχαλλε,

ἤγαλλε, καὶ μεταγινώσκει θέλων αὐτὸν υἱὸν καὶ κοινωνὸν
τῆς ἀρχῆς. τούς τε οὖν διδασκάλους αὐτοῦ πάντας ἀποσό-
βει τῆς βασιλείου αὐλῆς, τινάς τε αὐτῶν τοὺς ἐνδοξοτάτους,
οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ ἐφυγάδευσεν, αἰτίας γελοιοτάτας
ἐπιφέρων, ὡς διαφθείροιεν αὐτοῦ τὸν δοκοῦντα υἱὸν, οὐκ ἐ-
πιτρέποντες χορεύειν ἢ βακχεύεσθαι, σωφρονίζοντες δὲ,
καὶ τὰ ἀνδρῶν διδάσκοντες. ἐς τοσοῦτον δὲ ἐξώκειλε πα- B
ρανοίας ὡς πάντα τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῶν δημοσίων
θεάτρων μεταγαγεῖν ἐπὶ τὰς μεγίστας τῶν βασιλικῶν
πράξεων, καὶ τοῖς μὲν στρατοπέδοις ἔπαρχον ἐπιστῆσαι ὀρ-
χηστήν τινα γενόμενον, καὶ δημοσίᾳ ἐν τῷ Ῥωμαίων θεά-
τρῳ ὀρχησάμενον ὅτε ἦν νέος. πάλιν δὲ ἕτερον ὁμοίως τῆς
σκηνῆς βαστάσας παιδείας τῶν νέων καὶ ἀκοσμίας, τῆς τε
ὑποστάσεως τῆς εἰς τὴν σύγκλητον βουλὴν ἢ τὸ ἱππικὸν
τάγμα καταταττομένων προέστησεν· ἡνιόχοις τε καὶ κωμῳ-
δοῖς καὶ μίμων ὑποκριταῖς τὰς μεγίστας τῶν βασιλείων
πίστεων ἐνεχείρισε. τοῖς δὲ δούλοις αὐτοῦ ἢ ἀπελευθέροις,
ὡς ἔτυχεν ἑκάστοις, ἐπ' αἰσχρῷ τινι ἀδοκιμήσασι, τὰς ὑπα-
τικὰς τῶν ἐθνῶν ἐξουσίας ἐνεχείρισε. πάντων δὲ οὕτω τῶν C
πάλαι δοκούντων σεμνῶν εἰς ὕβριν καὶ παροινίαν ἐκβε-
βακχευμένων, οἵ τε ἄλλοι πάντες ἄνθρωποι, καὶ μάλιστα οἱ
στρατιῶται, ἤχθοντο καὶ ἐδυσφόρουν· ἐμυσάττοντο δὲ αὐτὸν,
ὁρῶντες τὸ μὲν πρόσωπον καλλωπιζόμενον περιεργότερον ἢ
κατὰ γυναῖκα σώφρονα, περιδεραίοις δὲ χρυσίνοις ἐσθῆσί τε
ἁπαλαῖς ἀνάνδρως κοσμούμενον, ὀρχούμενόν τε οὕτως ὡς
ὑπὸ πάντων ὁρᾶσθαι. ἐπιρρεπεστέρας τοίνυν τὰς γνώμας
πρὸς τὸν Ἀλέξανδρον εἶχον, καὶ ἐλπίδας κρείττους ἐν παι-
δὶ κοσμίως καὶ σωφρόνως ἀνατρεφομένῳ. ἐφρούρουν τε
αὐτὸν παντοίως, ὁρῶντες ἐπιβουλευόμενον ὑπὸ τοῦ Ἀντω- D
νίνου. ἥ τε μήτηρ Μαμμαία οὔτε ποτοῦ οὔτε ἐδώδιμόν τι εἴα
τὸν παῖδα προσφέρεσθαι τῶν ὑπ' ἐκείνου πεμπομένων.

ὀψοποιοῖς τε καὶ οἰνοχόοις ὁ παῖς ἐχρῆτο, οὐ τοῖς βασιλικοῖς
καὶ ἐν κοινῇ ὑπηρεσίᾳ τυγχάνουσιν, ἀλλὰ τοῖς ὑπὸ τῆς μη-
τρὸς ἐπιλεχθεῖσι, πιστοτάτοις τε εἶναι δοκοῦσιν. ἐδίδου δὲ καὶ
χρήματα λανθάνουσα διανέμεσθαι τοῖς στρατιώταις κρύ-
βδην, ὅπως αὐτῶν τὴν πρὸς τὸν Ἀλέξανδρον εὔνοιαν καὶ
διὰ χρημάτων, εἰς ἃ μάλιστα ἀποβλέπουσιν, οἰκειώσηται. ταῦ-
445 τα δὴ ὁ Ἀντωνῖνος πυνθανόμενος, παντὶ τρόπῳ ἐπεβούλευε
A τῷ Ἀλεξάνδρῳ καὶ τῇ μητρὶ αὐτοῦ· ἀλλὰ τὰς ἐπιβουλὰς πά-
σας ἀπεῖργέ τε καὶ ἐκώλυεν ἡ κοινὴ μάμμη ἀμφοτέρων
Μαισά, γυνὴ καὶ ἄλλως ἐντρεχὴς καὶ τῇ βασιλείῳ αὐ-
λῇ πολλῶν ἐτῶν ἐνδιαιτηθεῖσα, ἅτε τῆς Σεβήρου γυναικὸς
Ἰουλίας ἀδελφὴ γενομένη· καὶ τὰ πάντα σὺν αὐτῇ ἐν τοῖς
βασιλείοις διατρίψασα. οὐδὲν οὖν εἶναι αὐτὴν ἐλάνθανε
τῶν ὑπὸ τοῦ Ἀντωνίνου βουλευομένων, φύσει τε χαύνου τὸν
τρόπον ὄντος, καὶ ἀφειδῶς πάντα καὶ φανερῶς ἃ ἐβουλεύετο
λέγοντος καὶ πράττοντος. ὡς δὲ τὰ τῆς ἐπιβουλῆς αὐτῷ
οὐ προεχώρει, παραλῦσαι τῆς τοῦ Καίσαρος τιμῆς ἠθέλησε
τὸν παῖδα· καὶ οὔτε ἐν ταῖς προσαγορεύσεσιν, οὔτε ἐν ταῖς
B προόδοις Ἀλέξανδρος ἐτιμᾶτο. οἱ δὲ στρατιῶται ἐπεζήτουν
τε αὐτὸν καὶ ἠγανάκτουν, ὅτι δὴ τῆς ἀρχῆς παραλυθείη.
διεσκέδασε δὲ ὁ Ἀντωνῖνος καὶ φήμην ὡς τοῦ Ἀλεξάνδρου
τεθνήξεσθαι μέλλοντος. ἐπειρᾶτό τε ἀποπεῖραν ὅπως οἴσου-
σιν οἱ στρατιῶται τὸ θρυλλούμενον. οἱ δ᾽ ἐπεὶ μήτε τὸν παῖ-
δα ἔβλεπον, ὑπό τε τῆς φήμης τὰς ψυχὰς ἐτρώθησαν, ἀ-
γανακτήσαντες, οὔτε τὴν συνήθη φρουρὰν ἔπεμψαν τῷ
Ἀντωνίνῳ κατακλείσαντές τε αὑτοὺς ἐν τῷ στρατοπέδῳ, τὸν
Ἀλέξανδρον ἐν ἱερῷ ἠξίουν ἰδεῖν. ὁ δ᾽ Ἀντωνῖνος ἐν δέει
πολλῷ γενόμενος, παραλαβὼν τὸν Ἀλέξανδρον, συγκαθεσθεὶς
αὐτῷ ἐν τῷ βασιλικῷ φορείῳ, ὅπερ διὰ χρυσοῦ πολλοῦ καὶ
C λίθων τιμίων πεποίκιλτο, κατῆλθεν εἰς τὸ στρατόπεδον σὺν
τῷ Ἀλεξάνδρῳ. ὡς δὲ ἀνοίξαντες τὰς πύλας, ἐδέξαντο αὐ-

τούς, ἔς τε τὸν νεὼν τοῦ στρατοπέδου ἤγαγον, τὸν μὲν Ἀλέξαν-
δρον ὑπερφυῶς ἠσπάζοντό τε καὶ εὐφήμουν, τῷ δὲ Ἀντωνί-
νῳ ἀμελέστερον προσεφέροντο. ἐφ' οἷς ἐκεῖνος ἀγανακτῶν
καὶ διανυκτερεύσας ἐν τῷ ἱερῷ τοῦ στρατοπέδου, πάνυ ἤχαλ-
λε, καὶ τοῖς στρατιώταις ὠργίζετο· ἐκέλευέ τε τοὺς περι-
σήμους, καὶ ὑπερφυῶς τὸν Ἀλέξανδρον εὐφημήσαντας, τοὺς
δὲ αἰτίους δῆθεν στάσεως καὶ θορύβου, συλλαμβάνεσθαι πρὸς
τιμωρίαν. οἵ τε στρατιῶται ἐπὶ τούτῳ ἀγανακτήσαντες, ἄλ-
λως μὲν μισοῦντες τὸν Ἀντωνῖνον, καὶ ἀποσκευάσασθαι θέ-
λοντες ἀσχημονοῦντα βασιλέα, τότε δὲ καὶ τοῖς λαμβανο- D
μένοις ἐπαμύνειν δεῖν ἡγούμενοι, καιρὸν εὔκαιρον καὶ πρό-
φασιν δικαίαν νομίζοντες, τὸν μὲν Ἀντωνῖνον, αὐτόν τε καὶ
τὴν μητέρα Σοαιμίδα, (παρῆν γὰρ ὡς σεβαστή τε καὶ μήτηρ)
ἀναιροῦσι· τούς τε περὶ αὐτὸν πάντας, ὅσοι ἔνδον κατελή-
φθησαν, ὑπηρέται τε καὶ συνεργοὶ ἐδόκουν εἶναι τῶν ἁμαρ-
τημάτων. τὰ δὲ σώματα τοῦ τε Ἀντωνίνου καὶ τῆς Σοαμί-
δος παρέδοσαν σύρειν τε καὶ ἐνυβρίζειν τοῖς βουλομένοις.
ἅπερ ἐπὶ πολὺ διὰ πάσης τῆς πόλεως συρέντα τε καὶ λω-
βηθέντα, εἰς τοὺς ὀχετοὺς ἀπερρίφθη τοὺς εἰς τὸν Θύβριν πο-
ταμὸν ῥέοντας. Ἀντωνῖνος μὲν οὖν εἰς ἕκτον ἔτος ἐλάσας τῆς 446
βασιλείας, καὶ χρησάμενος τῷ προειρημένῳ βίῳ, οὕτως ἅ- A
μα τῇ μητρὶ κατέστρεψεν. οἵ τε στρατιῶται αὐτοκράτορα
τὸν Ἀλέξανδρον ἀναγορεύσαντες, εἰς τὰ βασίλεια ἀνήγα-
γον, κομιδῇ νέον καὶ πάνυ ὑπὸ τῇ μητρὶ καὶ τῇ μάμ-
μῃ παιδαγωγούμενον.

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας βιβλίον ἕκτον.

B ΟΠΟΙΩ μὲν δὴ τέλει ὁ δηλωθεὶς Ἀντωνῖνος ἐχρήσατο, ἐν τοῖς προειρημένοις δεδήλωται. παραλαβόντος δὲ τὴν ἀρχὴν Ἀλεξάνδρου, τὸ σχῆμα καὶ τὸ ὄνομα τῆς βασιλείας ἐκείνῳ περιέκειτο, ἡ μέντοι διοίκησις τῶν πραγμάτων καὶ ἡ τῆς ἀρχῆς οἰκονομία ὑπὸ ταῖς γυναιξὶ διῳκεῖτο· ἐπί τε τὸ σωφρονέστερον καὶ σεμνότερον πάντα μετάγειν ἐπειρῶντο. καὶ πρῶτον μὲν τῆς συγκλήτου βουλῆς τοὺς δοκοῦντας καὶ ἡλικίᾳ σεμνοτάτους
C καὶ βίῳ σωφρονεστάτους, ἑκκαίδεκα ἐπελέξαντο, συνέδρους εἶναι καὶ συμβούλους τοῦ βασιλέως. οὐδέ τι ἐλέγετο ἢ ἐπράττετο εἰ μὴ κἀκεῖνοι αὐτὸ ἐπικρίναντες, σύμψηφοι ἐγένοντο. ἤρεσκέ τε τῷ δήμῳ καὶ τοῖς στρατοπέδοις, ἀλλὰ καὶ τῇ συγκλήτῳ βουλῇ, τὸ σχῆμα τῆς βασιλείας, ἐκ τυραννίδος ἐφυβρίστου, εἰς ἀριστοκρατίας τύπον μετενεχθείσης. πρῶτον μὲν οὖν τὰ ἀγάλματα τῶν θεῶν, ἅπερ ἔτυχεν ἐκεῖνος κινήσας καὶ μεταγαγών, ἔπεμψαν εἰς τοὺς ἀρχαίους καὶ ἰδίους ναούς τε καὶ σηκούς. τούς τε ὑπ᾽ ἐκείνου ἀλόγως ἢ ἐφ᾽ οἷς εὐδοκιμήκεσαν ἁμαρτήμασιν, εἰς τιμὰς καὶ ἐξουσίας προαχθέντας, τῶν δοθέντων ἀφείλοντο, ἑκάστους κελεύσαντες εἰς τὴν προτέραν αὖ τῶν ἐπανιέναι τῆς ἀξίας αἵρεσιν. τάς τε
D πράξεις ἁπάσας καὶ τὰς διοικήσεις, τὰς μὲν πολιτικὰς καὶ ἀγοραίους, ἐνεχείρισαν τοῖς ἐπὶ λόγοις εὐδοκιμωτάτοις καὶ νόμων ἐμπείροις· τάς τε στρατιωτικὰς τοῖς ἐξετασθεῖσί τε

καὶ εὐδοκιμήσασιν ἐν ἀστικοῖς τε καὶ πολεμικαῖς πρά-
ξεσιν. ἐπὶ πολὺ δὴ οὕτω τῆς ἀρχῆς διοικουμένης, ἡ μὲν
Μαισὰ πρεσβῦτις ἤδη οὖσα ἀνεπαύσατο τοῦ βίου· ἔτυχέ τε
βασιλικῶν τιμῶν, καὶ ὡς νομίζουσι Ῥωμαῖοι, ἐξεθειάσθη. ἡ δὲ
Μαμμαία μόνη τῷ παιδὶ καταλειφθεῖσα, ὁμοίως αὐτοῦ
ἄρχειν τε καὶ κρατεῖν ἐπειρᾶτο. ἤδη τε ὁρῶσα ἐν ἀρχῇ τὸν 447
νεανίαν γινόμενον, καὶ δεδοικυῖα μὴ ἄρα ἡλικία ἀκμά- A
ζουσα, ὑπηρετούσης ἀδείας τε καὶ ἐξουσίας, εἴς τι τῶν γε-
νικῶν ἁμαρτημάτων ἐξοκείλῃ, πανταχόθεν ἐφρούρει τὴν
αὐλήν· οὐδὲ εἴα προσιέναι τῷ μειρακίῳ τῶν ἐπὶ
φαύλῳ βίῳ διαβεβλημένων, μή πως τὸ ἦθος διαφθαρείη,
προκαλεσαμένων αὐτοῦ τῶν κολάκων τὰς ὀρέξεις ἀκμα-
ζούσας εἰς αἰσχρὰς ἐπιθυμίας. δικάζειν τε οὖν αὐτὸν ἔπειθε
συνεχέστατα καὶ ἐπὶ πλεῖστον τῆς ἡμέρας, ὡς ἂν ἀσχολούμε-
νος περὶ τὰ κρείττονα καὶ τῇ βασιλείᾳ ἀναγκαῖα, μὴ ἔ-
χοι καιρὸν εἰς τὸ ἐπιτηδεύειν τι τῶν ἁμαρτημάτων. ὑπῆρ-
χε δέ τι καὶ φυσικὸν ἦθος πρᾶον καὶ ἥμερον τῷ Ἀλεξάν- B
δρῳ, εἴς τε τὸ φιλάνθρωπον πάνυ ἐπιρρεπές, ὡς ἐδήλωσε καὶ
τῆς ἡλικίας προχωρούσης. εἰς τεσσαρεσκαιδέκατον γοῦν
ἐλάσας τῆς βασιλείας ἔτος, ἀναιμωτὶ ἦρξεν· οὐδέ τις εἰ-
πεῖν ἔχει ὑπ' ἐκείνου φονευθέντα. καίτοι τινῶν μεγίσταις
αἰτίαις ὑποπεσόντων, ὅμως ἐφείσατο ὡς μὴ φονεῦσαι· οὐ
ῥᾳδίως τοῦτο ἄλλου βασιλέως τῶν καθ' ἡμᾶς ποιήσαντος
ἢ διαφυλάξαντος μετὰ τὴν Μάρκου ἀρχήν. ὑπ' Ἀλε-
ξάνδρου δὴ οὐκ ἄν τις εἰπεῖν ἔχοι ἢ μνημονεῦσαι, ὃν ἐπὶ
τοσούτοις ἀκρίτως φονευθέντα. ᾐτιᾶτο δὲ καὶ τὴν μητέ- C
ρα, καὶ πάνυ ἤσχαλλεν, ὁρῶν αὐτὴν οὖσαν φιλοχρήματον,
καὶ περὶ τοῦτο ὑπερφυῶς ἐσπουδακυῖαν. προσποιουμένη γὰρ
ἀθροίζειν αὐτὰ ἵνα ἔχοι τοῖς στρατιώταις ἀφθόνως καὶ ῥα-
δίως ὁ Ἀλέξανδρος χαρίζεσθαι, ἰδίᾳ ἐθησαύριζε· καὶ διέ-
βαλλεν ἔσθ' ὅπῃ τοῦτο τὴν ἀρχὴν αὐτοῦ, ἄκοντός τε καὶ ἀ-

χάλλοντος, οὐσίας ξένων καὶ κληρονομίας ἐξ ἐπηρείας ὑ-
D φαρπασάσης ἐκείνης. ἠγάγετο δὲ αὐτῷ καὶ γυναῖκα τῶν
εὐπατριδῶν· ἣν συνοικοῦσαν καὶ ἀγαπωμένην, μετὰ ταῦ-
τα τῶν βασιλείων ἐδίωξεν, ἐνυβρίζουσά τε καὶ βασίλισσα
εἶναι θέλουσα μόνη. φθονοῦσά τε τῆς προσηγορίας ἐκείνῃ,
εἰς τοσοῦτον προεχώρησεν ὕβρεως ὡς τὸν πατέρα τῆς κό-
ρης, καίτοι ὑπ' Ἀλεξάνδρου γαμβροῦ ὄντος πάνυ τιμώ-
μενον, μὴ φέροντα τὴν Μαμμαίαν ἐνυβρίζουσαν αὐτῷ τε
καὶ τῇ θυγατρὶ αὐτοῦ, φυγεῖν εἰς τὸ στρατόπεδον, τῷ μὲν Α-
448 λεξάνδρῳ χάριν εἰδότα, ἐφ' οἷς ἐτιμᾶτο, τὴν δὲ Μαμμαίαν
A αἰτιώμενον ἐφ' οἷς ὑβρίζετο. ἐκείνη δὲ ἀγανακτήσασα,
αὐτόν τε ἀναιρεθῆναι ἐκέλευσε, καὶ τὴν κόρην ἐκβληθεῖ-
σαν τῶν βασιλείων, εἰς Λιβύην ἐφυγάδευσε. ταῦτα δὲ ἐ-
πράττετο ἄκοντός τε καὶ ἀναγκαζομένου τοῦ Ἀλεξάνδρου.
ἦρχε γὰρ αὐτοῦ καὶ ὑπερβαλλόντως ἡ μήτηρ, καὶ πᾶν τὸ κε-
λευόμενον ἐκεῖνος ἐποίει. τοῦτο δὴ αὖ τις μόνον ἔχει ἐγκα-
λέσαι αὐτῷ, ὅτι δὴ ὑπὸ περιττῆς πρᾳότητος καὶ αἰδοῦς
πλείονος ἢ ἐχρῆν, τῇ μητρὶ ἐν οἷς ἀπηρέσκετο, ὅμως ἐπεί-
θετο. ἔτη μὲν οὖν τρισκαίδεκα οὕτως, ὅσον ἐπ' αὐτῷ, τὴν
B βασιλείαν ἀμέμπτως διῴκησε. τῷ δὲ τεσσαρεσκαιδεκάτῳ
ἔτει, αἰφνιδίως ἐκομίσθη γράμματα τῶν κατὰ Συρίαν τε καὶ
Μεσοποταμίαν ἡγεμόνων, δηλοῦντα ὅτι Ἀρταξέρξης ὁ
Περσῶν βασιλεύς, μετὰ τὸ Παρθυαίους καθελεῖν, καὶ τῆς
κατὰ τὴν ἀνατολὴν ἀρχῆς παραλῦσαι, Ἀρτάβανόν τε τὸν
πρότερον καλούμενον τὸν μέγαν βασιλέα καὶ δυσὶ διαδή-
μασι χρώμενον, ἀποκτεῖναι· πάντα τε τὰ πρόσοικα βάρβα-
ρα χειρωσάμενος, καὶ εἰς φόρου συντέλειαν ὑπαγαγόμενος, οὐχ
ἡσυχάζει, οὐδ' ἐντὸς Τίγριδος ποταμοῦ μένει, ἀλλὰ τὰς
ὄχθας ὑπερβαίνων καὶ τοὺς τῆς Ῥωμαίων ἀρχῆς ὅρους, Με-
σοποταμίαν τε κατατρέχει, καὶ Σύροις ἀπειλεῖ. πᾶσάν
C τε τὴν ἀντικειμένην ἤπειρον Εὐρώπῃ καὶ διαιρουμένην

Αἰγαίῳ τε καὶ τῷ πορθμῷ τῆς Προποντίδος, Ἀσίαν τε πᾶ-
σαν καλουμένην, προγονικὸν κτῆμα ἡγούμενος, τῇ Περ-
σῶν ἀρχῇ ἀνακτήσασθαι βούλεται, φάσκων ἀπὸ Κύρου
τοῦ πρώτου τὴν ἀρχὴν ἐκ Μήδων εἰς Πέρσας μεταστή-
σαντος, μέχρι Δαρείου τοῦ τελευταίου Περσῶν βασιλέως,
οὗ τὴν ἀρχὴν Ἀλέξανδρος ὁ Μακεδὼν καθεῖλε, πάντα
μέχρις Ἰωνίας καὶ Καρίας ὑπὸ σατράπαις Περσικοῖς
διῳκῆσθαι. προσήκειν οὖν αὐτῷ Πέρσαις ἀνανεώσασθαι
πᾶσαν ὁλόκληρον τὴν πρότερον οὖσαν ἀρχήν. τοιαῦτα τοί-
νυν δηλωσάντων καὶ ἐπιστειλάντων τῶν ὑπὸ ταῖς ἀνατο-
λαῖς ἡγεμόνων, πρὸς τὴν αἰφνίδιον καὶ παρ' ἐλπίδα κο-
μισθεῖσαν ἀγγελίαν οὐ μετρίως ὁ Ἀλέξανδρος ἐταρά- D
χθη, καὶ μάλιστα εἰρήνῃ ἐκ παίδων ἐντραφεὶς, καὶ τῇ
κατὰ τὴν πόλιν ἀεὶ σχολάσας τρυφῇ. τὰ μὲν οὖν πρῶ-
τα ἔδοξεν αὐτῷ κοινωσαμένῳ τοῖς φίλοις, πρεσβείαν πέμ-
ψαι καὶ διὰ γραμμάτων κωλῦσαι τὴν ὁρμὴν καὶ ἐλπί-
δα τοῦ βαρβάρου. ἔλεγε δὲ τὰ γράμματα, δεῖν μένειν τε
αὐτὸν ἐν τοῖς τῶν ἰδίων ὅροις, καὶ μὴ καινοτομεῖν, μηδὲ
ματαίαις ἐλπίσιν αἰωρούμενον, μέγαν ἐγείρειν πόλεμον·
ἀγαπητῶς δὲ ἔχειν ἕκαστον τὰ αὐτοῦ. μηδὲ γὰρ ὁμοίαν ἔσε-
σθαι μάχην αὐτῷ πρὸς Ῥωμαίους εἶναι ἢ πρὸς τοὺς γεί- 449
τνιῶντας καὶ ὁμοφύλους βαρβάρους. ὑπεμίμνησκε δὲ τὰ A
γράμματα τῶν τε τοῦ Σεβαστοῦ καὶ τοῦ Τραϊανοῦ, Λευκίου τε
καὶ Σεβήρου κατ' αὐτῶν τροπαίων. τοιαῦτα μὲν δὴ ξένα ὁ
Ἀλέξανδρος ἐπιστείλας, ᾤετο πείσειν ἢ φοβήσειν εἰς τὸ ἡσυ-
χάζειν τὸν βάρβαρον. ὁ δ' οὐδέν τι φροντίζων τῶν ἐπισταλ-
μένων, ὅπλοις ἀλλ' οὐ λόγοις οἰόμενος δεῖν τὰ πράγματα
διοικεῖσθαι, ἐνέκειτο, ἄγων καὶ φέρων τὰ Ῥωμαίων ἅπαντα.
κατατρέχων τε καὶ καθιππεύων Μεσοποταμίαν, λείας τε
ἀπήλαυνε καὶ τὰ ἐπικείμενα στρατόπεδα ταῖς ὄχθαις τῶν
ποταμῶν, προασπίζοντα τῆς Ῥωμαίων ἀρχῆς, ἐπολιόρκει.

B φύσει δὲ ὢν ἀλαζὼν καὶ ταῖς παρ' ἐλπίδας ἀνδραγαθίαις
ἐπηρμένος, πάντα ῥᾳδίως χειρώσασθαι προσεδόκα. ἦγε δὲ
αὐτὸν τὰ ἀναπείθοντα οὐ μικρὰ εἰς ἐπιθυμίαν ἀρχῆς μεί-
ζονος. πρῶτος γὰρ ἐτόλμησε τῇ Παρθυαίων ἀρχῇ ἐπιθέσθαι,
Πέρσαις τε τὴν βασιλείαν ἀνανεώσασθαι. μετὰ γὰρ Δαρεῖον τὸν
ὑπ' Ἀλεξάνδρου τοῦ Μακεδόνος τῆς ἀρχῆς παραλυθέν-
τα, παμπλείστοις ἐν ἔτεσι Μακεδόνες μὲν καὶ οἱ Ἀλεξάν-
δρου διάδοχοι, τῶν ὑπὸ ταῖς ἀνατολαῖς ἐθνῶν καὶ κατ'
Ἀσίαν ἅπασαν νεμόμενοι, κατὰ χώρας ἐβασίλευσαν. ἐκεί-
C νων δὲ πρὸς ἀλλήλους διαφερομένων, πολέμοις τε συνεχέσι
τῆς Μακεδόνων δυνάμεως ἐξασθενούσης, πρῶτος Ἀρ-
σάκης λέγεται, τὸ γένος Παρθυαῖος, ἀναπεῖσαι τοὺς ἐπέκει-
να βαρβάρους ἀποστῆναι Μακεδόνων. περιθέμενός τε τὸ
διάδημα ἑκόντων Παρθυαίων καὶ τῶν περιχώρων βαρ-
βάρων, αὐτός τε ἐβασίλευσε, καὶ τοῖς ἐξ ἐκείνου γένους
ἐπὶ πλεῖστον παρέμεινεν ἡ ἀρχή, μέχρις Ἀρταβάνου τοῦ καθ'
ἡμᾶς γενομένου, ὃν Ἀρταξέρξης ἀποκτείνας, Πέρσαις τὴν
ἀρχὴν ἀνεκτήσατο· τά τε γειτνιῶντα ἔθνη βάρβαρα χειρω-
σάμενος, ῥᾳδίως ἤδη καὶ τῇ Ῥωμαίων ἀρχῇ ἐπεβούλευ-
σεν. ὡς δὲ τῷ Ἀλεξάνδρῳ ἐδηλώθη διατρίβοντι ἐν τῇ Ῥώ-
μῃ, τὰ κατὰ τὰς ἀνατολὰς ὑπὸ τοῦ βαρβάρου τολμώμενα,
D οὐκ ἀνεκτὰ ἡγούμενος, καλούντων δὲ αὐτὸν καὶ τῶν ἐκεῖσε
ἡγεμόνων, ἀσχάλλων μὲν, καὶ παρὰ γνώμην, ὅμως δὲ ἔγνω
περὶ ἐξόδου. ἔκ τε οὖν αὐτῆς Ἰταλίας καὶ τῶν ὑπὸ Ῥω-
μαίοις πάντων ἐθνῶν λογάδες ἐς τὴν στρατιὰν ἠθροίζοντο,
ὅσοι σώματος δεξιᾷ καὶ ἡλικίας ἀκμῇ, ἐς μάχην ἐπι-
τήδειοι ἐνομίζοντο. κίνησίς τε μεγίστη πᾶσι τῆς ὑπὸ Ῥω-
μαίοις ἐγένετο δυνάμεως, ἰσορρόπου ἀθροιζομένης πρὸς
τὸ ἀγγελλόμενον τῶν ἐπιτρεχόντων βαρβάρων πλῆθος. ὁ
450 δὲ Ἀλέξανδρος ἀθροίσας τοὺς ἐν Ῥώμῃ στρατιώτας, συνελ-
A θεῖν τε πάντας κελεύσας ἐς τὸ συνήθες πεδίον, ἐπὶ βή-

ματος ἀνελθὼν, ἔλεξε τοιάδε,

Ἐβουλόμην μὲν ὦ ἄνδρες συστρατιῶται, τοὺς συνήθεις πρὸς ὑμᾶς ποιεῖσθαι λόγους, δι' ὧν αὐτός τε ἐκοσμούμην δημηγορῶν, ὑμᾶς τε ἀκούοντας εὔφραινον. εἰρήνης γὰρ πολυετοῦς ἀπολαύσαντες, εἴ τι καινὸν νῦν ἀκούοιτε, ἴσως ἂν ὡς παρ' ἐλπίδα λεχθέντι ἐκπλαγείητε. χρὴ δὲ ἄνδρας γενναίους τε καὶ σώφρονας εὔχεσθαι μὲν ὑπάρχειν τὰ βέλτιστα, φέρειν δὲ τὰ προσπίπτοντα. τῶν μὲν γὰρ δι' ἡδονῆς πραττομένων ἡ ἀπόλαυσις γλυκεῖα· τῶν δὲ ἐξ ἀνάγκης κατορθουμένων, ἔνδοξος ἡ ἀνδρεία. καὶ τὸ μὲν ἄρχειν ἀδί- B
κων ἔργων, οὐκ ἀγνώμονα ἔχει τὴν πρόκλησιν· τὸ δὲ τοὺς ἐνοχλοῦντας ἀποσείεσθαι, ἔκ τε τῆς ἀγαθῆς συνειδήσεως ἔχει τὸ θαρραλέον, καὶ ἐκ τοῦ μὴ ἀδικεῖν ἀλλ' ἀμύνασθαι, ὑπάρχει τὸ εὔελπι. Ἀρταξέρξης ἀνὴρ Πέρσης, τὸν ἑαυτοῦ δεσπότην Ἀρτάβανον ἀποκτείνας, τήν τ' ἀρχὴν εἰς Πέρσας μεταστήσας, ἀλλὰ καὶ τῶν ὑμετέρων ὅπλων καταθαρρήσας καὶ τῆς Ῥωμαίων δόξης καταφρονήσας, πειρᾶται κατατρέχειν καὶ λυμαίνεσθαι τὰ τῆς ὑμετέρας ἀρχῆς κτήματα. τοῦτον ἐπειράθην, τὸ μὲν πρῶτον γράμμασι καὶ πειθοῖ παῦσαι τῆς ἀπλήστου μανίας καὶ τῆς ἀλλοτρίων ἐπιθυμίας· ὁ δὲ βαρβάρων φερόμενος ἀλαζονείᾳ, οὔτε μένειν οἴκοι βούλεται, προκαλεῖταί τε ἡμᾶς εἰς μάχην. μὴ δὴ μέλλωμεν, μηδὲ ὀκνῶμεν· ἀλλ' οἱ μὲν πρεσβύτεροι ὑμῶν, ὑπο- C
μνήσατε ἑαυτοὺς τροπαίων ἃ μετὰ Σεβήρου καὶ Ἀντωνίνου τοῦ ἐμοῦ πατρὸς ἠγείρατε πολλάκις κατὰ βαρβάρων· οἱ δ' ἐν ἀκμῇ ὄντες, δόξης καὶ κλέους ἐπιθυμήσατε, δείξαντες ὅτι ἄρα καὶ εἰρήνην ἄγειν πρᾴως καὶ μετ' αἰδοῦς ἐπίστασθε, καὶ τὰ πολεμικά, τῆς χρείας ἀπαιτούσης, γενναίως κατορθοῦτε. τὸ δὲ βάρβαρον πρὸς μὲν τὰ ὑπείκοντα καὶ ὀκνοῦντα θρασύνεται, τοῖς δ' ἀντιπίπτουσι οὐκέθ' ὁμοίως ἀντέ- D
χει. ἐπεὶ μὴ ἐκ συστάσεως αὐτοῖς ἡ μάχη κατὰ τῶν ἀντιπα-

λων ὑπισχνεῖται τὸ εὔελπι, ἀλλ' ἐξ ἐπιδρομῆς ἢ φυγῆς
κερδαίνειν νομίζουσιν ὅπερ ἂν σχῶσι δι' ἁρπαγῆς. ἡμῖν τε καὶ
τὸ εὔτακτον ἅμα τῷ κοσμίῳ ὑπάρχει, καὶ νικᾶν αὐτοὺς
ἀεὶ δεδιδάγμεθα. Τοιαῦτά τινα εἰπόντα τὸν Ἀλέξαν-
δρον πᾶς ὁ στρατὸς εὐφήμησε, προθυμίαν τε πᾶσαν ἐς
τὸ πολεμεῖν ὑπισχνεῖτο. ὁ δὲ ἐπιδοὺς αὐτοῖς χρήματα
μεγαλοφρόνως, ὅπη ἐπιζεῦθαι τὰ πρὸς τὴν ἔξοδον ἐκέ-
451 λευσε. κατελθών τε εἰς τὴν σύγκλητον βουλὴν, καὶ τοῖς προ-
A ειρημένοις ὅμοια διαλεχθεὶς, ἐπήγγειλε τὴν ἔξοδον. κα-
ταλαβούσης δὲ τῆς ὡρισμένης ἡμέρας, θύσας τὰς ἐπὶ ταῖς
ἐξόδοις νενομισμένας ἱερουργίας, παραπεμφθείς τε ὑπὸ
τῆς συγκλήτου καὶ παντὸς τοῦ δήμου, τῆς Ῥώμης ἀπῄει, ἐπι-
στρεφόμενος ἀεὶ πρὸς τὴν πόλιν καὶ δακρύων. ἀλλ' οὐδὲ
τῶν δημοτῶν ἦν τις ὃς ἀδακρυτὶ παρέπεμπεν αὐτόν. πόθον
γὰρ ἑαυτοῦ τῷ πλήθει ἐμπεποιήκει, ἀνατραφείς τε ὑπ' αὐτοῖς
καὶ μετρίως ἄρξας τοσούτων ἐτῶν. μετὰ πολλῆς δὲ σπουδῆς
ποιησάμενος τὴν πορείαν, τά τε Ἰλλυρικὰ ἔθνη καὶ στρατό-
πεδα ἐπελθὼν, πλείστην τε δύναμιν κἀκεῖθεν ἀθροίσας,
B εἰς τὴν Ἀντιόχειαν ἀφίκετο. ἐκεῖ δὲ γενόμενος, τὰ πρὸς
τὸν πόλεμον ἐξήρτυε, γυμνάζων τε τοὺς στρατιώτας καὶ τὰ
πολεμικὰ ἀσκῶν. ἔδοξε δὲ αὐτῷ πρεσβείαν πάλιν πέμψαι
πρὸς τὸν Πέρσην, καὶ περὶ εἰρήνης καὶ φιλίας διαλέγεσθαι.
ἤλπιζε γὰρ αὐτὸν πείσειν ἢ φοβήσειν, αὐτὸς παρών. ὁ δὲ βάρ-
βαρος τοὺς μὲν πρέσβεις τῶν Ῥωμαίων ἀπέπεμψεν ἀπρά-
κτους, αὐτὸς δὲ ἐπιλεξάμενος τετρακοσίους Περσῶν τοὺς με-
γίστους, ἐσθῆσί τε πολυτελέσι καὶ χρυσῷ κεκοσμημένους, ἵπποις
C τε καὶ τόξων παρασκευῇ, πρέσβεις ἔπεμψε δὴ πρὸς τὸν
Ἀλέξανδρον, καταπλήξειν οἰηθεὶς τοὺς Ῥωμαίους τῇ τε ὄψει
καὶ τῷ σχήματι τῶν Περσῶν. ἔλεγε δὲ ἡ πρεσβεία ὅτι δὴ
κελεύει μέγας βασιλεὺς Ἀρταξέρξης ἀφίστασθαι Ῥωμαίους
τε καὶ τὸν ἄρχοντα αὐτῶν, Συρίας τε ἁπάσης, Ἀσίας τε

τῆς Εὐρώπῃ ἀντικειμένης· ἐᾶσαι δὲ ἀρχὴν Πέρσαις μέχρις Ἰωνίας τε καὶ Καρίας, καὶ ὅσα Αἰγαίῳ καὶ Πόντῳ ἔθνη διαιρεῖται. εἶναι γὰρ αὐτὰ Περσῶν προγονικὰ κτήματα. τοιαῦτά τινα τῶν τετρακοσίων πρέσβεων ἀπαγγειλάντων, κελεύει ὁ Ἀλέξανδρος τοὺς τετρακοσίους συλληφθῆναι καὶ παρελόμενος πάσης τῆς περικειμένης σκευῆς, εἰς Φρυγίαν ἐξέπεμψε, δοὺς κώμας τε οἰκεῖν, καὶ χώραν γεωργεῖν· το- D
σαύτην αὐτοῖς ἐπιθεὶς τιμωρίαν, ὡς οἴκαδε μὴ ἐπανελθεῖν. ἀποκτεῖναι γὰρ ἀνόσιον καὶ οὐ πάνυ ἀνδρεῖον ἡγήσατο, μήτε μαχομένους, καὶ τὰ κελευσθέντα ὑπὸ τοῦ ἑαυτῶν δεσπότου ἀγγείλαντας. τούτων δὴ οὕτω πραττομένων, παρασκευαζομένου τε τοῦ Ἀλεξάνδρου καὶ διαβῆναι τοὺς ποταμοὺς, ἐς τε τὴν βάρβαρον γῆν τὸν στρατὸν διαγαγεῖν, ἐγένοντό τινες καὶ ἀποστάσεις στρατιωτῶν ἀπό τε Αἰγύπτου ἐληλυθότων, ἀλλὰ μὴν καὶ τῶν κατὰ Συρίαν καινοτομῆσαί τινα ἐπιχειρησάντων περὶ τὴν βασιλείαν· οἳ ταχέως φωραθέντες, ἐκολάσθησαν. ἀλλὰ καὶ τινα τῶν 452
στρατοπέδων μετέστησεν ὁ Ἀλέξανδρος εἰς ἕτερα χωρία, A
ἐπιτηδειότερα δοκοῦντα εἶναι πρὸς τὸ κωλύειν τὰς τῶν βαρβάρων ἐπιδρομάς. τούτων δὴ αὐτῷ διοικηθέντων, τῆς τε στρατιᾶς παμπληθοῦς συνειλεγμένης, ὅτε δὴ ἀντίπαλα καὶ ἰσόρροπα ᾠήθη εἶναι τὰ ἑαυτοῦ στρατεύματα τῷ πλήθει τῶν βαρβάρων, σκεψάμενος σὺν τοῖς φίλοις, ἔνειμε τὸ στρατιωτικὸν εἰς τρεῖς μοίρας· καὶ τὴν μὲν μίαν ἐκέλευσε πρὸς τὰ ἀρκτῷα μέρη ἀφορῶσαν, δι' Ἀρμενίας ἐπελθοῦσαν, φιλίου Ῥωμαίοις δοκούσης, κατατρέχειν τὴν Μήδων χώραν· τὴν δὲ ἑτέραν ἔπεμψε πρὸς τὰ ἀρκτῷα μέρη τῆς βαρβάρου γῆς βλέπουσαν (ἔνθα συρρέοντας τὸν Τίγρητα καὶ τὸν Εὐφράτην ἕλη πυκνότατα ὑποδέχεσθαι B
λέγουσι, καὶ λανθάνειν ποταμῶν ἐκείνων μόνων διὰ τοῦτο τὰς ἐκβολάς.) τὴν δὲ τρίτην μοῖραν καὶ γενναιοτάτην τοῦ

στρατοῦ αὐτὸς ἔχων, ὑπέσχετο ἐπάξειν τοῖς βαρβάροις κατὰ
μέσην τὴν πορείαν. οὕτω γὰρ ᾤετο διαφόροις ἐφόδοις ἀφυ-
λάκτως τε καὶ ἀπροόπτως αὐτοῖς ἐπελεύσεσθαι· καὶ τὸ πλῆ-
θος τῶν Περσῶν ἀεὶ πρὸς τοὺς ἐπιόντας διαιρούμενον, ἀ-
σθενέστερόν τε ἔσεσθαι, καὶ ἀτακτότερον μαχεῖσθαι. οὐ γὰρ δὴ
μισθοφόροις χρῶνται στρατιώταις οἱ βάρβαροι, ὥσπερ Ῥω-
C μαῖοι, οὐδὲ στρατόπεδα ἔχουσι συνεστῶτα καὶ μένοντα, πο-
λέμου τέχναις ἐγγεγυμνασμένα, ἀλλὰ πᾶν τὸ πλῆθος τῶν
ἀνδρῶν, ἔσθ᾽ ὅπη καὶ τῶν γυναικῶν, ἐπὰν κελεύσῃ βασι-
λεὺς, ἀθροίζεται· διαλυθέντος δὲ τοῦ πολέμου, ἕκαστος εἰς τὰ
ἑαυτοῦ ἐπανέρχεται, τοσοῦτον ἀποκερδήσας ὅσα ἂν ἐξ
ἁρπαγῆς αὐτῷ περιγένηται. τόξοις τε καὶ ἵπποις οὐκ εἰς
τὸ πολεμεῖν μόνον χρῶνται, ὥσπερ Ῥωμαῖοι, ἀλλ᾽ ἐκ παί-
δων σὺν αὐτοῖς ἀναστρέφονται, καὶ θηρῶντες διαιτῶνται,
οὔτε τὰς φαρέτρας ποτὲ ἀποτιθέμενοι, οὔτε τῶν ἵππων ἀπο-
βαίνοντες, ἀεὶ δὲ αὐτοῖς χρώμενοι ἢ κατὰ πολεμίων ἢ κατὰ θη-
D ρίων. Ἀλέξανδρος μὲν οὖν, ὡς ᾤετο, ἄριστα βεβούλευτο·
ἔσφηλε δὲ αὐτοῦ τὴν γνώμην ἡ τύχη. τὸ μὲν γὰρ πεμφθὲν δι᾽
Ἀρμενίας στρατιωτικὸν, μόλις καὶ χαλεπῶς ὑπερβαλὸν τὰ
τῆς χώρας ὄρη τραχύτατά τε ὄντα καὶ κρημνωδέστατα,
πλὴν ἐπὶ θέρους ὄντος, ἀνεκτὴν εἶχε τὴν πορείαν, ἐμβαλὸν
εἰς τὴν Μήδων χώραν, ἐπόρθει τε αὐτὴν καὶ πολλὰς ἐνέ-
πρησε κώμας, λείαν τε ἀπήγαγεν. ὁ δὲ Πέρσης μαθὼν, ἐ-
τιμώρει κατὰ δύναμιν, ἀπείργειν δὲ τοὺς Ῥωμαίους οὐ πάνυ τι
ἐδύνατο. τραχεῖα γὰρ οὖσα ἡ χώρα, τοῖς μὲν πεζοῖς καὶ τὴν
453 βάσιν εὐπαγῆ καὶ τὴν πορείαν εὐμαρῆ παρεῖχεν· οἱ δ᾽ ἵπ-
A ποι τῶν βαρβάρων, ὑπὸ τῆς τῶν ὀρῶν τραχύτητος, ὁμοῦ
καὶ πρὸς δρόμον ἐπείχετο, καὶ καθιππεύειν ἢ ἐπιέναι ἐ-
κωλύετο. ἧκον δέ τινες ἀγγέλλοντες τῷ Πέρσῃ, ὡς ἄρα φαί-
νοιτο Ῥωμαίων στρατὸς ἕτερος, ἐν τοῖς ἑῴοις μέρεσι Παρ-
θυαίων, τά τε πεδία κατατρέχουσι. διόπερ φοβηθεὶς ἐκεῖνα,

μὴ τὰ ἐν Πάρθοις ῥαδίως λυμηνάμενοι, εἰς Πέρσας ἐμβάλωσι, καταλιπὼν τινα δύναμιν ὅσην αὐτάρκη ᾤετο ῥύεσθαι Μηδίαν, αὐτὸς σὺν παντὶ τῷ στρατῷ εἰς τὰ ἑῷα μέρη ἠπείγετο. ὁ δὲ τῶν Ῥωμαίων στρατιὰ τὴν πορείαν ἀμελέστερον ἐποιεῖτο, μήτε τινὸς φαινομένου μήτε ἀνθεστῶτος· ἤλπιζέ τε τὸν Ἀλέξανδρον σὺν τῇ τρίτῃ μοίρᾳ γενναιοτάτῃ οὔσῃ καὶ μεγίστῃ εἰς μέσους ἐμβεβληκέναι τοῖς βαρβάροις, κἀκείνους ἀνθελκομένους ἀεὶ πρὸς τὸ ἐνοχλοῦν, σχολαιτέραν αὐτοῖς καὶ ἀδεεστέραν παρέξειν τὴν ἔφοδον. προείρητο γὰρ πᾶσι τοῖς στρατοῖς ὑπερτρέχειν, καὶ τόπος ὥριστο εἰς ὃν καὶ ὅπου συνελθεῖν ἔδει πάντα τὰ ἐμπίπτοντα, καὶ ἐν μέσῳ χειρουμένους. ἔσφηλε δὲ αὐτοὺς ὁ Ἀλέξανδρος, μήτε εἰσαγαγὼν τὸν στρατὸν, μήτε εἰσελθὼν, ἢ διὰ δέος, ἵνα μὴ δὴ αὐτὸς κινδυνεύσοι ψυχῇ καὶ σώματι ὑπὲρ τῆς Ῥωμαίων ἀρχῆς, ἢ τῆς μητρὸς ἐπισχούσης γυναικείᾳ δειλίᾳ καὶ ὑπερβαλλούσῃ φιλοτεκνίᾳ. ἤμβλυνε γὰρ αὐτοῦ τὰς πρὸς ἀνδρείαν ὁρμὰς, πείθουσα δεῖν ἄλλους ὑπὲρ αὐτοῦ κινδυνεύειν, ἀλλὰ μὴ αὐτὸν παρατάττεσθαι· ὅπερ τὸν εἰσελθόντα Ῥωμαίων στρατὸν ἀπώλεσεν. ὁ γὰρ Πέρσης σὺν πάσῃ τῇ δυνάμει ἐπελθὼν, οὐ προσδοκῶντος τοῦ στρατοῦ, ἐκπεριελθὼν, καὶ ὥσπερ σαγηνεύσας, πανταχόθεν τε τοξεύων, διέφθειρε τὴν δύναμιν τῶν Ῥωμαίων, ὀλίγων τε πρὸς πολλοὺς ἀνθίστασθαι μὴ δυναμένων, καὶ ἀεὶ τὰ γυμνὰ ἑαυτῶν, εἰς ἃ ἐτοξεύοντο, φραττόντων τοῖς ὅπλοις. ῥύεσθαι γὰρ αὐτοῖς τὰ σώματα, οὐ μάχεσθαι, ἀγαπητὸν ἦν. ἔς τε δὴ πάντες ἐς τὸ αὐτὸ συναλισθέντες, καὶ τῇ τῶν ἀσπίδων προβολῇ ὥσπερ τειχίσαντες, ἀπεμάχοντο ἐν σχήματι πολιορκίας, βαλλόμενοι πανταχόθεν καὶ τιτρωσκόμενοι, ἀντισχόντες εἰς ὅσον ἐνεδέχετο ἀνδρείως, τὸ τελευταῖον πάντες διεφθάρησαν. μεγίστη τε αὕτη συμφορὰ, καὶ οὐ ῥαδίως μνημονευθεῖσα Ῥωμαίους ἐπέσχε, δυνάμεως μεγίστης διαφθαρείσης, γνώμῃ καὶ ῥώ-

454 μὴ μηδεμιᾶς τῶν ἀρχαίων ἀποδεούσης. τόν τε Πέρσην εἰς
A ἐλπίδα μειζόνων πραγμάτων ἐτύφωσε τηλικούτων ἔρ-
γων ἀπραγία. ὡς δὲ τοῦτο τῷ Ἀλεξάνδρῳ ἐδηλώθη χα-
λεπῶς νοσοῦντι εἴτε διὰ δυσθυμίαν, εἴτε διὰ τὴν τοῦ ἀέρος ἀή-
θειαν, αὐτός τε διαφόρως ἐνόσει, καὶ ὁ λοιπὸς στρατὸς ἠγανά-
κτησε πρὸς τὸν Ἀλέξανδρον, καὶ ἐχαλέπαινεν, ὅτι δὴ ψευ-
σαμένου αὐτοῦ, καὶ μὴ τηρήσαντος τὰ συνθήματα, προ-
δοθείη ὁ εἰσελθὼν στρατός. πλὴν ὁ Ἀλέξανδρος μήτε τὴν
νόσον φέρων μήτε τὸ πνιγῶδες τοῦ ἀέρος τοῦ τε στρατοῦ παντὸς
νοσοῦντος, καὶ μάλιστα τῶν Ἰλλυρικῶν στρατιωτῶν, (οἳ ὑγρῷ
καὶ χειμερίῳ ἀέρι ἐνειθισμένοι, τροφάς τε πλείονας συνή-
θως εἰσφερόμενοι, χαλεπῶς νοσοῦντες, διεφθείροντο) ἐπα-
B νελθεῖν τε εἰς τὴν Ἀντιόχειαν ἐβουλεύσατο, καὶ πέμψας τὸν
ἐν Μηδίᾳ στρατὸν, ἐπανελθεῖν ἐκέλευσεν. ἐκεῖνος μὲν ὁ στρα-
τὸς ἐπανιὼν, πλεῖστος ἐν τοῖς ὄρεσι διεφθάρη, καὶ ἠκρωτηριά-
σθησαν οὐκ ὀλίγοι ἐν δυσχειμέρῳ χώρᾳ, ὡς ὀλίγους πάνυ ἐκ
πολλῶν ἐπανελθεῖν. τὸ δὲ σὺν αὐτῷ πλῆθος ὁ Ἀλέξανδρος εἰς
τὴν Ἀντιόχειαν ἐπανήγαγε, πολλῶν καὶ ἐξ ἐκείνης τῆς μοί-
ρας ἀπολωλότων· ὡς μεγίστην ἐνεγκεῖν δυσθυμίαν τῷ στρα-
τῷ, καὶ Ἀλεξάνδρῳ ἀδοξίαν, σφαλέντι καὶ γνώμῃ καὶ τύ-
χῃ, καὶ τῶν τριῶν μοιρῶν τοῦ στρατοῦ ὧν ἔνειμε, τὸ πλεῖστον
ἀποβαλόντι διαφόροις συμφοραῖς, νόσῳ, πολέμῳ, κρύει.
C γενόμενος δὲ ἐν τῇ Ἀντιοχείᾳ ὁ Ἀλέξανδρος, αὐτός τε ῥᾳ-
δίως ἐπερρώσθη τῷ ψυχρῷ καὶ ἐνύδρῳ τῆς πόλεως, μετὰ τὸν ἐν
Μεσοποταμίᾳ ξηρὸν αὐχμὸν, τούς τε στρατιώτας ἀνεκτᾶτο.
καὶ ἐφ' οἷς ἐλελύπηντο, παρεμυθεῖτο μεγαλοδωρεᾷ χρη-
μάτων. τοῦτο γὰρ μόνον εἰς εὐνοίας ἀνάκλησιν στρατιωτῶν εὕ-
ρισκε φάρμακον. δύναμίν τε ἤθροιζε καὶ παρεσκεύαζεν, ὡς
δὴ πάλιν ἐπάξων Πέρσαις, εἰ ἐνοχλοῖεν καὶ μὴ ἡσυχάζοιεν.
ἀπηγγέλλετο δὴ καὶ ὁ Πέρσης λύσας τὴν δύναμιν, καὶ
D ἑκάστους εἰς τὰ ἑαυτῶν ἀποπέμψας. εἰ γὰρ καὶ ἐκ τοῦ κρείτ-

τινος ὑπέρτεροι ἐδόκουν γεγενῆσθαι οἱ βάρβαροι, πλὴν ὅμως ἐπιτεύχοντο ταῖς τε κατὰ Μηδίαν πολλάκις γενομέναις συμβολαῖς, τῇ τε ἐν Παρθίᾳ μάχῃ, πολλῶν μὲν πεσόντων, παμπλείστων δὲ τετρωμένων. οὐ γὰρ ἀνάνδρως οἱ Ῥωμαῖοι ἡττήθησαν, ἀλλὰ καὶ αὐτοὶ τοὺς πολεμίους ἔσθ᾽ ὅπῃ κακώσαντες. παρὰ τοῦτο δὲ ἀπολόμενοι, παρ᾽ ὅσον πλήθει ἐλάττους εὑρέθησαν, ὡς σχεδὸν ἰσαρίθμου γενομένου τοῦ ἑκατέρωθεν πεσόντος στρατοῦ, τὸ περιλειφθὲν τῶν βαρβάρων, πλήθει ἀλλ᾽ οὐ δυνάμει δοκεῖ νενικηκέναι. δεῖγμα 455
δὲ τοῦτο οὐ μικρὸν τῆς βαρβάρων κακώσεως. ἐτῶν γοῦν A
τριῶν ἢ τεττάρων ἡσύχασαν, οὐδὲ ἐν ὅπλοις ἐγένοντο. ἅπερ μανθάνων ὁ Ἀλέξανδρος, καὶ οὗτος ἐν τῇ Ἀντιοχείᾳ διέτριβεν. ἀθυμότερος δὲ καὶ ἀδεέστερος γενόμενος, ἀνειμένης αὐτῷ τῆς περὶ τὰ πολεμικὰ φροντίδος, ταῖς τῆς πόλεως ἐσχόλαζε τρυφαῖς. οἰομένου δὲ αὐτοῦ τὰ ἐν Πέρσαις ἐν εἰρήνῃ μὲν συγκείμενα ἡσυχάζειν, ἔχειν δὲ ἀνακωχὴν καὶ μέλλησιν τῷ βαρβάρῳ πρὸς τὸ πάλιν ἐπάγειν τὸν στρατόν, ὃς ἅπαξ διαλυθεὶς οὐ ῥᾳδίως ἠθροίζετο, ἅτε μὴ συντεταγμένος, μηδὲ συνεστώς, ἀλλ᾽ ὄχλος μᾶλλον ἢ στρατὸς
ὑπάρχων καὶ τῶν ἐπισιτισμῶν αὐτοῖς τοσούτων ὄντων, B
ὅσον ἂν ἕκαστος ἀφικνούμενος πρὸς τὸ ἑαυτοῦ χρειῶδες ἐπιφέρηται, καὶ δυσαποσπάστως τε καὶ δυσόκνως καταλιπόντων τέκνα καὶ γυναῖκας καὶ τὴν οἰκείαν χώραν· αἰφνιδίως ἄγγελοί τε καὶ γράμματα, ἐτάραξε τὸν Ἀλέξανδρον, καὶ εἰς μείζονα φροντίδα ἐνέβαλεν, ἐπιστελλόντων αὐτῷ τῶν ἐμπεπιστευμένων τὴν Ἰλλυρίδος ἡγεμονίαν, ὅτι ἄρα Γερμανοὶ Ῥῆνον καὶ Ἴστρον διαβαίνοντες, τὴν Ῥωμαίων πορθοῦσιν ἀρχήν, καὶ τὰ ἐπὶ ταῖς ὄχθαις στρατόπεδα ἐπικείμενα, πόλεις τε καὶ κώμας πολλῇ δυνάμει κατατρέχουσιν· εἴη τε οὐκ ἐν ὀλίγῳ κινδύνῳ τὰ Ἰλλυρικὰ ἔθνη, ὁμοροῦντα καὶ γειτνιῶντα Ἰταλίᾳ. δεῖσθαι τοίνυν τῆς αὐτοῦ C

παρουσίας, καὶ τοῦ στρατοῦ παντὸς ὅς ἦν σὺν αὐτῷ. δηλωθέντα δὴ ταῦτα τόν τε Ἀλέξανδρον ἐτάραξε, καὶ τοὺς ἐκ τοῦ Ἰλλυρικοῦ στρατιώτας ἐλύπησε, διπλῇ δοκοῦντας κεχρῆσθαι συμφορᾷ, ἔκ τε ὧν πεπόνθεσαν Πέρσαις μαχόμενοι, ἔκ τε ὧν ἐπυνθάνοντο τοὺς οἰκείους ἕκαστοι ὑπὸ Γερμανῶν ἀπολωλότας. ἠγανάκτουν οὖν, καὶ τὸν Ἀλέξανδρον εἶχον ἐν αἰτίᾳ ὡς τὰ ὑπὸ ταῖς ἀνατολαῖς δι' ἀμέλειαν ἢ δειλίαν προδεδωκότα, πρός τε τὰ ἀρκτῷα μέλλοντα καὶ ὀκνοῦντα. ἦν δὲ καὶ αὐτῷ δέος τῷ Ἀλεξάνδρῳ, τοῖς τε
D συνοῦσι φίλοις ἤδη, καὶ περὶ αὐτῆς Ἰταλίας. οὐ γὰρ ὅμοιον ἡγοῦντο τὸν ἐκ Περσῶν κίνδυνον οἷον ἐκ Γερμανῶν. οἱ μὲν γὰρ ὑπὸ ταῖς ἀνατολαῖς κατοικοῦντες, μακρᾷ γῇ καὶ θαλάττῃ πολλῇ διῃρημένοι, τὴν Ἰταλῶν χώραν μόλις ἀκούουσι· τὰ Ἰλλυρικὰ δὲ, ἔθνη στενὰ ὄντα καὶ οὐ πολλὴν ἔχοντα τὴν ὑπὸ Ῥωμαίοις γῆν, παρὰ τοσοῦτον ὁμόρους καὶ γείτονας ποιεῖ Γερμανοὺς Ἰταλιώταις. ἐπαγγέλλει δὴ ἄκων μὲν καὶ ἀσχάλλων τὴν ἔξοδον, πλὴν τῆς ἀνάγκης αὐτὸν καλούσης. καταλιπών τε δύναμιν ὅσην αὐτάρκη ᾤετο ῥύ-
456 εσθαι τὰς Ῥωμαίων ὄχθας, τά τε στρατόπεδα, καὶ τὰ φρού-
A ρια ἐπιμελέστερον τειχίσας, καὶ πληρώσας ἕκαστα τοῦ ὡρισμένου στρατοῦ, αὐτὸς εἰς Γερμανοὺς ἠπείγετο ἅμα τῷ λοιπῷ πλήθει. ἀνύσας δὲ τὴν ὁδὸν μετὰ πολλῆς σπουδῆς, ἐπέστη ταῖς τοῦ Ῥήνου ὄχθαις, καὶ τὰ πρὸς τὸν Γερμανικὸν πόλεμον παρεσκευάζετο. τόν τε ποταμὸν ναυσὶ διαλαμβάνων, ὡς πρὸς ἀλλήλας συνδεθεισῶν, γεφυρωθέντα, ἀμοχθὶ τὴν διάβασιν τοῖς στρατιώταις παρέξειν ᾤετο. μέγιστοι γὰρ δὴ οὗτοι ποταμῶν ὑπ' ἄρκτῳ ῥέουσι, Ῥῆνός τε καὶ Ἴστρος, ὁ μὲν Γερμανούς, ὁ δὲ Παίονας παραμείβων. οἳ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, διὰ βάθος τε καὶ πλάτος· τοῦ δὲ χει-
B μῶνος παγέντες ὑπὸ τοῦ κρύους, ἐν πεδίου σχήματι καθιππεύονται. ἀντίτυπος δὲ οὕτω καὶ στερρὸν γίνεται τὸ ποτὲ ῥεῖθρον, ὡς

θρον, ὡς μὴ μόνον ἵππων ὁπλαῖς καὶ ποσὶν ἀνθρώπων ἀν-
τέχειν, ἀλλὰ καὶ τοῖς ἀρύσασθαι θέλουσι, μὴ κάλπεις ἐπ᾽
αὐτῷ μηδὲ κοῖλα σκεύη φέρειν, πελέκεις δὲ καὶ δικέλλας,
ἵν᾽ ἐκκόψαντες, γυμνόν τε σκεύους ἀράμενοι τὸ ὕδωρ, φέρω-
σιν ὥσπερ λίθον. φύσις μὲν δὴ τῶν ποταμῶν αὕτη. ὁ δὲ Ἀλέ-
ξανδρος Μαυρουσίους τε πλείστους καὶ τοξοτῶν ἀριθμὸν πο-
λὺν ἐπαγόμενος ἀπὸ τῆς ἀνατολῆς, ἔκ τε τῆς Ὀσροηνῶν
χώρας, καὶ εἴ τινες Παρθυαίων αὐτόμολοι, ἢ χρήμασιν
ἀναπεισθέντες, ἠκολουθήκεσαν αὐτῷ βοηθήσοντες, ἐξήρτυε
δὲ Γερμανοῖς ἀντιτάξων. μάλιστα γὰρ οἱ τοιοῦτος στρατὸς ὀχλη- C
ρὸς ἐκείνοις γίνεται· τῶν τε Μαυρουσίων πόρρωθεν ἀκον-
τιζόντων, καὶ τὰς ἐπιδρομὰς τάς τε ἀναχωρήσεις κούφως
ποιουμένων, τῶν τε τοξοτῶν ἐς γυμνὰς τὰς κεφαλὰς αὐτῶν,
καὶ σώματα ἐπιμήκη, ῥᾷστα καὶ πόρρωθεν κατὰ σκοποῦ
τοξευόντων. ἐπιθέοντι τε πρὸς τὴν συστάδην μάχην ἀντιτυ-
πεῖς, καὶ ἰσόρροποι πολλάκις Ῥωμαίοις ἐγένοντο. Ἀλέξαν-
δρος μὲν ἐν τούτοις ἦν· πλὴν ἔδοξεν αὐτῷ πρεσβείαν πέμ-
ψαι πρὸς αὐτούς, καὶ περὶ εἰρήνης διαλέγεσθαι. πάντα τε
ὑπισχνεῖτο παρέξειν ὅσων δέονται, καὶ χρημάτων ἀφει- D
δῶς ἔχειν. τούτῳ γὰρ μάλιστα Γερμανοὶ πείθονται, φιλάργυ-
ροί τε ὄντες καὶ τὴν εἰρήνην ἀεὶ πρὸς Ῥωμαίους χρυσίου
καπηλεύοντες. ὅθεν ὁ Ἀλέξανδρος ἐπειρᾶτο ὠνήσασθαι
μᾶλλον τὰς πρὸς αὐτοὺς σπονδάς, ἢ διὰ πολέμου κινδυ-
νεύειν. οἱ μέντοι στρατιῶται χαλεπῶς ἔφερον διατριβῆς τε
ματαίας ἐγγινομένης, καὶ μηδέν τι γενναῖον ἢ πρόθυμον
εἰς τὸ πολεμεῖν παρέχοντος τοῦ Ἀλεξάνδρου, ἀλλ᾽ ἡνιοχείαις
καὶ τρυφαῖς προσέχοντος, δέον ἐπεξελθεῖν καὶ τιμωρήσα-
σθαι Γερμανοὺς ἐπὶ τοῖς προτετολμημένοις. ἦν δέ τις ἐν 457
τῷ στρατῷ Μαξιμῖνος ὄνομα, τὸ μὲν γένος τῶν ἐνδοτάτων A
Θρᾳκῶν καὶ μιξοβαρβάρων, ἀπό τινος κώμης, ὡς ἐλέγε-
το, πρότερον μὲν ἐν παιδὶ ποιμαίνων· ἐν ἀκμῇ δὲ τῆς ἡλι-

κίας γινόμενος, διὰ μέγεθος καὶ ἰσχὺν σώματος εἰς τοὺς ἱπ-
πεύοντας στρατιώτας καταταγείς· εἶτα κατ' ὀλίγον αὐτὸν
χειραγωγούσης τῆς τύχης, ἐλθὼν διὰ πάσης τάξεως στρατιω-
τικῆς, ὡς στρατοπέδων τε ἐπιμέλειαν τῶν ἐθνῶν τε ἀρχὰς
πιστευθῆναι. τὸν δὴ Μαξιμῖνον τοῦτον διὰ τὴν προειρημέ-
νην στρατιωτικὴν ἐμπειρίαν ὁ Ἀλέξανδρος ἐπέστησε πάσῃ
B τῇ τοῦ στρατοῦ νεολαίᾳ, ὡς ἀσκοίη τε αὐτοὺς τὰ στρατιωτι-
κά, καὶ ἐς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. ὁ δέ,
μετὰ πάσης ἐπιμελείας ποιούμενος τὰ ἐγκεχειρισμένα, εὔ-
νοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτήσατο, οὐ μόνον δι-
δάσκων αὐτοὺς τὰ ποιητέα, ἀλλὰ καὶ τοῖς ἔργοις πάντων
προηγούμενος, ὡς μὴ μαθητὰς εἶναι μόνον, ἀλλὰ ζηλωτὰς
καὶ μιμητὰς τῆς ἐκείνου ἀνδρείας. ἔτι τε καὶ δώροις αὐτοὺς
καὶ παντοδαπαῖς τιμαῖς ᾠκειώσατο. ὅθεν οἱ νεανίαι (ἐν οἷς
ἦν τὸ πολὺ πλῆθος Παιόνων μάλιστα) τῇ μὲν ἀνδρείᾳ τοῦ
C Μαξιμίνου ἔχαιρον· τὸν δὲ Ἀλέξανδρον ἐπέσκωπτον, ὡς ὑ-
πὸ τῆς τε μητρὸς ἀρχόμενον, καὶ διοικουμένων τῶν πραγ-
μάτων ὑπ' ἐξουσίας τε καὶ γνώμης γυναικός, ῥᾳθύμως
τε καὶ ἀνάνδρως τοῖς πολεμικοῖς προσφερομένου ἐκείνου.
ὑπεμίμνησκον δὲ ἀλλήλους τῶν τε ὑπὸ ταῖς ἀνατολαῖς
διὰ μέλλησιν αὐτοῦ πταισμάτων, καὶ ὅτι μηδὲν ἀνδρεῖον
μηδὲ νεανικὸν παράσχοιτο, εἰς Γερμανοὺς ἐλθών. ὄντες οὖν
καὶ ἄλλως πρὸς τὸ καινοτομεῖν ἐπιτήδειοι, καὶ τὸ μὲν πα-
ρὸν τῆς ἀρχῆς βαρὺ διὰ μῆκος ἐξουσίας ἡγούμενοι, ἀκερ-
δές τε ἤδη, πάσης προανηλωμένης φιλοτιμίας· τὸ δὲ μέλ-
D λον καὶ πρόσφατον, ἔς τε τὸ κερδαλέον αὐτοῖς εὔελπι, καὶ τῷ
κτωμένῳ παρὰ προσδοκίαν, τίμιόν τε καὶ περισπούδα-
στον, ἐβουλεύσαντο ἀποσκευάσασθαι μὲν τὸν Ἀλέξανδρον,
ἀνειπεῖν δὲ αὐτοκράτορα καὶ σεβαστὸν τὸν Μαξιμῖνον, συ-
στρατιώτην τε αὐτῶν ὄντα καὶ σύσκηνον, ἔς τε τὸν παρόντα
πόλεμον δι' ἐμπειρίαν καὶ ἀνδρείαν ἐπιτήδειον δοκοῦντα.

ἀθροισθέντες οὖν εἰς τὸ πεδίον ὡπλισμένοι, ὡς δὴ ἐπὶ τὰ συνήθη γυμνάσια προελθόντα, καὶ ἐπιστάντα αὐτοῖς τὸν Μαξιμῖνον, εἴτε καὶ νοοῦντα τὸ πραττόμενον, εἴτε καὶ λάθρα τοῦτο προκατασκευάσαντα, πορφύραν ἐπιβαλόντες βασιλικὴν, αὐτοκράτορα ἀναγορεύουσιν. ὁ δὲ, τὰ μὲν πρῶτα παρῃτεῖτο καὶ τὴν πορφύραν ἀπερρίπτει· ὡς δὲ ἐνέκειντο ξιφήρεις, ἀποκτείνειν ἀπειλοῦντες, τοῦ παρόντος κινδύνου 458 A
τὸ μέλλον προελόμενος, ἀνεδέξατο τὴν τιμὴν, πολλάκις αὐτῷ πρότερον, ὡς ἔλεγε, χρησμῶν καὶ ὀνειράτων τὴν τοσαύτην τύχην προειρηκότων· εἰπὼν πρὸς τοὺς στρατιώτας, ὅτι ἄκων μὲν καὶ μὴ βουλόμενος ἀναδέχεται, πειθόμενος τῇ ἐκείνων βουλήσει· παραγγέλλει δ' αὐτοῖς ἔργῳ βεβαιῶσαι τὰ δόξαντα, ἁρπασαμένους τε τὰ ὅπλα, σπουδῇ ἐπιστῆναι τῷ Ἀλεξάνδρῳ ἀγνοοῦντι, τὴν φήμην φθάσαντας. ἵν' ἐκπλήξαντες τοὺς συνόντας ἐκείνῳ στρατιώτας καὶ φρου- B
ροὺς τοῦ σώματος, ἢ πείσαιεν ὁμογνωμονῆσαι, ἢ ῥᾷστα βιάσαιντο ἀπαρασκεύους τῷ μηδὲν προσδοκᾶν. ὡς δ' αὐτοὺς εἰς εὔνοιαν καὶ προθυμίαν πάνυ προεκαλέσατο, τά τε σιτηρέσια ἐπεδιπλασίασε, νομάς τε καὶ δόσεις μεγίστας ὑπέσχετο, ζημίας τε καὶ κηλῖδας πάσας αὐτοῖς ἀνῆκεν· ἐπί τε τὴν πορείαν ἐξήγαγεν. οὐ πολὺ δ' ἀφεστήκει τὸ χωρίον ἔνθα ἐσκήνου ὁ Ἀλέξανδρος, καὶ οἱ σὺν αὐτῷ. ὡς δ' ἀπηγγέλη τὰ περὶ τοῦ Μαξιμίνου, ὁ Ἀλέξανδρος ἐν μεγίστῃ ταραχῇ γενόμενος, καὶ τῷ παραδόξῳ τῆς ἀγγελίας ἐκπλαγεὶς, προπηδήσας τῆς βασιλείου σκηνῆς ὥσπερ ἐνθουσιῶν, δακρυρροῶν καὶ τρέμων, τοῦ τε Μαξιμίνου ὡς ἀπίστου καὶ ἀχαρίστου κατηγόρει, πάσας τὰς εἰς ἐκεῖνον εὐεργεσίας κατατεθείσας πρὸς αὐτὸν διηγούμενος, τούς τε νεανίας συστρατιώτας ᾐτιᾶτο ὡς προπετῶς καὶ C
ἐπιόρκως ταῦτα τετολμηκότας· δώσειν τε πάντα ὑπισχνεῖτο ὧν δέοιντο, καὶ ἐπανορθώσασθαι εἴ τι μέμφοιντο.

οἱ δὲ σὺν αὐτῷ στρατιῶται, ἐκείνης τῆς ἡμέρας ἀφημερεύσαν-
τες αὐτὸν παρέπεμψαν, ὑποσχόμενοι παντὶ σθένει προασπί-
ζειν αὐτοῦ. τῆς νυκτὸς δὲ διαδραμούσης, κατὰ τὸ περίορθρον ἀγ-
γειλάντων τινῶν ὅτι δὴ Μαξιμῖνος πρόσεισι, κόνις τε πόρ-
ρωθεν ἐγειρομένη φαίνεται, βοῆς τε ἦχος πλήθους ἐξακούεται,
πάλιν προελθὼν ἐς τὸ πεδίον ὁ Ἀλέξανδρος, συγκαλέσας
D τε τοὺς στρατιώτας, ἐδεῖτο προμαχεῖν, καὶ σώζειν ὃν ἀνε-
θρέψαντο, καὶ ὑφ' ᾧ βασιλεύοντι τεσσαρεσκαίδεκα ἔτεσιν,
ἀμέμπτως βεβιώκεσαν· πάντας τε εἰς οἶκτον καὶ ἔλεον
προσκαλούμενος, ἐκέλευεν ὁπλίζεσθαι, καὶ ἐξελθόντας
ἀντιτάττεσθαι. οἱ δὲ στρατιῶται τὰ μὲν πρῶτα ὑπισχνοῦν-
το, κατ' ὀλίγους δὲ ἀνεχώρουν, οὐδ' ὅπλα λαβεῖν ἤθελον.
οἱ δέ τινες τὸν ἔπαρχόν τε τοῦ στρατοῦ καὶ τοὺς οἰκείους Ἀλε-
ξάνδρου ᾔτουν πρὸς ἀναίρεσιν, πρόφασιν ποιούμενοι, αἰ-
τίους τῆς ἀποστάσεως γεγενῆσθαι. οἱ δὲ τὴν μητέρα ἐμέμ-
459 φοντο ὡς φιλάργυρον, καὶ τὰ χρήματα ἀποκλείουσαν, διά
A τε μικρολογίαν καὶ τὸ πρὸς τὰς ἐπιδόσεις ὀκνηρὸν τοῦ Ἀ-
λεξάνδρου μεμισημένου καὶ μέχρι μέν τινος τοιαῦτα δια-
φόρως βοῶντες προσέμενον· ὡς δὲ τοῦ Μαξιμίνου ὁ στρα-
τὸς ἤδη τε ἐν ὄψεσιν ἦν, στρατιώτας καταλιπεῖν μὲν γύ-
ναιον μικρολόγον, καὶ μειράκιον μικρὸν μητρὶ δουλεῦον,
προσιέναι δὲ ἀνδρὶ γενναίῳ καὶ σώφρονι, συστρατιώτῃ τε ἐν
ὅπλοις ἀεὶ καὶ πολεμικοῖς ἔργοις διητημένῳ· πεισθέντες οἱ
στρατιῶται τὸν μὲν Ἀλέξανδρον καταλείπουσιν, αὐτοὶ δὲ
B προσίασι τῷ Μαξιμίνῳ, αὐτοκράτωρ τε ὑπὸ πάντων ἐ-
κεῖνος ἀναγορεύεται. ὁ δὲ Ἀλέξανδρος τρέμων καὶ λειπο-
ψυχῶν, μόλις εἰς τὴν σκηνὴν ἐπανέρχεται· τῇ τε μητρὶ
περιπλακείς, καί, ὥς φασιν, ἀποδυρόμενός τε καὶ αἰτιώμε-
νος ὅτι δι' ἐκείνην ταῦτα πάθοι, ἀνέμενε τὸν φονεύσοντα. ὁ
δὲ Μαξιμῖνος ὑπὸ παντὸς τοῦ στρατοῦ σεβαστὸς προσαγο-
ρευθείς, πέμπει χιλίαρχον, ἑκατοντάρχας τέ τινας τοὺς φο-

νεύσοντας τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, καὶ εἴ τινες ἀνθίσταιντο τῶν σὺν αὐτῷ. οἱ δὲ ἀφικόμενοι καὶ ἐπιπηδήσαντες τῇ σκηνῇ, αὐτόν τε ἀναιροῦσι καὶ τὴν μητέρα, καὶ εἴ τινες ἐδόκουν ἐκείνῳ φίλοι καὶ τίμιοι· πλὴν τῶν πρὸς ὀλίγον φυγεῖν ἢ λαθεῖν δυνηθέντων· οὓς πάντας μετ' οὐ πολὺ C
ὁ Μαξιμῖνος συλλαβὼν ἀπέκτεινε. τέλος μὲν δὴ τοιοῦτον κατέλαβε τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, βασιλεύσαντα ἔτεσι τεσσαρεσκαίδεκα, ὅσον πρὸς τοὺς ἀρχομένους, ἀμέμπτως καὶ ἀναιμωτί. φόνων τε γὰρ καὶ ὠμότητος, ἀκρίτων τε ἔργων ἀλλότριος ἐγένετο, εἴς τε τὸ φιλάνθρωπον καὶ εὐεργετικώτερον ἐπιρρεπής. πάνυ γοῦν ἂν ἡ Ἀλεξάνδρου βασιλεία εὐδοκίμησεν εἰς τὸ ὁλόκληρον, εἰ μὴ διεβέβλητο αὐτῷ τὰ τῆς μητρὸς εἰς φιλαργυρίαν τε καὶ μικρολογίαν.

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας βιβλίον ἕβδομον. 460 A

ΤΙΝΙ μὲν βίῳ Ἀλέξανδρος ἐχρήσατο, τέλει τε ὁποίῳ, βασιλεύσας ἔτη τεσσαρεσκαίδεκα, ἐν τοῖς προειρημένοις ἐδηλώσαμεν. ὁ δὲ Μαξιμῖνος παραλαβὼν τὴν ἀρχὴν, πολλὴν τὴν μεταβολὴν ἐποιήσατο, τραχύτατα καὶ μετὰ πολλοῦ φόβου τῇ ἐξουσίᾳ B
χρώμενος. ἔκ τε πρᾳείας καὶ πάνυ ἡμέρου βασιλείας, εἰς τυραννίδος ὠμότητα μετάγειν πάντα ἐπειρᾶτο, δυσμε-

νειαν ἑαυτῷ συνειδώς, ὅτι τε πρῶτος ἐξ ἀτελείας τῆς
ἐσχάτης εἰς τοσαύτην τύχην ἔλασε. φύσει δὲ ἦν τὸ ἦθος, ὥσ-
περ καὶ τὸ γένος, βάρβαρος· τό, τε φονικὸν, πάτριον ἔχων καὶ
ἐπιχώριον, πρόνοιαν ἐποιεῖτο δι' ὠμότητος τὴν ἀρχὴν
βεβαιῶσαι, δεδιὼς μή πη τῇ συγκλήτῳ καὶ τοῖς ὑπηκόοις
εὐκαταφρόνητος γένηται, οὐκ εἰς τὴν παροῦσαν αὐτὴν τύ-
χην ἀφορῶσιν, ἀλλ' εἰς τὰ τῆς γενέσεως ἀτελῆ σπάργανα.
C τεθρύλητο γὰρ παρὰ πᾶσι καὶ διεβέβλητο, ὅτι δὴ ποιμαί-
νων ἐν τοῖς Θρᾳκίοις ὄρεσιν, ἐπιδούς τε αὑτὸν διὰ μέγεθος
καὶ ἰσχὺν σώματος εἰς ἀτελῆ καὶ ἐπιχώριον στρατείαν,
ὑπὸ τῆς τύχης ἐπὶ τὴν Ῥωμαίων ἀρχὴν κεχειραγώγητο.
εὐθέως οὖν τούς τε φίλους πάντας οἳ συνῆσαν τῷ Ἀλεξάν-
δρῳ, συνέδροι τε ὑπὸ τῆς συγκλήτου βουλῆς ἐπιλεχθέντες,
ἀπεσκευάσατο, καὶ οὓς μὲν εἰς τὴν Ῥώμην ἀπέπεμψε,
τινὰς δὲ ἐπὶ προφάσει διοικήσεως ἀπεσείσατο, μόνος εἶναι
βουλόμενος ἐν τῷ στρατῷ, καὶ μηδένα αὐτῷ παρεῖναι ἐκ
D συνειδήσεως εὐγενοῦς κρείττονα· ἀλλ' ἵν' ὥσπερ ἐξ ἀκροπό-
λεως μηδενὸς αὐτῷ παρόντος ᾧ νέμειν αἰδῶ ἀνάγκην
ἔχοι, τοῖς τυραννίδος ἔργοις σχολάζοι, τήν τε θεραπείαν πᾶ-
σαν ἣ συγγεγόνει τῷ Ἀλεξάνδρῳ τοσούτων ἐτῶν, τῆς βασι-
λείου αὐλῆς ἀπέπεμψε· τοὺς δὲ πλείστους αὐτῶν καὶ ἀπέκτει-
νεν ἐπιβουλὰς ὑποπτεύων· ᾔδει γὰρ ἀλγοῦντας ἐπὶ τῇ ἐκεί-
νου ἀναιρέσει. ἔτι δὲ καὶ μᾶλλον αὐτὸν εἰς ὠμότητα καὶ τὴν
πρὸς ἅπαντας ὀργὴν προυκαλέσατο συνωμοσία τις δια-
βληθεῖσα, κατ' αὐτοῦ συγκροτουμένη, πολλῶν τε ἑκατοντάρ-
χων συμπνεόντων, καὶ τῶν ἀπὸ τῆς βουλῆς ἁπάντων. Μά-
461 γνος τις ὄνομα ἦν τῶν εὐπατριδῶν τε καὶ ὑπατευκότων·
A οὗτος διεβλήθη συνάγειν κατ' αὐτοῦ χεῖρα, καὶ στρατιώ-
τας τινὰς πείθειν εἰς αὑτὸν τὴν ἀρχὴν μετάγειν. ἡ δὲ συ-
σκευὴ, τοιαύτη τις ἐλέγετο ἔσεσθαι. γεφυρώσας τὸν ποτα-
μὸν ὁ Μαξιμῖνος ἔμελλεν ἐπὶ Γερμανοὺς διαβήσεσθαι.

ἅμα γὰρ τῷ τὴν ἀρχὴν παραλαβεῖν, ἀθρόως πολεμικῶν ἔργων ἤρξατο, καὶ διὰ σώματος μέγεθος, καὶ ἰσχὺν στρατιωτικὴν, καὶ ἐμπειρίαν πολεμικὴν, δοκῶν ἐπιλελέχθαι, ἔργοις τὴν δόξαν καὶ τὴν τῶν στρατιωτῶν ὑπόληψιν ἐπιστοῦτο· τήν τε Ἀλεξάνδρου μέλλησιν, καὶ τὴν περὶ τὰ πολεμικὰ ἔργα δειλίαν, ἐλέγχειν ἐπειρᾶτο εἰκότως κατεγνωσμένην. ἀσκῶν τε οὖν καὶ γυμνάζων τοὺς στρατιώτας, οὐ διέλειπεν αὐτός τε ἐν ὅπλοις ὢν καὶ τὸν στρατὸν ἀεὶ παρορμῶν. τότε δὴ ζεύξας τὴν γέφυραν, ἔμελλεν ἐπὶ Γερμανοὺς διαβήσεσθαι. ὁ δὲ Μάγνος ἐλέγετο στρατιωτῶν οὐκ ὀλίγους, ἀλλὰ τοὺς ἐξοχωτάτους καὶ μάλιστα τοὺς τὴν φρουρὰν τῆς γεφύρας καὶ τὴν ἐπιμέλειαν πεπιστευμένους, ἀναπεῖσαι, μετὰ τὸ διαβῆναι τὸν Μαξιμῖνον, λύσαντας τὴν γέφυραν, προδοῦναι τοῖς βαρβάροις, οὐχ ὑπαρχούσης αὐτῷ ἐπανόδου. πλάτει γὰρ καὶ βάθει μέγιστος ὁ ποταμὸς ῥέων, C
ἄβατος αὐτῷ ἐγίνετο, οὔτε νεῶν οὐσῶν ἐν ταῖς πολεμίαις ὄχθαις τῆς γεφύρας λυθείσης. ἡ μὲν τῆς διαβολῆς φήμη, τοιαύτη ἐγένετο, εἴτε ἀληθὴς ὑπάρξασα, εἴτε ὑπὸ τοῦ Μαξιμίνου συσκευασθεῖσα. ἀκριβὲς δ᾽ εἰπεῖν οὐ ῥᾴδιον, ἐπεὶ ἔμενεν ἀνεξέλεγκτος. μήτε γὰρ κρίσεως τινὶ μεταδοὺς, μήτε ἀπολογίας, πάντας οὓς ὑπώπτευεν, αἰφνιδίως συναρπασθέντας, ἀφειδῶς ἐφόνευσεν. ἐγένετο δέ τις καὶ Ὀσροηνῶν τοξοτῶν ἀπόστασις, οἳ πάνυ ἀλγοῦντες ἐπὶ τῇ Ἀλεξάνδρου τελευτῇ, περιτυχόντες τῶν ἀπὸ ὑπατείας καὶ φίλων Ἀλεξάνδρου τινὶ, (Κουαρτῖνος δὲ ἦν ὄνομα, ὃν Μαξιμῖνος ἐκπέμψας ἦν τοῦ στρατοῦ) ἁρπάσαντες, ἄκοντα καὶ οὐδὲν προειδότα, στρατηγὸν ἑαυτῶν κατέστησαν· πορφύρα τε καὶ πυρὶ πομπεύοντα, ὀλεθρίοις τιμαῖς ἐκόσμησαν· ἐπί τε τὴν ἀρχὴν ἦγον, οὔτι βουλόμενον. ἐκεῖνος μὲν οὖν ἐν τῇ σκηνῇ καθεύδων, ἐπιβουλευθεὶς νύκτωρ, αἰφνιδίως ἀνῃρέθη ὑπὸ τοῦ συνόντος αὐτῷ καὶ δοκοῦντος φίλου, τῶν τε Ὀσροηνῶν

πρότερον ἡγουμένου. (Μακεδὼν ἦν ὄνομα αὐτῷ.) καὶ τοι
τῆς ἁρπαγῆς καὶ τῆς ἀποστάσεως ἀρχηγοῦ καὶ ὁμογνώ-
462 μονος τοῖς Ὀσροηνοῖς γενομένου· ὃς οὐδεμίαν αἰτίαν ἔ-
A χθρας οὔτε μίσους ἔχων, ἀπέκτεινεν αὐτὸν ὃν ἥρπασέ τε καὶ
ἀνέπεισεν. οἰόμενός τε μεγάλα χαριεῖσθαι τῷ Μαξιμίνῳ,
τὴν κεφαλὴν ἀποτεμὼν, ἐκόμισεν. ὁ δὲ ἥσθη μὲν ἐπὶ τῷ
ἔργῳ, στερηθεὶς δὲ πολεμίου, ὡς ᾤετο, ἐκεῖνον μὲν, καίτοι με-
γάλα ἐλπίζοντα καὶ δοκοῦντα ἀμοιβῆς ἐξαιρέτου τεύξε-
σθαι, ἀπέκτεινεν, ὡς καὶ τῆς ἀποστάσεως γενόμενον ἀρχηγὸν,
καὶ ἀποκτείναντα ὃν αὐτὸς ἄκοντα ἀνέπεισεν, ἄπιστόν τε
B γενόμενον περὶ τὸν φίλον. τοιαῦται μὲν δή τινες αἰτίαι ἔτι
μᾶλλον εἰς τραχύτητα καὶ ὠμότητα ἠκόνησαν τὴν τοῦ
Μαξιμίνου ψυχὴν, καὶ πρότερον οὕτω πεφυκυῖαν. ἦν δὲ καὶ
τὴν ὄψιν φοβερώτατος, καὶ μέγιστος τὸ σῶμα· ὡς μὴ ῥα-
δίως αὐτῷ τινὰ μήτε Ἑλλήνων τῶν σωμασκούντων, μήτε
βαρβάρων τῶν μαχιμωτάτων ἐξισοῦσθαι. διοικήσας δὲ τὰ
προειρημένα, πάντα τε τὸν στρατὸν ἀναλαβὼν, καὶ διαβὰς
ἀφόβως τὴν γέφυραν, εἴχετο τῆς πρὸς τοὺς Γερμανοὺς
μάχης. μάλα δέ τι πλῆθος καὶ σχεδὸν ἅπασαν τὴν Ῥω-
C μαίων δύναμιν σὺν ἑαυτῷ εἰσήγαγε, Μαυρουσίων τε ἀκον-
τιστῶν ἀριθμὸν πάμπλειστον καὶ τοξοτῶν, Ὀσροηνῶν τε καὶ
Ἀρμενίων. ὧν ἦσαν οἱ μὲν ὑπήκοοι, οἱ δὲ φίλοι καὶ σύμ-
μαχοι· καὶ εἴ τινες Παρθυαίων ἢ χρήμασι πεισθέντες καὶ
αὐτομολήσαντες, ἢ ληφθέντες αἰχμάλωτοι, Ῥωμαίοις ἐ-
δούλευον. τὰ δὲ πλήθη ταῦτα τοῦ στρατοῦ καὶ πρότερον
ὑπὸ Ἀλεξάνδρου ἤθροιστο, ηὔξηθη δὲ ὑπὸ τοῦ Μαξιμί-
νου, καὶ εἰς πολεμικὴν ἄσκησιν συγκεκρότητο· μάλιστά τε οἱ
ἀκοντισταὶ καὶ οἱ τοξόται πρὸς τὰς Γερμανῶν μάχας ἐπι-
τήδειοι δοκοῦσιν, ἐπιτρέχοντές τε αὐτοῖς κούφως οὐ προσ-
δοκῶσι, καὶ ἀναχωροῦντες ῥᾳδίως. γενόμενος δὲ ἐν τῇ πο-
D λεμίᾳ Μαξιμῖνος, πολλὴν γῆν ἐπῆλθεν, οὐδενὸς αὐτῷ

αὐθεστῶτος, ἀλλὰ τῶν βαρβάρων ἀνακεχωρηκότων. ἐδῄου
τε οὖν πᾶσαν τὴν χώραν, μάλιστα τῶν λῃίων ἀκμαζόν-
των· τάς τε κώμας ἐμπιπρὰς, διαρπάζειν ἐδίδου τῷ στρα-
τῷ. εὐμαρέστατα γὰρ τὸ πῦρ ἐπινέμεται τάς τε πόλεις αὐ-
τῶν, ἃς ἔχουσι, καὶ τὰς οἰκήσεις ἁπάσας. λίθων μὲν γὰρ παρ'
αὐτοῖς ἢ πλίνθων ὀπτῶν σπάνις· ὗλαι δ' εὔδενδροι, ὅθεν
ξύλων οὔσης ἐκτενείας, συμπηγνύντες αὐτὰ καὶ ἁρμόζον-
τες, σκηνοποιοῦνται. ὁ δὲ Μαξιμῖνος, ἐπὶ πολὺ μὲν προε- 463
χώρησε, περιελαύνων τε τὰ προειρημένα καὶ λείας ἀπελαύ- A
νων, διδούς τε τὰς ἀγέλας τῷ στρατῷ αἷς περιετύγχανον. οἱ
δὲ Γερμανοὶ, ἀπὸ μὲν τῶν πεδίων, καὶ εἴ τινες ἦσαν χῶραι
ἄδενδροι, ἀνακεχωρήκεσαν· ἐν δὲ ταῖς ὕλαις ἐκρύπτοντο.
περὶ δὲ τὰ ἕλη διέτριβον, ὡς ἐκεῖ τὰς μάχας καὶ τὰς ἐφό-
δους ποιοῖντο, τῆς συνεχείας τῶν φυτῶν ἀπασχολούσης εἰς
ἑαυτὴν τὰ βέλη καὶ τὰ ἀκόντια τῶν πολεμίων· τοῦ τε ἀγ-
χιβαθοῦς τῶν ἑλῶν, Ῥωμαίοις μὲν δι' ἄγνοιαν τῶν τόπων ἐ-
πισφαλοῦς ἐσομένου, ἑαυτοῖς δὲ, δι' ἐμπειρίαν τῆς χώρας,
ἐγνωκόσιν ἄβατα καὶ ἀσπτυπῆ τῶν τόπων, ἐς γόνυ τε βρε-
χομένοις διατρέχειν ῥᾳδίου. εἰσὶ δὲ καὶ περὶ τὸ νήχεσθαι B
γεγυμνασμένοι, ἅτε μόνῳ λουτρῷ τοῖς ποταμοῖς χρώμενοι.
περὶ ἐκεῖνα οὖν μάλιστα τὰ χωρία αἱ συμβολαὶ ἐγίνοντο.
ἔνθα καὶ γενναιότατα αὐτὸς ὁ βασιλεὺς τῆς μάχης ἦρξεν.
ἐπὶ γάρ τινι ἕλει μεγίστῳ, τῶν μὲν Γερμανῶν ἐς αὐτὸ ἀνα-
χωρούντων εἰς φυγὴν, εἰς δίωξιν δὲ Ῥωμαίων ἐπεισελθεῖν
ὀκνούντων, πρῶτος ὁ Μαξιμῖνος ἅμα τῷ ἵππῳ ἐμβα-
λὼν εἰς τὸ ἕλος, καίτοι ὑπὲρ γαστέρα τοῦ ἵππου βρεχομένου,
τοὺς ἀνθεστῶτας ἐφόνευσε βαρβάρους, ὡς τὸν λοιπὸν στρατὸν
αἰδεσθέντα προδοῦναι μαχόμενον ὑπὲρ αὐτῶν βασιλέα, C
τολμῆσαί τε καὶ τοῖς ἕλεσιν ἐπεισελθεῖν. πολὺ δέ τι πλῆ-
θος ἑκατέρωθεν πεσεῖν, καὶ Ῥωμαίων μὲν, τῶν δὲ βαρβάρων
σχεδὸν τὴν τότε παροῦσαν δύναμιν, ἀριστεύοντος αὐτοῦ, ὡς

τό, τε ἕλος σωμάτων πληρωθῆναι, τήν τε λίμνην αἵματι
κερασθεῖσαν, πεζομαχοῦντι στρατῷ ναυμαχίας ὄψιν παρα-
σχεῖν. ταύτην τὴν μάχην, καὶ τὴν ἀριστείαν αὐτοῦ, οὐ μόνον
διὰ γραμμάτων τῇ τε συγκλήτῳ καὶ τῷ δήμῳ ἐδήλωσεν,
ἀλλὰ καὶ γραφῆναι κελεύσας, μεγίσταις εἰκόσιν ἀνέθηκε
πρὸ τοῦ βουλευτηρίου, ἵνα μὴ μόνον ἀκούειν τὰ γινόμενα,
B ἀλλὰ καὶ βλέπειν ἔχωσι Ῥωμαῖοι. τὴν δ' εἰκόνα ὕστερον κα-
θεῖλεν ἡ σύγκλητος μετὰ τῶν λοιπῶν αὐτοῦ τιμῶν. γεγόνασι
δὲ καὶ ἕτεραι συμβολαί, ἐν αἷς ὡς αὐτουργός τε καὶ αὐτόχειρ
τῆς μάχης, ἀριστεύων τε πανταχοῦ ἐπῃνεῖτο. πολλοὺς δὲ χει-
ρωσάμενος αὐτῶν αἰχμαλώτους, καὶ λείαν ἀπελάσας, χει-
μῶνος ἤδη καταλαμβάνοντος, ἐπανῆλθεν εἰς Παίονας. ἔν
τε Σιρμίῳ διατρίβων τῇ μεγίστῃ ἐκεῖ πόλει δοκούσῃ, τὰ
πρὸς τὴν εἴσοδον εἰς τὸ ἔαρ παρεσκευάζετο. ἠπείλει γὰρ (καὶ
464 ποιήσειν ἔμελλεν) ἐκκόψειν τε καὶ ὑποτάξειν τὰ μέχρι ὠ-
A κεανοῦ Γερμανῶν ἔθνη βάρβαρα. τὰ μὲν οὖν πολεμικὰ
τοιοῦτος ἦν· καὶ εἰς δόξαν ἤρθη ἂν ἡ πρᾶξις αὐτοῦ, εἰ μὴ
τοῖς οἰκείοις καὶ τοῖς ὑπηκόοις βαρύτερος ἐγεγόνει καὶ φο-
βερώτερος. τί γὰρ ἦν ὄφελος βαρβάρων ἀναιρουμένων, πλειό-
νων γινομένων φόνων ἐν αὐτῇ τῇ τε Ῥώμῃ καὶ τοῖς ὑπη-
κόοις ἔθνεσιν; ἢ λείας αἰχμαλώτους ἀπάγειν τῶν ἐχθρῶν,
γυμνοῦντα καὶ τὰς οὐσίας ἀφαιρούμενον τῶν οἰκείων; ἄ-
νεσίς τε γὰρ πᾶσα, μᾶλλον δὲ καὶ πρόκλησις ἐδέδοτο συκο-
B φάνταις, ἐς τὸ ἐπηρεάζειν καὶ κινεῖν πράγματα προγο-
νικά, εἰ τύχοι, καὶ ἄγνωστα καὶ ἀνεξέλεγκτα. μόνον τέ τις
κληθεὶς εἰς δικαστήριον ὑπὸ συκοφάντου, εὐθέως ἡττημένος
ἀπῄει, καὶ τῶν ὑπαρχόντων πάντων στερηθείς. ἑκάστης γοῦν
ἡμέρας ἦν ἰδεῖν τοὺς ἐχθὲς πλουσιωτάτους, τῆς ἐπιούσης
μεταιτοῦντας. τοσαύτη τις ἦν τῆς τυραννίδος ἡ φιλοχρη-
ματία ἐπὶ προφάσει τῆς περὶ τοὺς στρατιώτας χρημάτων
συνεχοῦς χορηγίας. ἦν δὲ καὶ τοῖς ὠσὶ κοῦφος ἐς διαβολάς,

ἡλικίας τε καὶ ἀξιώματος ἀφειδῶς ἔχων. πλείστους γοῦν C
τῶν ἔθνη καὶ στρατόπεδα πεπιστευμένων μετὰ ὑπατείας τι-
μήν, ἢ δόξαν ἐπὶ τροπαίοις περιγενομένην, ἐκ μικρᾶς καὶ
ἁπλοῦς διαβολῆς ἀναρπάστους ἐποίει. καὶ ἐκέλευσέ τε ἄ-
νευ ὑπηρεσίας μόνους ὀχήμασιν ἐπιτεθέντας, ἄγεσθαι νύ-
κτωρ καὶ μεθ' ἡμέραν ὁδεύοντας ἐξ ἀνατολῶν, ἢ δύσεως, εἰ
τύχοι, ἀπό τε μεσημβρίας, εἰς Παίονας, ἔνθα διέτριβε.
σκύλας δὲ καὶ ὑβρίσας, φυγαῖς ἢ θανάτοις ἐζημίου. ἐς ὅ-
σον μὲν οὖν τοὺς καθ' ἕνα ταῦτα ἐπράττετο, καὶ μέχρις
οἰκείων ἔμενεν ἡ συμφορά, οὐ πάνυ τι τοῖς δήμοις τῶν πό- D
λεων ἢ τοῖς ἔθνεσι διέφερε· (τὰ γὰρ τῶν εὐδαιμονεῖν δοκού-
των ἢ πλουσίων πταίσματα πρὸς τῶν ὄχλων οὐ μόνον ἀμε-
λεῖται, ἀλλὰ τινὰς τῶν κακοήθων καὶ φαύλων ἔσθ' ὅτε καὶ
εὐφραίνει, φθόνῳ τῶν κρειττόνων καὶ εὐτυχούντων) ἐπεὶ δὲ ὁ
Μαξιμῖνος τοὺς πλείστους τῶν ἐνδόξων οἴκους ἐς πενίαν πε-
ριστήσας (ἃ δὴ μικρὰ καὶ ὀλίγα, οὐδ' αὐτάρκη τῇ αὐτοῦ βουλή-
σει ᾤετο) μετῆλθεν ἐπὶ τὰ δημόσια, καὶ εἴ τινα ἦν χρήμα-
τα πολιτικὰ εἰς εὐθηνίας ἢ νομὰς τῶν πολιτῶν ἀθροιζόμε- 465
να, εἴ τε θεάτροις ἢ πανηγύρεσιν ἀνακείμενα, εἰς ἑαυτὸν A
μετῆγε, ναῶν τε ἀναθήματα, θεῶν τε ἀγάλματα, καὶ ἡρώων
τιμὰς, καὶ εἴ τις ἦν κόσμος δημοσίων ἔργων, ἢ καλλωπίσμα-
τος πόλεως, ἢ ὕλης νόμισμα ποιῆσαι δυναμένης, πᾶν ἐχω-
νεύετο. ὅπερ δὲ μάλιστα τοὺς δήμους ἐλύπησε· πένθος τε δη-
μόσιον ἐνεποίει δίχα μάχης καὶ ἄνευ ὅπλων, ὄψις πολιορκίας·
ὡς τινὰς τῶν δημοτῶν καὶ χεῖρας ἀνατεθῆναι καὶ τοὺς νεὼς
φρουρεῖν· ἑτοίμως τε ἔχειν, πρότερον ἀναιρεθέντας πρὸ B
τῶν βωμῶν πεσεῖν, ἢ σκῦλα τῶν πατρίδων ἰδεῖν. ἐντεῦ-
θεν δὴ καὶ μάλιστα κατά τε πόλεις καὶ κατὰ ἔθνη δι-
ῴδαινον τῶν ὄχλων αἱ ψυχαί. ἀπηρέσκοντό τε καὶ οἱ
στρατιῶται τοῖς πραττομένοις, ὀνειδιζόντων αὐτοῖς ἐπι-
φθόνως συγγενῶν τε καὶ οἰκείων ὡς δὴ δι' αὐτοὺς ταῦτα

πράττοντος τοῦ Μαξιμίνου. αἰτίαι μὲν δὴ τοιαῦται οὔπω γε
ἄλογοι εἰς μῖσος καὶ ἀπόστασιν τοὺς ὄχλους παρώξυνον.
καὶ πάντες μὲν εὔχοντο, καὶ θεοὺς τοὺς ἀδικουμένους ἐπεκά-
C λουν, ἄρξασθαι δὲ οὐδεὶς ἐτόλμα. ἔς τε συμπληρουμένης
αὐτῷ τριετοῦς βασιλείας, ἐκ μικρᾶς καὶ ἁπλοῦς προφά-
σεως, οἷα τυραννίδος σφάλματα, πρῶτοι ὅπλα ἐκίνησαν,
ἔς τε ἀπόστασιν ἀσταθῶς ὥρμησαν Λίβυες, ἐξ αἰτίας τοιᾶσ-
δε. Ἐπετρόπευέ τις τῆς Καρχηδονίας χώρας τραχύτατα,
καὶ μετὰ πάσης ὠμότητος, καταδίκας τε ἐποιεῖτο, καὶ χρη-
μάτων εἰσπράξεις, βουλόμενος εὐδοκιμεῖν παρὰ τῷ Μα-
ξιμίνῳ. ἐκεῖνός τε γὰρ οὓς ᾔδει ἁρμόζοντας τῇ ἑαυτοῦ γνώ-
μῃ ἐπελέγετο· οἵ τε προεστῶτες τοῦ ταμείου τότε, εἰ καὶ σπα-
D νίως χρηστοὶ ἐμπεπτώκεσαν, τόν τε κίνδυνον πρόδηλον ἔχον-
τες, καὶ τὴν ἐκείνου φιλοχρηματίαν εἰδότες, ἄκοντες ὅμως
τοὺς λοιποὺς ἐμιμοῦντο. ὁ τοίνυν κατὰ τὴν Λιβύην ἐπίτρο-
πος τοῖς τε ἄλλοις βιαίως προσεφέρετο, καὶ νεανίσκοις τι-
νὰς τῶν παρ' ἐκείνοις εὖ γεγονότων καὶ πλουσίων, καταδί-
καις περιβαλὼν, εἰσπράττειν τὰ χρήματα ἀθρόως ἐπει-
ρᾶτο, πατρῴων τε καὶ προγονικῶν οὐσιῶν αὐτοὺς ἀφαι-
ρεῖσθαι. ἐφ' οἷς ἀλγήσαντες οἱ νεανίσκοι τὰ μὲν χρήματα
αὐτῷ ἀποδώσειν ὑπέσχοντο, τριῶν ἡμερῶν αἰτήσαντες ἄ-
νεσιν· συνωμοσίαν δὲ ποιησάμενοι, πάντας τε οὓς ᾔδεσαν ἢ
466 πεπονθότας τι δεινὸν, ἢ παθεῖν δεδοικότας, ἀναπείσαντες,
A κελεύουσι νύκτωρ κατελθεῖν τοὺς ἐκ τῶν ἀγρῶν νεανίσκους,
ξύλα τε καὶ πελέκεις ἐπιφέρεσθαι. οἱ δὲ, πεισθέντες κε-
λεύουσι τοῖς δεσπόταις, πρὸ τῆς ἕω συνῆλθον εἰς τὴν πό-
λιν, κρύπτοντες ὑπὸ ταῖς ἐσθῆσιν ἃ ἔφερον αὐτοσχεδίου πο-
λέμου ὅπλα. μέγα δέ τι πλῆθος ἠθροίσθη· φύσει γὰρ πολυάν-
θρωπος οὖσα ἡ Λιβύη πολλοὺς εἶχε τοὺς τὴν γῆν γεωργοῦν-
τας. ἅμα δὲ τῷ παραδραμεῖν τὸ περιόρθριον προσελθόν-
τες οἱ νεανίσκοι, τὸ μὲν πλῆθος τῶν οἰκετῶν κελεύουσιν αὐτοῖς

ἔπαξ, οἷς ὄντας μέρος τοῦ λοιποῦ ὄχλου, προστάξαντες τότε ἀποκαλύπτειν ἃ ἔφερον ὅπλα, καὶ γενναίως ἀνθίστασθαι εἴ τινες ἢ στρατιωτῶν ἢ δημοτῶν αὐτοῖς ἐπίοιεν ἔκδικοι τοῦ γινομένου ἔργου· αὐτοὶ δὲ λαβόντες ἐγχειρίδια ὑπὸ κόλπια, προσίασι τῷ ἐπιτρόπῳ, ὡς δὴ περὶ τῆς ἀποδόσεως τῶν χρημάτων διαλεξόμενοι· προσπεσόντες τε αἰφνιδίως, οὐ προσδοκῶντα παίσαντες φονεύουσι. τῶν δὲ περὶ αὐτὸν στρατιωτῶν γυμνωσάντων τὰ ξίφη, τῷ τε φόνῳ ἐπεξελθεῖν θελόντων, οἱ ἐκ τῶν ἀγρῶν κατεληλυθότες, προβαλλόμενοί τε ξύλα καὶ τοὺς πελέκεις, ὑπερμαχόμενοι τῶν δεσποτῶν, τοὺς ἀνθεστῶτας ῥᾳδίως ἐτρέψαντο. οὕτω δὴ προχωρήσαντος τοῦ ἔργου οἱ νεανίσκοι ἅπαξ ἐν ἀπογνώσει γενόμενοι, μόνην ᾔδεσαν ἑαυτοῖς σωτηρίαν ὑπάρχουσαν, εἰ τὰ τολμηθέντα αὐτοῖς αὐξήσαιεν ἔργοις μείζοσι, καὶ κοινωνὸν τοῦ κινδύνου τὸν ἡγούμενον τοῦ ἔθνους παραλάβοιεν, καὶ πᾶν τὸ ἔθνος ἀναπείσαιεν εἰς ἀπόστασιν· ὅπερ ᾔδεσαν πάλαι μὲν εὔχεσθαι μίσει Μαξιμίνου, φόβῳ δὲ κωλύεσθαι. σὺν παντὶ τοίνυν τῷ πλήθει ἤδη μεσαζούσης ἡμέρας ἐπίασιν ἐπὶ τὴν τοῦ ἀνθυπατεύοντος οἰκίαν. Γορδιανὸς μὲν ἦν ὄνομα· κλήρῳ μὲν τὴν ἀνθυπατείαν λαχὼν, πρεσβύτης δὲ εἰς ἔτος ἤδη περί που ὀγδοηκοστὸν ἐληλακώς. πολλῶν δὲ πρότερον ἄρξας ἐθνῶν, ἔν τε πράξεσι μεγίσταις ἐξετασθείς. ὅθεν αὐτόν τε ἡδέως ὑποδέξεσθαι τὴν ἀρχὴν ᾤοντο, ὥσπερ κορυφαῖον τέλος τῶν προγινομένων πράξεων, τήν τε σύγκλητον καὶ τὸν Ῥωμαίων δῆμον ἀσμένως δέξεσθαι ἄνδρα εὖ γεγονότα, καὶ ἐκ πολλῶν ἡγεμονιῶν, ὥσπερ κατ' ἀκολουθίαν, ἐπὶ τοῦτο ἐλθόντα. συνέβαινε δὲ ἐκείνης τῆς ἡμέρας ἧς ταῦτα ἐπράττετο, οἴκοι τὸν Γορδιανὸν διατρίβειν ἡσυχάζοντα, δεδωκότα τοῖς καμάτοις ἀνάπαυλαν, ἀργίαν τε τῶν πράξεων. οἱ δὲ νεανίσκοι ξιφήρεις 467 σὺν παντὶ τῷ πλήθει βιασάμενοι τοὺς ταῖς αὐλίαις ἐφεστῶ-

τας, εἰσπηδήσαντες, καταλαμβάνουσιν αὐτὸν ἐπί τινος
σκιμποδίου ἀναπαυόμενον· περιστάντες δὲ, χλαμύδι πορ-
φυρᾷ περιβάλλουσι, σεβασμίαις τε τιμαῖς προσαγορεύου-
σιν. ὁ δὲ τῷ παραδόξῳ τοῦ πράγματος ἐκπλαγεὶς, ἐνέ-
δραν καὶ συσκευὴν ἐξ ἐπιβουλῆς καθ' ἑαυτοῦ νομίζων,
ῥίψας ἀπὸ τοῦ σκίμποδος εἰς γῆν ἑαυτὸν, ἐδεῖτο φείσασθαι
γέροντος μηδὲν αὐτοὺς ἀδικήσαντος, σώζειν δὲ τὴν πίστιν
καὶ τὴν εὔνοιαν τῷ βασιλεύοντι. ἐπεὶ δὲ οἱ μὲν, ξιφήρεις
B ἐνέκειντο, ἐκεῖνος δὲ ὑπὸ δέους καὶ ἀγνοίας οὐκ ᾔδει τὸ πε-
πραγμένον, οὐδὲ τὸ τῆς παρούσης τύχης αἴτιον, εἷς τῶν νεα-
νίσκων, ὃς ἦν αὐτῶν γένει καὶ δυνάμει λόγων προύχων,
τοὺς λοιποὺς καταστείλας, ἡσυχάζειν τε προστάξας· ἔχων
πρόχειρον τὴν δεξιὰν, ἔλεξε πρὸς αὐτὸν τοιάδε, Δύο
κινδύνων προκειμένων, τοῦ μὲν παρόντος, τοῦ δὲ μέλλοντος·
καὶ τοῦ μὲν, ἤδη προδήλου, τοῦ δὲ ἐν ἀμφιβόλῳ τύχῃ, ἑλέ-
σθαι σε δεῖ σήμερον σώζεσθαι μεθ' ἡμῶν, καὶ πιστεῦσαι σεαυ-
C τὸν ἐλπίδι κρείττονι ᾗ πάντες πεπιστεύκαμεν, ἢ τεθναίαι ἤ-
δη πρὸς ἡμῶν. εἰ μὲν οὖν τὰ παρόντα ἕλοιο, πολλὰ τὰ ἐ-
φόδια εἰς ἀγαθὰς ἐλπίδας τό, τε Μαξιμίνου παρὰ πᾶσι
μῖσος, πάθος τε τυραννίδος ὠμῆς ἀπαλλάξεις, καὶ ἐν ταῖς
προηγουμέναις πράξεσιν εὐδοκιμήσεις, ἔν τε συγκλήτῳ καὶ
τῷ Ῥωμαίων δήμῳ γνῶσις οὐκ ἄσημος καὶ τιμῆς ἔνδο-
ξος ἀεί. ἀντειπόντι δέ σοι καὶ μὴ συμπνεύσαντι ἡμῖν, τή-
μερον τέλος ἐπικείσεται. ἀπολούμεθα δὲ καὶ αὐτοὶ εἰ
δέοι, προαπολέσαντες· ἔργον γὰρ ἡμῖν τετόλμηται μείζο-
D νος ἀπογνώσεως δεόμενον. κεῖται γὰρ ὁ τῆς τυραννίδος ὑ-
πηρέτης, καὶ δίκας ὠμότητος παρέσχε, φονευθεὶς ὑφ' ἡμῶν.
ἐφ' οἷς ἢν μὲν ἡμῖν συναρῇ, καὶ κοινωνὸς τῶν κινδύνων
γένῃ, αὐτός τε τῆς ἐν βασιλείᾳ τιμῆς ἀπολαύσεις, τό, τε ἡ-
μῖν προκείμενον ἔργον ἐπαινεθήσεται καὶ οὐ κολασθήσε-

ται. τοιαῦτά τινα λέγοντος τοῦ νεανίσκου, οὐκ ἀνασχόμενον
τὸ λοιπὸν πλῆθος, συνδραμόντων ἤδη καὶ πάντων τῶν κα-
τὰ τὴν πόλιν, ἐπειδὴ διεφοίτησεν ἡ φήμη, σεβαστὸν Γορδια-
νὸν ἀναγορεύει. παραιτούμενος δὲ, καὶ γῆρας προϊσχόμε- 468
νος ἐκεῖνος, ἄλλως δὲ, φιλόδοξος ὢν, οὐδὲ ἀηδῶς ὑπέστη, A
ἑλόμενος μᾶλλον τὸν μέλλοντα κίνδυνον ἢ τὸν παρόντα,
ἔν τε γήρᾳ ἐσχάτῳ οὐ πάνυ τι δεινὸν νομίζων εἰ δέοι ἐν βα-
σιλικαῖς τιμαῖς καὶ τελευτῆσαι. πᾶν δὴ τὸ Λιβύων ἔ-
θνος ἀθρόως ἐδεδόνητο, καὶ τὰς μὲν τοῦ Μαξιμίνου τι-
μὰς καθῄρουν, εἰκόσι δὲ καὶ ἀνδριάσι Γορδιανοῦ τὰς πό-
λεις ἐκόσμουν, τῷ τε κυρίῳ αὐτοῦ ὀνόματι προσθέντες, Ἀ-
φρικανὸν ἐκάλεσαν ἀφ' ἑαυτῶν. οὕτω γὰρ Λίβυες ὑπὸ
μεσημβρίαν τῇ Ῥωμαίων φωνῇ καλοῦνται. ὁ δὲ Γορ-
διανὸς ἐνδιατρίψας τῇ Θύσδρῳ, ἔνθα ταῦτα ἐπράχθη, ἡ-
μερῶν τινων, ἤδη φέρων βασιλέως ὄνομα καὶ σχῆμα, ἀ- B
πάρας τε τῆς Θύσδρου, εἰς τὴν Καρχηδόνα ἠπείχθη, ἣν
ᾔδει μεγίστην τε οὖσαν καὶ πολυάνθρωπον, ἵν' ὥσπερ ἐν Ῥώ-
μῃ πάντα πράττῃ. ἡ γὰρ πόλις ἐκείνη καὶ δυνάμει χρη-
μάτων καὶ πλήθει τῶν κατοικούντων, καὶ μεγέθει, μόνης
Ῥώμης ἀπολείπεται, φιλονεικοῦσα πρὸς τὴν ἐν Αἰγύπτῳ
Ἀλεξάνδρου πόλιν περὶ δευτερείων. εἵπετο δ' αὐτῷ πᾶσα ἡ
βασιλικὴ πομπή. τῶν μὲν στρατιωτῶν, οἵτινες ἦσαν ἐκεῖ,
καὶ τῶν κατὰ τὴν πόλιν ἐπιμηκεστέρων νεανίσκων, ἐν σχήματι
τῶν κατὰ Ῥώμην προϊόντων δορυφόρων· αἵ τε ῥάβδοι ἐ- C
δαφνηφόρουν, ὅπερ ἐστὶ σύμβολον εἰς τὸ διαγνῶναι τὰς
βασιλικὰς ἀπὸ τῶν ἰδιωτικῶν· τὸ δὲ πῦρ προεπόμπευεν·
ὡς ὄψιν καὶ τύχην ἔχειν πρὸς ὀλίγον, ὥσπερ ἐν εἰκόνι, τῆς
Ῥώμης τὴν Καρχηδονίων πόλιν. ὅ, τε Γορδιανὸς γράμ-
ματά τε πάμπλειστα ἐκπέμπει πρὸς ἕκαστον τῶν κα-
τὰ τὴν Ῥώμην προύχειν δοκούντων, τοῖς τε τῆς συγ-
κλήτου δοκιμωτάτοις ἐπιστέλλει, ὧν ἦσαν αὐτῷ πλεῖστοι

φίλοι τε καὶ συγγενεῖς. ἐποίησε δὲ καὶ δημόσια γράμματα
πρός τε τὸν Ῥωμαίων δῆμον καὶ τὴν σύγκλητον, δι' ὧν
τήν τε Λιβύων ἐδήλου εἰς ἑαυτὸν σύμπνοιαν, τῆς τε Μα-
D ξιμίνου ὠμότητος κατηγόρει, σφοδρότατα εἰδὼς μισου-
μένην. αὐτός τε πᾶσαν πρᾳότητα ὑπισχνεῖτο, συκο-
φάντας τε πάντας φυγαδεύων, καὶ παλινδικίαν διδοὺς τοῖς
ἀδίκως κατακριθεῖσι, τοὺς δὲ φυγάδας εἰς τὰς πατρίδας ἐ-
πανάγων· τοῖς δὲ στρατιώταις ὑπέσχετο ἐπίδοσιν χρημά-
των ὅσην οὐδεὶς πρότερον, τῷ τε δήμῳ νομὰς ἐπήγγελλε.
προυνοήσατο δὲ τοῦ πρότερον ἀναιρεθῆναι τὸν κατὰ τὴν Ῥώ-
μην τῶν στρατοπέδων προεστῶτα· Βιταλιανὸς δὲ ἦν ὄνομα
αὐτῷ. τοῦτον ᾔδη τραχύτατα καὶ ὠμότατα προσφέροντα,
φίλτατόν τε ὄντα καὶ καθωσιωμένον τῷ Μαξιμίνῳ, ὑπο-
469 πτεύων οὖν μὴ τοῖς πραττομένοις γενναίως ἀντιστῇ, καὶ τῷ
A ἐκείνου φόβῳ μηδεὶς αὐτῷ συναίρηται, πέμπει τὸν τα-
μίαν τοῦ ἔθνους, νεανίσκον φύσει εὔτολμον, καὶ τὸ σῶμα ἐκ-
ἀγγυνῆ, καὶ τὴν ἡλικίαν ἀκμάζοντα, πρόθυμόν τε ἐς τὸν
ὑπὲρ ἑαυτοῦ κίνδυνον, παραδοὺς αὐτῷ ἑκατοντάρχας καὶ
στρατιώτας τινάς, οἷς ἔδωκε κατασεσημασμένα γράμμα-
τα ἐν πτυχίοις πίναξι, δι' ὧν τὰ ἀπόρρητα καὶ κρυπτὰ ἀγ-
γέλματα τοῖς βασιλεῦσιν ἐπιστέλλεται. κελεύει δὲ αὐτοῖς
πρὸ τῆς ἕω εἰς τὴν Ῥώμην κατελθοῦσιν, ἐπιστῆναι ἔτι δι-
κάζοντι καὶ ἀνακεχωρηκότι τῷ Βιταλιανῷ ἐν τῷ τοῦ δικα-
B στηρίου οἰκίσκῳ, ἔνθα μόνος τὰ ἀπόρρητα καὶ κρυπτὰ δο-
κοῦντα ὑπὲρ σωτηρίας τοῦ βασιλέως ἠρεύνα τε καὶ ἐξή-
ταζε, δηλῶσαί τε ὅτι φέρουσι γράμματα πρὸς Μαξιμῖ-
νον ἀπόρρητα· ἐπὶ τοῦτό τε παρ' αὐτοῦ πεμφθῆναι ὑπὲρ ἀ-
σφαλείας τοῦ βασιλέως· προσποιήσασθαι δὲ βούλεσθαι καὶ
διαλεχθῆναι αὐτῷ ἰδιαίτερον, ἀπαγγεῖλαί τε τὰ ἐντεταλ-
μένα· διαλογουμένῳ δὲ ἐκείνῳ περὶ τὴν τῶν σφραγίδων
ἐπίγνωσιν, προσποιουμένους ὡς δὴ ἐρωτοῦντάς τι, οἷς εἶχον
ὑποκολπί-

ὑποκολπιδίοις ξίφεσι φονεῦσαι. ἅπερ πάντα προυχώρη-
σεν ὡς ἐκέλευσεν. ἔτι γὰρ νυκτὸς οὔσης, ὥσπερ ἐκεῖνος εἰώ-
θει, πρὸ ἡμέρας προϊέναι, ὑπέστησαν αὐτῷ ἰδιάζοντι, μη-
δὲ πολλοῦ πλήθους παρόντος. οἱ μὲν γὰρ οὐδὲ προεληλύθε- C
σαν, οἱ δὲ προπαγορεύσαντες, πρὸ ἡμέρας ἀνακεχωρήκε-
σαν. ἡσυχίας οὖν οὔσης, ὀλίγων τε περὶ τοῦ οἰκίσκου, δηλώ-
σαντες αὐτῷ τὰ προειρημένα, ῥᾳδίως εἰσεδέχθησαν. ἐπι-
δόντες δὲ τὰ γράμματα, ἐκείνου ταῖς σφραγῖσι τὴν ὄψιν ἐ-
πιβάλλοντος, προσβαλόντες τὰ ξιφίδια καὶ παίσαντες,
φονεύουσιν, ἔχοντές τε αὐτὰ προήκοντα, προπηδῶσιν. οἱ δὲ
παρόντες ἐκπλαγέντες ἀνεχώρησαν, οἰόμενοι Μαξιμίνου
τὴν κέλευσιν εἶναι. καὶ γὰρ ἐποίει τοῦτο πολλάκις καὶ περὶ τοὺς
δοκοῦντας εἶναι φιλτάτους. κατελθόντες δὲ διὰ μέσης τῆς ἱε- D
ρᾶς ὁδοῦ, προτιθέασι τὰ πρὸς τὸν δῆμον τοῦ Γορδιανοῦ
γράμματα, τοῖς τε ὑπάτοις καὶ τοῖς λοιποῖς τὰ ἐπεσταλ-
μένα διδόασι, διασκεδάννυταί τε ὑπ᾽ αὐτῶν φήμη ὡς ἄ-
ρα καὶ Μαξιμῖνος εἴη ἀνῃρημένος. ὡς δὲ διεφοίτησε ταῦ-
τα, ἀθρόως πᾶς ὁ δῆμος, ὥσπερ ἐνθουσιῶν διέθει πανταχοῦ.
καὶ πάντες μὲν γὰρ ὄχλοι, κοῦφοι πρὸς τὰ καινοτομούμενα·
ὁ δὲ Ῥωμαίων δῆμος ἐν πλήθει μεγίστῳ καὶ ποικίλῳ, συγ-
κλύδων τε ἀνθρώπων, πολὺ καὶ ῥᾴδιον ἔχει τὸ τῆς γνώμης
εὐκίνητον. ἀνδριάντες οὖν καὶ εἰκόνες, τιμαί τε πᾶσαι τοῦ 470
Μαξιμίνου κατεσπῶντο· καὶ τὸ κρυπτὸν πρότερον διὰ φό- A
βον μῖσος, ἀδεές καὶ αὐτεξούσιον γενόμενον, ἀκωλύτως
ἐξεχεῖτο. ἥ τε σύγκλητος συνελθοῦσα πρὶν τὸ ἀκριβὲς εἰδέ-
ναι περὶ τοῦ Μαξιμίνου, ἐκ τῆς παρούσης τύχης τὰ μέλλοντα
πιστεύσαντες, τὸν Γορδιανὸν ἅμα τῷ υἱῷ σεβαστοὺς ἀναγορεύ-
ουσι· τὰς δὲ τοῦ Μαξιμίνου τιμὰς ἀνατρέπουσι. συκοφάν-
ται τε οὖν καὶ οἱ γενόμενοι τινῶν κατήγοροι, ἢ ἔφευγον, ἢ
ὑπὸ τῶν ἀδικηθέντων ἀνῃροῦντο. ἐπίτροποί τε καὶ δικα-
σταὶ οἱ τῆς ἐκείνου ὠμότητος ὑπηρέται, συρέντες ὑπὸ τοῦ

ὄχλου εἰς τοὺς ὀχετοὺς ἐρρίπτουν· φόνος τε οὐκ ὀλίγος ἐγέ-
B νετο καὶ μηδὲν ἀδικησάντων ἀνθρώπων. δανεισταὶ γὰρ ἑαυ-
τῶν, ἢ καὶ ἀντιδίκους ἐν πράγμασιν ἀγοραίοις, καὶ εἴ τις
πρός τινα βραχεῖαν αἰτίαν εἶχε μίσους, ἐπεισβαίνοντές τε
οἰκήσεσιν ἀπροσδοκήτως, ἐπηρεάζοντες, ὡς συκοφάντας ἐ-
σύλησαί τε καὶ ἐφόνευσαν. ἐν προσχήματι ἐλευθερίας ἀ-
δείας τε εἰρηνικῆς, ἔργα πολέμου ἐμφυλίου ἐγίνετο· ὡς καὶ
τὸν τῆς πόλεως ἔπαρχον μετὰ πράξεις πολλὰς ὑπατι-
κὰς (Σαβῖνος δὲ ἦν ὄνομα αὐτῷ) βουλόμενον κωλῦσαι τὰ
γινόμενα, ξύλῳ παταχθέντα κατὰ τοῦ κρανίου, τελευτῆσαι. καὶ
ὁ μὲν δῆμος ἐν τούτοις ἦν· ἡ δὲ σύγκλητος ἅπαξ ἀναρρι-
φθέντος κινδύνου, φόβῳ τοῦ Μαξιμίνου, πάντα ἔπραττεν
C εἰς τὸ ἀποστῆσαι αὐτοῦ τὰ ἔθνη. πρεσβεῖαι τοίνυν πανται-
χοῦ πρὸς πάντας ἡγουμένους ἐξεπέμφθησαν, ἐπιλεχθέν-
των ἀνδρῶν ἔκ τε τῆς συγκλήτου αὐτῆς καὶ τοῦ ἱππικοῦ τά-
γματος οὐκ ἀδοκίμων· γράμματά τε πρὸς πάντας τῶν Ῥω-
μαίων καὶ τῆς συγκλήτου γνώμην δηλοῦντα, προτρέποντα
τά τε τοὺς ἡγουμένους συναίρεσθαι τῇ κοινῇ πατρίδι καὶ
συνεδρίῳ βουλεύουσι· τὰ δὴ ἔθνη πείθεσθαι Ῥωμαίοις, ὧν
δημόσιον ἄνωθεν τὸ κράτος ἐστίν, αὐτά τε φίλα καὶ ὑπή-
D κοα ἐκ προγόνων. οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν
πρεσβείαν. καὶ τὰ ἔθνη ἀποστήσαντες ῥᾳδίως μίσει τῆς Μα-
ξιμίνου τυραννίδος, τούς τε ἐκεῖσε πράττοντας, εἴ τι Μα-
ξιμίνου φρονοῖεν ἀποκτείναντες, προσέθεντο Ῥωμαίοις. ὀλί-
γοι δέ τινες ἢ διεχειρίσαντο τοὺς ἐλθόντας πρέσβεις, ἢ μετὰ
φρουρᾶς πρὸς ἐκεῖνον παρέπεμψαν, οὓς συλλαμβάνων,
ὠμῶς ἐκόλαζε. τὰ μὲν κατὰ τὴν Ῥωμαίων πόλιν τε καὶ
471 γνώμην, τοιαῦτα ἦν. ὡς δὲ ἀπηγγέλη τῷ Μαξιμίνῳ τὰ
A πεπραγμένα, σκυθρωπός τε ἦν καὶ ἐν μεγάλαις φροντίσι,
προσεποιεῖτό τε αὐτῶν καταφρονεῖν. τῆς μὲν οὖν πρώτης
καὶ δευτέρας ἡμέρας ἔνδον ἔμενεν ἡσυχάζων, καὶ τοῖς

φίλοις περὶ τοῦ πρακτέου κοινούμενος. τὸ δὲ στρατόπεδον πᾶν τὸ σὺν αὐτῷ, οἵ τε ἐπέκεινα πάντες ἄνθρωποι, ἔγνωσαν μὲν τὰ διαγγελθέντα, καὶ διοίδαινον πᾶσιν αἱ ψυχαὶ, τηλικούτων ἔργων ἀτόλμῳ καινοτομίᾳ· οὐδέ τις πρὸς ἕνα ἔλεγέ τι, οὔτ᾽ εἰδέναι τι προσεποιεῖτο. τοσοῦτος γὰρ ἦν ὁ Μαξιμίνου φόβος, ὡς μηδὲν αὐτὸν λανθάνειν, παραφυλάττεσθαι δὲ πάντων οὐ μόνον τὰ διὰ φωνῆς καὶ γλώττης προσφερόμενα, ἀλλὰ καὶ τὰ δι᾽ ὄψεως νεύματα. ὁ μὲν οὖν Μαξιμῖνος συγκαλέσας πάντα τὸν στρατὸν εἰς τὸ πρὸ B τῆς πόλεως πεδίον, προελθών τε τῆς τρίτης ἡμέρας, ἀνελθών τε ἐπὶ τὸ βῆμα, ἐπιφερόμενος τὸ βιβλίον ὅπερ αὐτῷ ἦσαν συντάξαντές τινες τῶν φίλων, ἐξ ἀναγνώσεως ἔλεξε τοιάδε,

Ἄπιστα μὲν οἶδα καὶ παράδοξα λέξων πρὸς ὑμᾶς, ὡς δὲ ἐγὼ οἴομαι οὐ θαύματος, ἀλλὰ χλεύης καὶ γέλωτος ἄξια. ὅπλα ἐφ᾽ ἡμᾶς καὶ τὴν ὑμετέραν ἀνδρείαν οἱ Γερμανοὶ αἴρουσιν, οὓς πολλάκις ἐνικήσαμεν· οὐ Σαυρομάται, οἱ περὶ εἰρήνης ἑκάστοτε ἱκετεύοντες. Πέρσαι τε οἳ πάλαι Μεσοποταμίαν κατατρέχοντες, νῦν ἡσυχάζουσιν, ἀγαπητῶς ἔχοντες τὰ ἑαυτῶν, δόξης τε τῆς ὑμετέρας ἐν τοῖς ὅπλοις, ἀρετῆς τε πείρᾳ τῶν ἐμῶν πράξεων, ἃς ἔγνωσαν ὅτι C τῶν ἐπὶ ταῖς ὄχθαις στρατοπέδων ἡγούμην ἀνεχούσης αὐτῆς. ἀλλὰ γὰρ μή τι ἄρα καὶ καταγέλαστον εἰπεῖν, Καρχηδόνιοι μεμήνασι καὶ πρεσβύτην ἄθλιον ἐν ἐσχάτῳ γήρᾳ παραφρονοῦντα πείσαντες ἢ βιασάμενοι, ὥσπερ ἐν πομπαῖς παίζουσι βασιλείαν. τίνι θαρροῦντες στρατῷ, καὶ παρ᾽ οἷς εἰς τὴν τοῦ ἡγουμένου ὑπηρεσίαν ἀρκοῦσι ῥαβδοῦχοι; ποῖα φέροντες ὅπλα, παρ᾽ οἷς οὐδὲν πλέον ἢ δορατίων οἷς πρὸς θηρία μονομαχοῦσι; τὰ πολεμικὰ αὐτοῖς γυμνάσια, χοροὶ καὶ σκώμματα καὶ ῥυθμοί. μηδέ τινα ὑμῶν ἐκπληττέτω τὰ D κατὰ Ῥώμην ἀγγελθέντα. Βιταλιανὸς μὲν ἀνῃρέθη, δόλῳ

καὶ ἀπάτῃ ληφθείς. τοῦ δὲ Ῥωμαίων δήμου τὸ κοῦφον καὶ ἀμετάβολον οὐκ ἀγνοεῖτε καὶ μέχρι βοῆς θρασύ· εἰ δύο ἢ τρεῖς ὁπλίτας ἴδοιεν μόνον, ὑπ' ἀλλήλων ὠθούμενοί τε καὶ πατούμενοι, φεύγουσιν ἕκαστος τὸν ἴδιον κίνδυνον, τοῦ κοινοῦ ἀμελῶς ἔχει. εἰ δὲ καὶ τὰ τῆς συγκλήτου τις ὑμῖν δι-
472 ήγγειλε, μὴ θαυμάζετε εἰ τὸ μὲν ἡμέτερον σῶφρον τραχὺ
A αὐτοῖς δοκεῖ· τὸ δὲ ὁμότροπον, ἐν ἀκολάστῳ βίῳ ἐκείνου προτιμᾶται. καὶ τὰ μὲν ἀνδρεῖα καὶ σεμνὰ τῶν ἔργων, φοβερὰ προσαγορεύουσι· τὰ δὲ ἀνειμένα καὶ ἐκβεβακχευμένα, ὡς ἥμερα δι' ἡδονῆς ἔχουσι. διόπερ πρὸς τὴν ἐμὴν ἀρχὴν οὖσαν ἐπιστρεφῆ καὶ κόσμιον, ἀλλοτρίως διάκεινται. ἥσθησαν δὲ τῷ Γορδιανοῦ ὀνόματι, οὗ τὸν διαβεβλημένον βίον οὐκ ἀγνοεῖτε. πρὸς τούτους καὶ τοιούτους ἡμῖν ὁ πόλεμος, εἴ
B τις οὕτως αὐτὸν καλεῖν βούλοιτο. ἐγὼ μὲν γὰρ ἡγοῦμαι ὡς οἱ πλεῖστοι καὶ σχεδὸν πάντες, εἰ μόνον Ἰταλίας ἐπιβαίημεν, ἱκετηρίας θαλλοὺς καὶ τέκνα προτείναντας, ὑποστρώσειν αὐτοὺς τοῖς ἡμετέροις ποσίν. οἱ δὲ λοιποὶ διὰ δειλίαν καὶ φαυλότητα φεύξονται, ὡς ὑπάρξαι ἐμοί τε καὶ ὑμῖν τὰ ἐκείνων πάντα δοῦναι, ὑμῖν τε ἀδεῶς λαβοῦσι καρποῦσθαι. Τοιαῦτά τινα εἰπών, βλάσφημά τε πολλὰ εἰς τὴν Ῥώμην καὶ τὴν σύγκλητον, δι' ὧν παρεφθέγγετο ἀπορρίψας, ταῖς τε διὰ χειρὸς ἀπειλαῖς καὶ τραχέσι προσώπου νεύ-
C μασιν, ὡς πρὸς παρόντας ὀργισθείς, ἐπαγγέλλει τὴν ἐπὶ Ἰταλίαν ἔξοδον. διανείμας τε αὐτοῖς πάμπλειστα χρήματα, μιᾶς ἡμέρας διαλιπών, τῆς ὁδοῦ εἴχετο, πολύ τι πλῆθος ἐπαγόμενος στρατοῦ, τήν τε ὑπὸ Ῥωμαίοις δύναμιν. εἵπετο δὲ αὐτῷ καὶ Γερμανῶν οὐκ ὀλίγος ἀριθμός, οὓς τοῖς ὅπλοις κεχείρωτο, ἢ πείσας ἐς φιλίαν καὶ συμμαχίαν ἐπῆκτο. μηχαναί τε καὶ πολεμικὰ ὄργανα, καὶ ὅσα πρὸς τοὺς βαρβάρους, ὧν ἐπεφέρετο· αὐτῆς μὲν σχολαιτέραν τὴν ὁδοιπορίαν ἐποίει τε διὰ τὴν τῶν ὀχημάτων καὶ ἐπι-

ἐπιτηδείων πανταχόθεν συγκομιδήν. αἰφνιδίου γὰρ γενομένης
τῆς ἐπ' Ἰταλίαν ὁδοῦ, οὐκ ἐκ προνοίας, ὥσπερ εἰώθει, ἀλλ' D
ἐξ αὐτοσχεδίου καὶ ἐπειγούσης ὑπηρεσίας, τὰ χρειώδη τῷ
στρατῷ ἠθροίζετο. ἔδοξεν οὖν αὐτῷ προπέμψαι τὰς τῶν
Παιόνων φάλαγγας. ἐκείνοις γὰρ μάλιστα ἐπίστευεν. οἵπερ
αὐτὸν καὶ πρῶτοι εἵλοντο βασιλέα, ἐθελονταί τε ὑπὲρ αὐ-
τοῦ κινδυνεύειν ὑπισχνοῦντο. ἐκέλευσεν οὖν αὐτοῖς φθά-
σαι τὴν λοιπὴν δύναμιν, καὶ τὰ ἐν Ἰταλίᾳ χωρία προκα-
ταλαβεῖν. καὶ οἱ μὲν περὶ Μαξιμῖνον ὡδοιπόρουν· ἐν δὲ
τῇ Καρχηδόνι οὐχ ὡς ἠλπίκεσαν τὰ πράγματα πρου-
χώρει. Καπελλιανὸς γὰρ ἦν τις ὄνομα τῶν ἀπὸ συγκλήτου, 473
ἡγεῖτο δὲ Μαυρουσίων τῶν ὑπὸ Ῥωμαίοις, Νομάδων δὲ A
καλουμένων. τὸ δὲ ἔθνος στρατοπέδοις πέφρακτο, διὰ τὸ πε-
ρικείμενον πλῆθος Μαυρουσίων τῶν βαρβάρων, ὡς ἂν ἐπέ-
χοι αὐτῶν τὰς ἐξ ἐπιδρομῆς ἁρπαγάς. εἶχεν οὖν ὑφ' ἑαυ-
τῷ δύναμιν οὐκ εὐκαταφρόνητον στρατιωτικήν. πρὸς δὴ τὸν
Καπελλιανὸν τοῦτον καὶ ὁ Γορδιανὸς ἀπεχθῶς προσέκειτο
ἄνωθεν, ἔκ τινος ἀγοραίου διαφορᾶς. τότε δ' οὖν ἐν τῷ τῆς
βασιλείας γενόμενος ὀνόματι, διάδοχόν τε αὐτῷ ἔπεμψε καὶ
τοῦ ἔθνους ἐξελθεῖν ἐκέλευσεν. ὁ δὲ πρός τε ταῦτα ἀγανα-
κτήσας, τῷ τε Μαξιμίνῳ καθοσιούμενος, ὑφ' οὗ καὶ τὴν
ἡγεμονίαν πεπίστευτο, πάντα τὸν στρατὸν ἀθροίσας, ἀναπεί- B
σας τε Μαξιμίνῳ τηρεῖν τὴν πίστιν καὶ τὸν ὅρκον, κατῆλθεν
ἐπὶ τὴν Καρχηδόνα, δύναμιν ἄγων μεγίστην τε καὶ γεν-
ναίων ἀνδρῶν ἡλικίαις ἀκμάζουσαν, καὶ παντοδαπῇ ὅ-
πλων παρασκευῇ ἐξηρτυμένην, ἐμπειρίᾳ τε πολεμικῇ καὶ
τῇ πρὸς τοὺς βαρβάρους μάχης συνηθείᾳ ἑτοίμην πρὸς
μάχας. ὡς δὲ ἀπηγγέλη τῷ Γορδιανῷ ὁ στρατὸς προσιὼν
τῇ πόλει, αὐτός τε ἐν ἐσχάτῳ δέει ἦν, οἵ τε Καρχηδόνιοι
ταραχθέντες, οἰόμενοι ἐν πλήθει ὄχλου οὐκ ἐν τάξει
στρατοῦ τὸ εὔελπι τῆς νίκης εἶναι, πανδημεὶ πάντες ἐξίασιν, C

ὡς δὴ τῷ Καπελλιανῷ ἀντιταξόμενοι. Γορδιανὸς μὲν οὖν ὁ πρεσβύτης (ὥς τινές φασιν) ἅμα τῷ τῆς Καρχηδόνος ἐπιβῆναι, ἐν ἀπογνώσει γενόμενος, ἐννοῶν τὴν δύναμιν Μαξιμίνου, οὐδὲν δὲ ὁρῶν ἐν Λιβύῃ ἀξιόμαχον ἰσόρροπον, ἀνήρτησεν ἑαυτὸν βρόχῳ. κρυπτομένης δὲ αὐτοῦ τῆς τελευτῆς, τὸν υἱὸν αὐτοῦ στρατηγήσοντα δὴ τοῦ πλήθους εἵλοντο. γενομένης δὲ συμβολῆς, οἱ μὲν Καρχηδόνιοι ὄχλῳ πλείους ἦσαν, ἄτακτοι δὲ καὶ πολεμικῶν ἔργων ἀπαίδευτοι, ἅτε ἐν εἰρήνῃ βαθείᾳ τεθραμμένοι, ἑορταῖς τε καὶ τρυφαῖς σχολά-
D ζοντες ἀεί, γυμνοί τε ὅπλων καὶ ὀργάνων πολεμικῶν. ἕκαστος δὲ ἐπεφέρετο οἴκοθεν ἢ ξιφίδιον ἢ πέλεκυν, δοράτιά τε ἐκ κυνηγεσίων. βαρέας τε τὰς ἐμπισσούσας περιτεμόντες, καὶ ξύλα καταπρίσαντες εἰς τὰ παρατυχόντα σχήματα, ὡς ἕκαστος ἐδύνατο πρόβλημα τοῦ σώματος ἐποιεῖτο. οἱ δὲ Νομάδες, ἀκοντισταί τε εὔστοχοι καὶ ἱππεῖς ἄριστοι, ὡς καὶ χαλινῶν ἄνευ ῥάβδῳ μόνῃ τὸν δρόμον τῶν ἵππων κυβερνᾶν. ῥᾶστα οὖν ἐτρέψαντο τῶν Καρχηδονίων τὸ πλῆθος, οἵπερ οὐχ ὑπομείναντες αὐτῶν τὴν ἐμβολήν, πάντα ῥίψαντες ἔφυγον· ὠθούμενοι δὲ ὑπ' ἀλλήλων καὶ πατού-
474 μενοι, πλείους ὑπὸ τοῦ οἰκείου πλήθους ἐφθάρησαν ἢ πρὸς
A τῶν πολεμίων. ἔνθα καὶ ὁ τοῦ Γορδιανοῦ υἱὸς ἀπώλετο, οἵ τε περὶ αὐτὸν πάντες, ὡς διὰ πλῆθος πτωμάτων μήτε νεκρῶν ἀναίρεσιν πρὸς ταφὴν γενέσθαι δυνηθῆναι, μήτε τοῦ νέου Γορδιανοῦ σῶμα εὑρεθῆναι. οἱ μὲν γὰρ φεύγοντες, ὅσοι τε ἦσαν εἰσρυέντες εἰς τὴν Καρχηδόνα, ὅσοι τε λαθεῖν ἠδυνήθησαν, σκεδασθέντες εἰς πᾶσαν τὴν πόλιν οὖσαν μεγίστην τε καὶ πολλήν, ὀλίγοι ἐκ πολλῶν ἐσώθησαν· τὸ δὲ λοιπὸν πλῆθος περὶ ταῖς πύλαις στενοχωρούμενον, παρεισδῦναι σπουδάζοντος ἑκάστου, βαλλόμενόν τε ὑπὸ τῶν ἀκοντιστῶν καὶ τιτρωσκόμενον ὑπὸ τῶν ὁπλιτῶν, διεφθείρετο, πολλὴ δὲ οἰμωγὴ κατὰ τὴν πόλιν γυναικῶν τε καὶ παι-

δίων, ὧν ἐν ὄψει οἱ φίλτατοι ἀπώλοντο. ἕτεροι δέ φασιν B
ὡς δὴ ταῦτα οἴκοι μεμενηκότι διὰ γῆρας τῷ πρεσβύτῃ Γορδιανῷ ἀπηγγέλη, ὅ,τε Καπελλιανὸς εἰσελαύνων εἰς τὴν Καρχηδόνα ἐδηλώθη. ἐν ἀπογνώσει δὲ πάντων γενόμενος, εἰσελθὼν μόνος εἰς τὸν οἰκίσκον ὡς δὴ καθευδήσων, ἐξαρτήσας ἧς ἐπεφέρετο ζώνης τὸν τράχηλον ἐν βρόχῳ, τοῦ βίου ἀνεπαύσατο. τοιούτῳ μὲν δὴ τέλει ὁ Γορδιανὸς ἐχρήσατο, βιώσας τὰ πρῶτα εὐδαιμόνως, ἐν εἰκόνι τε βασιλείας τελευτήσας. Ὁ δὲ Καπελλιανὸς εἰς Καρχηδόνα εἰσελθὼν, πάντας τε τοὺς πρωτεύοντας ἀπέκτεινεν, εἴ τινες
καὶ ἐσώθησαν ἐκ τῆς μάχης. ἐφείδετό τε οὔτε ἱερῶν συ- C
λήσεως, οὔτε χρημάτων ἰδιωτικῶν καὶ δημοσίων ἁρπαγῆς. ἐπιών τε ταῖς λοιπαῖς πόλεσιν, ὅσαι τὰς Μαξιμίνου τιμὰς καθῃρήκεσαν, τοὺς μὲν ἐξέχοντας ἐφόνευσε, τοὺς δὲ δημότας ἐφυγάδευσεν, ἀγρούς τε καὶ κώμας ἐμπιπράναι λεηλατεῖν τε τοῖς στρατιώταις ἐπέτρεπε, προσποιούμενος μὲν τιμωρίαν εἰσπράττειν ἐφ' οἷς εἰς Μαξιμῖνον ἡμαρτήκεσαν, λανθανόντως δὲ εὔνοιαν ἑαυτῷ παρὰ τῶν στρατιωτῶν μνώμενος, ἵν' εἴ τι πταίσειεν τὰ Μαξιμίνου πράγματα, αὐτὸς ἔχων δύναμιν εὐνοοῦσαν, τῆς ἀρχῆς ἀντιποιήσαιτο. τὰ μὲν δὴ κατὰ τὴν Λιβύην, ἐν τούτοις
ἦν. Ὡς δὲ εἰς τὴν Ῥώμην ἐδηλώθη ἡ τοῦ πρεσβύτου D
τελευτὴ, ἐν πολλῇ ταραχῇ καὶ ἀφασίᾳ ὅ,τε δῆμος ἦν ἥ τε σύγκλητος, μάλιστα Γορδιανοῦ τετελευτηκότος, εἰς ὃν ἠλπίκεσαν· ᾔδεσαν γὰρ αὐτὸν οὔτε φεισόμενόν τινος. ὡς γὰρ καὶ φύσει ἀλλοτρίως καὶ ἀπεχθῶς πρὸς αὐτοὺς διέκειτό τε καὶ ἐπ' εὐλόγοις αἰτίαις, ὡς ὁμολογουμένοις ἐχθροῖς εἰκότως ὠργίζετο. ἔδοξεν οὖν συνελθεῖν, καὶ περὶ τῶν περικλέων σκέψασθαι· ἅπαξ τε ἀναρρίψαντας κίνδυνον, πόλεμον ἄρασθαι, προστησαμένους ἑαυτῶν χειροτονηθέντας 475
βασιλέας, οἳ ἠθέλησαν μερίσαι τὴν ἀρχὴν, ὡς μὴ πάλιν A

ἰοῦσαν ἐξουσίαν, εἰς τυραννίδα πάλιν ἐξοκείλῃ. συνῆλθον
οὖν οὐκ εἰς τὸ σύνηθες συνέδριον, ἀλλ' εἰς τὸν τοῦ Διὸς νεὼν
Καπετωλίου, ὃν σέβουσι Ῥωμαῖοι ἐν ἀκροπόλει. συγκλείσαν-
τες οὖν αὐτοὺς ἐν τῷ σηκῷ μόνους, ὥσπερ ὑπὸ μάρτυρι
τῷ Διῒ καὶ συνέδρῳ, ἐπισκόπῳ τε τῶν πραττομένων, ἐπι-
λεξάμενοι τῶν ἐν ἡλικίᾳ καὶ ἀξιώματι προυχόντων οὓς
ἐδοκίμαζον, κατὰ τὴν ψηφοφορίαν ἐχόντων καὶ ἄλλων ψή-
φους, διακριθεισῶν τε καὶ τοῦ πλείστου τῆς γνώμης, Μάξιμόν
B τε καὶ Βαλβῖνον ἀνειπόντες, αὐτοκράτορας ἐποίησαν. τού-
των δὲ ὁ μὲν Μάξιμος, ἔν τε πολλαῖς στρατοπέδων ἀρ-
χαῖς γενόμενος, τῆς τε Ῥωμαίων πόλεως ἔπαρχος κατα-
στάς, ἀνεπιστρόφως τε ἄρξας καὶ ἐν ὑπολήψει παρὰ τοῖς
ὄχλοις φρενῶν τε καὶ ἀγχινοίας καὶ βίου σώφρονος· ὁ δὲ
Βαλβῖνος, γενόμενος μὲν εὐπατρίδης, εἰς δευτέραν τε ὑπα-
τείαν ἐληλακώς, ἐθνῶν τε ἡγησάμενος ἀμέμπτως, τὸ δ' ἦ-
θος ἁπλούστερος. τῆς οὖν χειροτονίας ἐκείνης ἀνειπούσης, σε-
βαστοί τε ἀνηγορεύθησαν, καὶ πάσαις ταῖς βασιλικαῖς τι-
μαῖς ἡ σύγκλητος διὰ δόγματος αὐτοὺς ἐκόσμησεν. ὁ δὲ δῆ-
μος, τούτων ἐν τῷ Καπετωλίῳ πραττομένων, εἴτε ὑπο-
C βαλόντων τινῶν Γορδιανοῦ φίλων καὶ οἰκείων, εἴτε γνόντες
ὑπὸ φήμης, παρεστήκεσαν ταῖς πύλαις, φράξαντες πᾶ-
σαν τὴν εἰς τὸ Καπετώλιον ἄνοδον τῷ πλήθει τῶν ὄχλων,
λίθους τε καὶ ξύλα ἐπεφέροντο, ἀντιπράττοντες τοῖς ὑπὸ
τῆς συγκλήτου ἐψηφισμένοις, καὶ μάλιστα τὸν Μάξιμον
παραιτούμενοι στερρότερον τῆς πόλεως. πολύ τε τὸ ἐπιστρε-
φὲς ἔσχε πρὸς τοὺς φαύλους καὶ κούφους τῶν ὄχλων. ὅθεν
δεδιότες, ἀπηρέσκοντο αὐτῷ, ἐβόων τε καὶ ἠπείλουν ἀπο-
κτενεῖν αὐτούς. ἠξίουν γὰρ τοῦ Γορδιανοῦ γένους βασιλέα
αἱρεθῆναι, τό τε τῆς αὐτοκρατορικῆς ἀρχῆς ὄνομα ἐκείνῳ
D τῷ οἴκῳ καὶ ὀνόματι μένειν. ὁ δὲ Βαλβῖνος καὶ Μάξιμος
ἐκ τοῦ ἱππικοῦ τάγματος τοὺς νεανίας, πάλαι στρατιώτας τε

οἱ ἐν Ῥώμῃ διέτριβον, περιστήσαντες αὐτοῖς ξιφηφόρους, προελθεῖν τε τοῦ Καπετωλίου ἐβιάζοντο, ὑπὸ δὲ πλήθους ξύλων καὶ λίθων ἐκωλύθησαν· ἔστε δὴ ὑποβάλλοντός τινος, αὐτοὶ τὸν δῆμον ἐσοφίσαντο. ἦν τι παιδίον νήπιον τῆς Γορδιανοῦ θυγατρὸς τέκνον, τῷ πάππῳ ὁμώνυμον. πέμψαντες τινὰς τῶν σὺν αὐτοῖς τινὰς, κελεύουσι τὸ παιδίον κομισθῆναι. οἱ δὲ εὑρόντες αὐτὸ ἀθύρον οἴκοι, ἀράμενοι ἐπὶ τῶν ὤμων, διὰ μέσου τοῦ πλήθους δεικνύντες τοῖς ὄχλοις, 476
Γορδιανοῦ τε ἔκγονον λέγοντες, καὶ τῇ αὐτοῦ προσηγορίᾳ A
ἀποκαλοῦντες, ἀνάγουσιν εἰς τὸ Καπετώλιον εὐφημούμενον ὑπὸ τοῦ δήμου καὶ φυλλοβολούμενον. τῆς τε συγκλήτου καίσαρα αὐτὸ ἀποδειξάσης, ἐπειδὴ διὰ τὴν ἡλικίαν οὐχ οἷός τε ἦν προΐστασθαι τῶν πραγμάτων, τῆς τε ὀργῆς ὁ δῆμος ἐπαύσατο, ἠνέσχοντό τε προελθεῖν εἰς τὴν βασιλείαν αὐτήν. συνέβη δὲ κατὰ τοὺς αὐτοὺς χρόνους πταῖσμα ὀλέθριον τῇ Ῥωμαίων πόλει, ἀρχὴν καὶ πρόφασιν λαβὸν ἐξ ἀτόλμου θράσους δύο ἀνδρῶν τῶν ἀπὸ συγκλήτου. συνεληλύθεσαν γὰρ εἰς τὸ βουλευτήριον πάντες, σκεψόμενοι περὶ τῶν καθεστώτων· μαθόντες δὲ οἱ στρατιῶται, οὓς ἐν τῷ στρατοπέδῳ Μαξιμῖνος καταλελοίπει. ἤδη γὰρ πρὸς ἄφιξιν B
τῆς στρατείας ὄντες καὶ δι' ἡλικίαν οἴκοι μεμενηκότες, ἦλθον μέχρι τῆς εἰσόδου τῆς συγκλήτου, βουλόμενοι τὸ πραττόμενον μαθεῖν, ὅπλων μὲν γυμνοὶ, ἐν λιταῖς δὲ ἐσθῆσι καὶ ἐφεστρίσιν. ἑστήκεσαν δὲ μετὰ τοῦ λοιποῦ δήμου. καὶ οἱ μὲν ἄλλοι πρὸ τῶν θυρῶν ἔμενον· δύο δὲ ἢ τρεῖς, περιεργότερον ἐπακοῦσαι τῶν βουλομένων θελήσαντες, εἰς τὸ συνέδριον εἰσῆλθον, ὡς τὸν ἱδρυμένον βωμὸν τῆς νίκης ὑπερβῆναι τούτους. τῆς δὲ συγκλήτου ἀνὴρ ὑπὸ ὑπατείας μὲν νεωστὶ, Γαλλικανὸς ὄνομα, Καρχηδόνιος δὲ τὸ γένος, καὶ ἕτερος στρατηγικὸς τὸ ἀξίωμα, Μαικίνας καλούμενος, οὐδέν τι προσδοκῶντας τοὺς στρατιώτας, ἔχοντας δὲ τὰς χεῖρας ὑπο- C

καθειμένας ταῖς ἐφεστρίσι, παίουσι πληγαῖς καταικαρδίαις
ξίφεσιν οἷς ἐπεφέροντο ὑποκολπίοις. πάντες γὰρ διὰ τὴν
οὖσαν στάσιν τε καὶ ταραχήν, οἱ μὲν φανερῶς, οἱ δὲ καὶ κρύ-
βδην ἐξιφηφόρουν, ἀμυντήρια δῆθεν φέροντες ἑαυτῶν,
διὰ τοὺς αἰφνιδίως ἐπιβουλεύοντας ἐχθρούς. τό τε δὴ οἱ στρα-
τιῶται πληγέντες καί πως ἀπροσδοκήτως προβαλεῖν οὐ
δυνηθέντες, πρὸ τοῦ βωμοῦ ἔκειντο. οἱ δὲ λοιποὶ στρατιῶ-
ται τοῦτο θεασάμενοι, ἐκπλαγέντες τῷ πάθει τῶν συστρα-
τιωτῶν, φοβηθέντες τοῦ δήμου τὸ πλῆθος, ἄνευ τε ὅπλων
ὄντες, ἔφυγον. ὁ δὲ Γαλλικανὸς ἐκδραμὼν τῆς συγκλήτου
D εἰς τὸν δῆμον μέσον, δεικνύς τε τὸ ξίφος καὶ τὴν χεῖρα
ᾑμαγμένην, διεκελεύετο διώκειν καὶ φονεύειν τοὺς ἐχθροὺς
μὲν συγκλήτου καὶ Ῥωμαίων, φίλους δὲ καὶ συμμάχους
Μαξιμίνου. ὁ δὲ δῆμος ῥᾷστα πεισθεὶς, τὸν μὲν Γαλλικα-
νὸν εὐφήμει, τοὺς δὲ στρατιώτας ὡς δυνατὸν ἦν διώκον-
τες, ἔβαλλον λίθοις. οἱ δὲ φθάσαντες, ὀλίγων τινῶν καὶ τρω-
θέντων, εἰς τὸ στρατόπεδον καταφυγόντες, καὶ τὰς πύλας ὡς
ἐδύναντο κλείσαντες, ὅπλα δὲ ἀναλαβόντες, ἐφρούρουν
477 τὸ τεῖχος τοῦ στρατοπέδου. ὁ δὲ Γαλλικανὸς ἅπαξ τολμήσας
A ἔργον τηλικοῦτον, ἐμφύλιον πόλεμον καὶ ὄλεθρον μέγαν ἤ-
γειρε τῇ πόλει. τάς τε γὰρ δημοσίας ἀποθήκας τῶν ὅπλων,
εἴ τινες ἦσαν πρὸς πομπὴν μᾶλλον ἢ μάχην ἐπιτήδειοι,
ἀναρρῆξαι τοὺς ὄχλους ἔπεισε, τό, τε σῶμα ἕκαστος φράτ-
τεσθαι ὡς οἷός τε ἦν· τά τε τῶν μονομάχων καταγώγια ἀ-
νοίξας, ἐξήγαγε τοῖς οἰκείοις ὅπλοις ἕκαστον ἐξηρτυμένον.
ὅσα τε ἦν οἰκίαις ἢ ἐργαστηρίοις δόρατα ἢ ξίφη, πελέκεις τε,
πάντα διηρπάζετο. ὅ, τε δῆμος ἐνθουσιῶν, πᾶν τὸ ἐμπί-
πτον ὕλης ἀξιομάχου ἐργαλεῖον, ὅπλον ἐποιεῖτο. ἀθροι-
B σθέντες οὖν ἐπῆλθον τῷ στρατοπέδῳ, καὶ ὡς πολιορκή-
σοντες αὐτὸ δῆθεν, προσέβαλλόν τε ταῖς πύλαις καὶ τοῖς
τείχεσιν. οἱ δὲ στρατιῶται μετὰ πολλῆς ἐμπειρίας ὡπλι-

σμένοι τε τὰς ἐπάλξεις καὶ τὰς ἀσπίδας, τόξοις τε αὐτοὺς βάλλοντες καὶ δόρασι μακροῖς ἀπείργοντες, τοῦ τείχους ἀπεδίωκον. ὡς δὲ καμὼν ὁ δῆμος, οἵ τε μονομάχοι τιτρωσκόμενοι, ἤδη καὶ ἑσπέρας προσιούσης, ἀπελθεῖν ἠθέλησαν, θεασάμενοι αὐτοὺς οἱ στρατιῶται ἐπεστραμμένους καὶ τὰ νῶτα δεδωκότας, ἀπιόντας τε ἀμελέστερον, οἰομένους μὴ τολμήσειν ἐπεξελθεῖν ὀλίγους πλήθει τοσούτῳ, ἀνοίξαντες αἰφνιδίως τὰς πύλας, ἐπέδραμον τῷ δήμῳ, καὶ C

τούς τε μονομάχους ἀπέκτειναν, τοῦ τε δήμου μέγα τι πλῆθος ἀπώλετο ὠθούμενον. οἱ δὲ, τοσοῦτον διώξαντες ὅσον μὴ πολύ τι τοῦ στρατοπέδου ἀποστῆναι, πάλιν ἐπανῆλθον, ἐντός τε τοῦ τείχους ἔμενον. ἐντεῦθεν μείζων ἡ ὀργὴ τοῦ τε δήμου καὶ τῆς συγκλήτου ἐγένετο. στρατηγοί τε οὖν κατελέγοντο, ἔκ τε πάσης Ἰταλίας λογάδες ἥ τε νεολαία πᾶσα ἠθροίζετο, ὅπλοις τε αὐτοσχεδίοις καὶ τοῖς προστυχοῦσιν ὡπλίζετο. τούτων δὴ τὸ μὲν πλεῖστον μέρος ὁ Μάξιμος σὺν αὑτῷ ἀπήγαγεν, ὡς δὴ Μαξιμίνῳ πολεμήσων· οἱ δὲ λοιποὶ ἔμειναν ὡς τὴν πόλιν φρουροῖέν τε καὶ προασπί- D

ζοιεν αὐτῆς. ἑκάστοτε οὖν τῷ τείχει τοῦ στρατοπέδου ἐγίνοντο προσβολαί. ἔπραττον δὲ οὐδὲν, προμαχομένων ἄνωθεν τῶν στρατιωτῶν. οἱ δὲ, βαλλόμενοι καὶ τιτρωσκόμενοι, κακῶς ἀπηλλάγησαν. ὁ δὲ Βαλβῖνος οἴκοι μένων, διάταγμά τι προθεὶς, ἱκέτευε τὸν δῆμον εἰς διαλλαγὰς χωρῆσαι· τοῖς τε στρατιώταις ὑπισχνεῖτο ἀμνηστίαν, ἄφεσίν τε πάντων ἐδίδου ἁμαρτημάτων. ἀλλ' οὐδ' ἑτέρους ἔπεισε. τὸ δὲ δεινὸν ἑκάστοτε ηὔξετο, τοῦ μὲν τοσούτου δήμου ἀπαξιοῦντος ὑπ' ὀλίγων καταφρονηθῆναι, τῶν 478

A δὲ στρατιωτῶν ἀγανακτούντων ὅτι δὴ ταῦτα ὑπὸ Ῥωμαίων ὡς ὑπὸ βαρβάρων πάσχοιεν. τὸ δὴ τελευταῖον, ἐπειδὴ τειχομαχοῦντες οὐδὲν ἔπραττον, ἔδοξε

τοῖς στρατηγοῖς ἐκκόψαι πάντας τοὺς εἰσρέοντας εἰς τὸ στρα-
τόπεδον ἀγωγοὺς ὕδατος, σπάνει τε ποτοῦ καὶ ἐνδείᾳ ῥεί-
θρων αὐτοὺς παραστήσαντες. προσπεσόντες οὖν, πᾶν τὸ ὕ-
δωρ τοῦ στρατοπέδου εἰς ἕτερα ῥεῖθρα μετωχέτευον, ἐκκό-
πτοντες καὶ εἰσφράττοντες τὰς εἰς τὸ στρατόπεδον εἰσόδους
αὐτοῦ. οἱ δὲ στρατιῶται ὁρῶντες τὸν κίνδυνον, ἐν ἀπογνώσει
δὲ γενόμενοι, τὰς πύλας ἀνοίξαντες ἐπεξῆλθον. μάχης τε
καρτερᾶς γενομένης καὶ φυγῆς τῶν δημοτῶν, ἐπὶ πολὺ τῆς
πόλεως διώκοντες οἱ στρατιῶται προὔβησαν. ἐπεὶ δὲ οἱ ὄ-
B χλοι ταῖς συσταδὸν μάχαις ἡττώμενοι, ἀναπηδῶντες εἰς τὰ
δώματα, τῷ τε κεράμῳ βάλλοντες αὐτοὺς καὶ λίθων βο-
λαῖς, τῶν τε ἄλλων ὀστράκων, ἐλυμαίνοντο, ἐπαναβῆναι μὲν
αὐτοῖς δι' ἄγνοιαν τῶν οἰκήσεων, οὐκ ἐτόλμησαν οἱ στρατιῶ-
ται· κεκλεισμένων δὲ τῶν οἰκιῶν καὶ τῶν ἐργαστηρίων ταῖς
θύραις, καὶ εἴ τινες ἦσαν ξύλων ἐξοχαί, (πολλαὶ δὲ αὗται
κατὰ τὴν πόλιν) πῦρ προσετίθεσαν. ῥᾷστα δὲ διὰ πυκνότητα
τῶν συνοικιῶν, ξυλείας τε πλῆθος ἐπάλληλον, μέγιστον μέ-
ρος τῆς πόλεως τὸ πῦρ ἐνεμήθη, ὡς πολλοὺς μὲν ἐκ πλουσίων
ποιῆσαι πένητας, ἀποβαλόντας θαυμαστὰ καὶ ἀμφιλαφῆ
C κτήματα, ἔν τε προσόδοις πλουσίαις, καὶ ἐν ποικίλῃ πολυ-
τελείᾳ τίμια. πλῆθός τε ἀνθρώπων συγκατεφλέχθη, φυ-
γεῖν μὴ δυνηθέντων, διὰ τὸ τὰς ἐξόδους ὑπὸ τοῦ πυρὸς
προκατειλῆφθαι. οὐσίαι τε ὅλαι πλουσίων ἀνδρῶν διηρπά-
γησαν, ἐγκαταμιξάντων ἑαυτοὺς τοῖς στρατιώταις πρὸς τὸ
ἁρπάζειν κακούργων καὶ ἀτελῶν δημοτῶν. τοσοῦτον δὲ
μέρος τῆς πόλεως τὸ πῦρ ἐλυμήνατο, ὡς μηδεμίαν τῶν
μεγίστων πόλεων ὁλόκληρον δύνασθαι τῷ μέρει ἐξισω-
θῆναι. καὶ τὰ μὲν κατὰ τὴν Ῥώμην τοιαῦτα ἦν. ὁ δὲ
Μαξιμῖνος ἀνύσας τὴν ὁδοιπορίαν, ἐπέστη τοῖς τῆς Ἰτα-
λίας ὅροις· θύσας τε ἐπὶ τῶν μεθορίων βωμῶν, τῆς ἐπ'

Ἰταλίαν εἰσβολῆς εἴχετο. ἐκέλευσέ τε πάντα τὸν στρατὸν
ἐν ὅπλοις εἶναι, καὶ μετ' εὐταξίας προσχωρεῖν. τὴν D
μὲν οὖν Λιβύης ἀπόστασιν, καὶ τὸν κατὰ τὴν Ῥώμην ἐμ-
φύλιον πόλεμον, τά τε Μαξιμίνῳ πραχθέντα, καὶ
τὴν εἰς Ἰταλίαν ἄφιξιν αὐτοῦ ἐδηλώσαμεν. τὰ δὲ ἑπό-
μενα ἐν τοῖς ἑξῆς λεχθήσεται.

ΗΡΩΔΙΑΝΟΥ ΤΗΣ μετὰ Μάρκον βασιλείας βιβλίον ὄγδοον.

ΤΑ μὲν δὴ Μαξιμίνῳ πραχθέντα μετὰ 479
τὴν Γορδιανοῦ τελευτήν, ἥ τε εἰς Ἰτα- A
λίαν ἄφιξις αὐτοῦ, Λιβύης τε ἀπόστασις,
καὶ ἡ ἐν Ῥώμῃ τῶν στρατιωτῶν πρὸς τὸν
δῆμον διαφορά, ἐν τοῖς πρὸ τούτων λέ-
λεκται. ὁ δὲ Μαξιμῖνος ἐπιστὰς τοῖς ὅροις, προύπεμψε
σκοποὺς τοὺς ἐρευνήσοντας μή τινες ἐνέδραι ἐν κοιλάσιν ὀ-
ρῶν, ἢ λόχμαις, ὕλαις τε κρύφιοι εἶεν. αὐτός τε καταγα-
γὼν εἰς τὸ πεδίον τὸν στρατόν, τὰς μὲν τῶν ὁπλιτῶν φάλαγ-
γας ἐς τετράγωνα ἔταξε σχήματα, ἐπιμήκεις μᾶλλον ἢ
βαθείας, ὡς ἂν πλεῖστον τοῦ πεδίου διαλάβοιεν. τὰ δὲ σκευο-
φόρα πάντα κτήνη τε καὶ ὀχήματα, ἐν μέσῳ τάξας, αὐ- B
τὸς ἅμα τοῖς δορυφόροις ὀπισθοφυλακῶν εἵπετο. ἑκατέρω-
θεν δὲ παρέθεον αἵ τε τῶν καταφράκτων ἱππέων ἶλαι, καὶ
Μαυρούσιοι ἀκοντισταί, τοξόται τε οἱ ἀπὸ τῆς ἀνατολῆς·
καὶ Γερμανῶν ἱππέων μέγα τι πλῆθος ἐπήγετο συμμά-

χοις. ἐκείνοις γὰρ μάλιστα περιεβάλλετο, ἵν' ἐκδέχωνται τῶν πολεμίων τὰς πρώτας ἐμβολάς, θυμοειδεῖς ὄντες καὶ εὔτολμοι ἐν ἀρχομένῃ μάχῃ· εἰ δ' ἄρα καὶ κινδυνεύειν δέοι, εὐκαταφρόνητοι ὡς βάρβαροι. ὡς δὲ πᾶν τὸ πεδίον διῆλθεν ὁ στρατὸς μετ' ἀκοσμίας τε καὶ ἀταξίας, ἐπέστη-
C σαν πρώτῃ Ἰταλίας πόλει, ἣν καλοῦσιν Ἠμᾶν οἱ ἐπιχώριοι. πρόκειται δὲ αὕτη ἐπ' ἀκροτάτῳ πεδίῳ, ἱδρυμένη πρὸ τῆς ὑπωρείας τῶν Ἄλπεων. ἔνθα ὑπαντώμενοι τῷ Μαξιμίνῳ οἱ προφύλακες καὶ σκοποὶ τοῦ στρατοῦ, ἤγγειλαν κενὴν ἀνθρώπων εἶναι τὴν πόλιν, πανδημεί τε πεφευγέναι, ἐμπρήσαντας τὰς θύρας ἱερῶν τε καὶ οἰκιῶν, πάντα τε ὅσα ἦν ἐν τῇ πόλει ἤτοι ἀγροῖς, ἃ μὲν ἐκφορήσαντας, ἃ δὲ καταπρήσαντας· καὶ μήτε ὑποζυγίοις, μήτε ἀνθρώποις καταλελεῖφθαι τροφάς. ὁ δὲ Μαξιμῖνος ἥσθη μὲν ἐπὶ τῇ τῶν Ἰταλιωτῶν εὐθὺς φυγῇ, ἐλπίζων πάντας τοὺς δήμους τοῦτο ποιήσειν, οὐχ ὑπομένοντας τὴν ἔφοδον αὐτοῦ. ὁ δὲ στρα-
D τὸς ἤχθετο εὐθὺς ἐν ἀρχῇ λιμοῦ πειρώμενος. διανυκτερεύσαντες οὖν, οἱ μὲν ἐν τῇ πόλει ἐν ἀθύροις καὶ κοιναῖς πάντων οἰκίαις, οἱ δὴ ἐν τῷ πεδίῳ ἅμα ἡλίῳ ἀνίσχοντι, ἐπὶ
480 τὰς Ἄλπεις ἠπείγοντο ἅπερ ὄρη ὑπερμήκη, ὥσπερ τεῖχος
A Ἰταλίας, ἡ φύσις ἤγειρεν, ὑπερνεφῆ μὲν τὸ ὕψος, ἐπιμηκέστατα δέ, ὡς πᾶσαν Ἰταλίαν διειληφότα καθήκειν· ἐν μὲν τοῖς δεξιοῖς Ἰταλίας μέρεσιν, εἰς τὸ Τυῤῥηναῖον πέλαγος· ἐν δὲ τοῖς λαιοῖς, εἰς τὸν Ἰόνιον κόλπον. σκέπεται δὲ ὕλαις δασείαις καὶ πυκναῖς. τὰς δὲ διεξόδους ἐστένωται, ἢ διὰ κρημνοὺς εἰς βάθος μέγιστον ἀποῤῥωγότας, ἢ διὰ πετρῶν τραχύτητα. στενωποὶ γάρ εἰσι χειροποίητοι μετὰ πολλοῦ καμάτου τοῖς πάλαι Ἰταλιώταις εἰργασμένοι. μετὰ δέους οὖν πολλοῦ διῄει
B ὁ στρατός, ἐλπίζοντες τάς τε ἄκρας κατειλῆφθαι, πεφράχθαι τε τὰς διόδους ἐς κώλυμα τῆς αὐτῶν διαβάσεως. ἤλπιζον δὲ καὶ ἐδεδοίκεσαν εἰκότα, τῶν χωρίων τεκμαι-

ρόμενοι τὴν φύσιν. ὡς δὲ διέβησαν ἀκωλύτως, μηδενὸς ἐμποδὼν γενομένου, καταβαίνοντες εἰς τὸ στρατόπεδον, ἤδη ἀνεθάρρησάν τε καὶ ἐπηγαύρισαν. ῥᾷστά τε αὐτῷ πάντα προχωρήσειν ὁ Μαξιμῖνος ἤλπισεν, Ἰταλῶν μηδὲ ταῖς δυσχωρίαις τεθαῤῥηκότων, ἔνθα ἢ κρύπτειν ἑαυτοὺς καὶ σώζειν ἠδύναντο, ἢ δι' ἐνέδρας ἐπιβουλεῦσαι, μάχεσθαί τε ἄνωθεν, ἐξ ὑπερκειμένων χωρίων. γενομένων δὲ αὐ- C
τῶν ἐν τῷ πεδίῳ, οἱ σκοποὶ ἀπήγγειλαν, πόλιν Ἰταλίας τὴν μεγίστην, Ἀκυλη̈ίαν δὲ καλουμένην, κεκλεῖσθαι· τὰς δὲ προπεμφθείσας φάλαγγας τῶν Παιόνων, προθύμως μὲν τειχομαχῆσαι, πολλάκις δὲ προσβαλούσας, ἀνύειν οὐδέν· ἀπαγορεύειν δὲ καὶ ἀναχωρεῖν βαλλομένους λίθοις τε καὶ δόρασι, τόξων τε πλήθει. ὁ δὲ Μαξιμῖνος ἀγανακτήσας πρὸς τοὺς στρατηγοὺς τῶν Παιόνων, ὡς ἀμελέστερον μαχομένους, αὐτὸς σὺν τῷ στρατῷ ἠπείγετο, ἐλπίζων ῥᾷστα αἱρήσειν τὴν πόλιν. ἡ δὲ Ἀκυλη̈ία καὶ πρότερον μὲν (ἅτε μεγίστη πόλις) ἰδίου δήμου πολυάνθρωπος ἦν, καὶ ὥσ- D
περ τι ἐμπόριον Ἰταλίας ἐπὶ θαλάττῃ προκειμένη, καὶ πρὸ τῶν Ἰλλυρικῶν ἐθνῶν πάντων ἱδρυμένη. τά τε ἀπὸ τῆς ἠπείρου διὰ γῆς ἢ ποταμῶν κατακομιζόμενα, παρεῖχεν ἐμπορεύεσθαι τοῖς πλέουσι· τά τε ἀπὸ θαλάττης τοῖς ἠπειρώταις ἀναγκαῖα, ὧν ἡ παρ' ἐκείνοις χώρα διὰ χειμῶνος οὐκ ἦν εὔφορος, ἀνέπεμπεν εἰς τὴν ἄνω γῆν· πρὸς οἶνόν τε μάλιστα πολύγονον χώραν γεωργοῦντες, ἀφθονίαν ποτοῦ παρεῖχε τοῖς ἄμπελον μὴ γεωργοῦσιν. ἔνθεν πολύ τι πλῆ- 481
θος ἐπεδήμει οὐ πολιτῶν μόνον, ἀλλὰ ξένων τε καὶ ἐμπό- A
ρων. τότε δὴ μᾶλλον ἐπολυπλασιάσθη τὸ πλῆθος, τῶν ὄχλων πάντων ἐξ ἀγρῶν ἐκεῖσε συῤῥεόντων, πολίχνας τε καὶ κώμας τὰς περικειμένας καταλιπόντων, πιστευσάντων δὲ αὐτοῖς τῷ τε μεγέθει τῆς πόλεως, καὶ τῷ προβεβλημένῳ τείχει, ὃ παλαιότατον, ἐκ τοῦ πλείστου μέρους πρότερον μὲν κατε-

ἐρήρειπτο, ἅτε μετὰ τὴν Ῥωμαίων ἀρχὴν μηκέτι τῶν ἐν Ἰταλίᾳ πόλεων, ἢ τειχῶν ἢ ὅπλων δεηθεισῶν, μεταλαβουσῶν δὲ ἀντὶ πολέμων εἰρήνην βαθεῖαν, καὶ τῆς παρὰ Ῥωμαίοις πολιτείας κοινωνίαν· τότε ἡ χρεία ἠπείγε τὸ
B τεῖχος ἀνανεώσασθαι, τά τ' ἐρείπια ἀνοικοδομῆσαι, πύργους τε καὶ ἐπάλξεις ἐγεῖραι. τάχιστα οὖν φράξαντες τῷ τείχει τὴν πόλιν, τάς τε πύλας κλείσαντες, πανδημεὶ ἐπὶ τῶν τειχῶν νύκτωρ τε καὶ μεθ' ἡμέραν ἱδρυμένοι, τοῖς προσιοῦσιν ἀπεμάχοντο. ἐστρατήγουν δὲ αὐτῶν καὶ πάντα εἶχον διὰ φροντίδος ἄνδρες δύο, ἀπὸ ὑπατείας μὲν, ἐπιλεχθέντες δὲ ὑπὸ τῆς συγκλήτου. ὧν ὁ μὲν, Κρισπῖνος, ὁ δὲ Μηνόφιλος ἐκαλεῖτο. καὶ μετὰ πολλῆς προνοίας τά τε ἐπιτήδεια πάμπλειστα εἰσεκομίσαντο, ὡς ἐκτένειαν ἔτι, εἰ καὶ ἐπιμηκεστέρα γένοιτο πολιορκία. ἦν δὲ καὶ ὕδατος ἀ-
C φθονία φρεατιαίου. πολλὰ γὰρ τὰ ὀρύγματα ἐν τῇ πόλει, ποταμός τε παραρρεῖ τὸ τεῖχος, ὁμοῦ παρέχων τε προβολὴν τάφρου καὶ χορηγίαν ὕδατος. τὰ μὲν οὖν ἐν τῇ πόλει οὕτω παρεσκεύαστο. τῷ δὲ Μαξιμίνῳ, ἐπειδὴ ἀπηγγέλη φρουρουμένη, καὶ κεκλεισμένη γενναίως ἡ πόλις, ἔδοξε πέμψαι ἐν σχήματι πρεσβείας τοὺς κάτωθεν διαλεξομένους, εἰ ἄρα πείσειεν αὐτοὺς ἀνοῖξαι τὰς πύλας. ἦν δὲ ἐν τῷ στρατῷ χιλίαρχος, ᾧ πατρὶς μὲν ἡ Ἀκυληΐα ἦν· τέκνα τε καὶ γυνὴ, οἰκεῖοί τε πάντες ἔνδον ἀπεκέκλειντο. τοῦτον οὖν ἔπεμψε σὺν ἑτέροις ἑκατοντάρχαις, ἐλπίσας ῥᾷστα πείσειν ὡς πολίτην. ἀφικόμενοι δὲ οἱ πρέσβεις ἔλεγον ὅτι ἄ-
D ρα κελεύει Μαξιμῖνος ὁ κοινὸς βασιλεὺς, ὅπλα μὲν αὐτοὺς καταθέσθαι ἐν εἰρήνῃ, φίλον δὲ ἀντὶ πολεμίου δέχεσθαι· σπονδαῖς δὲ μᾶλλον καὶ θυσίαις σχολάζειν ἢ φόνοις· μηδὲ περιορᾶν πατρίδα μέλλουσαν ἄρδην καὶ ἐκ θεμελίων ἀπόλλυσθαι, ἐξὸν αὐτοῖς τε σώζεσθαι καὶ τὴν πατρίδα σώζειν, διδόντος αὐτοῖς χρηστοῦ βασιλέως ἀμνηστίαν, συγγνώμην τε

μίῳ τε τῶν ἁμαρτηθέντων. οὐ γὰρ αὐτοὺς αἰτίους γεγενῆσθαι, ἀλλ' ἄλλους. οἱ μὲν οὖν πρέσβεις τοιαῦτά τινα κάτω παρεστῶτες ἐβόων, ὡς ἐξάκουστα εἴη. ὁ δὲ πλεῖστος δῆμος, τῷ 482
τείχει καὶ τοῖς πύργοις ἐφεστὼς, πλὴν τῶν τὰ λοιπὰ μέρη A
φρουρούντων, ἐπήκουεν ἡσυχάζων τῶν λεγομένων. ὁ δὲ Κρισπῖνος φοβηθεὶς μή πως ἅτε ὄχλος ταῖς ὑποσχέσεσιν ἀναπεισθεὶς, εἰρήνην τε ἀντὶ πολέμου ἑλόμενος, ἀνοίξῃ τὰς πύλας, περιθέων τὸ τεῖχος, ἐδεῖτο καὶ ἐλιπάρει μένειν τε θαρραλέως καὶ ἀντέχειν γενναίως, μηδὲ προδιδόναι τὴν
πρὸς τὴν σύγκλητον καὶ Ῥωμαίων δῆμον πίστιν· σωτῆρας B
δὲ καὶ προμάχους Ἰταλίας πάσης ἀναγραφῆναι, μὴ πιστεύειν δὲ ὑποσχέσει τυράννου ἐπιόρκου τε καὶ ἀπατεῶνος, μηδὲ χρηστοῖς λόγοις δελεασθέντας ὀλέθρῳ προύπτῳ παραδοθῆναι, ἐξὸν πιστεῦσαι πολέμου ἀμφιβόλῳ τύχῃ· (πολλάκις γὰρ καὶ ὀλίγοι πλειόνων περιεγένοντο, καὶ δοκοῦντες ἀσθενέστεροι, καθεῖλον τοὺς ἐν ὑπολήψει ἀνδρείας μείζονος) μηδὲ ἐκπλήττεσθαι τῷ πλήθει τοῦ στρατοῦ. οἱ μὲν γὰρ ὑπὲρ ἄλλου μαχόμενοι, καὶ τῆς παρ' ἑτέρων ἐσομένης εὐδαιμονίας, εἴπερ γένοιτο, μετριάζουσιν ἐν τῷ προθύμῳ
τῆς μάχης, εἰδότες ὡς τῶν μὲν κινδύνων αὐτοὶ μεθέ- C
ξουσι, τὰ δὲ μέγιστα καὶ κορυφαῖα τῆς νίκης ἄλλος καρπώσεται· τοῖς δὲ ὑπὲρ τῆς πατρίδος μαχομένοις, καὶ παρὰ τῶν θεῶν ἐλπίδες κρείττους, ἐπειδὴ οὐ τὰ ἄλλων λαβεῖν, ἀλλὰ τὰ αὑτῶν σώζειν εὔχονται· τό, τε ἐς τὰς μάχας πρόθυμον, οὐκ ἐξ ἄλλου κελεύσεως, ἀλλ' ἐξ οἰκείας ἀνάγκης ἔχουσιν, ἐπεὶ καὶ τῆς νίκης πᾶς ὁ καρπὸς αὐτοῖς περιγίνεται. τοιαῦτά τινα λέγων ὁ Κρισπῖνος, καὶ πρὸς ἑκάστους καὶ κοινῇ, φύσει μὲν καὶ ἄλλως αἰδέσιμος ὢν, ἔν τε τῇ Ῥω-
μαίων φωνῇ εὐπρόσφορος ἐν λόγοις, ἐπιεικῶς τε αὐτῶν D
προεστὼς, ἔπεισε μένειν ἐν τοῖς προκειμένοις, τούς τε πρέσβεις ἀπράκτους ἀπιέναι ἐκέλευσεν. ἐλέγετο δὲ τῇ ἀν-

σίας τοῦ πολέμου ἐμμεμενηκέναι, πολλῶν ἔνδον ὄντων περὶ
θυτικήν τε καὶ ἡπατοσκοπίας ἐμπειρίαν, τά τε ἱερὰ αἴ-
σια ἀπαγγελλόντων. μάλιστα γὰρ τῇ σκέψει ταύτῃ πιστεύου-
σιν Ἰταλιῶται. καὶ χρησμοὶ δέ τινες ἐδίδοντο ὡς δὴ τοῦ ἐπι-
χωρίου θεοῦ νίκην ὑπισχνουμένου· Βέλιν δὲ καλοῦσι
483 τοῦτον, σέβουσί τε ὑπερφυῶς, Ἀπόλλωνα εἶναι ἐθέλοντες. οὗ
A καὶ τὴν εἰκόνα ἔλεγόν τινες τῶν Μαξιμίνου στρατιωτῶν
φανῆναι πολλάκις ἐν ἀέρι ὑπὲρ τῆς πόλεως μαχομένην.
ὅπερ εἴτε ἀληθῶς ἐφαντάσθη τισὶν, ἢ καὶ βουλομένοις μὴ
ἀσχημονεῖν τοσοῦτον στρατὸν πρὸς ὄχλον δημοτῶν πολὺ ἐ-
λάττονα μὴ ἀντισχόντα, δοκεῖν δὲ ὑπὸ θεῶν, ἀλλὰ μὴ ὑπὸ
ἀνθρώπων νενικῆσθαι, εἰπεῖν οὐκ ἔχω. τὸ δὲ παράδοξον τῆς
ἀποβάσεως ποιεῖ πάντα πιστεῦσαι. πλὴν τῶν πρέσβεων ἀ-
πράκτων πρὸς Μαξιμῖνον ἐπανελθόντων, ὀργῇ καὶ θυ-
B μῷ χρώμενος πλείονι μᾶλλον, ἠπείγετο. ἐπεὶ δὲ ἐγένετο
πρός τινι ποταμῷ μεγίστῳ, ἀπέχοντι τῆς πόλεως σημεῖα
ἑκκαίδεκα, τὸ ῥεῖθρον εὗρε διά τε μεγίστου βάθους καὶ πλά-
τους φερόμενον. τῶν γὰρ ὑπερκειμένων ὀρῶν τὰς δι' ὅλου τοῦ
χειμῶνος παγείσας χιόνας λύουσα ἡ τοῦ ἔτους ὥρα, παμ-
μεγέθη τὸν χειμάρρουν εἰργάζετο. ἄπορος οὖν ἦν ἡ διάβα-
σις τῷ στρατῷ. τὴν γὰρ γέφυραν ἔργον μέγα καὶ κάλλιστον
ὑπὸ τῶν πάλαι βασιλέων γεγενημένον, ἐκ τετραπέδων
λίθων, πυλῶσι κατ' ὀλίγον αὐξανομέναις ὑπειλημμένον,
διηρήκεσαν καὶ καταλελύκεσαν οἱ Ἀκυλήσιοι. οὔτε οὖν γε-
C φύρας οὔσης, οὔτε νεῶν, ὁ στρατὸς ἐν ἀφασίᾳ καθειστήκει.
Γερμανοὶ δέ τινες οὐκ εἰδότες τῶν Ἰταλιωτῶν ποταμῶν τὰ
σφοδρὰ καὶ καταρρηγνύμενα ῥεύματα, οἰόμενοι δὲ σχολαί-
τερα ἐπινήχεσθαι τοῖς πεδίοις, ὥσπερ παρ' αὐτοῖς (διὸ καὶ
πήγνυται ῥᾳδίως, μὴ σφοδρῶς κινουμένου τοῦ ῥεύματος) ἐπεισ-
πηδήσαντες ἅμα τοῖς ἵπποις διανήχεσθαι εἰθισμένοις, παρ-
ενεχθέντες ἀπώλοντο. δύο μὲν οὖν ἢ τριῶν ἡμερῶν σκη-

νοποιησάμενος ὁ Μαξιμῖνος, τάφρου τῷ στρατῷ περιβληθείσης, μή τινες ἐπέλθοιεν, ἔμεινεν ἐπὶ τῇ καθ' αὑτὴν ὄχθῃ, σκεψάμενος ὅπως τὸν ποταμὸν γεφυρώσῃ. ἐπεὶ δὲ ξύλων ἦν D
ἀπορία καὶ νεῶν, αἷς ἔδει ζευχθείσαις γεφυρῶσαι τὸ ῥεῖθρον, ἐπέβαλόν τινες τῶν τεχνιτῶν πολλὰ εἶναι κενὰ οἰνοφόρα σκεύη περιφερῆ ξύλου ἐν τοῖς ἐρήμοις ἀγροῖς, οἷς ἐχρῶντο μὲν πρότερον οἱ κατοικοῦντες εἰς ὑπηρεσίαν ἑαυτῶν, καὶ παραπέμπειν τὸν οἶνον ἀσφαλῶς τοῖς δεομένοις. ἅπερ ὄντα κοῖλα δίκην νεῶν, ἀλλήλοις συνδεθέντα, ἐπινήξεσθαι μὲν ἔμελλεν ὥσπερ σκάφη, μὴ παρενεχθήσεσθαι δὲ, διὰ τὸ τοῦ δεσμοῦ τὸ ἐπάλλη- 484
λον, φρυγάνων τε ἄνωθεν ἐπιβληθέντων, χοῦ τε τῆς γῆς μετρί- A
ως ἐς αὐτὰ συμφορηθέντος χειρὶ πολλῇ καὶ σπουδῇ. ἑστῶτος οὖν αὐτοῦ διαβὰς ὁ στρατὸς, ἐπὶ τὴν πόλιν ἐχώρει. τὰ μὲν οἰκοδομήματα τῶν προαστείων ἔρημα εὕρισκον, ἀμπέλους μέντοι καὶ δένδρα πάντα ἐξέκοπτον. ἃ δὲ ἐνεπίμπρασαν, καὶ τὴν πρότερον τοῖς χωρίοις ὑπάρχουσαν ὥραν καὶ ἠχρείουν. δένδρων γὰρ στοίχοις ἴσοις ἀμπέλων τε πρὸς ἀλλήλας δέσεις πανταχόθεν ἠρτημένων ἐν ἑορτῆς σχήματι, στεφάνῳ ἄν τις τὴν χώραν κεκοσμῆσθαι ἐτεκμήρατο. ἅπερ πάντα ῥιζόθεν ἐκκόψας ὁ στρατὸς, ἐπὶ τὰ τείχη ἠπείγετο. κεκμηκότι δὲ αὐτῷ προσβα- B
λεῖν εὐθέως οὐκ ἔδοξε. μείναντες δὲ ἔξω τοξεύματος, καὶ διαιρεθέντες κατὰ λόχους καὶ φάλαγγας, περὶ πᾶν τὸ τεῖχος, ὡς ἑκάστοις κατὰ μέρος προσετέτακτο, μιᾶς ἡμέρας ἀναπαυσάμενοι, τοῦ λοιποῦ εἴχοντο τῆς πολιορκίας. μηχανάς τε οὖν παντοίας προσέφερον. καὶ τειχομαχοῦντες παντὶ σθένει, οὐδὲν παρέλειπον εἶδος πολιορκίας. πολλῶν δὲ καὶ σχεδὸν ἑκάστης ἡμέρας γινομένων προσβολῶν, καὶ παντὸς τοῦ στρατοῦ ὥσπερ σαγηνευσάντων τὴν πόλιν, μετὰ πολλῆς βίας καὶ προθύμου μάχης τειχομαχοῦντες ἀντεῖχον οἱ Ἀκυλήσιοι· νεὼς C
μὲν καὶ οἰκίας ἀποκλείσαντες, πανδημεὶ δὲ ἅμα παισὶ καὶ γυναιξὶν ἄνωθεν ἐπάλξεών τε καὶ πύργων ἀπομαχό-

μένοι· οὐδὲ ἦν οὕτως ἄχρηστος ἡλικία ὡς μὴ μετέχειν
τῆς ὑπὲρ τῆς πατρίδος μάχης. τὰ μὲν γὰρ προάστεια, καὶ
εἴ τι τῶν πόλεων ἔξωθεν ἦν, ὑπὸ τοῦ Μαξιμίνου στρατοῦ
κατέστραπτο, τῇ τε ξυλείᾳ τῶν οἰκοδομημάτων εἰς τὰς
μηχανὰς κατακέχρηντο. ἐβιάζοντο δὲ τοῦ τείχους κἂν μέ-
ρος τι καθελεῖν, ἵν' ἐπεισελθὼν ὁ στρατὸς πάντα τε διαρ-
πάσῃ, καὶ κατασκάψας τὴν πόλιν, μηλόβοτον καὶ ἔρη-
D μον τὴν χώραν καταλείπῃ. οὐδὲ γὰρ ἄλλως αὐτῷ τὴν ἐπὶ
Ῥώμην ὁδὸν εὐπρεπῆ καὶ ἔνδοξον ἔσεσθαι, μή, τῆς πρώ-
της ἐν Ἰταλίᾳ πόλεως ἀντιστάσης, καθαιρεθείσης. ὑποσχέ-
σεσί τε οὖν δωρεῶν καὶ δεήσεσιν αὐτός τε καὶ ὁ υἱὸς αὐτοῦ,
ὃν πεποιήκει Καίσαρα, περιθέοντες ἵπποις ἐποχούμενοι, τὸν
στρατὸν αἰέπιθον λιπαροῦντες, εἰς προθυμίαν τε ἐγείρον-
τες. οἱ δὲ Ἀκυλήσιοι λίθοις τε ἔβαλλον ἄνωθεν, καὶ κιρνῶν-
τες θείῳ τε καὶ ἀσφάλτῳ, πίσσαν ἐλόντες, κοίλοις σκεύεσιν
ἐμβαλόντες λαβὰς ἐπιμήκεις ἔχουσι, καὶ πυρώσαντες, ἅ-
μα τῷ προσπελάζειν τοῖς τείχεσι τὸν στρατόν, κατεσκεδάν-
485 νυσαν, καταχέοντες ὄμβρου δίκην ὁμοθυμαδόν. φερομένη
A δὲ ἡ πίσσα σὺν οἷς προείρηται, δυομένη τε διὰ τῶν γεγυ-
μνωμένων μερῶν τοῦ σώματος, εἰς πᾶν ἐχεῖτο, ὥς τε τοὺς θώ-
ρακας αὐτοὺς πεπυρωμένους ἀπορρίπτειν, καὶ τὰ λοιπὰ ὅ-
πλα ὧν ὁ σίδηρος ἐθερμαίνετο. τά τε ἐκ βυρσῶν τε καὶ
ξύλων ἐφλέγετο καὶ συνείλκετο, ἦν γοῦν ἰδεῖν γυμνουμέ-
νους τοὺς στρατιώτας αὐτοὺς ἐφ' ἑαυτῶν, καὶ σκύλων ὄψιν ὅ-
πλα παρεῖχεν ἐρριμμένα, σοφίᾳ τέχνης, ἀλλ' οὐκ ἀν-
δρείᾳ μάχης περιῃρημένα. ἔκ τε τοῦ τοιούτου, πάμπλειστον
πλῆθος τοῦ στρατοῦ, τάς τε ὄψεις ἐπηροῦντο, καὶ τὸ πρόσω-
B πον ἠκρωτηριάζετο, τὰς χεῖρας καὶ εἴ τι γυμνὸν ἦν τοῦ σώ-
ματος. ἀλλὰ μὴν ἐς τὰς μηχανὰς προσαγομένας δᾷ-
δας ἐπέβαλλον ὁμοίως πίσσῃ καὶ ῥητίνῃ δεδευμένας, ἐπί τε
τῶν ἄκρων βελῶν ἀκίδας ἐχούσας· αἳ ἀναφθεῖσαι φερόμε-

ναι, ἐμπαγεῖσαι ταῖς μηχαναῖς καὶ προσπεφυκυῖαι, ῥᾳδίως
αὐτὰς κατέφλεγον. τῶν μὲν οὖν πρώτων ἡμερῶν ἀντί-
παλός πως καὶ ἰσόρροπος ἔμενεν ἡ τύχη τῆς μάχης· χρό-
νου δὲ ἐγγινομένου, ὅ,τε στρατὸς τοῦ Μαξιμίνου ὀκνηρὸς ἐγί-
νετο, καὶ πταίων τῆς ἐλπίδος, ἀθύμως διέκειτο. οὓς γὰρ ἠλ-
πίκεσαν μηδεμίαν ὑπομενεῖν προσβολήν, τούτους εὕρι-
σκον οὐκ ἀντέχοντας μόνον, ἀλλὰ καὶ ἀνθεστῶτας. οἱ δὲ C
Ἀκυλήσιοι ἐπερρώννυντό τε καὶ προθυμίας πάσης ἐνεπίμ-
πλαντο· τῇ τε συνεχείᾳ τῆς μάχης, πεῖραν καὶ θάρσος ὁ-
μοῦ προσλαμβάνοντες, κατεφρόνουν τῶν στρατιωτῶν, ὡς
καὶ ἀποσκώπτειν ἐς αὐτούς, ἐνυβρίζειν τε τῷ Μαξιμίνῳ πε-
ρινοστοῦντι, ἔς τε αὐτὸν καὶ τὸν παῖδα ἀπορρίπτειν δυς-
φήμους καὶ αἰσχρὰς βλασφημίας. ἐφ' αἷς ἐκεῖνος κινούμε-
νος ὀργῆς μᾶλλον ἐνεπίμπλατο· χρῆσθαι δὲ κατὰ τῶν πολε-
μίων οὐ δυνάμενος, ἐκόλαζε τοὺς πλείστους τῶν ἡγουμένων
τῶν ἰδίων στρατιωτῶν, ὡς ἀνάνδρως καὶ ῥαθύμως προσφε- D
ρομένους τῇ τειχομαχίᾳ. ὅθεν αὐτῷ περιεγίνετο, πρὸς μὲν
τῶν οἰκείων, μῖσός τε καὶ ὀργή, παρὰ δὲ τῶν ἀντιπάλων,
πλείων ἡ καταφρόνησις. συνέβαινε δὲ τοῖς Ἀκυλησίοις
πάντα ὑπάρχειν ἔκπλεα, καὶ ἐπιτηδείων ἀφθονίαν ἐκ
πολλῆς παρασκευῆς, εἰς τὴν πόλιν πάντων σεσωρευμένων
ὅσα ἦν ἀνθρώποις καὶ κτήνεσιν εἰς τροφὰς καὶ ποτὰ ἐπιτή-
δεια· ὁ δὲ στρατός, πάντων ἐν σπάνει, τῶν τε καρποφόρων
δένδρων ἐκκεκομμένων καὶ τῆς γῆς ὑπ' αὐτοῦ δεδῃω-
μένης. μένοντες δὲ ὑπὸ σκηναῖς αὐτοσχεδίοις, οἱ δὲ πλεῖ-
στοι ὑπὸ γυμνῷ τῷ ἀέρι, ὄμβρων τε καὶ ἡλίου ἠνείχοντο, 486
λιμῷ τε διεφθείροντο, μηδὲ ἐπισάκτου τροφῆς αὐτοῖς τε καὶ A
ὑποζυγίοις εἰσκομιζομένης. πανταχόθεν γὰρ τὰς τῆς Ἰτα-
λίας ὁδοὺς παραφράξαντες ἦσαν οἱ Ῥωμαῖοι, τειχίων τε
ἐγέρσεσι καὶ πυλίδων ἀσκήσεσιν. ἄνδρας τε ὑπατευκότας
ἐξέπεμψεν ἡ σύγκλητος σὺν ἐπιλέκτοις καὶ λογάσιν ἀπ' Ἰ-

ταλίας πάσης ἀνδράσιν, ἵν' αἰγιαλοί τε πάντες καὶ λιμένες
φρουρῶνται, καὶ μηδενὶ ἔκπλους συγχωρῆται, ὡς ἄπυστα καὶ
ἄγνωστα ᾖ Μαξιμίνῳ τὰ ἐν Ῥώμῃ πραττόμενα. αἵ τε λε-
ωφόροι ὁδοὶ καὶ ἀτραποὶ πᾶσαι ἐφυλάττοντο, ὡς μηδένα
B διαβαίνειν. συνέβαινε δὲ τὸν στρατὸν δοκοῦντα πολιορ-
κεῖν, αὐτὸν πολιορκεῖσθαι, ἐπεὶ μήτε τὴν Ἀκυληίαν ἑλεῖν ἐ-
δύνατο, μήτε ἀποστὰς ἐκεῖθεν, ἐπὶ τὴν Ῥώμην χωρῆσαι,
διά τε νηῶν καὶ ὀχημάτων ἀπορίαν· ἅπαντα γὰρ προκα-
τείληπτο καὶ συνεκέκλειστο. φῆμαι δὲ μείζους ἐξ ὑπονοίας
